R G B WH GR BL
Grey Scale #13
C M Y K
Part Code ST1316
DANES-PICTA.COM
A 1 2 3 4 5 6 M 8 9 10 11 12 13 14 15 B 17 18 19
Colour Chart #13
Blue Cyan Green Yellow Red Magenta White 3/Color Black
Inches
Centimetres
Gr. 441c

Gr. 441c

III 1007.
279 B1

PLUTARCHI

VITAE PARALLELAE.

EX RECENSIONE

CAROLI SINTENIS.

VOL. III.

EX BIBLIOTHECA GYMNASII CULMENSIS.

LIPSIAE, MDCCCXLIII.

SUMPTUS FECIT C. F. KOEHLER.

875

29020/2

ZBIORNICA
Księgozbiorów
Zabezpieczonych

ΑΓΗΣΙΛΑΟΣ.

596 I. Ἀρχίδαμος ὁ Ζευξιδάμου βασιλεύσας ἐπιφανῶς Λακεδαιμονίων κατέλιπεν υἱὸν ἐκ γυναικὸς εὐδοκίμου Λαμπιδοῦς Ἄγιν καὶ πολὺ νεώτερον ἐξ Εὐπωλίας τῆς Μελησιππίδα θυγατρὸς Ἀγησίλαον. Ἐπεὶ δὲ, τῆς βασιλείας Ἄγιδι προσηκούσης κατὰ τὸν νόμον ἰδιώτης ἐδόκει βιοτεύειν ὁ Ἀγησίλαος, ἦχθη τὴν λεγομένην ἀγωγὴν ἐν Λακεδαίμονι, σκληρὰν μὲν οὖσαν τῇ διαίτῃ καὶ πολύπονον, παιδεύουσαν δὲ τοὺς νέους ἄρχεσθαι. Διὸ καί φασιν ὑπὸ τοῦ Σιμωνίδου τὴν Σπάρτην προσηγορεῦσθαι δαμασίμβροτον, ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους. Ταύτης ἀφίησιν ὁ νόμος τῆς ἀνάγκης τοὺς ἐπὶ βασιλείᾳ τρεφομένους παῖδας. Ἀγησιλάῳ δὲ καὶ τοῦτο ὑπῆρξεν ἴδιον, ἐλθεῖν ἐπὶ τὸ ἄρχειν μὴ ἀπαίδευτον ἄρχεσθαι. Διὸ καὶ πολὺ τῶν βασιλέων εὐαρμοστότατον αὑτὸν τοῖς ὑπηκόοις παρέσχε τῷ φύσει ἡγεμονικῷ καὶ

4, 70—71 H.

---

ad Agesilaum usus sum codicibus Parisinis 1671 (A) ab Heldio ad Coraianam, 1673 (C) a Sypsomo ad Huttenianam collatis, Sangermanensi (S^g) cum Stephaniana comparato. accesserunt excerptae Mureti lectiones ex STuπR.

---

1. 2. λαμπιδοῦς V codices Stephani (‚in omnibus nostris codicibus') cl. Wesselingio in Herodoti 6, 71: *Λαμπριδοῦς* v. *ἄγιν* ia constanter: *Ἄγιν* v. *Εὐπωλίας*] ‚in codd. quibusdam scriptum erat *Ἰωνίας*' Stephanus. cf. c. 19. 3. *Μελησιππίδα* Car. Keilius analect. epigr. p. 161: *μελισιππίδα* libri. 5. *τὸν* om C *βιοτεύσειν* Schaeferus. ὁ om ia. 8. *προσηγορεῦθαι* C, *προσειρῆσθαι* V. 15. *φύσει ἡγεμονικῷ* vitii arguit hiatus. num *φύσεως*?

βασιλικῷ προσκτησάμενος ἀπὸ τῆς ἀγωγῆς τὸ δημοτικὸν καὶ φιλάνθρωπον.

II. Ἐν δὲ ταῖς καλουμέναις ἀγέλαις τῶν συστρεφομένων παίδων Λύσανδρον ἔσχεν ἐραστὴν ἐκπλαγέντα μάλιστα τῷ κοσμίῳ τῆς φύσεως αὐτοῦ. Φιλονεικότατος γὰρ ὢν καὶ θυμοειδέστατος ἐν τοῖς νέοις καὶ πάντα πρωτεύειν βουλόμενος καὶ τὸ σφοδρὸν ἔχων καὶ ῥαγδαῖον ἄμαχον καὶ δυσεκβίαστον εὐπειθείᾳ πάλιν αὖ καὶ πραότητι τοιοῦτος ἦν, οἷος φόβῳ μηδὲν, αἰσχύνῃ δὲ πάντα ποιεῖν τὰ προσταττόμενα καὶ τοῖς ψόγοις ἀλγύνεσθαι μᾶλλον ἢ τοὺς πόνους βαρύνεσθαι. Τήν τε τοῦ σκέλους πήρωσιν ἥ τε ὥρα τοῦ σώματος ἀνθοῦντος ἐπέκρυπτε καὶ τὸ ῥᾳδίως φέρειν καὶ ἱλαρῶς τὸ τοιοῦτο παίζοντα καὶ σκώπτοντα πρῶτον ἑαυτὸν οὐ μικρὸν ἦν ἐπανόρθωμα τοῦ πάθους, ἀλλὰ καὶ τὴν φιλοτιμίαν ἐκδηλοτέραν ἐποίει, πρὸς μηδένα πόνον μηδὲ πρᾶξιν ἀπαγορεύοντος αὐτοῦ διὰ τὴν χωλότητα. Τῆς δὲ μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν, αὐτὸς γὰρ οὐκ ἠθέλησεν, ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε μήτε πλαστὰν μήτε μιμηλάν τινα ποιήσασθαι τοῦ σώματος εἰκόνα, λέγεται δὲ μικρός τε γενέσθαι καὶ τὴν ὄψιν εὐκαταφρόνητος· ἡ δὲ ἱλαρότης καὶ τὸ εὔθυμον ἐν ἅπαντι καιρῷ καὶ παιγνιῶδες, ἀχθεινὸν δὲ καὶ τραχὺ μηδέποτε μήτε φωνῇ μήτε ὄψει, τῶν καλῶν καὶ ὡραίων ἐρασμιώτερον αὐτὸν ἄχρι γήρως παρεῖχεν. Ὡς δὲ Θεόφραστος ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν· „Οὐ γὰρ βασιλεῖς“ ἔφασαν „ἄμμιν, ἀλλὰ βασιλείδια γεννάσει.“ 597

III. Βασιλεύοντος δὲ Ἄγιδος ἦκεν Ἀλκιβιάδης ἐκ Σικελίας φυγὰς εἰς Λακεδαίμονα· καὶ χρόνον οὔπω πολὺν ἐν

4, 71—72 H.

II. 1. ‚ἴσως συντρεφομένων‘ Muretus V et nuperi cl. c. 3 et Lycurg. 16, 28. sed συναναστρέφεσθαι Lycurg. 17, 2. 5. ἔχον i a. 7. πάντα om C. 10. ἐπέκρυπτε S^g corr. C: ἀπέκρυπτε v. 12. ἐκδηλοτέραν S^g [A] V: ἐνδηλοτέραν v. 13. μήτε C. 15. μήτε πλαστὰ μήτε μιμηλὰ pr. A, μήτε πλαστῶν μήτε μιμητῶν S^g ‚nonnulli‘ Stephani, μήτε πλαστὸν μήτε μιμητὸν V. cf. apophth. 191 d. Wyttenbachium p. 1107 sq. 16. ποιήσασθαι om. C, μιμήσασθαι qV ‚nonnulli‘ Stephani. 20. παρεῖχεν S^g A C π S u T V: παρέσχεν v. 21. locum Theophrasti ad libros περὶ νόμων rettulit Schneiderus t. 5 p. 205 et 210. ad libros de nuptiis Osannus de condit. coelibum 2 p. 9. 23. βασιλείδια] cf. Wyttenbachium in mor. p. 1 d. γεννώσει V.

III. ἀλκιβιάδης ἐκ σικελίας S^g: ἐκ Σικελίας Ἀλκιβιάδης v.

τῇ πόλει διάγων αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως Τιμαίᾳ συνεῖναι. Καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδάριον οὐκ ἔφη γινώσκειν ὁ Ἄγις, ἀλλ' ἐξ Ἀλκιβιάδου γεγονέναι. Τοῦτο δὲ οὐ πάνυ δυσκόλως τὴν Τιμαίαν ἐνεγκεῖν φησὶ Δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἰλωτίδας Ἀλκιβιάδην τὸ παιδίον, οὐ Λεωτυχίδην, καλεῖν· καὶ μέντοι καὶ τὸν Ἀλκιβιάδην αὐτὸν οὐ πρὸς ὕβριν τῇ Τιμαίᾳ φάναι πλησιάζειν, ἀλλὰ φιλοτιμούμενον βασιλεύεσθαι Σπαρτιάτας ὑπὸ τῶν ἐξ ἑαυτοῦ γεγονότων. Διὰ ταῦτα μὲν τῆς Λακεδαίμονος Ἀλκιβιάδης ὑπεξῆλθε φοβηθεὶς τὸν Ἄγιν. Ὁ δὲ παῖς τὸν μὲν ἄλλον χρόνον ὕποπτος ἦν τῷ Ἄγιδι καὶ γνησίου τιμὴν οὐκ εἶχε παρ' αὐτῷ, νοσοῦντι δὲ προσπεσὼν καὶ δακρύων ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον. Οὐ μὴν ἀλλὰ τελευτήσαντος τοῦ Ἄγιδος ὁ Λύσανδρος ἤδη κατανευαυμαχηκὼς Ἀθηναίους καὶ μέγιστον ἐν Σπάρτῃ δυνάμενος τὸν Ἀγησίλαον ἐπὶ τὴν βασιλείαν προῆγεν, ὡς οὐ προσήκουσαν ὄντι νόθῳ τῷ Λεωτυχίδῃ. Πολλοὶ δὲ καὶ τῶν ἄλλων πολιτῶν [διὰ] τὴν ἀρετὴν τοῦ Ἀγησιλάου καὶ τὸ συντετράφθαι καὶ μετεσχηκέναι τῆς ἀγωγῆς ἐφιλοτιμοῦντο καὶ συνέπραττον αὐτῷ προθύμως. Ἦν δὲ Διοπείθης ἀνὴρ χρησμολόγος ἐν Σπάρτῃ μαντειῶν τε παλαιῶν ὑπόπλεως καὶ δοκῶν περὶ τὰ θεῖα σοφὸς εἶναι καὶ περιττός. Οὗτος οὐκ ἔφη θεμιτὸν εἶναι χωλὸν γενέσθαι τῆς Λακεδαίμονος βασιλέα καὶ χρησμὸν ἐν τῇ δίκῃ τοιοῦτον ἀνεγίνωσκε·

Φράζεο δή, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία.
δηρὸν γὰρ νοῦσοί σε κατασχήσουσιν ἄελπτοι
φθερσιβρότον τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

4, 72—73 H.

---

4. *παιδίον* cum Stephaniana ceteri. cf. ad Lys. 26, 3. 7. *εἰλώτιδας* Schaeferus, sed v. Suidam s. v. et Stephanum Byz. v. *Ἕλος*. 9. *τῇ* accessit ex S^{g}[A]C. 11. *γενομένων* V. *μὲν δὴ* Stephaniana cum [A?]. 12. *τὸν* om S^{g}. 19. *διὰ* addidit Bryanus. fortasse sufficiunt dativi. 28. *σέθεν*] *σ' ἀντ'* Muretus apud Bryanum x. libri *βλάψῃ*. Stephanus: ‚pro *βλάψῃ* legitur etiam *βλάστῃ* quod mihi valde placet — —'. Amiotus: ‚ne se germe'. cf. ad Lys. 22, 34. 29. *νοῦσοι*] *μόχθοι* Lys. l. l. mor. 399 b. 30. *φθισίβροτον* Stephanus: *φθε ίβροτον* (sic) S^{g}, *φθισίμαρτον* (prius *ī* in ras.) A, *φθισίμβροτον* C ia. malim *φθισιβρότου* vel *φθερσιβρότου*. *τ'* om. ia. *κυλινδόμενον* pr. A[C]: *κυλινδού-*

Πρὸς ταῦτα Λύσανδρος ἔλεγεν, ὡς, εἰ πάνυ φοβοῖντο τὸν χρησμὸν οἱ Σπαρτιᾶται, φυλακτέον αὐτοῖς εἴη τὸν Λεωτυχίδην· οὐ γάρ, εἰ προσπταίσας τις τὸν πόδα βασιλεύοι, τῷ θεῷ διαφέρειν, ἀλλ' εἰ μὴ γνήσιος ὢν μηδὲ Ἡρακλείδης, τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν. Ὁ δὲ Ἀγησίλαος ἔφη καὶ τὸν Ποσειδῶ καταμαρτυρεῖν τοῦ Λεωτυχίδου τὴν νοθείαν ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν Ἄγιν· ἀπ' ἐκείνου δὲ πλέον ἢ δέκα μηνῶν διελθόντων γενέσθαι τὸν Λεωτυχίδην.

IV. Οὕτω δὲ καὶ διὰ ταῦτα βασιλεὺς ἀποδειχθεὶς ὁ Ἀγησίλαος εὐθὺς εἶχε καὶ τὰ χρήματα τοῦ Ἄγιδος ὡς νόθον ἀπελάσας τὸν Λεωτυχίδην. Ὁρῶν δὲ τοὺς ἀπὸ μητρὸς οἰκείους ἐπιεικεῖς μὲν ὄντας, ἰσχυρῶς δὲ πενομένους, ἀπένειμεν αὐτοῖς τὰ ἡμίσεα τῶν χρημάτων εὔνοιαν ἑαυτῷ καὶ δόξαν ἀντὶ φθόνου καὶ δυσμενείας ἐπὶ τῇ κληρονομίᾳ κατασκευαζόμενος. Ὃ δὲ φησὶν ὁ Ξενοφῶν, ὅτι πάντα τῇ πατρίδι πειθόμενος ἴσχυε πλεῖστον, ὥστε ποιεῖν ὃ βούλοιτο, τοιοῦτό ἐστι. Τῶν ἐφόρων ἦν τότε καὶ τῶν γερόντων τὸ μέγιστον ἐν τῇ πολιτείᾳ κράτος, ὧν οἱ μὲν ἐνιαυτὸν ἄρχουσι μόνον, οἱ δὲ γέροντες διὰ βίου ταύτην ἔχουσι τὴν τιμὴν ἐπὶ τῷ μὴ πάντα τοῖς βασιλεῦσιν ἐξεῖναι συνταχθέντες, ὡς ἐν τῷ περὶ Λυκούργου γέγραπται. Διὸ καὶ πατρικήν τινα πρὸς αὐτοὺς ἀπὸ τοῦ παλαιοῦ διετέλουν εὐθὺς οἱ βασιλεῖς φιλονεικίαν καὶ διαφοράν παραλαμβάνοντες. Ὁ δὲ Ἀγησίλαος ἐπὶ τὴν ἐναντίαν ὁδὸν ἦλθε· καὶ τὸ πολεμεῖν καὶ τὸ προσκρούειν αὐτοῖς ἐάσας

4, 74—75 H.

μενον ia, κυλινδομένου Stephanus cum [Sg] et corr. A. 32. *Σπαρτιᾶται* Schaeferus et passim infra: *Σπαρτιάται* v. 33. *εἰ* om pr. A. 34. *διαφέρειν* Stephaniana cum [Sg]: *διαφέρει* ia et ceteri libri. 36. *ποσειδῶ* Sg cl. Rom. 14, 19. Them. 19, 20: *Ποσειδῶνα* v. 38. *λεωτυχίδαν* V et mox. vid. ad Lys. 22, 16. cl. infra c. 21.

IV. 5. *ἡμίσεια* ia. 6. *τῇ κληρονομίᾳ* RV cod. Stephani (‚est et alia lectio') Muretus x: *τὴν κληρονομίαν* v. 7. *ὃ* Solanus: libri *ὡς*, cui defendendo non puto adhiberi posse talia quale *ὥσπερ τοῦτο* Agid. 2. locum Xenophontis Agesil. 6, 4 integriorem videtur respicere. *πάντα* accessit ex Sg[A]CπSTuVx. 8. *τοιοῦτόν ἐστι· τῶν ἐφόρων* Reiskius: *τοιοῦτο· τὸ ἐκ τῶν ἐφόρων* SgCTSqV, *τοῦτο τὸ ἐκ τῶν ἐφόρων* A, *τοιοῦτο ἐκ τῶν ἐφόρων* v, *τοιοῦτον ἦν* Muretus x. 11. *βασιλεύουσιν* V. 12. *περὶ Λυκ.*] c. 5. 16. *τὸ προσκρούειν* Sg[A]Ci: *προσκρούειν* v.

ἐθεράπευε, πάσης μὲν ἀπ' ἐκείνων πράξεως ἀρχόμενος, εἰ δὲ κληθείη, θᾶττον ἢ βάδιν ἐπειγόμενος, ὁσάκις δὲ τύχοι καθήμενος ἐν τῷ βασιλικῷ θώκῳ καὶ χρηματίζων ἐπιοῦσι τοῖς
598 ἐφόροις ὑπεξανίστατο, τῶν δ' εἰς τὴν γερουσίαν ἀεὶ κατατα- 20
ττομένων ἑκάστῳ χλαῖναν ἔπεμπε καὶ βοῦν ἀριστεῖον. Ἐκ δὲ τούτων τιμᾶν δοκῶν καὶ μεγαλύνειν τὸ ἀξίωμα τῆς ἐκείνων ἀρχῆς ἐλάνθανεν αὔξων τὴν ἑαυτοῦ δύναμιν καὶ τῇ βασιλείᾳ προστιθέμενος μέγεθος ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας συγχωρούμενον. 25

V. Ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους πολίτας ὁμιλίαις ἐχθρὸς ἦν ἀμεμπτότερος ἢ φίλος. Τοὺς μὲν γὰρ ἐχθροὺς ἀδίκως οὐκ ἔβλαπτε, τοῖς δὲ φίλοις καὶ τὰ μὴ δίκαια συνέπραττε. Καὶ τοὺς μὲν ἐχθροὺς ᾐσχύνετο μὴ τιμᾶν κατορθοῦντας, τοὺς δὲ φίλους οὐκ ἐδύνατο ψέγειν ἁμαρτάνοντας, ἀλλὰ καὶ 5
βοηθῶν ἠγάλλετο καὶ συνεξαμαρτάνων αὐτοῖς· οὐδὲν γὰρ ᾤετο τῶν φιλικῶν ὑπουργημάτων αἰσχρὸν εἶναι. Τοῖς δ' αὖ διαφόροις παίσασι πρῶτος συναχθόμενος καὶ δεηθεῖσι συμπράττων προθύμως ἐδημαγώγει καὶ προσήγετο πάντας. Ὁρῶντες οὖν οἱ ἔφοροι ταῦτα καὶ φοβούμενοι τὴν δύναμιν 10
ἐζημίωσαν αὐτὸν αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς πολίτας ἰδίους κτᾶται. Καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται καὶ τὴν ἔριν, εἰ τῶν ὅλων ἐξαιρεθείη, στῆναι μὲν ἂν τὰ οὐράνια, παύσεσθαι δὲ πάντων τὴν γένεσιν καὶ κίνησιν ὑπὸ τῆς πρὸς ταῦτα πάντων ἁρμονίας, οὕτως ἔοικεν ὁ Λακωνικὸς 15
νομοθέτης ὑπέκκαυμα τῆς ἀρετῆς ἐμβαλεῖν εἰς τὴν πολιτείαν τὸ φιλότιμον καὶ φιλόνεικον ἀεί τινα τοῖς ἀγαθοῖς διαφορὰν καὶ ἅμιλλαν εἶναι πρὸς ἀλλήλους βουλόμενος, τὴν δὲ ἀνθυπείκουσαν τῷ ἀνελέγκτῳ χάριν ἀργὴν καὶ ἀναγώνιστον οὖσαν οὐκ ὀρθῶς ὁμόνοιαν λέγεσθαι. Τοῦτο δὲ ἀμέλει συνεωρα- 20
4, 75—76 H

---

18. τύχῃ S^{g}. 21. ἔπεμπε Stephaniana: ἔπεμψε libri. 22. τούτου C. μεγαλύνων C. 24. προτιθέμενος ia.

V. 3. ἔβλαπτεν S^{g}. 8. δεηθεῖσι Stephaniana: δεηθεὶς libri. 14. παύσασθαι C cum Schaefero. πάντως x. 15. ταῦτα] πάντα Reiskii ceteri. num αὐτὰ vel ἑαυτὰ? ‚post ἁρμονίας quidam codices habent ἢ προνοίας, ἢ ποιότητος: quae verba vereor ne supposititia sint, vel potius hoc ita esse persuasum habeo' Stephanus. 16. ἐμβαλὼν S^{g}CV qui et ἐμβάλλων. 19. τῶν ἀνελέγκτων RV.

κέναι καὶ τὸν Ὅμηρον οἴονταί τινες· οὐ γὰρ ἂν τὸν Ἀγαμέμνονα ποιῆσαι χαίροντα τοῦ Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως εἰς λοιδορίαν προαχθέντων ἐκπάγλοις ἐπέεσσιν, εἰ μὴ μέγα τοῖς κοινοῖς ἀγαθὸν ἐνόμιζεν εἶναι τὸν πρὸς ἀλλήλους ζῆλον καὶ τὴν διαφορὰν τῶν ἀρίστων. Ταῦτα μὲν οὖν οὐκ ἂν οὕτως τις ἁπλῶς συγχωρήσειεν· αἱ γὰρ ὑπερβολαὶ τῶν φιλονεικιῶν χαλεπαὶ ταῖς πόλεσι καὶ μεγάλους κινδύνους ἔχουσι.

VI. Τοῦ δὲ Ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος ἀπήγγελλόν τινες ἐξ Ἀσίας ἥκοντες, ὡς ὁ Περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ στόλῳ Λακεδαιμονίους ἐκβαλεῖν τῆς θαλάσσης. Ὁ δὲ Λύσανδρος ἐπιθυμῶν αὖθις εἰς Ἀσίαν ἀποσταλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, οὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίους τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν Ἀγησίλαον ἐπιθέσθαι τῇ στρατείᾳ καὶ προπολεμῆσαι τῆς Ἑλλάδος ἀπωτάτω διαβάντα καὶ φθάσαντα τὴν τοῦ βαρβάρου παρασκευήν. Ἅμα δὲ τοῖς ἐν Ἀσίᾳ φίλοις ἐπέστελλε πέμπειν εἰς Λακεδαίμονα καὶ στρατηγὸν Ἀγησίλαον αἰτεῖσθαι. Παρελθὼν οὖν εἰς τὸ πλῆθος Ἀγησίλαος ἀνεδέξατο τὸν πόλεμον, εἰ δοῖεν αὐτῷ τριάκοντα μὲν ἡγεμόνας καὶ συμβούλους Σπαρτιάτας, νεοδαμώδεις δὲ λοχαγοὺς δισχιλίους, τὴν δὲ συμμαχικὴν εἰς ἑξακισχιλίους δύναμιν. Συμπράττοντος δὲ τοῦ Λυσάνδρου πάντα προθύμως ἐψηφίσαντο καὶ τὸν Ἀγησίλαον ἐξέπεμπον εὐθὺς ἔχοντα τοὺς τριάκοντα Σπαρτιάτας, ὧν ὁ Λύσανδρος ἦν εὐθὺς πρῶτος, οὐ διὰ τὴν ἑαυτοῦ δόξαν καὶ δύναμιν μόνον, ἀλλὰ καὶ διὰ τὴν Ἀγησιλάου φιλίαν, ᾧ μεῖζον ἐδόκει τῆς βασιλείας ἀγα-

4, 76—78 H.

---

21. ἂν addiderunt S^g[AC]. 23. cf. Odyss. 8, 77. 24. ἐνόμιζεν ἀγαθὸν C. 26. οὕτω AC.

VI. 2. ἀπήγγελλον [AC] V: ἀπήγγειλαν v. 9. προπολεμῆσαι S^gACSRπV ‚quidam e vetustis codd.' Stephani: πολεμῆσαι v. 16. ‚in quibusdam additur hic accusativus πάντα post συμπράττοντας, non post Λυσάνδρου' Stephanus. 17. εὐθὺς ἐξέπεμπον C. 18. εὐθὺς ἦν C. prius εὐθὺς Reiskio, alterum delenti Schaefero non accedo, cf. Aem. P. 21, 15. (ἔτι) Lys. 3, 17. (ἐκεῖ) Sertor. 13, 2. (ἤδη) Alex. 4. (μάλιστα) ibid. 23. (πολλάκις) Cat. min. 49. (ἤδη). 19. μόνον ‚in quibusdam' Stephani post ἑαυτοῦ positum. 20. ‚legitur etiam ἀγαθὸν ἅμα πεπρᾶχθαι' Stephanus. sic V, quod non dubitavi corrigere ἀγαθὸν διαπεπρᾶχθαι

θὸν διαπεπρᾶχθαι τὴν στρατηγίαν ἐκείνην. Ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς Γεραιστὸν αὐτὸς εἰς Αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας ἔδοξε κατὰ τοὺς ὕπνους εἰπεῖν τινα πρὸς αὐτόν „Ὦ βασιλεῦ Λακεδαιμονίων, ὅτι μὲν
599 οὐδεὶς τῆς Ἑλλάδος ὁμοῦ συμπάσης ἀπεδείχθη στρατηγὸς ἢ πρότερον Ἀγαμέμνων καὶ σὺ νῦν μετ' ἐκεῖνον, ἐννοεῖς δήπουθεν· ἐπεὶ δὲ τῶν αὐτῶν ἄρχεις ἐκείνῳ, τοῖς δὲ αὐτοῖς πολεμεῖς, ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον, εἰκός ἐστι καὶ θῦσαι τῇ θεῷ θυσίαν, ἣν ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν.“ Ἅμα δέ πως ὑπῆλθε τὸν Ἀγησίλαον ὁ τῆς κόρης σφαγιασμὸς, ἣν ὁ πατὴρ ἔσφαξε πεισθεὶς τοῖς μάντεσιν. Οὐ μὴν διετάραξεν αὐτὸν, ἀλλ' ἀναστὰς καὶ διηγησάμενος τοῖς φίλοις τὰ φανέντα τὴν μὲν θεὸν ἔφη τιμήσειν οἷς εἰκός ἐστι χαίρειν θεὸν οὖσαν, οὐ μιμήσασθαι δὲ τὴν ἀμαθίαν τοῦ τότε στρατηγοῦ. Καὶ καταστέψας ἔλαφον ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὥσπερ εἰώθει τοῦτο ποιεῖν ὁ ὑπὸ τῶν Βοιωτῶν τεταγμένος. Ἀκούσαντες οὖν οἱ Βοιωτάρχαι πρὸς ὀργὴν κινηθέντες ἔπεμψαν ὑπηρέτας ἀπαγορεύοντες τῷ Ἀγησιλάῳ μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια Βοιωτῶν. Οἱ δὲ καὶ ταῦτα ἀπήγγειλαν καὶ τὰ μηρία διέῤῥιψαν ἀπὸ τοῦ βωμοῦ. Χαλεπῶς οὖν ἔχων ὁ Ἀγησίλαος ἀπέπλει τοῖς τε Θηβαίοις διωργισμένος καὶ γεγονὼς δύσελπις διὰ τὸν οἰωνὸν, ὡς ἀτελῶν αὐτῷ τῶν πράξεων γενησομένων καὶ τῆς στρατείας ἐπὶ τὸ προσῆκον οὐκ ἀφιξομένης.

VII. Ἐπεὶ δὲ ἦκεν εἰς Ἔφεσον, εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν Λύσανδρον, ὄχλου φοιτῶντος ἐπὶ τὰς θύρας ἑκάστοτε καὶ πάντων παρακολουθούντων καὶ θεραπευόντων ἐκεῖνον, ὡς ὄνομα μὲν καὶ σχῆμα
4, 78—80 H.

---

cum Emperio: *διαπεπρᾶχθαι ἀγαθὸν* v. 27. ‚legitur etiam *τῶν μὲν αὐτῶν*, item *θῦσαί σε* paulo post‘ Stephanus. 31. ‚scriptum est in quibusdam *ἐσφαγίασε*‘ Stephanus. 32. *διετάραξεν* [A] x: *δετάραξεν* V, *δὲ ἐτάραξεν* v. 34. *μιμήσεσθαι* cum Stephaniana ceteri. 35. ‚*ἀπάθειαν* quaedam exemplaria habent: quae lectio valde mihi placet‘ Stephanus. sic V. Amiotus: ‚la cruelle devotion‘. 43. *εὐτελῶν* i. *αὐτοῦ* Stephaniana. 44. *στρατηγίας* V. *ἀφιξόμενος* i.

VII. 1. *εἰς τὴν* V. 3. *ἐπὶ* ‚omnes codd.‘ Stephani et V: *περὶ* v. cf. Wyttenbachium in mor. p. 1028. 4. *αὐτὸν ἐκεῖνον* V.

τῆς στρατηγίας τὸν Ἀγησίλαον ὄντα διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων καὶ δυνάμενον καὶ πράττοντα πάντα τὸν Λύσανδρον. Οὐδεὶς γὰρ δεινότερος οὐδὲ φοβερώτερος ἐκείνου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων ἐγένετο στρατηγῶν, οὐδὲ μείζονα τοὺς φίλους ἀνὴρ ἄλλος εὐεργέτησεν οὐδὲ κακὰ τηλικαῦτα τοὺς ἐχθροὺς ἐποίησεν. Ὢν ἔτι προσφάτων ὄντων οἱ ἄνθρωποι μνημονεύοντες, ἄλλως δὲ τὸν μὲν Ἀγησίλαον ἀφελῆ καὶ λιτὸν ἐν ταῖς ὁμιλίαις καὶ δημοτικὸν ὁρῶντες, ἐκείνῳ δὲ τὴν αὐτὴν ὁμοίως σφοδρότητα καὶ τραχύτητα καὶ βραχυλογίαν παροῦσαν, ὑπέπιπτον αὐτῷ παντάπασι καὶ μόνῳ προσεῖχον. Ἐκ δὲ τούτου πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφερον ὑπηρέται μᾶλλον Λυσάνδρου, ἢ σύμβουλοι βασιλέως ὄντες· ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος, εἰ καὶ μὴ φθονερὸς ἦν μηδὲ ἤχθετο τοῖς τιμωμένοις, ἀλλὰ φιλότιμος ὢν σφόδρα καὶ φιλόνεικος ἐφοβεῖτο, μή, κἂν ἐνέγκωσί τι λαμπρὸν αἱ πράξεις, τοῦτο Λυσάνδρου γένηται διὰ τὴν δόξαν. Οὕτως οὖν ἐποίει· πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα πράξεις ἐῶν χαίρειν καὶ παραμελῶν ἕτερα πρὸ ἐκείνων ἔπραττεν· ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων οὓς αἴσθοιτο Λυσάνδρῳ μάλιστα πεποιθότας ἀπράκτους ἀπέπεμπε· καὶ περὶ τὰς κρίσεις ὁμοίως οἷς ἐκεῖνος ἐπηρεάζοι, τούτους ἔδει πλέον ἔχοντας ἀπελθεῖν, καὶ τοὐναντίον οὓς φανερὸς γένοιτο προθυμούμενος ὠφελεῖν χαλεπὸν ἦν μὴ καὶ ζημιωθῆναι. Γινομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ' οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος τὴν αἰτίαν ὁ Λύσανδρος οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους, ἀλλ' ἔλεγεν, ὡς δι' αὐτὸν ἀτιμάζοιντο καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμένους.

VIII. Ὡς οὖν ταῦτα πράττειν καὶ λέγειν ἐδόκει φθόνον ἐκείνῳ μηχανώμενος, ἔτι μᾶλλον αὐτοῦ καθάψασθαι βουλό-

4, 80—81 H.

---

5. *ὄντα*] ἔχοντα Reiskii temere nuperi, temere item addituri ὄντα ante vel post *ἁπάντων*. compara comp. Nic. c. Crass. 3, 4. Sertor. 25, 12. Cleomen. 3 Artax. 20 Brut. 35 Othon. 7. 7. *δεινότερος*] ‚legitur etiam *ἐνδοξότερος*' Stephanus. sic V. Amiotus: ‚tant de reputation — comme luy'. 11. *μνημονεύουσιν* m rec AV. 13. *βραχύτητα* V. 16. *Λυσάνδρου, ἢ* in oppositione recte videtur habere. alioquin facilis esset correctio *Λυσάνδρου μᾶλλον ἢ*. 26. *ἐκεῖνον* ia. 29. *αἰσθανόμενος* V.

μενος Ἀγησίλαος ἀπέδειξε κρεοδαίτην καὶ προσεῖπεν, ὡς λέγεται, πολλῶν ἀκουόντων· „Νῦν οὖν θεραπευέτωσαν οὗτοι ἀπιόντες τὸν ἐμὸν κρεοδαίτην.“ Ἀχθόμενος οὖν ὁ Λύσανδρος λέγει πρὸς αὐτόν· „Ἤιδεις ἄρα σαφῶς, Ἀγησίλαε, φίλους ἐλαττοῦν.“ „Ἤιδειν“ ἔφη „τοὺς ἐμοῦ μεῖζον δύνασθαι [βουλομένους.“ Καὶ ὁ Λύσανδρος „Ἀλλ' ἴσως“ ἔφη „ταῦτα σοὶ λέλεκται βέλτιον ἢ ἐμοὶ πέπρακται. Δὸς δέ μοι τινὰ τάξιν καὶ χώραν, ἔνθα μὴ λυπῶν ἔσομαί σοι χρήσιμος.“ Ἐκ τούτου πέμπεται μὲν ἐφ' Ἑλλήσποντον καὶ Σπιθριδάτην, ἄνδρα Πέρσην, ἀπὸ τῆς Φαρναβάζου χώρας μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων ἥγαγε πρὸς τὸν Ἀγησίλαον, οὐκ ἔλιγε δὲ τῆς ὀργῆς, ἀλλὰ βαρέως φέρων ἤδη τὸν λοιπὸν χρόνον ἐβούλευεν, ὅπως τῶν δυεῖν οἴκων τὴν βασιλείαν ἀφελόμενος εἰς μέσον ἅπασιν ἀποδοίη Σπαρτιάταις. Καὶ ἐδόκει μεγάλην ἂν ἀπεργάσασθαι κίνησιν ἐκ ταύτης τῆς διαφορᾶς, εἰ μὴ πρότερον ἐτελεύτησεν εἰς Βοιωτίαν στρατεύσας. Οὕτως αἱ φιλότιμοι φύσεις ἐν ταῖς πολιτείαις τὸ ἄγαν μὴ φυλαξάμεναι τοῦ ἀγαθοῦ μεῖζον τὸ κακὸν ἔχουσι. Καὶ γὰρ, εἰ Λύσανδρος ἦν φορτικὸς, ὥσπερ ἦν, ὑπερβάλλων τῇ φιλοτιμίᾳ τὸν καιρὸν, οὐκ ἠγνόει δήπουθεν Ἀγησίλαος ἑτέραν ἀμεμπτοτέραν ἐπανόρθωσιν οὖσαν ἀνδρὸς ἐνδόξου καὶ φιλοτίμου πλημμελοῦντος. Ἀλλ' ἔοικε ταὐτῷ πάθει μήτε ἐκεῖνος ἄρχοντος ἐξουσίαν γνῶναι μήτε οὗτος ἄγνοιαν ἐνεγκεῖν συνήθους.

IX. Ἐπεὶ δὲ Τισαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον ἐποιήσατο σπονδὰς, ὡς τὰς πόλεις αὐτῷ τὰς Ἑλληνικὰς ἀφήσοντος αὐτονόμους βασιλέως, ὕστερον δὲ

4, 81—83 H.

VIII. 3. ἀποδείκνυσι V. κρεοδαίτην S^{g} et mox; κρεωδάτην V, κρεωδαίτην v, cf. ad Lys. 23, 45. προσεῖπεν ne suspectes cf. mor. 155 d. 208 e. προεῖπεν ‚quaedam exemplaria' Stephani. 4. οὖν] δὴ V. 6. σοφῶς Muretus x. 9. λέλεκται καὶ βέλτιον V, λέλεκται μᾶλλον x ex Lys. 23, 52. 10. τάξιν] ‚in nonnullis est πρᾶξιν' Stephanus sic V. 11. σπιθριδάτην S^{g} corr. A C cum cod. Stephani (‚legitur etiam') x: Μιθριδάτην v. 12. ἄνδρα om. A. 15. ‚in quibusdam est ἐπεβούλευεν' Stephanus. δυοῖν C. 16. praestatne δοκεῖ? 19. αἱ] δὲ Stephaniana. πολιτικαῖς V. 20. εἰ ὁ λύσανδρος S^{g}C, ὁ λύσανδρος εἰ καὶ S corr. A, ὁ λύσανδρος pr. Aia. 21. ἦν φορτικὸς S^{g}: φορτικὸς ἦν v. 25. ἐξουσίαν ἄρχοντος C.

IX. 1. τισσαφέρνης constanter C. 3. ἑλληνίδας V.

πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν ἐξήνεγκε τὸν πόλεμον, ἄσμενος ὁ Ἀγησίλαος ἐδέξατο. Προσδοκία γὰρ ἦν μεγάλη τῆς στρατείας· καὶ δεινὸν ἡγεῖτο τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν, ὁσάκις ἐβουλήθησαν αὐτοὶ, τοσαυτάκις βασιλέα νενικηκότας, αὐτοῦ δὲ Λακεδαιμονίων ἄρχοντος ἡγουμένων γῆς καὶ θαλάσσης μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας. Εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισαφέρνους ἐπιορκίαν ἐπέδειξεν ὡς ἐπὶ Καρίαν προάξων. Ἐκεῖ δὲ τὴν δύναμιν τοῦ βαρβάρου συναθροίσαντος ἄρας εἰς Φρυγίαν ἐνέβαλε. Καὶ πόλεις μὲν εἶλε συχνὰς καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν ἐπιδεικνύμενος τοῖς φίλοις, ὅτι τὸ μὲν σπεισάμενον ἀδικεῖν τῶν θεῶν ἐστὶ καταφρονεῖν, ἐν δὲ τῷ παραλογίζεσθαι τοὺς πολεμίους οὐ μόνον τὸ δίκαιον, ἀλλὰ καὶ δόξα πολλὴ καὶ τὸ μεθ' ἡδονῆς κερδαίνειν ἔνεστι. Τοῖς δὲ ἱππεῦσιν ἐλαττωθεὶς καὶ τῶν ἱερῶν ἀλόβων φανέντων ἀναχωρήσας εἰς Ἔφεσον ἱππικὸν συνῆγε τοῖς εὐπόροις προειπὼν, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα. Πολλοὶ δ' ἦσαν οὗτοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλοὺς καὶ πολεμικοὺς ἔχειν ἱππεῖς ἀντὶ δειλῶν ὁπλιτῶν. Ἐμισθοῦντο γὰρ οἱ μὴ βουλόμενοι στρατεύεσθαι τοὺς βουλομένους στρατεύεσθαι, οἱ δὲ μὴ βουλόμενοι ἱππεύειν τοὺς βουλομένους ἱππεύειν. Καὶ γὰρ

4, 83—84 H.

---

5. ‚legitur et *στρατηγίας* (V) nec non *στρατιᾶς*' Stephanus. 6. *καὶ*] *μὲν* a. 8. *νενικηκότας* S^{g}[C] Muretus volueratque Stephanus: *νενικηκότες* v. 12. *τὴν δύναμιν τοῦ βαρβάρου* S^{g}: *τοῦ βαρβάρου τὴν δύναμιν* v. 13. *ἐνέβαλεν* S^{g}. 15. *τὸν μὲν* i. 19. *ἀπόροις* ia. 20. *προειπὼν* S^{g} cod. Stephani (‚legitur etiam'): *προειπὼν* A sed *ς* punctis notatum et v. 22. *πολλοὺς πολεμίους* i. 23. *δειλῶν* ‚vetusta exemplaria' Stephani: *ψιλῶν* v. illa ‚vetusta exemplaria' num libri sint manuscripti ego non decernam. certe sic vel similiter (*φαύλων*) legit Amiotus: ‚gens de pied qui ne valoient gueres' cl. apoph. 209b: *ὥστε ταχὺ συνήχθησαν καὶ ἵπποι καὶ ἄνδρες ἐπιτήδειοι ἀντὶ δειλῶν καὶ πλουσίων*, unde fuerunt qui hic quoque reponerent *δειλῶν καὶ πλουσίων*. sed hoc fidem excedit. *δειλοὶ ὁπλῖται* futuri erant *εὔποροι* isti, quibus ob id ipsum prudenter Agesilaus vicarios dare permisit. 24. *οἱ δὲ — βουλομένους ἱππεύειν* inepta sunt deletque Ed. Benseler de hiatu p. 354. sed etiam quae praecedunt. *ἐμισθοῦντο — στρατεύεσθαι* non pro Plutarcheis habeo omittuntque apophthegmata. 25. *καὶ γὰρ*] respicit Iliad. 23, 295.

τὸν Ἀγαμέμνονα ποιῆσαι καλῶς, ὅτι θήλειαν ἵππον ἀγαθὴν λαβὼν κακὸν ἄνδρα καὶ πλούσιον ἀπήλλαξε τῆς στρατείας. Ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους ἀποδύοντες ἐπίπρασκον οἱ λαφυροπῶλαι καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοί, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατροφίας γυμνουμένων κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ Ἀγησίλαος „Οὗτοι μὲν“ εἶπεν „οἷς μάχεσθε, ταῦτα δὲ, ὑπὲρ ὧν μάχεσθε.“

X. Καιροῦ δὲ ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν προεῖπεν εἰς Λυδίαν ἀπάξειν, οὐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισαφέρνην· ἀλλ' ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιστῶν τῷ Ἀγησιλάῳ καὶ νῦν γοῦν αὐ-
601 τὸν ἅψασθαι τῆς Καρίας νομίζων οὔσης δυσίππου πολὺ τῷ ἱππικῷ λειπόμενον. Ἐπεὶ δὲ, ὡς προεῖπεν, ὁ Ἀγησίλαος ἦκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπουδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισαφέρνης· καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων. Ἐννοήσας οὖν ὁ Ἀγησίλαος, ὅτι τοῖς πολεμίοις οὔπω πάρεστι τὸ πεζὸν, αὐτῷ δὲ τῆς δυνάμεως οὐδὲν ἄπεστιν, ἔσπευσε διαγωνίσασθαι. Καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις, αὐτὸς δὲ εὐθὺς τοὺς ὁπλίτας ἐπῆγε. Γενομένης δὲ τροπῆς τῶν βαρβάρων ἐπακολουθήσαντες οἱ Ἕλληνες ἔλαβον τὸ στρατόπεδον καὶ πολλοὺς ἀνεῖλον. Ἐκ ταύτης τῆς μάχης οὐ μόνον ὑπῆρχεν αὐτοῖς ἄγειν καὶ φέρειν ἀδεῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν Τισαφέρνην διδόντα, μοχθηρὸν ἄνδρα καὶ τῷ γένει τῶν Ἑλλήνων ἀπεχθέστατον. Ἔπεμψε γὰρ εὐθέως ὁ βασιλεὺς Τιθραύστην ἐπ' αὐτὸν, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε, τὸν δὲ Ἀγησίλαον ἠξίου διαλυσάμενον ἀποπλεῖν οἴκαδε καὶ χρήματα διδοὺς αὐτῷ
4, 84—86 H.

---

31. σκιοτροφίας S^g. 32. οὐδενὸς C. 33. ‚pro hoc priori μάχεσθε invenitur scriptum futurum μαχεῖσθε‘ Stephanus. sic bis Amiotus, sed cf. Polyaeni 2, 1, 5. Wyttenbachium in mor. p. 1148.

X. 1. αὖθις ὄντος C. 4. γοῦν AπS: γ' οὖν V, οὖν v. 5. ἅψεσθαι Bryani nuperi. 6. ὥσπερ V. 14. ἐπῆγεν A, ἐπήγαγε V, εἰςῆγε S^g. 17. ὑπῆρξεν V. 19. ἀπεχθέστατον S^g ‚omnes codd.‘ Stephani: ἐπαχθέστατον v. 20. ἔπεμψεν εὐθέως γὰρ C. 21. ἐπέτεμε ia.

προσέπεμψεν. Ὁ δὲ τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον ἢ πλουτῶν αὐτός· καὶ ἄλλως γε μέντοι νομίζειν Ἕλληνας καλὸν οὐ δῶρα λαμβάνειν, ἀλλὰ λάφυρα παρὰ τῶν πολεμίων. Ὅμως δὲ τῷ Τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο Τισαφέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα λαβὼν ἐφόδιον παρ' αὐτοῦ τριάκοντα τάλαντα. Καὶ καθ' ὁδὸν ὧν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ. Τοῦτο μόνῳ πάντων ὑπῆρξεν Ἀγησιλάῳ. Καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως καὶ τῶν τότε ζώντων ἐπιφανέστατος, ὡς εἴρηκέ που καὶ Θεόπομπος, ἑαυτῷ γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον ἢ διὰ τὴν ἡγεμονίαν. Τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον ἁμαρτεῖν ἔδοξεν, ὅτι πρεσβυτέρων καὶ φρονιμωτέρων παρόντων οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελφὸς ἦν ὁ Πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

XI. Αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ Φαρναβάζῳ τεταγμένην χώραν οὐ μόνον ἐν ἀφθόνοις διῆγε πᾶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε πολλά· καὶ προελθὼν ἄχρι Παφλαγονίας προσηγάγετο τὸν βασιλέα τῶν Παφλαγόνων Κότυν ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. Ὁ δὲ Σπιθριδάτης, ὡς ἀποστὰς τοῦ Φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν Ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, κάλλιστον υἱὸν μὲν ἔχων Μεγαβάτην, οὖ παιδὸς ὄντος ἦρα σφοδρῶς Ἀγησίλαος, καλὴν δὲ καὶ θυγατέρα παρθένον ἐν ἡλικίᾳ γάμου. Ταύτην μὲν ἔπεισε γῆμαι τὸν Κότυν ὁ Ἀγησίλαος· καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστὰς αὖθις ἀνεχώρησεν εἰς Φρυγίαν καὶ κακῶς ἐποίει τὴν Φαρναβάζου χώραν οὐχ ὑπομένοντος οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν, ἀλλὰ ἔχων ἀεὶ τὰ πλεῖστα σὺν ἑαυτῷ τῶν τιμίων καὶ ἀγαπητῶν ἐξεχώρει καὶ ὑπέφευγεν ἄλλοτε

4, 86—87 H.

---

28. ἐτιμωρίσατο V. 30. δέχεται] ἔλαβε C.

XI. 2. φαρναβάζῳ [C] V: Φαρναβάζου v. ἐν om i. 3. συνήθροιζε V. 6. μιθριδάτης A et postea. 8. υἱὸν μὲν S^{g}AC: μὲν υἱὸν v. 14. αὐτῷ C.

ἀλλαχόσε τῆς χώρας μεθιδρυόμενος, μέχρι οὗ παραφυλάξας αὐτὸν ὁ Σπιθριδάτης καὶ παραλαβὼν Ἠριππίδαν τὸν Σπαρτιάτην ἔλαβε τὸ στρατόπεδον καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. Ἔνθα δὴ πικρὸς ὢν ὁ Ἠριππίδας ἐξεταστὴς τῶν κλεπτόντων καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι καὶ πάντα ἐφορῶν καὶ διερευνώμενος παρῴξυνε τὸν Σπιθριδάτην, ὥστε ἀπελθεῖν εὐθὺς εἰς Σάρδεις μετὰ τῶν Παφλαγόνων.
602 Τοῦτο λέγεται τῷ Ἀγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον. Ἦχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀποβεβληκὼς τὸν Σπιθριδάτην καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην, ᾐσχύνετο δὲ τῇ διαβολῇ τῆς μικρολογίας καὶ ἀνελευθερίας, ἧς οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ τὴν πατρίδα καθαρεύουσαν ἀεὶ παρέχειν ἐφιλοτιμεῖτο. Χωρὶς δὲ τῶν ἐμφανῶν τούτων ἔκνιζεν αὐτὸν οὐ μετρίως ὁ τοῦ παιδὸς ἔρως ἐνεσταγμένος, εἰ καὶ πάνυ παρόντος αὐτοῦ τῷ φιλονείκῳ χρώμενος ἐπειρᾶτο νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν. Καί ποτε τοῦ Μεγαβάτου προσιόντος ὡς ἀσπασομένου καὶ φιλήσοντος ἐξέκλινεν. Ἐπεὶ δὲ ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν, ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τοῦ φιλήματος ὁ Ἀγησίλαος προσεποιεῖτο θαυμάζειν, ὅ τι δὴ παθὼν αὐτὸν ὁ Μεγαβάτης ἀπὸ στόματος οὐ φιλοφρονοῖτο. „Σὺ γὰρ αἴτιος“ οἱ συνήθεις ἔφασαν „οὐχ ὑποστὰς, ἀλλὰ τρέσας τὸ φίλημα τοῦ καλοῦ καὶ φοβηθείς· ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πεισθεὶς ἐκεῖνος ἐντὸς φιλήματος· ἀλλ' ὅπως αὖθις οὐκ ἀποδειλιάσεις.“ Χρόνον οὖν τινα πρὸς ἑαυτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας „Οὐδὲν“ ἔφη δεινὸν πείθειν ὑμᾶς ἐκεῖνον· ἐγὼ γάρ μοι δοκῶ τήναν τὰν μάχαν τὰν περὶ τοῦ φιλάματος ἄδιον ἂν μάχεσθαι πάλιν ἢ
4, 87—88 H.

---

16. *μεθιδρυόμενος* V: *μεθιδρυμένος* v. *μέχρι* S^{g}: *μέχρις* v. 17. *παραλαβὼν* S^{g}[A]CSuV: *λαβὼν* v. *ἠριδάτην* in rasur. A. 21. scribam *πάντ'*. 23. *ἀνιαρώτατον* S^{g}C. 25. *δὲ* om S^{g}C. 28. *ἐμφανῶν* ‚in omnibus codd.' Stephani: *ἐπιφανῶν* v. 32. *σπασομένου* Stephaniana. 34. *προσηγόρευσεν* C. 36. *φιλοφρονεῖται* C. 39. *ἔλθη* C. 40. *ἀποδειλιάσης* C. 42. *δεινὸν* Reiskius: *δεῖν* libri, item apophth. 209 e. *δεῖ* Stephani nuperi quod non video quo modo conveniat cum reliqua Agesilai oratione aut cum Xenophontis Agesil. 5, 5. *πένθειν* S^{g} *ἐκεῖνο* x. *τὴν ἂν τὰν* S^{g}. 43. *φιλάματος* Muretus: *φιλήματος* libri quamquam cf. ad Lys. 14, 29. *ᾤδιον* S^{g}. *ἂν* addiderunt S^{g}CV.

πάντα ὅσα τεθέαμαι χρυσία μοι γενέσθαι.“ Τοιοῦτος μὲν ἦν τοῦ Μεγαβάτου παρόντος, ἀπελθόντος γε μὴν οὕτω περικαῶς ἔσχεν, ὡς χαλεπὸν εἰπεῖν, εἰ πάλιν αὖ μεταβαλομένου καὶ φανέντος ἐνεκαρτέρησε μὴ φιληθῆναι.

XII. Μετὰ ταῦτα Φαρνάβαζος εἰς λόγους αὐτῷ συνελθεῖν ἠθέλησε καὶ συνῆγεν ἀμφοτέρους ὢν ξένος ὁ Κυζικηνὸς Ἀπολλοφάνης. Πρότερος δὲ μετὰ τῶν φίλων ὁ Ἀγησίλαος ἐλθὼν εἰς τὸ χωρίον ὑπὸ σκιᾷ τινι πόας οὔσης βαθείας καταβαλὼν ἑαυτὸν ἐνταῦθα περιέμενε τὸν Φαρνάβαζον. Ὁ δὲ ὡς ἐπῆλθεν, ὑποβεβλημένων αὐτῷ κωδίων τε μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλαον οὕτω κατακείμενον κατεκλίνη καὶ αὐτὸς, ὡς ἔτυχεν, ἐπὶ τῆς πόας χαμᾶζε, καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. Ἀσπασάμενοι δὲ ἀλλήλους ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ καὶ μεγάλα Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ᾽ αὐτῶν· ὁ δὲ Ἀγησίλαος, ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ᾽ αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας (ἀδικούμενον γὰρ ἑώρων τὸν Φαρνάβαζον) „Ἡμεῖς“ εἶπεν „ὦ Φαρνάβαζε, καὶ φίλοι ὄντες πρότερον βασιλέως ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς καὶ νῦν πολέμιοι γεγονότες πολεμικῶς. Ἔν οὖν καὶ σὲ τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον εἰκότως διὰ σοῦ βλάπτομεν ἐκεῖνον. Ἀφ᾽ ἧς δ᾽ ἂν ἡμέρας σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον ἢ δοῦλον λέγεσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν οὐδὲ ζηλωτόν ἐστιν.“ Ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. „Ἐγὼ γὰρ“ εἶπεν „ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βασιλεὺς στρατη-

4, 89—90 H.

---

46. ‚legitur etiam πάλιν παραγενομένου καὶ μεταβαλομένου‘ Stephanus. πάλιν παραγενομένου καὶ αὖ μεταβαλομένου V. μεταβαλλομένου S^g. 47. ἂν ἐκαρτέρησε Schaeferus.

XII. 2. ἐθέλησε S^g. 4. καταλαβὼν S^g. 5. περιέμενε S^g[A]C: περιέμεινε v. 6. αὐτῷ κωδίων τε V: τε αὐτῷ κωδίων v. 7. οὔτως C. 8. κατεκλίθη C. χαμᾶζε S^gAi: χαμάζε v. 14. τὴν om C. 20. καὶ ἀφ᾽ AC. ἂν addiderunt S^gAC. 21. δοῦλος V. λέγεσθαι S^g. γενέσθαι v.

γὸν, ἔσομαι μεθ' ὑμῶν, ἐὰν δ' ἐμοὶ παραδιδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου." Ταῦτα δ' ἀκούσας ὁ Ἀγησίλαος ἥσθη καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστάς „Εἴθε" εἶπεν „ὦ Φαρνάβαζε, τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο μᾶλλον ἢ πολέμιος."

XIII. Ἀπιόντος δὲ τοῦ Φαρναβάζου μετὰ τῶν φίλων ὁ υἱὸς ὑπολειφθεὶς προσέδραμε τῷ Ἀγησιλάῳ καὶ μειδιῶν εἶπεν „Ἐγώ σε ξένον, ὦ Ἀγησίλαε, ποιοῦμαι·" καὶ παλτὸν
603 ἔχων ἐν τῇ χειρὶ δίδωσιν αὐτῷ. Δεξάμενος οὖν ὁ Ἀγησίλαος καὶ ἡσθεὶς τῇ τε ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς ἐπεσκόπει τοὺς παρόντας, εἴ τις ἔχοι τι τοιοῦτον, οἷον ἀντιδοῦναι καλῷ καὶ γενναίῳ δῶρον. Ἰδὼν δὲ ἵππον Ἀδαίου τοῦ γραφέως κεκοσμημένον φαλάροις ταχὺ ταῦτα περισπάσας τῷ μειρακίῳ δίδωσι. Καὶ τὸ λοιπὸν οὐκ ἐπαύετο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ περιόντι τὸν οἶκον ἀποστερηθέντος αὐτοῦ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν εἰς Πελοπόννησον ἰσχυρῶς ἐπεμελεῖτο· καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. Ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν· ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπίασιν ἐκινδύνευσεν ἐκκριθῆναι καταφεύγει πρὸς τὸν Ἀγησίλαον ὁ Πέρσης δεόμενος ὑπὲρ τοῦ παιδός· ὁ δὲ καὶ τοῦτο βουλόμενος αὐτῷ χαρίζεσθαι μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ. Τἆλλα μὲν γὰρ ἦν ἀκριβὴς καὶ νόμιμος, ἐν δὲ τοῖς φιλικοῖς πρόφασιν ἐνόμιζεν εἶναι τὸ λίαν δίκαιον. Ἀναφέρεται γοῦν ἐπιστόλιον αὐτοῦ πρὸς Ἰδριέα τὸν Κᾶρα τοιοῦτο· „Νικίας εἰ μὲν μὴ ἀδικεῖ, ἄφες· εἰ δὲ ἀδικεῖ, ἡμῖν ἄφες, πάντως δὲ ἄφες." Ἐν μὲν οὖν τοῖς πλείστοις τοιοῦτος ὑπὲρ τῶν φίλων ὁ Ἀγησίλαος· ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ καὶ μᾶλλον, ὡς ἐδήλω-
4, 90—91 H.

XIII. 7. *Ἰδαίου* quidam codd. habent' Stephanus. sic Xylander secundum Xenophontis hellen. 4, 1, 39. cf. Valckenarium in Theocr. Adoniaz. p. 263. 10. *περιόντι* C cum Corae: *περιόντι* S^{g}A, *προϊόντι* v, cf. c. 14. 11. *ἀδελφῶν*] *οἰκείων* Muretus x. 14. *Ὀλυμπίασιν* Schaeferus: *Ὀλυμπιάσιν* v. 17. *τἆλλα* S^{g} semper: *τἄλλα* v. 19. immo *φέρεται* cl. apoph. 209 f. mor. 808 a. 20. *Νικίαν* cum Mureto x nuperi cl. mor. 808 a. sed vide apoph. 191 b. 209 f. 21. *ἐν*] *ἦν* Stephaniana, unde *ἦν μὲν οὖν ἐν* nuperi. sed vide apoph. 209 f. 23. *καὶ μᾶλλον*] cf. Ages. curg. 17, 2. *ἐχρῆτο τῷ ἑταιρικῷ μᾶλλον* Emperius.

σεν, ἀναζυγῆς αὐτῷ θορυβωδεστέρας γενομένης, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώμενον. Ἐκείνου γὰρ δεομένου καὶ καλοῦντος αὐτὸν ἀπιόντα μεταστραφεὶς εἶπεν, ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν. Τοῦτὶ μὲν Ἱερώνυμος ὁ φιλόσοφος ἱστόρηκεν.

XIV. Ἤδη δὲ περιόντος ἐνιαυτοῦ δευτέρου τῇ στρατηγίᾳ πολὺς ἄνω λόγος ἐχώρει τοῦ Ἀγησιλάου καὶ δόξα θαυμαστὴ κατεῖχε τῆς τε σωφροσύνης αὐτοῦ καὶ εὐτελείας καὶ μετριότητος. Ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων τοὺς θεοὺς ποιούμενος ἐπόπτας καὶ μάρτυρας. Ἐν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις οὐ ῥᾳδίως ἄν τις εἶδε φαυλοτέραν στιβάδα τῆς Ἀγησιλάου. Πρός τε θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥσπερ μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ τοῦ θεοῦ κεκραμέναις ὥραις πεφυκώς. Ἥδιστον δὲ θέαμα τοῖς κατοικοῦσι τὴν Ἀσίαν Ἕλλησιν ἦσαν οἱ πάλαι βαρεῖς καὶ ἀφόρητοι καὶ διαῤῥέοντες ὑπὸ πλούτου καὶ τρυφῆς ὕπαρχοι καὶ στρατηγοὶ δεδιότες καὶ θεραπεύοντες ἄνθρωπον ἐν τρίβωνι περιόντα λιτῷ καὶ πρὸς ἓν ῥῆμα βραχὺ καὶ Λακωνικὸν ἁρμόζοντες ἑαυτοὺς καὶ μετασχηματίζοντες, ὥστε πολλοῖς ἐπῆει τὰ τοῦ Τιμοθέου λέγειν, „Ἄρης τύραννος· χρυσὸν δὲ Ἕλλας οὐ δέδοικε.“

XV. Κινουμένης δὲ τῆς Ἀσίας καὶ πολλαχοῦ πρὸς ἀπόστασιν ὑπεικούσης ἁρμοσάμενος τὰς αὐτόθι πόλεις καὶ ταῖς πολιτείαις δίχα φόνου καὶ φυγῆς ἀνθρώπων ἀποδοὺς τὸν προσήκοντα κόσμον ἐγνώκει πρόσω χωρεῖν καὶ τὸν πό-

4, 91—93 H.

---

26. *μεταστραφεὶς*, codices' Stephani Muretus: *μεταστραφείεν* (sic) x, *ἀποστραφεὶς* v, *ἐπιστραφεὶς* cum apoph. nuperi. 27. ‚vetusti codices habent non *φρονεῖν* sed *φιλεῖν*' Stephanus. sic V Amiotus. *μὲν οὖν* V.

XIV. 1. *περιόντος* Solani C: *περιόντος* v. cf. 13, 10. 3. *αὐτοὺς* excidit ex Hutteniana ceterisque. *εὐτελείας* A[C]qV: *τῆς εὐγενείας* V ‚vet. cod.' Stephani, *ἀτελείας* v, *ἀφελείας* malebant Stephanus Muretus, *ἀφείας* (sic) x. 6. *τοὺς* addiderunt S^{g}C. 8. post *φαυλοτέραν* Stephanus ex ‚vet. cod.' addit *καὶ εὐτελεστέραν*. 9. *ψῦχος* Schaeferus: *ψύχος* v. 10. *τοῦ* addiderunt S^{g}[A]C. *δὲ* om S^{g}AC. 13. *ὕπατοι* C. *δεδοιότες* i. 16. *τοῦ* om Aia. *τύραννον* S^{g}CSTuqV. cf. Demetr. 42.

XV. 3. *πόνου* S^{g}ACi.

λεμον διάρας ἀπὸ τῆς Ἑλληνικῆς θαλάττης περὶ τοῦ σώματος βασιλεῖ καὶ τῆς ἐν Ἐκβατάνοις καὶ Σούσοις εὐδαιμονίας διαμάχεσθαι καὶ περισπάσαι πρῶτον αὐτοῦ τὴν σχολήν, ὡς μὴ καθέζοιτο τοὺς πολέμους βραβεύων τοῖς Ἕλλησι καὶ διαφθείρων τοὺς δημαγωγούς. Ἐν τούτῳ δὲ ἀφικνεῖται πρὸς αὐτὸν Ἐπικυδίδας ὁ Σπαρτιάτης ἀπαγγέλλων, ὅτι πολὺς περιέστηκε τὴν Σπάρτην πόλεμος Ἑλληνικὸς καὶ καλοῦσιν ἐκεῖνον οἱ ἔφοροι καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν.

Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακά·

τί γὰρ ἄν τις ἄλλο τὸν φθόνον ἐκεῖνον προσείποι καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν ἐφ' ἑαυτοὺς τῶν Ἑλλήνων; οἳ τῆς τύχης ἄνω φερομένης ἐπελάβοντο καὶ τὰ ὅπλα πρὸς τοὺς βαρβάρους βλέποντα καὶ τὸν πόλεμον τῆς Ἑλλάδος ἤδη ἐξω-
604 κισμένον αὖθις εἰς ἑαυτοὺς ἔτρεψαν. Οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ Κορινθίῳ Δημαράτῳ μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους Ἕλληνας Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον· ἀλλ' εἰκότως ἄν οἶμαι δακρῦσαι συννοήσαντας, ὅτι ταῦτα Ἀλεξάνδρῳ καὶ Μακεδόσιν ἀπέλιπον οἱ τότε τοὺς τῶν Ἑλλήνων στρατηγοὺς περὶ Λεῦκτρα καὶ Κορώνειαν καὶ Κόρινθον καὶ Ἀρκαδίαν κατανήλωσαν. Ἀγησιλάῳ μέντοι οὐδὲν κρεῖσσον ἢ μεῖζόν ἐστι τῆς ἀναχωρήσεως ἐκείνης διαπεπραγμένον οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον. Ὅπου γὰρ Ἀννίβας ἤδη κακῶς πράττων καὶ περιωθούμενος ἐκ τῆς Ἰταλίας μάλα μόλις ὑπήκουσε τοῖς ἐπὶ τὸν οἴκοι πόλεμον καλοῦσιν, Ἀλέξανδρος δὲ καὶ προσεπέσκωψε πυθόμενος τὴν πρὸς Ἄγιν Ἀντιπάτρου μάχην εἰπών „Ἔοικεν, ὦ ἄνδρες, ὅτε Λαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα, ἐκεῖ τις ἐν Ἀρκαδίᾳ γεγονέναι μυομαχία·“ πῶς οὐκ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην καὶ πρὸς τοὺς νόμους τῆς εὐλα-
4, 93—95 H.

---

6. ἐν om pr. AC. 13. Eurip. Troad. v. 781. βάρβαρ' Stephanus: βάρβαρα libri. 17. ἤδη τῆς Ἑλλάδος Benseler de hiatu p. 355. ἐξοικισαμένης V. 21. δακρῦσαι ia: δακρύσαι v. 22. μὴ νοήσαντας C. τὰ αὐτὰ S^g. 23. στρατοὺς Emperius. λεῦκτραν S^g. 24. κατανήλωσαν S^{g}CV: καταναλώσαν v. 25. nonne κρεῖσσον οὐδέν? 26. οὐδὲ] οὐ γὰρ C. 29. τοῖς S^g[A]Cπ: τοῖς μὲν v. 30. πειθόμενος C.

ZBIORNICA Księgozbiór Ordynacji hrabiowskiej

βείας; ὃς ἅμα τῷ τὴν σκυτάλην ἐλθεῖν εὐτυχίαν τοσαύτην καὶ δύναμιν παροῦσαν καὶ τηλικαύτας ἐλπίδας ὑφηγουμένας ἀφεὶς καὶ προέμενος εὐθὺς ἀπέπλευσεν ἀτελευτήτῳ ἐπὶ ἔργῳ, πολὺν ἑαυτοῦ πόθον τοῖς συμμάχοις ἀπολιπὼν καὶ μάλιστα δὴ τὸν Δημοστράτου τοῦ Φαίακος ἐλέγξας λόγον εἰπόντος, ὡς εἰσὶ δημοσίᾳ μὲν Λακεδαιμόνιοι βελτίονες, ἰδίᾳ δὲ Ἀθηναῖοι. Βασιλέα γὰρ ἑαυτὸν καὶ στρατηγὸν ἄριστον ἐπιδειξάμενος ἔτι βελτίονα καὶ ἡδίονα τοῖς χρωμένοις ἰδίᾳ φίλον καὶ συνήθη παρέσχε. Τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας· τοσούτων γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγωγοῖς ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

XVI. Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ τῆς Θράκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων, πέμπων δὲ πρὸς ἑκάστους ἐπυνθάνετο, πότερον ὡς φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται τὴν χώραν. Οἱ μὲν οὖν ἄλλοι πάντες φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον, ὡς ἕκαστος δυνάμεως εἶχεν· οἱ δὲ καλούμενοι Τράλλεις, οἷς καὶ Ξέρξης ἔδωκεν, ὡς λέγεται, δῶρα, τῆς διόδου μισθὸν ᾔτουν τὸν Ἀγησίλαον ἑκατὸν ἀργυρίου τάλαντα καὶ τοσαύτας γυναῖκας. Ὁ δὲ κατειρωνευσάμενος αὐτοὺς καὶ φήσας· „Τί οὖν οὐκ εὐθὺς ἦλθον λη-ψόμενοι;“ προῆγε, καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις ἐτρέψατο καὶ διέφθειρε πολλούς. Τὸ δ' αὐτὸ καὶ τῷ βασιλεῖ τῶν Μακεδόνων ἐρώτημα προσέπεμψε· φήσαντος δὲ βουλεύσεσθαι, „Βουλευέσθω τοίνυν ἐκεῖνος“ εἶπεν „ἡμεῖς δὲ

4, 95—96 H.

---

37. Hom. Iliad. 4, 175. 39. δὴ τὸν addidit V, qui τὸν δημοστράτου vel εὐρασιστράτου, τὸν Ἐρασιστράτου ‚in omnibus vetustis‘ Stephani. 40. εἰσὶ om C. 41. γὰρ ἑαυτὸν $S^{g}AC$: γὰρ αὐτὸν v, τὸν ἐπ' αὐτὸν i. ἄριστον καὶ στρατηγὸν C. 44. τρισμυρίοις Artax. 20 apoph. 211 c.

XVI. 5. ὡς — εἶχεν ‚in praecedentibus editionibus [ia] non leguntur‘ Stephanus. nec in AC et in apoph. habet tamen [S^{g}] et Amiotus. 6. τραχαλεῖς V, Trochaliens Amiotus, Τρωαδεῖς apoph. cf. Wesselingium in Diodor. 14, 83. 17, 65. 9. αὐτῶν apoph. ubi et alia immutata. 13. ἡμεῖς δὲ δὴ πορευόμεθα S^{g}: ἡμεῖς δὲ δὴ πορευσόμεθα C, ἡμεῖς δὲ διαπορευσόμεθα Aia, ἡμεῖς δ' ἤδη πορευόμεθα Stephanus ‚ex vetustis libris‘, ἡμεῖς δὲ πορευσόμεθα apoph.

δὴ πορευόμεθα." Θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς ἐκέλευσεν ὡς φίλον προάγειν. Τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχούντων ἐπόρθει τὴν χώραν. Εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας· συλληφθέντων δὲ τούτων καὶ παραφυλασσομένων οἱ μὲν ἄλλοι βαρέως φέροντες ᾤοντο δεῖν τὸν Ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν, ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον ὑποσπόνδους αὐτοὺς ἀπέλαβε. Καὶ τοῦτο ἴσως ἐπ' Ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος μάχην μεγάλην γεγονέναι περὶ Κόρινθον καὶ ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα αἰφνίδιον ἀπολωλέναι καὶ Σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ὤφθη περιχαρὴς οὐδὲ ἐπηρμένος, ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας „Φεῦ τῆς Ἑλλάδος" ἔφη „τοσούτους ἄνδρας ἀπολωλεκυίας ὑφ' αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμ-
605 παντας τοὺς βαρβάρους μαχόμενοι." Τῶν δὲ Φαρσαλίων προσκειμένων αὐτῷ καὶ κακούντων τὸ στράτευμα πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ καὶ τρεψάμενος ἔστησε τρόπαιον ὑπὸ τῷ Ναρθακίῳ. Καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησεν.

XVII. Ἐνταῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀπήντησεν αὐτῷ κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν. Ὁ δέ, καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ' ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν, ἐφ' ἣν ἐξ Ἀσίας ἥκουσι, καὶ δύο μόρας μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων. Οἱ δὲ ἐν τῇ πόλει Λακεδαιμόνιοι τιμῶντες αὐτὸν ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον τῷ βασιλεῖ βοηθεῖν. Ἀπογραψαμένων δὲ πάντων προθύμως οἱ ἄρχοντος πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ
4, 96—97 H.

---

15. προάγειν Solanus: προσάγειν libri, προαίρειν apoph. 19. περιστρατοπεδεύσαντα C apoph.: παραστρατοπεδεύσαντα v. 23. πειθόμενος ia. 24. καὶ — 25. ἀπολωλέναι omissa in apoph. iure suspecta Schaefero, sola ὡς — αἰφνίδιον Reiskio Corai. 31. προκειμένων i. 33. καρθακίῳ S^g.

XVII. 6. libri μοίρας, correxit Muretus x.

ῥωμαλεωτάτους [ἐκλεξάμενοι] ἀπέστειλαν. Ὁ δὲ Ἀγησίλαος εἴσω Πυλῶν παρελθὼν καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γινόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δὲ ἤκουσε τεθνάναι Πείσανδρον ἡττημένον ναυμαχίᾳ περὶ Κνίδον ὑπὸ Φαρναβάζου καὶ Κόνωνος. Ἠχθέσθη μὲν οὖν, ὡς εἰκός, ἐπὶ τούτοις καὶ διὰ τὸν ἄνδρα καὶ διὰ τὴν πόλιν, ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῶεν τῇ ναυμαχίᾳ· καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

XVIII. Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώφθη, παρετάξατο δοὺς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας, αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγεν. Οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοί, τὸ δὲ εὐώνυμον Ἀργεῖοι. Λέγει δὲ τὴν μάχην ὁ Ξενοφῶν ἐκείνην οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι· καὶ παρῆν αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος ἐξ Ἀσίας διαβεβηκώς. Ἡ μὲν οὖν πρώτη σύρραξις οὐκ ἔσχεν ὠθισμὸν οὐδὲ ἀγῶνα πολύν, ἀλλὰ οἵ τε Θηβαῖοι ταχὺ τοὺς Ὀρχομενίους ἐτρέψαντο καὶ τοὺς Ἀργείους ὁ Ἀγησίλαος· ἐπεὶ δὲ ἀκούσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι καὶ φεύγειν ἀνέστρεψαν ἐνταῦθα, τῆς νίκης ἀκινδύνου παρούσης, εἰ τῆς κατὰ στόμα μάχης ὑφέσθαι τοῖς Θηβαίοις ἠθέλησε καὶ παίειν ἐπόμενος παραλλάξαντας, ὑπὸ θυμοῦ καὶ φιλονεικίας ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν ὥσασθαι κατὰ κράτος βουλόμενος. Οἱ δὲ οὐχ ἧττον ἐῤῥωμένως ἐδέξαντο καὶ μάχη γίνεται δι' ὅλου μὲν ἰσχυρὰ τοῦ στρατεύματος, ἰσχυροτάτη δὲ κατ' ἐκεῖνον αὐτὸν ἐν τοῖς πεντήκοντα τεταγμένον, ὧν εἰς καιρὸν ἔοικεν ἡ φιλοτιμία τῷ βασιλεῖ γενέσθαι καὶ σωτήριος. Ἀγωνιζόμενοι γὰρ ἐκθύμως καὶ προκινδυνεύ-

4, 97—99 H.

---

11. [ἐκλεξάμενοι] om C. 15. *γενόμενον* error Reiskianae. 17. *οὖν* addidit Muretus. 21. *νικῶσι* V cum Polyaeno 2, 1, 3. *τῇ ναυμαχίᾳ* $S^{g}AC$: *τὴν ναυμαχίαν* v. 22. *μερίδα* C.

XVIII. 5. *Ξενοφῶν*] hellen. 4, 3, 16. 10. *πιέζεισθε* (sic) V. 14. *κατακράτος* S^{g}ia.

οντες ἄτρωτον μὲν οὐκ ἐδυνήθησαν αὐτὸν φυλάξαι, πολλὰς δὲ διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφεσι μόλις ἀνήρπασαν ζῶντα καὶ συμφράξαντες πρὸ αὐτοῦ πολλοὺς μὲν ἀνήρουν, πολλοὶ δὲ ἔπιπτον. Ὡς δὲ μέγα ἔργον ἦν ὥσασθαι προτροπάδην τοὺς Θηβαίους, ἠναγκάσθησαν ὅπερ ἐξ ἀρχῆς οὐκ ἐβούλοντο ποιῆσαι. Διέστησαν γὰρ αὐτοῖς τὴν φάλαγγα καὶ διέσχον, εἶτα ἀτακτότερον ἤδη πορευομένους, ὡς διεξέπεσον, ἀκολουθοῦντες καὶ παραθέοντες ἐκ πλαγίων ἔπαιον. Οὐ μὴν ἔτρεψαν, ἀλλ' ἀπεχώρησαν οἱ Θηβαῖοι πρὸς τὸν Ἑλικῶνα μέγα τῇ μάχῃ φρονοῦντες, ὡς ἀήττητοι καθ' αὐτοὺς γεγονότες.

606 XIX. Ἀγησίλαος δὲ, καίπερ ὑπὸ τραυμάτων πολλῶν κακῶς τὸ σῶμα διακείμενος, οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. Ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεθῆναι. Πλησίον γὰρ ὁ νεὼς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς, καὶ πρὸ αὐτοῦ τρόπαιον ἔστηκεν, ὃ πάλαι Βοιωτοὶ Σπάρτωνος στρατηγοῦντος ἐνταῦθα νικήσαντες Ἀθηναίους καὶ Τολμίδην ἀποκτείναντες ἔστησαν. Ἅμα δ' ἡμέρᾳ βουλόμενος ἐξελέγξαι τοὺς Θηβαίους ὁ Ἀγησίλαος, εἰ διαμαχοῦνται, στεφανοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας, αὐλεῖν δὲ τοὺς αὐλητὰς, ἱστάναι δὲ καὶ κοσμεῖν τρόπαιον ὡς νενικηκότας. Ὡς δὲ ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτοῦντες, ἐσπείσατο καὶ τὴν νίκην οὕτως ἐκβεβαιωσάμενος εἰς Δελφοὺς ἀπεκομίσθη, Πυθίων ἀγομένων, καὶ τήν τε πομπὴν ἐπετέλει τῷ θεῷ καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς Ἀσίας λαφύρων ἑκατὸν ταλάντων γενομένην. Ἐπεὶ δὲ ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης· οὐ γὰρ, ὥσπερ οἱ πλεῖστοι τῶν στρατηγῶν, καινὸς ἐπανῆλθεν ἀπὸ τῆς ξένης καὶ κεκινημένος ὑπ' ἀλλοτρίων ἐθῶν καὶ δυσκολαίνων πρὸς τὰ οἴκοι ζυγομα-

4, 99—100 H.

---

20. ἠδυνήθησαν C. 23. Plutarchum μέγ' scripsisse suspicor. 24. προτροπάδην ὥσασθαι C. 25. ‚in vet. est ἑαυτοῖς' Stephanus.

XIX. 1. ὑπὸ om i. 4. συγκεκομμένους S^g, συγκειμένους V. 12. καὶ om i. 21. καὶ post ἐθῶν excidit ex Hutteniana ceterisque.

χῶν, ἀλλὰ ὁμοίως τοῖς μηδεπώποτε τὸν Εὐρώταν διαβεβηκόσι τὰ παρόντα τιμῶν καὶ στέργων οὐ δεῖπνον ἤλλαξεν, οὐ λουτρὸν, οὐ θεραπείαν γυναικὸς, οὐχ ὅπλων κόσμον, οὐκ οἰκίας κατασκευὴν, ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν οὕτως οὔσας σφόδρα παλαιὰς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας, ἃς ἐπέθηκεν Ἀριστόδημος. Καὶ τὸ κάναθρόν φησιν ὁ Ξενοφῶν οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρὸς ἢ τῶν ἄλλων. Κάναθρα δὲ καλοῦσιν εἴδωλα γρυπῶν ξύλινα καὶ τραγελάφων, ἐν οἷς κομίζουσι τὰς παῖδας ἐν ταῖς πομπαῖς. Ὁ μὲν οὖν Ξενοφῶν ὄνομα τῆς Ἀγησιλάου θυγατρὸς οὐ γέγραφε, καὶ ὁ Δικαίαρχος ἐπηγανάκτησεν, ὡς μήτε τὴν Ἀγησιλάου θυγατέρα μήτε τὴν Ἐπαμινώνδου μητέρα γινωσκόντων ἡμῶν. Ἡμεῖς δὲ εὕρομεν ἐν ταῖς Λακωνικαῖς ἀναγραφαῖς ὀνομαζομένην γυναῖκα μὲν Ἀγησιλάου Κλεύραν, θυγατέρας δὲ Εὐπωλίαν καὶ Προλύταν. Ἔστι δὲ καὶ λόγχην ἰδεῖν αὐτοῦ κειμένην ἄχρι νῦν ἐν Λακεδαίμονι μηδὲν τῶν ἄλλων διαφέρουσαν.

XX. Οὐ μὴν ἀλλὰ ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγάλα φρονοῦντας ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν ἅρμα καθεῖσαν Ὀλυμπίασιν ἀγωνίσασθαι βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη. Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον ἐκέλευε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν μεταπεμψάμενον, ὡς μαθησομένους τῶν μαθημάτων τὸ κάλλιστον, ἄρχεσθαι καὶ ἄρχειν. Τοῦ δὲ Λυσάνδρου τετελευτηκότος εὑρὼν ἑταιρείαν πολλὴν

4, 100—1 H.

26. *ταύτας ἐκείνας* item Xenophontis sunt Agesil. 8, 7. 27. *κάνασθρον* V. 30. *τοὺς παῖδας* C. 31. *οὐκ ἔγραφε* C, *γέγραφεν* S^g. 32. *δικαιάρχιος* V. 33. *Ἐπαμεινώνδου* Stephaniana et postea. *γινωσκόντων* ego: *ἐπιγινωσκόντων* libri, *ἔτι γινωσκόντων* Reiskii obstat hiatus. 35. *κλεώραν* C, *κλεόλαν* G. Dindorfius Steph. thesaur. s. v. cf. Car. Keilium analect. epigr. p. 160. 35. *εὐπωλίαν* S^g[A]C cod. Stephani (‚legitur etiam'), *εὐπώλιαν* V cl. c. 1: *Ἀπωλίαν* v. 36. ‚legitur etiam *προαύγαν*' Stephanus. sic V.

XX. 3. *ἅρμα* S^g[A]: *εἰς ἅρμα* v. *καθεῖσαν* V qui et *καθίσαν*: *καθίσασαν* v. Amiotus: ‚il persuada — qu'elle envoyast son chariot.' *Ὀλυμπίασιν* Schaeferus: *Ὀλυμπιάσιν* v. 4. *οὐδὲ μιᾶς* S^g. 6. *ἐκέλευε* S^gC apoph.: *ἐκέλευσε* v. 9. *ἑταιρείαν* S^g: *ἑταιρίαν* v.

συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν, οἷος ἦν ζῶν πολίτης· καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασεύς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν. Ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἀναγνοὺς καὶ φοβηθεὶς τὴν δεινότητα συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείσθη καὶ καθησύχαζε. Τοὺς δὲ ὑπεναντιουμένους αὐτῷ φανερῶς μὲν οὐκ ἔβλαπτε, διαπραττόμενος δὲ πέμπεσθαί τινας ἀεὶ στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν ἐπεδείκνυε
607 γενομένους ἐν ταῖς ἐξουσίαις πονηροὺς καὶ πλεονέκτας, εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν καὶ συναγωνιζόμενος οἰκείους ἐκ διαφόρων ἐποιεῖτο καὶ μεθίστη πρὸς αὑτόν, ὥστε μηθένα ἀντίπαλον εἶναι. Ὁ γὰρ ἕτερος βασιλεὺς Ἀγησίπολις, ἅτε δὴ πατρὸς μὲν ὢν φυγάδος, ἡλικίᾳ δὲ παντάπασι μειράκιον, φύσει δὲ πρᾷος καὶ κόσμιος, οὐ πολλὰ τῶν πολιτικῶν ἔπραττεν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτον ἐποιεῖτο χειροήθη. Συσσιτοῦσι γὰρ οἱ βασιλεῖς εἰς τὸ αὐτὸ φοιτῶντες φιδίτιον, ὅταν ἐπιδημῶσιν. Εἰδὼς οὖν ἔνοχον ὄντα τοῖς ἐρωτικοῖς τὸν Ἀγησίπολιν, ὥσπερ ἦν αὐτὸς, ἀεί τινος ὑπῆρχε λόγου περὶ τῶν ἐν ὥρᾳ· καὶ προῆγε τὸν νεανίσκον εἰς ταὐτὸ καὶ συνήρα καὶ συνέπραττε, τῶν Λακωνικῶν ἐρώτων οὐδὲν αἰσχρὸν, αἰδῶ δὲ πολλὴν καὶ φιλοτιμίαν καὶ ζῆλον ἀρετῆς ἐχόντων, ὡς ἐν τοῖς περὶ Λυκούργου γέγραπται.

XXI. *Μέγιστον οὖν δυνάμενος ἐν τῇ πόλει διαπράττεται Τελευτίαν τὸν ὁμομήτριον ἀδελφὸν ἐπὶ τοῦ ναυτικοῦ γενέσθαι Καὶ στρατευσάμενος εἰς Κόρινθον αὐτὸς μὲν*
4, 101—2 H.

---

10. *τῆς οὐσίας* C. 12. *βιβλίῳ* S^{g}[A]CSπuV apoph.: *βίβλῳ* v. *καταλελειμμένον* Emperius, licet illud etiam apophth. 212 c. *ἀπολιπὼν* et *καταλιπὼν* confusa Demetr. 40. 13. *ἁλικαρνασεὺς* Aia: *Ἁλικαρνασσεὺς* v. 16. *ἀναγνοὺς*] *ἐπελθὼν* apoph. 19. *καθησύχαζεν* A: *καθησύχασε* v. 20. *ἔβλαπτε*] *ἐτάραττε* apoph. 212 d. *πέμπεσθαι*] *ἔπεσθαι* apoph. 21. *ἀπεδείκνυε* apoph. 22. *γενομένους* codd. apoph.: *γινομένους* v. 24. *οὐδένα* codd. apoph. sed in *μηθένα ἀντίπαλον* offendit hiatus, num forte *μηθέν'* vel *μηθέν* vel *μηθένα μηθέν*? 29. *ἐν τῷ αὐτῷ* C. *φειδήτιον* S^{g}. 30. *ἔνοχλον* CV.

XXI. 1. *διεπράττετο* C. 2. *τελευτίδαν* C.

ῆρει κατὰ γῆν τὰ μακρὰ τείχη, ταῖς δὲ ναυσὶν ὁ Τελευτίας. Ἀργείων δὲ τὴν Κόρινθον ἐχόντων τότε καὶ τὰ Ἴσθμια συντελούντων ἐπιφανεὶς ἐκείνους μὲν ἐξήλασεν ἄρτι τῷ θεῷ τεθυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας· ἐπεὶ δὲ τῶν Κορινθίων ὅσοι φυγάδες ἔτυχον παρόντες ἐδεήθησαν αὐτοῦ τὸν ἀγῶνα διαθεῖναι, τοῦτο μὲν οὐκ ἐποίησεν, αὐτῶν δὲ ἐκείνων διατιθέντων καὶ συντελούντων παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. Ὕστερον δὲ ἀπελθόντος αὐτοῦ πάλιν ὑπ' Ἀργείων ἤχθη τὰ Ἴσθμια, καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δὲ οἳ νενικηκότες πρότερον, ὕστερον δὲ ἡττημένοι, ἀνεγράψαν. Ἐπὶ τούτῳ δὲ πολλὴν ἀπέφηνε δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς Ἀργείους ὁ Ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. Αὐτὸς δὲ πρὸς ταῦτα πάντα μετρίως ᾤετο δεῖν ἔχειν· καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει καὶ συμπαρῆν ἀεὶ φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὢν καὶ οὔτε παίδων οὔτε παρθένων ἀμίλλης ἀπολειπόμενος, ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας ἐδόκει μηδὲ γινώσκειν. Καί ποτε Καλλιππίδης ὁ τῶν τραγῳδιῶν ὑποκριτὴς ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι καὶ σπουδαζόμενος ὑπὸ πάντων πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς συμπεριπατοῦντας ἐμβαλὼν ἑαυτὸν ἐπεδείκνυτο νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφροσύνης, τέλος δὲ εἶπεν „Οὐκ ἐπιγινώσκεις με, βασιλεῦ;“ Κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν εἶπεν· „Ἀλλὰ οὐ σύγε ἐσσὶ Καλλιππίδας ὁ δεικηλίκτας;“

4, 102—3 H.

---

4. *μικρὰ* Vi. *τὰς δὲ ναῦς* Leonclavii in Xenoph. hellen. 4, 4, 19 si bene novi Plutarchum non sufficit, sed interciderunt nonnulla, quorum sententiam praestat Xenophon: *ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς καὶ τὰ νεώρια ἤρηκε.* *τελευτίδας* C. 13. *δὲ* post *ὕστερον* cum Reiskio delent nuperi. vereor ne non recte. nam praeter hiatum ipsa etiam sententia incommoda, ne dicam perversa. hinc probem *διεγράφησαν* Emperii cl. Ruhnkenio ad Tim. p. 81 sq. Wyttenbachio ad mor. 360 a. 19. *συμπαρῆν* S^{g}[AC]RuπVx: *συμπαρὼν* v. 22. *Καλλιππίδης* Solanus et mox *Καλλιππίδας* cum [AC] apoph.: *Καλλιπίδης* v. *τραγῳδιῶν* Stephanus cum [A]Ru: legebatur *τραγῳδῶν*, apoph. *τραγῳδοποιῶν*. 25. *συμπεριπατοῦντας* apoph., ubi Parisina *συμπαρόντας*: *περιπατοῦντας* libri. 28. *σύγε*] *τὺ* apoph. ubi et alia immutata. *δεικηλίκτας* Solanus cum [A] et apoph.: *δικηλίκτας* v, cf. Valckenarium epist. ad Roev. p. 66.

οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. Παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου παρῃτήσατο φήσας „Αὐτᾶς ἄκουκα.“ Τοῦ δὲ ἰατροῦ Μενεκράτους, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις Ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ καὶ δὴ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος οὕτως· „Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν·“ ἀντέγραψε· „Βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.“

XXII. Διατρίβοντος δὲ περὶ τὴν Κορινθίων αὐτοῦ καὶ τὸ Ἡραῖον εἰληφότος καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος ἀφίκοντο πρέσβεις ἐκ Θηβῶν περὶ φιλίας. Ὁ δὲ μισῶν μὲν ἀεὶ τὴν πόλιν, οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο μήτε ὁρᾶν αὐτοὺς μήτε ἀκούειν ἐντυγχανόντων. Ἔπαθε δὲ πρᾶγμα νεμεσητόν· οὕπω γὰρ ἀπηλλαγμένων τῶν Θηβαίων ἦκόν τινες ἀγγέλλοντες αὐτῷ τὴν μόραν ὑπὸ Ἰφικράτους κατακεκόφθαι. Καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου συνέπεσεν αὐτοῖς· πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας ὑπό τε πελταστῶν ὁπλίτας καὶ μισθοφόρων Λακεδαιμονίους. Ἀνε-
608 πήδησε μὲν οὖν εὐθὺς ὁ Ἀγησίλαος ὡς βοηθήσων· ἐπεὶ δὲ ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ Ἡραῖον ἦκε καὶ τοὺς Βοιωτοὺς τότε προσελθεῖν κελεύσας ἐχρημάτιζεν. Ὡς δὲ ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο, παρεθῆναι δὲ ἠξίουν εἰς Κόρινθον, ὀργισθεὶς ὁ Ἀγησίλαος εἶπεν· „Εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ᾽ οἷς εὐτυχοῦσιν αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει.“ Καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ τήν τε χώραν τῶν Κορινθίων ἔκοπτε καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. Οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας ἀφῆκε τὴν πρεσβείαν. Αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς

4, 103—5 H.

29. οὕτω γὰρ C. καλοῦσιν S[g]. 31. αὐτὸς S[g]. 32. κατασχὼν i. ἀπεγνωσμένοις θεραπεύμασι V. 33. προσηγορία C cf. v. l. Demetr. 42. καὶ δὴ καὶ V: καὶ δὴ apoph., καὶ δῆτα v. num καὶ δὴ τὰ? 34. οὕτω A in ras. 36. μενεκράτει S[g][A]C: Μενεκράτη v.

XXII. 1. κορινθίων S[g]: κόρινθον V, Κορινθίαν v. 2. ἡρῶον V. 5. τότε post ἐνυβρίσαι repetit C. 8. μοίραν S[g]V. 15. num οὐκέτ᾽ ἐμέμνηντο cl. Xenoph. hellen. 4, 5, 9? παραθῆναι i. 17. ἀφίλους V.

μόρας ἀναλαβὼν ἀπῆγεν εἰς Λακεδαίμονα, πρὸ ἡμέρας ποιούμενος τὰς ἀναζεύξεις καὶ πάλιν σκοταίους τὰς καταλύσεις, ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν Ἀρκάδων μὴ ἐπιχαίρωσιν. Ἐκ τούτου χαριζόμενος τοῖς Ἀχαιοῖς διέβαινεν εἰς Ἀκαρνανίαν στρατιᾷ μετ' αὐτῶν, καὶ πολλὴν μὲν ἠλάσατο λείαν, μάχῃ δὲ τοὺς Ἀκαρνᾶνας ἐνίκησε. Δεομένων δὲ τῶν Ἀχαιῶν, ὅπως τὸν χειμῶνα παραμείνας ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν, μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτούς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν· ὃ καὶ συνέβη. Παραγγελλομένης γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας διηλλάγησαν τοῖς Ἀχαιοῖς.

XXIII. Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες ἐπόρθουν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν Ἀθηναίων Φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς Λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα· καὶ πέμπουσιν Ἀνταλκίδαν πρὸς Τιρίβαζον αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. Ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν. Ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν Ἀγησίλαον αὔξοντος καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς Λακεδαιμονίους μηδίζειν ὁ Ἀγησίλαος ἀπεκρίνατο μᾶλλον τοὺς Μήδους λακωνίζειν. Τοὺς δὲ μὴ βουλομένους δέχεσθαι τὴν εἰρήνην ἀπειλῶν καὶ καταγγέλλων πόλεμον ἠνάγκασεν ἐμμεῖναι πάντας οἷς ὁ Πέρσης ἐδικαίωσε, μάλιστα διὰ τοὺς Θηβαίους, ὅπως αὐτόνομον τὴν Βοιωτίαν ἀφέντες ἀσθενέστεροι γένωνται. Δῆλον δὲ τοῦτο τοῖς ὕστερον ἐποίησεν. Ἐπεὶ γὰρ Φοιβίδας

4, 105—6 H.

---

23. *μοίρας* V. *ποιούμενος* Solani C: *ποιουμένους* v. 24. *διαζεύξεις* V. 27. *στρατιᾷ* corr. AuSV: *στρατείᾳ* v. 32. *παραγγελλομένης* m. sec. marg. ARSV ‚vetusti' Stephani: *παραγενομένης* v. 33. *στρατιᾶς* corr. A.

XXIII. 2. *ἐπόρθουν* ‚vetusti' Stephani V Amiotus ‚pilloient' cl. Xenoph. hellen. 4, 8, 7: *ἐπολιόρκουν* v. 6. *τιρίβαζον* S^g: *Τηρίβαζον* v. 14. *τοὺς — βουλομένους* ‚accusativos in dativos mutare oportet assentientibus veteribus etiam' Stephanus. sic V. sed cf. c. 12 in. Pelopid. 29, 26. Crass. 11, 6. Sertor. 1, 18. Pompei. 46.

ἔργον εἰργάσατο δεινὸν ἐν σπονδαῖς καὶ εἰρήνῃ τὴν Καδμείαν καταλαβὼν καὶ πάντες μὲν ἠγανάκτουν οἱ Ἕλληνες, χαλεπῶς δὲ ἔφερον οἱ Σπαρτιᾶται καὶ μάλιστα οἱ διαφερόμενοι τῷ Ἀγησιλάῳ μετ' ὀργῆς ἐπυνθάνοντο τοῦ Φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν, εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες, οὐκ ὤκνησε τῷ Φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν, ὅτι δεῖ τὴν πρᾶξιν αὐτὴν, εἴ τι χρήσιμον ἔχει, σκοπεῖν· τὰ γὰρ συμφέροντα τῇ Λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. Καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν ἀρετῶν· ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης, εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. Πρὸς δὲ τοὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ, „Τί δαὶ ἐκεῖνος ἐμοῦ“ εἶπε „μείζων, εἰ μὴ δικαιότερος;“ ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ καθάπερ μέτρῳ βασιλικῷ μετρεῖσθαι τὴν ὑπεροχὴν τοῦ μείζονος. Ἥν δὲ τῆς εἰρήνης γενο-
609 μένης ἔπεμψεν αὐτῷ περὶ ξενίας καὶ φιλίας ἐπιστολὴν ὁ βασιλεὺς οὐκ ἔλαβεν εἰπὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν καὶ μηδὲν ἰδίας δεήσεσθαι μενούσης ἐκείνης. Ἐν δὲ τοῖς ἔργοις οὐκέτι ταύτην διαφυλάττων τὴν δόξαν, ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ πολλαχοῦ συνεκφερόμενος καὶ μάλιστα τῇ πρὸς Θηβαίους οὐ μόνον ἔσωσε τὸν Φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὑτὴν ἀναδέξασθαι τὸ ἀδίκημα καὶ κατέχειν τὴν Καδμείαν δι' ἑαυτῆς, τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας Ἀρχίαν καὶ Λεοντίδαν ἀποδείξαι κυρίους, δι' ὧν ὁ Φοιβίδας εἰσῆλθε καὶ κατέλαβε τὴν ἀκρόπολιν.

XXIV. Ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, Φοιβίδου μὲν ἔργον εἶναι, βούλευμα δὲ Ἀγησιλάου τὸ πεπραγμένον· αἱ δὲ ὕστεραι πράξεις ὁμολογουμένην ἐποίησαν τὴν
4, 106—7 H.

---

19. *καδμίαν* S^g et infra. 21. *μάλιστα οἱ*] scribendo *μάλιστ'* removetur quidem hiatus, sed displicet sententia commodior sic futura *μάλιστα δὲ οἱ διαφερόμενοι τῷ Ἀγησιλάῳ, καὶ μετ' ὀργῆς* — quod voluit Emperius. 23. *τρέποντος* i. 28. *ἀνδρίας* C. 31. *δαὶ* S^{g}A: *δὲ* v. 32. *εἶπεν ἐμοῦ* C. 36. *ἐξαρκεῖν εἰπὼν* C. 38. *τῇ φιλονεικίᾳ καὶ τῇ φιλονεικίᾳ* (sic) S^g. 43. *Ἀρχίαν* Bryanus cum Amioto et infra: *ἀρχίδαν* libri.

XXIV. 1. *ἡ μὲν* V. 2. *βούλευμα* Schaeferus post Amiotum: *βούλημα* libri. 3. *ὕστερον* C.

αἰτίαν. Ὡς γὰρ ἐξέβαλον οἱ Θηβαῖοι τὴν φρουρὰν καὶ τὴν πόλιν ἠλευθέρωσαν ἐγκαλῶν αὐτοῖς, ὅτι τὸν Ἀρχίαν καὶ τὸν Λεοντίδαν ἀπεκτόνεσαν, ἔργῳ μὲν τυράννους, λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. Καὶ Κλεόμβροτος ἤδη βασιλεύων Ἀγησιπόλιδος τεθνηκότος εἰς Βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως· ὁ γὰρ Ἀγησίλαος, ὡς ἔτη τεσσαράκοντα γεγονὼς ἀφ' ἥβης καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατείαν ἐκείνην αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. Ἦν δέ τις Λάκων Σφοδρίας ἐκ τῆς ὑπεναντίας στάσεως τῷ Ἀγησιλάῳ τεταγμένος ἐν Θεσπιαῖς ἁρμοστής, οὐκ ἄτολμος μὲν οὐδ' ἀφιλότιμος ἀνήρ, ἀεὶ δ' ἐλπίδων μᾶλλον ἢ φρενῶν ἀγαθῶν μεστός. Οὗτος ἐπιθυμῶν ὀνόματος μεγάλου καὶ τὸν Φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τοῦ περὶ Θήβας τολμήματος ἐπείσθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν Πειραιᾶ καταλάβοι δι' ἑαυτοῦ καὶ τῶν Ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. Λέγουσι δὲ τοῦτο μηχάνημα γενέσθαι τῶν περὶ Πελοπίδαν καὶ Μέλωνα Βοιωταρχῶν. Ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους, οἳ τὸν Σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες ὡς ἔργου τηλικούτου μόνον ἄξιον ἐπῆραν καὶ παρώρμησαν ἀνελέσθαι πρᾶξιν, ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον, τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. Ἡμέρα γὰρ αὐτὸν ἐν τῷ Θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ Πειραιεῖ· καὶ φῶς ἀφ' ἱερῶν τινῶν Ἐλευσινόθεν ἰδόντας λέγουσι φρῖξαι καὶ περιφόβους γενέσθαι τοὺς στρατιώτας. Αὐτὸς δὲ τοῦ θράσους ἐξέπεσεν, ὡς οὐκέτι λαθεῖν ἦν, καί

4, 107—8 H.

---

4. ὡς δὲ C. *Θηβαῖοι* C cum Amioto Xylandro: *Ἀθηναῖοι* v. 5. *ἠλευθέρωσαν* RV: *ἠλευθέρουν* v. *ἀρχίδαν* libri, cf. ad 23, 43. 9. ὁ — ἥβης om. C. 11. *ἔφευγε* Emperius. *στρατηγίαν* cum Stephano (‚ceterum pro *στρατείαν* repositum fuit *στρατηγίαν*‘) ceteri, sed cf. c. 26 in. 33 med. 15. ‚pro *Θεσπιαῖς* scriptum est et *Θεράπναις*‘ Stephanus. *θεραπαίναις* V. 20. *καταλάβοι* S^g[A]C: *καταλάβῃ* v. 23. *Μέλωνα* Bryanus: *γέλωνα* libri. *βοιωταρχῶν* Coraes: *βοιωτάρχων* v. 29. *κατέλαμψεν*] *κατέπαυσεν* ead. m supr. scr. S^g. *προσμίζειν* V. 30. *τῷ πελοπίδᾳ* S^g pr. ACVi. *ἔλευσιν ὅθεν* S^g. 31. *φρῖξαι* Schaeferus: *φρίξαι* v.

τινα βραχεῖαν ἁρπαγὴν θέμενος αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς Θεσπιάς. Ἐκ δὲ τούτου κατήγοροι μὲν ἐπέμφθησαν εἰς Σπάρτην ἐξ Ἀθηνῶν, εὗρον δὲ κατηγόρων μηδὲν ἐπὶ τὸν Σφοδρίαν δεομένους τοὺς ἄρχοντας, ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκότας, ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω φοβούμενος τὴν ὀργὴν τῶν πολιτῶν αἰσχυνομένων τοὺς Ἀθηναίους καὶ βουλομένων συναδικεῖσθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν.

XXV. Εἶχεν οὖν ὁ Σφοδρίας υἱὸν Κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν Ἀρχίδαμος ὁ Ἀγησιλάου τοῦ βασιλέως υἱὸς ἥρα. Καὶ τότε συνηγωνία μὲν, ὡς εἰκὸς ἦν, κινδυνεύοντι αὐτῷ περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν· ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ Ἀγησιλάου. Τοῦ δὲ Κλεωνύμου προσελθόντος αὐτῷ καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως
610 τὸν Ἀγησίλαον εὔνουν παράσχῃ, μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι, τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς σιωπῇ παρηκολούθει· τέλος δὲ τῆς κρίσεως ἐγγὺς οὔσης ἐτόλμησεν εἰπεῖν πρὸς τὸν Ἀγησίλαον, ὅτι Κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. Ὁ δὲ Ἀγησίλαος εἰδὼς ἐρῶντα τὸν Ἀρχίδαμον οὐκ ἔπαυεν· ἦν γὰρ ὁ Κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος, εἴ τις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. Οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι δεομένῳ τῷ παιδὶ, σκέψασθαι δὲ φήσας, ὅ τι καλῶς ἔχοι καὶ πρεπόντως, ἀπῆλθεν. Αἰδούμενος οὖν ὁ Ἀρχίδαμος ἐξέλειπε τὸ προσιέναι τῷ Κλεωνύμῳ, καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. Ἐκ δὲ τούτου κἀκεῖνοι τὰ κατὰ τὸν Σφοδρίαν μᾶλλον ἀπέγνωσαν, ἄχρι οὗ τῶν Ἀγησιλάου φίλων Ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς ἀπεγύμνωσε τὴν γνώμην τοῦ Ἀγησιλάου· τὸ
4, 108—9 H.

---

35. κατηγορίας V. 36. θάνατον C. 37. ἐπέγνω i.

XXV. 3. τοῦ βασιλέως addita miror. nisi forte Ἀγησιλάου ab interprete additum. 4. αὐτῷ κινδυνεύοντι Benseler de hiatu p. 356. quamquam pronomen non requiro saepius a librariis additum. 8. παράσχοι C. 11. τὸν om C. 15. τότε post ἐλπίσαι collocat C. 16. ‚repono σκέψεσθαι' Stephanus. sic ceteri. 17. ἔχοι S^g[A]C: ἔχει v. 18. ἐξέλειπε S^g: ἐξέλιπε v. τῷ S^g. libri προεῖναι, corrigebat Stephanus. 21. ἄχρι S^gAi: ἄχρις v.

μὲν γὰρ ἔργον ὡς ἔνι μάλιστα ψέγειν αὐτὸν, ἄλλως γε μὴν ἄνδρα τὸν Σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι καὶ τὴν πόλιν ὁρᾷν τοιούτων στρατιωτῶν δεομένην. Τούτους γὰρ ὁ Ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης τῷ παιδὶ χαρίζεσθαι βουλόμενος, ὥστε καὶ τὸν Κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ Ἀρχιδάμου καὶ τοὺς φίλους τοὺς τοῦ Σφοδρίου θαῤῥοῦντας ἤδη βοηθεῖν. Ἦν δὲ καὶ φιλότεκνος ὁ Ἀγησίλαος διαφερόντως· καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς ὥσπερ ἵππον οἴκοι συνέπαιζεν, ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων παρεκάλει μηδενὶ φράσαι, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

XXVI. Ἀπολυθέντος δὲ τοῦ Σφοδρίου καὶ τῶν Ἀθηναίων, ὡς ἐπύθοντο, πρὸς πόλεμον τραπομένων σφόδρα κακῶς ὁ Ἀγησίλαος ἤκουσε δι' ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ καὶ τὴν πόλιν παραίτιον ἀπειργάσθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. Ἐπεὶ δὲ τὸν [υἱὸν] Κλεόμβροτον οὐχ ἑώρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις, οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας, ᾧ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη καὶ κακῶς ἐποίει τοὺς Θηβαίους καὶ πάλιν ἀντέπασχεν, ὥστε καὶ τρωθέντος αὐτοῦ ποτε τὸν Ἀνταλκίδαν εἰπεῖν „Ἡ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις μὴ βουλομένους μηδὲ ἐπισταμένους μάχεσθαι διδάξας.“ Τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασὶ ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτοὺς ὥσπερ ἐγγυμνασαμένους. Διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις τρισὶ ῥήτραις ἀπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. Ἦν δὲ καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ἐπαχθὴς ὁ Ἀγησίλαος, ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. Οὐδὲν οὖν ἔλεγον δεόμενοι φθείρεσθαι δεῦρο κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. Ἔνθα δὲ δὴ λέγεται τὸν Ἀγησίλαον ἐξελέγξαι βου-

4, 109—11 H.

XXVI. 6. *υἱὸν* ineptum esse primus sensit neglexitque Amiotus (‚voyant que l'autre roi son compagnon Cl.'). 16. *ἐν ταῖς καλουμέναις* om C. 23. *δὲ* accessit ex S^{g}.

λόμενον αὐτῶν τὸ πλῆθος τάδε μηχανήσασθαι. Πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους μετ' ἀλλήλων ἀναμεμιγμέ- 25
νους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν. Εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρῶτον· ὡς δὲ ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας ἑξῆς καὶ οἰκοδόμους καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. Πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων 30
611 οὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. Οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος· „Ὁρᾶτε“ εἶπεν „ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς.“

XXVII. Ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατείαν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν σπάσμα καὶ πόνον ἰσχυρὸν ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τούτου διογκωθὲν μεστὸν αἵματος ἔδοξε γεγονέναι καὶ φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν. Ἰατροῦ δέ τινος Συ- 5
ρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν, αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως λιποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. Οὐ μὴν ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε· καὶ κομισθεὶς εἰς Λακεδαίμονα πολὺν 10
χρόνον ἔσχεν ἀῤῥώστως καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. Ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· ὧν ἦν τὸ περὶ Τεγύρας μέγιστον, ὅπου πρῶτον ἐκ παρατάξεως κρατηθέντες ὑπὸ Θηβαίων ἡττήθησαν. Ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς 15
πάντας εἰρήνην· καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα ποιησόμενοι τὰς διαλύσεις. Ὧν εἷς ἦν Ἐπαμινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατη-
4, 111—13 H.

---

27. πρῶτον [A]CRuSTV: πρότερον v, πρώτους apoph. 213 f. ubi et alia immutata. 28. ἐφεξῆς V apoph. 31. ἢ μανθάνειν apoph. sed ut libri quidam ἢ omittant.

XXVII. 1. στρατιὰν cum Stephaniana ceteri. 3. πόνον ἰσχυρὸν S^{g}Ai et C qui ἰσχυρὸν ponit post σκέλος: πόνος ἰσχυρός v. 4. γενέσθαι V. 5. ὑπερβάλουσαν (sic) S^{g}. συῤῥακουσίου S^{g}. 8. λιποψυχία S^{g}: λειποψυχία v, λειποθυμία CV. 13. καὶ τὸ V. 14. τεγύρας codices Stephani (, non Λεῦκτρα sed Τεγύρας vet. cod. habent‘): τέτρας V, λεύκτρα S^{g}, λεῦκτραν i, Λεῦκτρα v, cf. Pelopid. 14 extr. 16. 17. 18. Ἐπαμεινώνδας Stephaniana et postea.

γίας δὲ πεῖραν οὔπω δεδωκώς. Οὗτος ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ μόνος ἐχρήσατο φρονήματι παῤῥησίαν ἔχοντι καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινόν, τὸν μὲν πόλεμον ἀποδεικνύων αὔξοντα τὴν Σπάρτην ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι, τὴν δὲ εἰρήνην ἰσότητι καὶ τῷ δικαίῳ κτᾶσθαι κελεύων· οὕτω γὰρ ἂν αὐτὴν διαμενεῖν, ἴσων ἁπάντων γενομένων.

XXVIII. Ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς ἀγαμένους καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας ἠρώτησεν, εἰ νομίζοι δίκαιον εἶναι καὶ ἴσον αὐτονομεῖσθαι τὴν Βοιωτίαν. Ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμινώνδου ταχὺ καὶ τεθαῤῥηκότος, εἰ κἀκεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικήν, ἀναπηδήσας ὁ Ἀγησίλαος μετ' ὀργῆς ἐκέλευσε λέγειν σαφῶς αὐτὸν, εἰ τὴν Βοιωτίαν ἀφίησιν αὐτόνομον. Τὸ δὲ αὐτὸ τοῦτο πάλιν τοῦ Ἐπαμινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφίησιν αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης καὶ προειπεῖν πόλεμον αὐτοῖς· τοὺς δὲ ἄλλους Ἕλληνας διαλλαγέντας ἐκέλευσεν ἀπιέναι, τὰ μὲν ἀκεστὰ τῆς εἰρήνης, τὰ δὲ ἀνήκεστα τοῦ πολέμου ποιοῦντας. Ἔργον γὰρ ἦν πάσας ἐκκαθᾶραι καὶ διαλῦσαι τὰς ἀμφιλογίας. Ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως. Εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα· καὶ τοὺς συμμάχους περιπέμποντες ἠθροιζον, ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον, οὔπω δὲ θαῤῥοῦντας ἀντιλέγειν οὐδὲ ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. Πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου

4, 113—14 H.

22. ,post κοινὸν in nonnullis exempl. interiecta inveniuntur haec verba: καὶ πρὸς τὴν Ἑλλάδα' Stephanus. 25. διαμενεῖν A: διαμένειν v. ἴσον C.

XXVIII. 4. πάλιν ταχὺ C. 5. 'in quibusdam scriptum est αὐτονομεῖσθαι τοὺς Ἕλληνας' Stephanus. sic V. 7. ἀφιᾶσιν V. 11. προεῖπεῖν V. 12. ἀφιέναι C. 13. ποιοῦντας ἔργον· οὐ γὰρ εἶναι post Bryanum Emperius. ego ceteris non mutatis exspectabam εἶναι pro ἦν. 14. ἐκηαθῆναι V. διαλῦσαι Coraes: διαλύσαι v. 15. ἀμφιβολίας V. καὶ κατ' V.

πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον ἐλπίζων αὐτοῖς μὲν, αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. Δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον ἢ λογισμῷ γενέσθαι τὴν στρατείαν ἐκείνην ὁ καιρός. Τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνὸς ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι, τῇ δὲ πέμπτῃ τοῦ Ἑκατομβαιῶνος ἠττήθησαν ἐν Λεύκτροις ἡμερῶν εἴκοσι διαγενομένων. Ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων καὶ Κλεόμβροτος ὁ βασιλεὺς καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν. Ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου τὸν καλὸν τρὶς πεσόντα πρὸ τοῦ βασιλέως καὶ τοσαυτάκις ἐξαναστάντα καὶ μαχόμενον τοῖς Θηβαίοις ἀποθανεῖν.

XXIX. Συμβάντος δὲ τοῖς τε Λακεδαιμονίοις πταίσματος ἀπροσδοκήτου καὶ τοῖς Θηβαίοις πρὸς δόξαν εὐτυχήματος οἷον οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας ἀγωνισαμένοις, οὐδὲν ἄν τις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἡγάσθη τὴν ἡττημένην πόλιν ἢ τὴν νικῶσαν. Ὁ μὲν γὰρ Ξενοφῶν φησι τῶν ἀγαθῶν ἀνδρῶν ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς καὶ διατριβὰς ἀξιομνημόνευτον, ὀρθῶς λέγων· ἔστι δὲ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν ἃ παρὰ τὰς τύχας πράττουσι καὶ λέγουσι διευσχημονοῦντες. Ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα καὶ ξένων οὖσα μεστή· γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δ' ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. Οἱ δὲ ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν, ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες αὐτοὶ

4, 114—15 H.

---

23. ἐξέπρασσε C. 24. μὲν post αὐτονόμου transponit Schaeferus, sed ipsum istud αὐτονόμου suspectum Emperio vereor ne delendum sit. 25. γεγονότων V. 34. τρὶς πεσόντα] περιπεσόντα S^{2}.

XXIX. 1. τε excidit ex Hutteniana ceterisque. 2. πρὸς δόξαν] παραδόξαν C, παρὰ δόξαν Schaeferus. 5. Ξενοφῶν] sympos. init. 9. περὶ ia. 11. γυμνοπαιδίαι Coraes: γυμνοπαιδιαὶ v. illud malim etiam Lycurg. 15, 6. cf. ad Cim. 10, 34. 15. ἐξελθεῖν] cf. Schneiderum in Xenophontis hellen. 6, 4, 16.

τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. Ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους, οἱ δὲ τῶν σωζομένων, ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἶκοι διέτριβον, εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. Ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης κατηφῆ καὶ σιωπηλήν, τὰς δὲ τῶν πεπτωκέναι λεγομένων ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

XXX. Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς Ἐπαμινώνδας καὶ μεγαλοφρονῶν ἐμβαλεῖν εἰς Πελοπόννησον, ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε πρὸς τὴν χωλότητα τοῦ Ἀγησιλάου καὶ δυσθυμία πολλὴ καὶ πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες εἵλοντο χωλὸν καὶ πεπηρωμένον· ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. Διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν καὶ δόξαν οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ τῶν κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀποριῶν ἰατρῷ καὶ διαιτητῇ, τοῖς ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας προσάγειν, πολλοῖς οὖσι καὶ δυνατοῖς, φοβούμενοι νεωτερισμὸν ἀπ' αὐτῶν. Οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι· παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων. Οἱ δὲ καρτεροῦσι περιϊόντες αὐχμηροὶ καὶ ταπεινοὶ τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φοροῦσι καὶ ξυρῶνται μέρος τῆς

4, 115—16 H.

---

22. ‚legitur etiam λιπαροὶ τά τε σώματα καὶ τὰ πρόσωπα. Sed haec verba minime addenda censeo' Stephanus. ἤθους V. 27. ἀπὸ] ἐκ C. 28. τῶν om i.

XXX. 3. μεγαλοφρονεῖν S^g. ἔνια C. 9. τὴν ἀρετὴν V. 10. στρατηγῷ καὶ βασιλεῖ C. 10. τῷ κατὰ i. 13. ‚est et alia lectio τὰς ἐκ τῶν νόμων αἰτίας' Stephanus.

ὑπήνης, μέρος δὲ τρέφουσι. Δεινὸν οὖν ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλοὺς οὐκ ὀλίγων δεομένους στρατιωτῶν. Καὶ νομοθέτην αἱροῦνται τὸν Ἀγησίλαον. Ὁ δὲ μήτε προσθεὶς τι μήτε ἀφελὼν μήτε μεταγράψας εἰσῆλθεν εἰς τὸ πλῆ-
613 θος τῶν Λακεδαιμονίων· καὶ φήσας, ὅτι τοὺς νόμους δεῖ σήμερον ἐᾶν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίους εἶναι πρὸς τὸ λοιπόν, ἅμα τούς τε νόμους τῇ πόλει καὶ τοὺς ἄνδρας ἐπιτίμους ἐφύλαξε. Βουλόμενος οὖν τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων ἐνέβαλεν εἰς Ἀρκαδίαν, καὶ μάχην μὲν ἰσχυρῶς ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις, ἐλὼν δὲ πολίχνην τινὰ τῶν Μαντινέων καὶ τὴν χώραν ἐπιδραμὼν ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν ὡς οὐ παντάπασιν ἀπεγνωσμένην.

XXXI. Ἐκ δὲ τούτου παρῆν εἰς τὴν Λακωνικὴν ὁ Ἐπαμινώνδας μετὰ τῶν συμμάχων οὐκ ἐλάττονας ἔχων τετρακισμυρίων ὁπλιτῶν. Πολλοὶ δὲ καὶ ψιλοὶ καὶ ἄνοπλοι πρὸς ἁρπαγὴν συνηκολούθουν, ὥστε μυριάδας ἑπτὰ τοῦ σύμπαντος ὄχλου συνεισβαλεῖν εἰς τὴν Λακωνικήν. Ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ' οὗ κατῴκουν τὴν Λακεδαίμονα Δωριεῖς· ἐν δὲ τούτῳ ἅπαντι τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δὲ οὐδεὶς ἐτόλμησεν· ἀλλὰ ἀδήωτον καὶ ἄθικτον οὖσαν ἐμβαλόντες ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος. Ὁ γὰρ Ἀγησίλαος οὐκ εἶα πρὸς τοσοῦτον, ὥς φησι Θεόπομπος, ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους, ἀλλὰ τῆς πόλεως τὰ μέσα καὶ κυριώτατα τοῖς ὁπλίταις περιεσπειραμένος ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν Θηβαίων προκαλουμένων ἐκεῖνον ὀνομαστὶ καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων, ὃς τῶν κακῶν αἴτιός ἐστιν ἐκκαύσας τὸν πόλεμον. Οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν Ἀγησίλαον οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαὶ τῶν πρεσβυτέρων δυσανασχε-
4, 116—18 H.

---

21. δεομένῃ nuperi cum V. 25. exspectabam ἐκ δὲ τῆς αὔριον cl. apoph. 191 c. 214 b. 30. ἐναντίοις] πολεμίοις CV.
XXXI. 3. φίλοι V. ἄνοπλοι S^g: ἄοπλοι v. 5. καὶ καταβαίνειν ante εἰς addit V. 6. ἔλαττον C. 7. immo παντί. 13. τῆς πόλεως τὰ μέσα S^g: τὰ μέσα τῆς πόλεως v. 14. περισπειράμενος Stephaniana.

τούντων τὰ γινόμενα καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν πρός τε τὴν κραυγὴν καὶ τὸ πῦρ τῶν πολεμίων. Ἡνία δὲ καὶ τὸ τῆς δόξης αὐτὸν, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν καὶ δυνατωτάτην ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα καὶ τὸ αὔχημα κεκολουμένον, ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις εἰπὼν, ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. Λέγεται δὲ καὶ Ἀνταλκίδας, Ἀθηναίου τινὸς ἀμφισβητοῦντος ὑπὲρ ἀνδρίας πρὸς αὐτὸν καὶ εἰπόντος „Ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν,“ ὑποτυχεῖν· „Ἀλλ᾽ ἡμεῖς γε οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.“ Παραπλησίως δὲ καὶ πρὸς τὸν Ἀργεῖον ἀπεκρίνατο τῶν ἀσημοτέρων τις Σπαρτιατῶν· ὁ μὲν γὰρ εἶπε· „Πολλοὶ ὑμῶν ἐν τῇ Ἀργολίδι κεῖνται,“ ὁ δὲ ἀπήντησεν „Ὑμῶν δέ γε οὐδεὶς ἐν τῇ Λακωνικῇ.“

XXXII. Τότε μέντοι τὸν Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα τοὺς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι περίφοβον γενόμενον. Ὁ δὲ Ἀγησίλαος, ἐπιχειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ παρετάξατο πρὸ τῶν μέσων καὶ ὑψηλῶν. Ἐρρύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων, καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγένετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. Πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμινώνδαν ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ· κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ καὶ συμπαραπέμψας τὴν ὄψιν οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν· „Ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου“ Ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας πάλιν ἐπόρθει τὴν χώραν, ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν ὡς διακόσιοι συστραφέντες κατελάβοντο τὸ Ἰσσώριον,

4, 118—19 H.

---

24. αὔχημα S^gAC: καύχημα v. 26. ἀνταλκιάδας S^g. 27. ἀνδρίας S^gCi: ἀνδρείας v. 29. ὑπὸ τύχην V. ὑμεῖς — ἡμᾶς S^g.

XXXII. 1. τότε μέντοι τὸν S^gAq: τότε μὲν τὸν ia, ἔνιοι τότε μέντοι τὸν C, ἔνιοι μέντοι v. 2. Κύθηρα ὑπεκθέσθαι hiant. ‚legitur etiam ὑπεκπέμψαι‘ Stephanus. sic V. 8. ἐγένετο C: ἐγίνετο v. 9. ‚post Ἐπαμεινώνδαν adiectum est in quibusdam διὰ τοῦ Εὐρώτα: sed hoc satis intelligitur etiamsi non addatur‘ Stephanus. ὦ Schaeferi S: ὢ v.

614 οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. Ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν, αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον), τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. Οἱ δὲ ἀκούσαντες ἥσθησαν οἰόμενοι λανθάνειν καὶ διαστάντες ἐπὶ τοὺς τόπους οὓς ἐκεῖνος ἐκέλευσεν ἀπεχώρουν. Ὁ δὲ τὸ μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους κατέσχε, τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκα τινὰς συλλαβὼν νυκτὸς ἀπέκτεινεν. Ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων, οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ καὶ περιορᾶν ἐπιβουλεύοντας. Ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίκα δίκης τεθνατωμένου πρότερον Σπαρτιατῶν. Ἐπεὶ δὲ πολλοὶ τῶν τεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαῤῥεῖν ἀτάκτως, οἱ δὲ τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας· Θεόπομπος δέ φησιν, ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον, ἄνδρα Σπαρτιάτην, παρὰ Ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν, ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι.

XXXIII. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ᾔσθετο. Τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγη-

4, 119—21 H.

23. αὐτοῦ ACi. 27. τὸν μὲν Aia. 36. συντεταγμένων V. 43. ἐμμενηκότας C. 49. προσγενέσθαι V.

XXXIII. 1. scribam οἶδ'.

σίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν, φιλονεικίας καὶ φιλοτιμίας, ἀποστὰς ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. Οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πταίσματος, ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ παρὰ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως· οὐκ ἀλόγως. Πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι προσάγοντες ἀρχὰς καὶ δυναστείας βιαίους, ὧν οὐδενὸς ἠγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν. Αὐτὸς μὲν οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας, Ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην· οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. Αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξε τὴ νίκη τῆς πόλεως. Πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει μήτε μεγαληγορεῖν τοὺς ἀγωνιζομένους μήτε ὑπερχαίρειν τοὺς πυθομένους, ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γενομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν· τότε δὲ 615
τῆς μάχης ἀγγελθείσης καὶ τοῦ Ἀρχιδάμου προσιόντος οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ἀπήντα δακρύων ὑπὸ χαρᾶς καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα, τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατῄει τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης· ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς

4, 121—22 H.

---

7. *πταισματος* S^{g}[A]CuSV ‚vet. codd.' Stephani x: *πτώματος* v. 8. *κατησκημένου κεχρημένη* C. *παρὰ πάντα* S^{g}[AC]πSV: *παρὰ* i, *πάντα* v. 11. *προσαγαγόντες* V. 12. *ἡγεῖται* qV. 14. *μὲν οὖν* S^{g}[A]C: *οὖν* v. 17. *ἄδακρυ* ia. 18. *γὰρ* om i. 24. *μαντινίᾳ* S^{g}. *γενομένης* S^{g}C: *γινομένης* v. *Θουκυδίδης*] 5, 64 sqq. 26. *εὐαγγέλια* C. 27. *ἀπαγγελλείσης* V. 28. *πρῶτός τε* Stephaniana. *ὑπήντα* ACia. 31. *ἀπωσμένης* S^{g}ACi.

γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας αἰσχυνομένους ἐφ' οἷς ἔπταισαν.

XXXIV. Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὸν Ἐπαμινώνδαν καὶ τῶν ἀρχαίων πολιτῶν πανταχόθεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων οὐδὲ κωλύειν ἐδύναντο, χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάσσονα, ἀλλὰ καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες καὶ καρπούμενοι χρόνον τοσοῦτον ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. Διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. Μὴ βουλόμενος δὲ τῷ λόγῳ προέσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. Ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος Ἐπαμινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς δυνάμεως καὶ προσιόντα λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν Ἀγησίλαον ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησὶν, ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην. Ὀλίγῳ δὲ ὕστερον οἱ Θηβαῖοι διέβαινον τὸν Εὐρώταν καὶ προσέβαλλον τῇ πόλει μάλα ἐρρωμένως τοῦ Ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. Οὐ γὰρ, ὡς πρότερον, ἀσφαλείας ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας οὐδὲ χρησάμενος, τότε μόνοις ἀπεώσατο τὸν κίνδυνον ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδου τὴν

4, 122—23 H.

XXXIV. 1. ne ἀνοικιζομένης malis cum Schaefero cf. Timol. 39. C. Gracch. 10. Diodori 15, 66. 3. ‚invenitur in vet. codicibus συνοικιζομένων' Stephanus. sic V. 6. ἀλλὰ mihi non intolerabile visum abesse malit Emperius. 10. τοῖς ἔργοις S^gV. 12. προσαπέβαλε] ἀπέβαλε S^g. 14. ὁ Ἐπαμεινώνδας Stephaniana. ἐξεστρατευμένων A $\overline{εστ}$ in ras. 16. τὴν excidit nuperis. 18. ‚εὐώνου in nostris exemplis erat' Stephanus. sic V. 19. Ξενοφῶν] hellen. 7, 5, 10.

πόλιν ἐξαρπάσας καὶ στήσας τρόπαιον καὶ τοῖς παισὶ καὶ
30 ταῖς γυναιξὶν ἐπιδείξας τὰ κάλλιστα τροφεῖα τῇ πατρίδι τοὺς
Λακεδαιμονίους ἀποδιδόντας, ἐν δὲ πρώτοις τὸν Ἀρχίδαμον
ἀγωνιζόμενον ὑπερηφάνως τῇ τε ῥώμῃ τῆς ψυχῆς καὶ τῇ
κουφότητι τοῦ σώματος ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης
διαθέοντα διὰ τῶν στενωπῶν καὶ πανταχοῦ μετ' ὀλίγων
35 ἀντερείδοντα τοῖς πολεμίοις· Ἰσίδαν δὲ δοκῶ, τὸν Φοιβίδου
υἱόν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις θέαμα
φανῆναι καλὸν καὶ ἀγαστόν. Ἦν μὲν γὰρ ἐκπρεπὴς τὸ εἶδος
καὶ τὸ μέγεθος τοῦ σώματος, ὥραν δὲ ἐν ᾗ τὸ ἥδιστον ἀν-
θοῦσιν ἄνθρωποι παριόντες εἰς ἄνδρας ἐκ παίδων εἶχε, γυμνὸς
40 δὲ καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων λίπα χρισάμενος
τὸ σῶμα καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην, τῇ δὲ ξίφος ἐξήλατο
τῆς οἰκίας καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος ἐν τοῖς
πολεμίοις ἀνεστρέφετο παίων τὸν προστυχόντα καὶ κατα-
βάλλων. Ἐτρώθη δὲ ὑπ' οὐδενὸς, εἴτε θεοῦ δι' ἀρετὴν φυ-
45 λάττοντος αὐτὸν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου
φανεὶς τοῖς ἐναντίοις. Ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους
στεφανώσαντας αὐτὸν εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν,
ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

XXXV. Ὀλίγαις δὲ περὶ τὴν Μαντίνειαν ὕστερον ἡμέ-
ραις ἐμαχέσαντο καὶ τὸν Ἐπαμινώνδαν ἤδη κρατοῦντα τῶν
πρώτων, ἔτι δὲ ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν 616
Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε δόρατι μὲν, ὡς Διοσκου-
5 ρίδης ἱστόρηκε, Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς
ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. Οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν

4, 123—24 H.

35. *ἰσίδαν δὲ δοκῶ* C: *ἰσίδαν δοκῶ* S^{g}Ai, *ἰσάδαν δὲ* ex a v. *Ἰσάδας* Aelian. v. h. 6, 3. sed Polyaen. 2, 9 fluctuant libri inter *Ἰσίδας*, *Ἀσίδας*, *Ἰασίδας*. 36. *Φοιβίδου υἱὸν* compono cum *Πορσίνα υἱὸν* Poplic. 19, 21. *πολεμίοις*] *ἐναντίοις* var. lect. indic. Francof. 37. *καλὸν*] ‚est et alia lectio *καινὸν*‘ Stephanus. sic V expressitque Amiotus. 38. *τοῦ σώματος* om C. 39. *εἰς* om S^{g}. 40. *χρησάμενος* S^{g}Ai.

XXXV. 1. *ὀλίγαις δὲ ὕστερον ἡμέραις περὶ τὴν μαντίνειαν* a et v. illud libri omnes, cui cf. Thes. 18 *κατέβαινεν ἕκτῃ μηνὸς ἐπὶ θάλασσαν ἱσταμένου Μουνυχιῶνος*. Phoc. 28 *εἰκάδι γὰρ ἡ φρουρὰ Βοηδρομιῶνος εἰσήχθη*. all. cl. ad Lys. 20, 4. 4. *Διοσκορίδης* Lycurg. 11, 30. 7. *οὕτως* pr. AC *οὕτω γὰρ ἠγάπησαν καὶ ὑπερεθαύμασαν αὐτὸν* ‚in vetustis codicibus‘ Stephani. sic V.

φόβῳ τοῦ Ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, γένει δ' ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων. Μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ Ἐπαμινώνδου γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὐτοὺς ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου τοὺς Μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. Ἐπεὶ δὲ οἱ λοιποὶ πάντες ἐδέχοντο καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν. Βίαιος οὖν ἐδύκει καὶ ἀτενὴς καὶ πολέμων ἄπληστος ὁ Ἀγησίλαος εἶναι, τὰς μὲν κοινὰς διαλύσεις πάντα τρόπον ὑπορύττων καὶ ἀναβάλλων, πάλιν δὲ ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τοῦτο περιήκοντι τῷ καιρῷ καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοιαύτην γενομένην ἀφεικότα καὶ πόλεις καὶ γῆν καὶ θάλατταν ὑπὲρ τῶν ἐν Μεσσήνῃ κτημάτων καὶ προσόδων σφαδάζειν.

XXXVI. Ἔτι δὲ μᾶλλον ἠδόξησε Τάχῳ τῷ Αἰγυπτίῳ στρατηγὸν ἐπιδοὺς ἑαυτόν. Οὐ γὰρ ἠξίουν ἄνδρα τῆς Ἑλλάδος ἄριστον κεκριμένον καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην ἀποστάτῃ βασιλέως, ἀνθρώπῳ βαρβάρῳ, χρῆσαι τὸ σῶμα καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπραττόμενον. Καὶ γὰρ ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος ἐκείνην αὖθις ἀνεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, οὐ

4, 124—26 H.

---

9. τῷ γένει cum Stephaniana ceteri. sed cf. Thes. 10, 16. Demosth. 30 ann. in Them. p. 46 Heldium in Aem. p. 166. 13. οἴκου ACVi. 17. ‚scriptum est etiam ἀπηνής' Stephanus. sic V. 19. διαβάλλων V, καταβάλλων Reiskii sine caussa nuperi. 22. περιΐκοντι ia. τοσαύτην Stephanianae ceteri. 23. ἀφηκότα S^g. θάλασσαν S^g. 24. κτημάτων καὶ πραγμάτων θαυμάζειν C.

XXXVI. 2. στρατηγὸν Coraes: στρατηγῷ libri. 3. οἰκουμένην] πόλιν ‚vetusti codices' Stephani. 5. καὶ — 7 σῶμα om text. A, marg. add. m sec. 6. ξεναγοῦ S^g: ξεναγωγοῦ v. κεἰ γὰρ Emperius: καὶ γὰρ S^gACVi, εἰ γὰρ a et v, καὶ γὰρ εἰ Reiskii nuperi. 8. ἀνεδείξαντο V. 9. τῶν addiderunt S^gACSπV.

πάμπαν ἄμεμπτον εἶναι τὴν ὥραν καὶ τὴν φιλοτιμίαν· τοῦ γὰρ καλοῦ καὶ καιροῦ δεῖν οἰκεῖον εἶναι καὶ ὥραν, μᾶλλον δὲ ὅλως τὰ καλὰ τῶν αἰσχρῶν τῷ μετρίῳ διαφέρειν. Οὐ μὴν ἐφρόντιζε τούτων ὁ Ἀγησίλαος οὐδὲ ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν, ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτον ἐν τῇ πόλει καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον. Ὅθεν ἠθροισε μισθοφόρους ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε καὶ πλοῖα πληρώσας ἀνήχθη τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ Σπαρτιάτας, ὡς πρότερον. Ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. Ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδὴ τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. Ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει καὶ λέγειν, ὅτι τοῦτο ἦν τὸ μυθολογούμενον· ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. Ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε ξενίων προσκομισθέντων καὶ προσαχθέντων ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων ἐκέλευσε τοῖς εἴλωσι διδόναι κομίζοντας. Τῇ μέντοι στεφανωτρίδι βύβλῳ φησὶν αὐτὸν ἡσθέντα Θεόφραστος διὰ 617
τὴν λιτότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως.

XXXVII. Τότε δὲ συμμίξας τῷ Τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ, ὥσπερ ἤλπιζεν, ἁπάσης στρα-

4, 126—27 H.

---

10. ὥραν] ὁρμὴν Reiskii temere nuperi. 11. δεῖν Reiskius: δεῖ libri, quo servato διαφέρει corrigebat Solanus. 14. μηδὲν δημόσιον C. 15. περιμένων A[C]ia. coniicerem περιμένοντα θάνατον nisi περιμένοντα τὸν θάνατον esse in S^5 collatoris argueret silentium. 16. ἀθροίσας Stephanianae ceteri. 21. θεραπεύσοντες Muretus x. 32. προσβιαζομένων V. 34. στεφανωτρίδι Coraes: στεφανώτριδι a et v, στεφαντώριδι S^5ACuSTqVi. βύβλῳ prACi: βίβλῳ v. Theopompum auctorem habet Athenaeus p. 676 d. cl. 616 d.

τηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων· τοῦ δὲ ναυτικοῦ Χαβρίας ὁ Ἀθηναῖος, ἡγεμὼν δὲ συμπάντων αὐτὸς ἦν ὁ Τάχως. Καὶ τοῦτο πρῶτον ἠνίασε τὸν Ἀγησίλαον· ἔπειτα τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ Αἰγυπτίου βαρυνόμενος ἠναγκάζετο φέρειν· καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας αὐτῷ παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρι οὗ καιρὸν ἔλαβε. Νεκτάναβις γὰρ ἀνεψιὸς ὢν τοῦ Τάχω καὶ μέρος ἔχων ὑφ' ἑαυτῷ τῆς δυνάμεως ἀπέστη· καὶ βασιλεὺς ὑπὸ τῶν Αἰγυπτίων ἀναγορευθεὶς διεπέμπετο πρὸς τὸν Ἀγησίλαον ἀξιῶν αὐτῷ βοηθεῖν· τὰ δ' αὐτὰ καὶ τὸν Χαβρίαν παρεκάλει μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. Αἰσθομένου δὲ ταῦτα τοῦ Τάχω καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν Χαβρίας ἐπειρᾶτο καὶ τὸν Ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ Τάχω πείθων καὶ παραμυθούμενος κατέχειν, ὁ δὲ Ἀγησίλαος εἶπεν, ὅτι „Σοὶ μὲν, ὦ Χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς ἔξεστιν, ἐγὼ δὲ ὑπὸ τῆς πατρίδος ἐδόθην Αἰγυπτίοις στρατηγός. Οὐκ οὖν ἂν ἔχοι μοι καλῶς οἷς ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ." Ταῦτα δὲ εἰπὼν ἔπεμψεν εἰς Σπάρτην ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. Ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δὲ ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. Ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς Ἀγησιλάῳ περὶ τούτων μελήσειν, ἐκείνῳ δὲ ἐπέστειλαν ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ Σπάρτῃ συμφέρον. Οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος ἀπὸ τοῦ Τάχω μετέστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος·

4, 127—29 H.

XXXVII. 3. *μισθοφορούντων* C. 4. *δὲ* post *ἡγεμὼν* om i. 5. *τάχος* S^g. 8. *ἀξίαν ἑαυτοῦ* C. 9. *ἄχρι* S^g pr. A: *ἄχρις* v. 10. *νεκτέναβις* ia. *τῷ τάχῳ* Stephaniana cum [S^g?] et Gemisto Plethone c. 4. 19. *ἑαυτοῦ* S^g cl. ad Lys. 23, 54: *σεαυτοῦ* v. 20. *ἔχοι μοι* Solanus cum [C] et Plethone: *ἔχοιμι* v. 21. *ἐπέμφθη* S^g. 22. *εἰς Σπάρτην* om ia, post *ἄνδρας* collocat V. 23. *κατηγορήσειν* S^gq: *κατηγορεῖν* v. *νέκταβιν* pr. A et postea ubique, sed constanter corr. m. sec. 28. *ἐπέστειλαν* S^gC Pletho: *ἀπέστειλαν* v. 29. *πράξει* Schaeferus. *οὕτως* C.

ἐπεὶ ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες οὔτε μανθάνουσιν οὔτε ἐπίστανται δίκαιον ἄλλο πλὴν ὃ τὴν Σπάρτην αὔξειν νομίζουσιν.

XXXVIII. Ὁ μὲν οὖν Τάχως ἐρημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν δέκα μυριάδας ἀνθρώπων ἐπῆει. Θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον καὶ λέγοντος, ὅτι πολλοὶ μέν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι „Καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν" ὁ Ἀγησίλαος εἶπεν „ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν ὡς δυσεξαπάτητον. Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις, ὁ δὲ μὴ προσδοκῶν μηδὲ ὑπονοῶν μηδὲν οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβὴν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν ὁ μὴ κινούμενος." Ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. Ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν ἀπεχώρησεν εἰς πόλιν εὐρχῆ καὶ μέγαν ἔχουσαν περίβολον. Ὁ δὲ Ἀγησίλαος ἠγανάκτει μὲν ἀπιστούμενος 618
καὶ βαρέως ἔφερεν, αἰσχυνόμενος δὲ καὶ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον καὶ τελέως ἀπελθεῖν ἄπρακτος ἠκολούθησε καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

XXXIX. Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ Αἰγύπτιος ἐβούλετο μάχεσθαι καὶ τοὺς Ἕλληνας μάλα συμπρο-

4, 129—30 H.

---

36. ὅ S^{g}: ᾧ v.

XXXVIII. 1. *τάχος* a. 2. *νεκτάναβι* libri praeter a. 3. *ἀναγορευθεὶς* Stephaniana: *ἀγορευθεὶς* libri, *ἀπαγορευθεὶς* Pletho. 4. *ἀνθρώπων* addidit S^{g} et Pletho. *θρασύναντος* S^{g}. 9. *πρὸς ἄνοιαν* S^{g}. 10. *ὑπονοοῦσι*] *ἀνιοῦσι* libri praeter a, *ὧν ὑπονοοῦσι* Reiskius. 21. *καὶ πάλιν* Stephaniana cum [S^{g}]: legebatur *πάλιν* 22. *ἢ τελέως* Coraes. 23. *συνεισῆλθεν* Stephaniana cum [S^{g}] R Plethone: legebatur *συνῆλθεν*.

θυμουμένους εἶχεν· οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. Ὁ δὲ Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων ἥκουε μὲν ἔτι μᾶλλον κακῶς ἢ πρότερον ὑπὸ τῶν Αἰγυπτίων καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως, ἔφερε δὲ πραότερον ἤδη τὰς διαβολὰς καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. Ἦν δὲ τοιόνδε. Τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος ἀπαντῶντος αὐτῷ καὶ περιϊόντος ἐν κύκλῳ τὴν πόλιν, ἐσπέραν ἀναμείνας γενέσθαι κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας ἔλεγεν ἐλθὼν πρὸς τὸν Αἰγύπτιον „Ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι φοβούμενος οὐκ ἔφραζον, πρὶν ἐλθεῖν. Ἐπεὶ δὲ ἡμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδὼν ἐστι τοῦ πλήθους, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτούς, φέρε νῦν, προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι καὶ μεθ' ἡμῶν ἐπισπόμενος δρόμῳ σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν. Ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν, οἱ δὲ ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν.“ Ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα καὶ προσπεσὼν ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. Ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα καθάπερ πάλαισμα τοῖς πολεμίοις. Τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δὲ ἀντιπεριχωρῶν ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραῤῥέουσαν, ὧν τὸ μέσον ἐμῤῥάξας

4, 130—31 H.

XXXIX. 4. *εἶχεν*] *ἦγεν* Pletho. *οὐ γὰρ οὐδ' ἦν* Pletho. *ἐν* excidit nuperis. 9. *ἦγον* S^{g}: *ἀνῆγον* v. 12. *καὶ κελεύσας* Stephanianae ceteri. 13. *πρὸς*] *εἰς* qV. 15. *φοβούμενος* S^{g}[A] ‚quidam codices‘ Stephani: *βουλόμενος* C, *μὴ βουλόμενος* v et Pletho. 16. *ἡμῖν* Pletho cum Schaefero: *ὑμῖν* v. 18. *ἐκείνων ἐμποδὼν ἔσται τῷ πλήθει* Pletho. ne quid suspectes cf. Them. 4, 30. 19. *ὑμῖν* C. 20. *ἀγαθὸς γενέσθαι ἀνὴρ* C. 21. *ἐπισπόμενος* [A] Pletho Muretus: *ἐπισπώμενος* v. *ἅμα* om C. *στρατιὰν* Stephaniana cum Plethone: *στρατείαν* libri. 26. *ἀντιστάντας*] *ἄνδρας* V. 30. *ἔχον* ia. 31. *παραῤῥέουσαν*] *περιέχουσαν* qV.

καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. Ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνῃρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διερρύησαν.

XL. Ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν Ἀγησίλαον. Ὁ δὲ ὥρμητο πρὸς τὸν οἴκοι πόλεμον εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. Προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. Χειμῶνος δὲ ὄντος ἤδη τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθείς, ὃ καλοῦσι Μενελάου λιμένα, θνήσκει βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ τῆς Σπάρτης ἐνὶ τῶν τεσσαράκοντα πλέον καὶ τούτων ὑπὲρ τριάκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς ἄχρι τῆς ἐν Λεύκτροις μάχης. Ἔθους δὲ ὄντος Λακωνικοῦ τῶν μὲν ἄλλων ἐπὶ ξένης ἀποθανόντων αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μέλιτος οὐ παρόντος, ἀπῆγον εἰς Λακεδαίμονα. Τὴν δὲ βασιλείαν Ἀρχίδαμος 619
ὁ υἱὸς αὐτοῦ παρέλαβε καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος, ὃν ἐπιχειροῦντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν ἀπέκτεινε Λεωνίδας πέμπτον ἀπ' Ἀγησιλάου γεγονότα.

4, 131—33 H.

---

32. ἐξίσωσε τοὺς ἑαυτοῦ τοῖς μαχομένοις τῶν πολεμίων οὐκ ἔχουσι περιδρομὴν Pletho.

XL. 9. κομισθεὶς om S^{g}. 10. θνήσκει V: ἀποθνήσκει v. 11. ἐνιαυτοὺς V. 12. πλέω V. 16. αὐτῶν i.

ΠΟΜΠΗΙΟΣ.

I. Πρὸς Πομπήϊον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα σωθεὶς ὑπ' αὐτοῦ καὶ λέγων·

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν Πομπηίου πατέρα Στράβωνα, ζῶντος μὲν αὐτοῦ φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν (ἦν γὰρ ἀνὴρ πολεμικώτατος), ἐπεὶ δὲ ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες, οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν ἢ θᾶσσον ἀρξαμένην ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν ἢ πταίσαντι παραμείνασαν βεβαιότερον ἄλλος ἔσχε Ῥωμαίων ἢ Πομπήϊος. Αἰτία δὲ τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία, τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθανότης λόγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι μηδὲ ἥδιον ὑπουργῆσαι δεομένῳ. Προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος καὶ τὸ σεμνὸν λαμβάνοντος.

II. Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνδημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. Τὸ γὰρ ἐρά-

4, 133—34 H.

---

ad Pompeium libris usus sum iisdem quibus ad Agesilaum.

I. 1. *πρὸς δὲ* Stephanus cum R. cf. initium Marii. 11. *θᾶττον* C. 12. *παίσαντι* ia. 13. *ἔχε* S^g. *δὲ τοῦ* om S^g. 17. *ἀλυπηρότερον* a et v, *πρότερον* x.

II. 1. *ἐν ἀκμῇ* Ruhnkenius in Velleii 2, 29 p. 169 deletis *ἡ ἀκμὴ* v 4. sed cf v. 8 et 1, 2 et 11.

σμιον ἀξιωματικὸν ἦν φιλανθρώπως καὶ τῷ νεαρῷ καὶ ἀνθοῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. Ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην ἢ φαινομένην ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας. Ἧι καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφυγεν ὁ Πομπήϊος, ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους ἤδη καλεῖν Ἀλέξανδρον. Διὸ καὶ Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικὸς, συνηγορῶν αὐτῷ μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ Φίλιππος ὢν φιλαλέξανδρος ἐστί. Φλώραν δὲ τὴν ἑταίραν ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς Πομπήϊον ὁμιλίας λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην ἀδήκτως ἀπελθεῖν. Πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν ἐπιθυμῆσαί τινα τῶν Πομπηΐου συνήθων αὐτῆς Γεμίνιον καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα· αὐτῆς δὲ φαμένης οὐκ ἂν ἐθελῆσαι διὰ Πομπήϊον, ἐκείνῳ τὸν Γεμίνιον διαλέγεσθαι· τὸν οὖν Πομπήϊον ἐπιτρέψαι μὲν τῷ Γεμινίῳ, μηκέτι δὲ αὐτὸν ἅψασθαι τὸ παράπαν μηδὲ ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα· τοῦτο δὲ αὐτὴν οὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. Καίτοι τὴν Φλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Καικίλιον Μέτελλον ἀνδριάσι καὶ γραφαῖς κοσμοῦντα τὸν νεὼν τῶν Διοσκούρων κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. Πομπήϊος δὲ καὶ τῇ Δημητρίου τοῦ ἀπελευθέρου 620
γυναικὶ πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν ἐχρῆτο παρὰ τὸν αὐτοῦ τρόπον οὐκ ἐπιεικῶς οὐδὲ ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. Οὕτω δὲ πάνυ πόρρωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφευγε τῶν ἐχθρῶν

4, 134—35 H.

---

4. ἐν ἀκμῇ Mureti x placuit quibusdam, ἐν ἀρχῇ Schaeferus. num φιλανθρώπως τῷ νεαρῷ καὶ ἀνθοῦντι καὶ διέφαινεν — aut φιλανθρώπως, καὶ ἐν τῷ νεαρῷ —? de διέφαινεν cf. Mar. 41, 28. καὶ βασιλικὸν C. 9. ἔφευγεν Coraes. 12. παρὰ λόγον C, περὶ λόγον i. φιλαλέξανδρός ἐστι ia. ἐστιν S^g. 14. πρὸς S^gAC: πρὸς τὸν v. 24. καὶ κίλιον S^g, κεκίλιον Cia, fortasse vere, cf. ad Mar. 4, 4 (ubi per errorem ex h. l. attuli κεκίλλιον). 25. νεὼ S^g. 29. ἑαυτοῦ Reiskiana, αὐτοῦ libri praeter a.

τὸν ἐπὶ τούτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος καὶ ἀπομνημόνευμα λέγεται τοιοῦτο. Ἰατρὸς αὐτῷ νοσοῦντι καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν. Ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λευκόλλῳ δι' ἔτους τρεφομένας, „Εἶτα" εἶπεν „εἰ μὴ Λεύκολλος ἐτύφα, Πομπήϊος οὐκ ἂν ἔζησε;" καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβέ τι τῶν εὐπορίστων. Ταῦτα μὲν οὖν ὕστερον.

III. Ἔτι δὲ μειράκιον ὢν παντάπασι καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. Οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν αὐτὸς μὲν ἔμελλε Πομπήϊον ἀποκτείνειν, ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. Μηνύσεως δὲ τῷ Πομπηΐῳ περὶ δεῖπνον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον καὶ φιλοφρονησάμενος τὸν Τερέντιον ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. Ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη καὶ τῇ στιβάδι τοῦ Πομπηΐου προσελθὼν ὡς κατακειμένου πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. Ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν τάς τε σκηνὰς ἀνασπώντων καὶ τὰ ὅπλα λαμβανόντων. Ὁ μὲν οὖν στρατηγὸς οὐ προσῄει δεδιὼς τὸν θόρυβον, ὁ δὲ Πομπήϊος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε, τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος ἐμποδὼν ἔκειτο κλαίων καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας, ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς καὶ πάντας οὕτω πλὴν ὀκτακοσίων μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

IV. Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήϊος. Καὶ

4, 135—37 H.

---

36. καὶ ἀπομν.] ἓν ἀπομν. cum Stephaniana ceteri. 37. τοιοῦτον V. 40. λευκόλλῳ S^g pr. Ai et postea: λευκούλλῳ corr. ACa et postea, Λουκούλλῳ et Λούκουλλος v. 41. ἔζησεν C.

III. 4. ἀποκτείνειν S^gAC: ἀποκτενεῖν v. 11. προῄει cum Stephaniana ceteri.

τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευθέρων ὁ Πομπήϊος νενοσφισμένον Ἀλέξανδρον ἀπέδειξε τοῖς ἄρχουσιν, αὐτὸς δὲ λίνα θηρατικὰ καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. Ταῦτα δὲ ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. Ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. Ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς φαινόμενος δόξαν ἔσχε μεγάλην καὶ χάριν, ὥστε Ἀντίστιον στρατηγοῦντα καὶ βραβεύοντα τὴν δίκην ἐκείνην ἐρασθῆναι τοῦ Πομπηίου καὶ γυναῖκα δοῦναι τὴν ἑαυτοῦ θυγατέρα καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. Δεξαμένου δὲ Πομπηίου καὶ γενομένων ἐν αὐτοῖς ἀπορρήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. Τέλος δὲ τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. Τὸ δὲ ἔθος ἀρχὴν λαβεῖν φασι τοιαύτην. Ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς Ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἀρετῇ Ῥω- 621
μαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες αἰγελάται καὶ βοτῆρες ἀράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. Ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα Ταλασίῳ (τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος), ὥστε τοὺς ἀκούσαντας τοὔνομα κροτεῖν καὶ βοᾶν οἷον συνηδομένους καὶ συνεπαινοῦντας. Ἐκ τούτου φασὶ (καὶ γὰρ εὐτυχὴς ὁ γάμος ἀπέβη τῷ Ταλασίῳ) ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γενέσθαι τοῖς γαμοῦσιν. Οὗτος ὁ λόγος πιθανώτατός ἐστι τῶν περὶ τοῦ Ταλασίου λεγομέ-

4, 137—38 H.

IV. 3. ὁ πομπήϊος νενοσφισμένον S^g: νενοσφισμένον ὁ Πομπήϊος v. 5. λῖνα ia. θηρατικὰ S^gA: θηρευτικὰ v. 6. δὲ om S^g. 10. ‚scriptum est etiam ἀπαθής' Stephanus. 13. malim διδόναι cum Schaefero. 19. τὸ om ia. 20. λαβεῖν om S^g, φασὶ λαβεῖν C, unde coniicias τοῦ δὲ ἔθους ἀρχήν φασι, sed cf. ad c. 8, 35. 22. παραγενομένας] ἀγομένας A. 23. αἰγελάται] ἀγελάται uV, ἀπελάται S^g cod. Stephani (‚invenitur etiam') V. num πελάται? cf. mor. 272 a: ἐκομίζετο τῷ Ταλασίῳ παρθένος — ὑπὸ δημοτικῶν τινων καὶ πελατῶν τοῦ Ταλασίου. 25. μὴ om i. 29. ὡς γὰρ V. 30. γίνεσθαι Coraes.

νων. Ὀλίγαις οὖν ὕστερον ἡμέραις ὁ Πομπήϊος ἠγάγετο τὴν Ἀντιστίαν.

V. Ἐπεὶ δὲ πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτόν, οὐκ ὄντος ἐμφανοῦς αὐτοῦ θροῦς διῆλθεν ἐν τῷ στρατοπέδῳ καὶ λόγος, ὡς ἀνῃρήκοι τὸν νεανίσκον ὁ Κίννας· ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες ὥρμησαν ἐπ' αὐτόν. Ὁ δὲ φεύγων καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος προσέπεσε τοῖς γόνασι καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. Ὁ δὲ καὶ μάλα ὑβριστικῶς εἰπὼν „Ἀλλ' οὐκ ἐγγύην ἔρχομαι σφραγιούμενος, ἀλλὰ ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον," ἀπέκτεινεν αὐτόν. Οὕτω δὲ τοῦ Κίννα τελευτήσαντος ἐδέξατο μὲν τὰ πράγματα καὶ συνεῖχε Κάρβων ἐμπληκτότερος ἐκείνου τύραννος, ἐπῄει δὲ Σύλλας τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν. Εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν ἀπογνώσει τῆς ἐλευθερίας.

VI. Τότε οὖν ὁ Πομπήϊος ἐν τῇ Πικηνίδι τῆς Ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία, τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. Ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολείποντας τὰ οἰκεῖα καὶ πανταχόθεν εἰς τὸ Σύλλα στρατόπεδον ὥσπερ εἰς λιμένα καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδρὰς οὐδὲ ἀσύμβολος οὐδὲ χρῄζων βοηθείας, ἀλλὰ ὑπάρξας τινὸς χάριτος ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. Ὅθεν ἐκίνει τοὺς Πικηνοὺς ἀποπειρώμενος. Οἱ δὲ ὑπήκουον αὐτῷ προθύμως καὶ τοῖς παρὰ Κάρβωνος ἥκουσιν οὐ προσεῖχον. Οὐϊνδίου δέ τινος εἰπόντος,

4, 138—39 H.

---

32. δ' οὖν V.

V. 3. ὄντος C: ὄντος δ' v. fateor tamen me nonnihil dubitare de veritate illius scripturae in tanta multitudine exemplorum liberioris structurae ἐπεὶ particulae. 4. ἀνῃρήκοι S^g: ἀνῃρήκει v. 5. deleam οἱ. 8. γούνασι S^gC.

VI. 1. πικινίδι et mox πικινοὺς S^g. cf. v. l. Marcell. 4, 5. 3. πατρόθεν] πανταχόθεν V. 5. ἀπολείποντας Coraes: ἀπολιπόντας v. 8. ὑπάρξαι ia. 10. περὶ i. 11. οὐϊδίου et mox οὐϊδιον ACπSuV et i quae mox ἰούδιον, οὐηδίου et mox οὐήδιον S^gV.

ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγίου παραπεπήδηκεν ὁ Πομπήϊος, οὕτως ἠγανάκτησαν, ὥστε εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν Οὐίνδιον. Ἐκ τούτου Πομπήϊος ἔτη μὲν τρία καὶ εἴκοσι γεγονὼς, ὑπ' οὐδενὸς δὲ ἀνθρώπων ἀποδεδειγμένος στρατηγὸς, αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν ἐν Αὐξίμῳ, πόλει μεγάλῃ, βῆμα θεὶς ἐν ἀγορᾷ καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο Οὐεντιδίους ὑπὲρ Κάρβωνος ἀντιπράττοντας διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας στρατιώτας καταλέγει καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις τὰς κύκλῳ πόλεις ἐπῆγε τὸ αὐτὸ ποιῶν. Ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων ὅσοι τὰ Κάρβωνος ἐφρόνουν, τῶν δὲ ἄλλων ἀσμένως ἐπιδιδόντων αὐτούς, οὕτω κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια καὶ τροφὴν πορίσας καὶ σκευαγωγὰ καὶ ἁμάξας καὶ τὴν ἄλλην πᾶσαν παρασκευὴν ἦγε πρὸς Σύλλαν, οὐκ ἐπειγόμενος οὐδὲ τὸ λαθεῖν ἀγαπῶν, ἀλλὰ διατρίβων καθ' ὁδὸν ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους καὶ πᾶν ὅσον ἐπῆγε τῆς Ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ Κάρβωνος.

VII. Ἀνέστησαν οὖν ἐπ' αὐτὸν τρεῖς ἅμα στρατηγοὶ πολέμιοι Καρίννας καὶ Κλοίλιος καὶ Βροῦτος, οὐκ ἐναντίοι 622
πάντες οὐδὲ ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες ὡς ἀναρπασόμενοι. Ὁ δὲ οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγὼν ὥρμησεν ἐφ' ἓν τὸ τοῦ Βρούτου στράτευμα τοὺς ἱππεῖς, ἐν οἷς ἦν αὐτὸς, προτάξας. Ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππευσαν οἱ Κελτοὶ, τὸν πρῶτον αὐτῶν καὶ ῥωμαλεώτατον φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. Οἱ δὲ ἄλλοι τραπόμενοι καὶ τὸ πεζὸν συνετάραξαν, ὥστε φυγὴν γενέσθαι πάντων. Ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους ἀνεχώρησαν, ὡς ἕκαστος ἔτυχε, Πομπηίῳ δὲ προσεχώρουν αἱ πόλεις,

4, 139—41 H.

12. παιδαγωγίου S^gACi: παιδαγωγείου v. 16. ἑαυτῷ δοὺς τὸ Solani C: ἑαυτῷ δοὺς τῷ A, ἑαυτὸν δοὺς τὸ S^g, ἑαυτὸν δοὺς τῷ v. 18. οὐεντιδίους S^gACSπV. de vera nominis forma dubitari non potest propter Gellii 15, 4. sed eam an Plutarchus dederit incertum puto. 19. καταλέγει S^g: κατέλεγε v, cf. c. 7, 19. 23. αὐτοὺς S^g: ἑαυτοὺς v. 28. ἀποστῆσαι C.

VII. 2. κλοίλιος S^g: Κοίλλιος v, cf. ad Sull. 6, 84. 7. περὶ i. ἀντεξίππευσαν S^gV: ἀντεξίππασαν v. 8. αὐτῶν C cum Mureto: αὐτὸν v.

ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. Αὖθις δὲ Σκηπίωνος ἐπιόντος αὐτῷ τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φάλαγγας, οἱ Σκηπίωνος ἀσπασάμενοι τοὺς Πομπηΐου μετεβάλοντο, Σκηπίων δὲ ἔφυγε. Τέλος δὲ Κάρβωνος αὐτοῦ περὶ τὸν Ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἀφέντος εὐρώστως ὑποστὰς καὶ τρεψάμενος εἰς χαλεπὰ καὶ ἄφιππα χωρία πάντας ἐμβάλλει διώκων· οἱ δὲ τὴν σωτηρίαν ἀνέλπιστον ὁρῶντες ἐνεχείρισαν αὑτοὺς μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων.

VIII. Οὕπω δὲ ταῦτα Σύλλας ἐπέπυστο· πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας ὑπὲρ αὐτοῦ δεδοικὼς ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς πολεμίοις ἐδίωκε βοηθήσων. Γνοὺς δὲ ὁ Πομπήϊος ἐγγὺς ὄντα προσέταξε τοῖς ἡγεμόσιν ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη· μεγάλας γὰρ ἤλπιζε παρ' αὐτοῦ τιμάς· ἔτυχε δὲ μειζόνων. Ὡς γὰρ εἶδεν αὐτὸν ὁ Σύλλας προσιόντα καὶ τὴν στρατιὰν παρεστῶσαν εὐανδρίᾳ τε θαυμαστὴν καὶ διὰ τὰς κατορθώσεις ἐπῃρμένην καὶ ἱλαράν, ἀποπηδήσας τοῦ ἵππου καὶ προσαγορευθεὶς, ὡς εἰκὸς, αὐτοκράτωρ ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν Πομπήϊον, οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοὔνομα τοῦτο Σύλλαν, περὶ οὗ Σκηπίωσι καὶ Μαρίοις ἐπολέμει. Καὶ τἆλλα δὲ ἦν ὁμολογοῦντα ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου τε προσιόντι τῷ Πομπηίῳ καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον, ἃ πρὸς ἄλλον οὐ ῥᾳδίως ἐωρᾶτο ποιῶν, καίπερ ὄντων πολλῶν καὶ ἀγαθῶν περὶ αὐτόν. Οὐ μὴν ἐκουφίσθη γε τούτοις ὁ Πομπήϊος, ἀλλ' εὐθὺς εἰς τὴν Κελτικὴν ὑπ' αὐτοῦ πεμπόμενος, ἣν ἔχων ὁ Μέτελλος ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, οὐ καλῶς ἔφη ἔχειν πρεσβύτερον

---

13. *Σκιπίωνος* Stephaniana et postea. 14. *ἐν ἐμβολαῖς*] cf. Coriol. 9, 31. 16. *μετεβάλοντο* Schaeferus: *μετεβάλλοντο* libri. 17. *αἴσιν* A. *ἴλλας* C. 18. *ἐφέντος* Reiskii nuperi, sed cf. Dion. 30. 41. 45. Crass. 21, 25. 19. *ἄφυκτα* C. 20. *ἐνεχείρησαν* S^g.

VIII. 8. *στρατείαν* S^g, *δύναμιν* V. 9. *εὐανδρίαν* S^g. 16. *τε*] *δὲ* S^g. 19. *ἀλλ'* S^g: *ἀλλὰ* ceteri. 21. *ἔφη ἔχειν*] vide ne scribendum sit *οὐκ ἔφη καλῶς* cl. c. 55. et v. l. Caes. 1.

καὶ προὔχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι, βουλομένῳ μέντοι τῷ Μετέλλῳ καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν ἕτοιμος εἶναι. Δεξαμένου δὲ τοῦ Μετέλλου καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν Κελτικὴν αὐτός τε καθ' ἑαυτὸν ἔργα θαυμαστὰ διεπράττετο καὶ τοῦ Μετέλλου τὸ μάχιμον καὶ θαρσαλέον ἤδη σβεννύμενον ὑπὸ γήρως αὖθις ἐξερρίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς λέγεται τοῦ πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συνανατήκειν. Ἀλλὰ γὰρ, ὥσπερ ἀθλητοῦ πρωτεύσαντος ἐν ἀνδράσι καὶ τοὺς πανταχοῦ καθελόντος ἐνδόξως ἀγῶνας εἰς οὐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας οὐδ' ἀναγράφουσιν, οὕτως ἃς ἔπραξε τότε πράξεις ὁ Πομπήϊος αὐτὰς καθ' ἑαυτὰς ὑπερφυεῖς οὔσας, πλήθει δὲ καὶ μεγέθει τῶν ὑστέρων ἀγώνων καὶ πολέμων κατακεχωσμένας ἐδεδίειν κινεῖν, μὴ περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης τῶν μεγίστων καὶ μάλιστα δηλούντων τὸ ἦθος ἔργων καὶ παθημάτων τοῦ ἀνδρὸς ἀπολειφθῶμεν.

IX. Ἐπεὶ τοίνυν ἐκράτησε τῆς Ἰταλίας ὁ Σύλλας καὶ 623
δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο πλουσίους ποιῶν καὶ προάγων ἐπὶ ἀρχὰς καὶ χαριζόμενος ἀφθόνως καὶ προθύμως ὧν ἕκαστος ἐδεῖτο, Πομπήϊον δὲ θαυμάζων δι' ἀρετὴν καὶ μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτοῦ πράγμασιν ἐσπούδασεν ἀμωσγέπως οἰκειότητι προσθέσθαι. Συμβουλομένης δὲ τῆς γυναικὸς αὐτοῦ, τῆς Μετέλλης, πείθουσι τὸν Πομπήϊον ἀπαλλαγέντα τῆς Ἀντιστίας λαβεῖν γυναῖκα τὴν Σύλλα πρόγονον Αἰμιλίαν, ἐκ Μετέλλης καὶ Σκαύρου γεγενημένην, ἀνδρὶ δὲ συνοικοῦσαν ἤδη καὶ κύουσαν τότε. Ἦν οὖν τυραννικὰ τὰ τοῦ γάμου

4, 142—43 H.

---

23. καὶ κελεύοντι τῷ μετέλλῳ C. 25. καθ' ἑαυτὸν S^gACi: καθ' αὐτὸν a, καθ' αὑτὸν v. 34. δὲ Coraes: τε libri. 35. ὕστερον C. καὶ πολέμων om S^g et nuperi. sed passim in hac vita idem liber omittit quibus aegre careas, sic statim v. 36 cl. 4, 6 et 20. 12. 20. 22. 70. 36. δέδια V nuperi. κινεῖν om S^g. 37. γινομένης C.

IX. 4. καὶ προθύμως] προθύμως i. 9. τὴν ἄλλα πρωτόγονον S^g. 10. σκαύλου C. γεγεννημένην Reiskianae nuperi. cf. Alex. 3. 11. τότε post ἤδη collocat S^g. τὰ ab Stephano desideratum addiderunt S^g[AC]uSR.

καὶ τοῖς Σύλλα καιροῖς μᾶλλον ἢ τῷ Πομπηίου βίῳ πρέποντα, τῆς μὲν Αἰμιλίας ἀγομένης ἐγκύμονος παρ' ἑτέρου πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς Ἀντιστίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τοῦ πατρὸς ἔναγχος ἐστερημένης διὰ τὸν ἄνδρα· κατεσφάγη γὰρ ὁ Ἀντίστιος ἐν τῷ βουλευτηρίῳ δοκῶν τὰ Σύλλα τηρεῖν διὰ Πομπήϊον· ἡ δὲ μήτηρ αὐτῆς ἐπιδοῦσα ταῦτα προήκατο τὸν βίον ἑκουσίως, ὥστε καὶ τοῦτο τὸ πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι καὶ νὴ Δία τὸ τὴν Αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ Πομπηίῳ τίκτουσαν.

X. Ἐκ τούτου Σικελίαν ἠγγέλλετο Περπέννας αὐτῷ κρατύνεσθαι καὶ τοῖς περιοῦσιν ἔτι τῆς ἐναντίας στάσεως ὁρμητήριον παρέχειν τὴν νῆσον, αἰωρουμένου καὶ Κάρβωνος αὐτόθι ναυτικῷ καὶ Δομιτίου Λιβύῃ προσπεπτωκότος ἄλλων τε πολλῶν ἐπέκεινα μεγάλων ὠθουμένων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες. Ἐπὶ τούτους Πομπήϊος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. Καὶ Περπέννας μὲν εὐθὺς αὐτῷ Σικελίας ἐξέστη, τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας καὶ φιλανθρώπως πάσαις ἐχρῆτο πλὴν Μαμερτίνων τῶν ἐν Μεσσήνῃ. Παραιτουμένων γὰρ αὐτοῦ τὸ βῆμα καὶ τὴν δικαιοδοσίαν, ὡς νομίμῳ παλαιῷ Ῥωμαίων ἀπειρημένα, „Οὐ παύσεσθε“ εἶπεν „ἡμῖν ὑπεζωσμένοις ξίφη νόμους ἀναγινώσκοντες;“ Ἔδοξε δὲ καὶ ταῖς Κάρβωνος οὐκ ἀνθρωπίνως ἐνυβρίσαι συμφοραῖς. Εἰ γὰρ ἦν ἀναγκαῖον αὐτὸν, ὥσπερ ἦν ἴσως, ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. Ὁ δὲ δέσμιον προαγαγὼν ἄνδρα Ῥωμαίων τρὶς ὑπατεύσαντα καὶ πρὸ τοῦ βήματος στήσας καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν

4, 143—44 H.

---

12. τῷ Πομπηΐου βίῳ] ‚pro his vocabulis scriptum est in quibusdam τοῖς Πομπηΐου τρόποις‘ Stephanus. Amiotus: ‚à la nature n'y aux moeurs de Pompeius.‘ 13. αἰμυλίας C. 17. τηρεῖν] φρονεῖν qVx ‚quaedam exempl.‘ Stephani. sic nuperi. 18. τὸ post τοῦτο om i.

X. 5. ἐπ' ἐκεῖνα Reiskii ceteri. 6. ἀποδράσαντες Sg. infra c. 16 ἀπέδρασεν, sed ἀποδράσας num dixerit Plutarchus incertum habeo, cuius novi ἀποδρὰς Sull. 28. Demosth. 3. 20. 9. μαμερτίων i. 11. νομίμῳ SgACVi cl. Sull. 35, 11: νόμῳ marg. A m rec et v. 12. παύσεσθαι ia. 16. Ῥωμαῖον x malebatque Stephanus.

παρόντων· εἶτα ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. Ἀπαχθέντα μέντοι φασὶν αὐτὸν, ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ, παρασχεῖν. Γάϊος δὲ Ὄππιος ὁ Καίσαρος ἑταῖρος ἀπανθρώπως φησὶ καὶ Κοΐντῳ Οὐαλλερίῳ χρήσασθαι τὸν Πομπήϊον. Ἐπιστάμενον γὰρ, ὡς ἔστι φιλολόγος ἀνὴρ καὶ φιλομαθὴς ἐν ὀλίγοις ὁ Οὐαλλέριος, ὡς ἦχθη πρὸς αὐτὸν, ἐπισπασάμενον καὶ συμπεριπατήσαντα καὶ πυθόμενον ὧν ἔχρηζε καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. Ἀλλ' Ὄππίῳ μὲν, ὅταν περὶ τῶν Καίσαρος πολεμίων ἢ φίλων διαλέγηται, σφόδρα δεῖ πιστεύειν μετὰ εὐλαβείας· Πομπήϊος δὲ τοὺς μὲν ἐν δόξῃ μάλιστα τῶν Σύλλα πολεμίων καὶ φανερῶς ἁλισκομένους ἀναγκαίως ἐκόλαζε, τῶν δ' ἄλλων ὅσους ἐξῆν περιεώρα λανθάνοντας, ἐνίους δὲ καὶ συνεξέπεμψε. Τὴν δ' Ἰμεραίων πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν γενομένην μετὰ τῶν πολεμίων, Σθένις ὁ δημαγωγὸς αἰτησάμενος λόγον οὐκ ἔφη δίκαια ποιήσειν τὸν Πομπήϊον, ἐὰν τὸν αἴτιον ἀφεὶς ἀπολέσῃ τοὺς μηδὲν ἀδικοῦντας. Ἐρομένου δὲ ἐκείνου, τίνα λέγει τὸν αἴτιον, ἑαυτὸν ὁ Σθένις 624
ἔφη, τοὺς μὲν φίλους πείσαντα τῶν πολιτῶν, τοὺς δ' ἐχθροὺς βιασάμενον. Ἀγασθεὶς οὖν τὴν παῤῥησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ Πομπήϊος ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα τοὺς ἄλλους ἅπαντας. Ἀκούων δὲ τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο.

XI. Ταῦτα πράττων ἐν Σικελίᾳ καὶ πολιτευόμενος ἐδέξατο δόγμα συγκλήτου καὶ γράμματα Σύλλα κελεύοντα εἰς Λιβύην πλεῖν καὶ πολεμεῖν Δομιτίῳ κατὰ κράτος ἠθροικότι πολλαπλασίαν δύναμιν ἧς ἔχων Μάριος οὐ πάλαι διεπέρασεν ἐκ Λιβύης εἰς Ἰταλίαν καὶ συνέχει τὰ Ῥωμαίων πράγματα τύραννος ἐκ φυγάδος καταστάς. Ὀξέως οὖν ἅπαντα
4, 144—47 H.

---

22. ὄππιος S^g et infra: Ὄπιος v. 23. ,legitur etiam ἀπαθῶς, Stephanus V. Οὐαλερίῳ Stephaniana et mox. χρῆσθαι V. 33. Ἰμεραίων] aliter mor. 815 f. 34. σθένης Stephaniana et postea. 36. τὸ αἴτιον a et v.

XI. 2. κελεύοντα εἰς vix fero. num κελευόντων vel κελεύοντος cl. c. 13 in.? 5. εἰς Σικελίαν Stephanus ,ex vet. codicibus'. sed cf. Mar. 41.

παρασκευασάμενος ὁ Πομπήϊος Σικελίας μὲν ἄρχοντα Μέμμιον κατέλιπε τὸν ἄνδρα τῆς ἀδελφῆς, αὐτὸς δὲ ἀνήγετο ναυσὶ μὲν μακραῖς ἑκατὸν εἴκοσι, φορτηγοῖς δὲ σίτου καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις ὀκτακοσίαις. Κατασχόντι δὲ αὐτῷ ταῖς μὲν εἰς Ἰτύκην ναυσὶ, ταῖς δὲ εἰς Καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι προσεχώρησαν, αὐτὸς δὲ ἦγεν ἓξ ἐντελῆ τάγματα. Συμβῆναι δὲ αὐτῷ πρᾶγμα γελοῖον ἱστοροῦσι. Στρατιῶται γάρ τινες, ὡς ἔοικε, θησαυρῷ περιπεσόντες ἔλαβον συχνὰ χρήματα. Τοῦ δὲ πράγματος γενομένου φανεροῦ δόξα τοῖς ἄλλοις παρέστη πᾶσι χρημάτων μεστὸν εἶναι τὸν τόπον ἐν ταῖς ποτε τύχαις τῶν Καρχηδονίων ἀποτεθειμένων. Οὐδὲν οὖν ὁ Πομπήϊος εἶχε χρῆσθαι τοῖς στρατιώταις ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς ζητοῦσιν, ἀλλὰ περιῆει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυσσούσας καὶ στρεφούσας τὸ πεδίον, ἕως ἀπειπόντες ἐκέλευον αὐτοὺς ἄγειν ὅπη βούλεται τὸν Πομπήϊον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτηρίας δεδωκότας.

XII. Ἀντιτεταγμένου δὲ τοῦ Δομιτίου καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περᾶσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἔωθεν ἀρξάμενος κατεῖχεν, ὥστε ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν Δομίτιον ἀναζυγὴν παραγγεῖλαι. Πομπήϊος δὲ τοῦτον αὐτοῦ ποιούμενος τὸν καιρὸν ὀξέως ἐπῆει καὶ διέβαινε τὴν χαράδραν. Οἱ δὲ ἀτάκτως καὶ θορυβούμενοι καὶ οὐ πάντες οὐδὲ ὁμαλῶς ὑφίσταντο, καὶ τὸ πνεῦμα περιῆει τὴν ζάλην αὐτοῖς προσβάλλον ἐναντίαν. Οὐ μὴν ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὁ χειμὼν ἐτάραξεν οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς, αὐτός τε Πομπήϊος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα βράδιον ἀποκρινάμενος. Ὠσάμενοι δὲ πολλῷ

4, 147—48 H.

---

7. *Μέμμιον* Xylander x: *μόμμιον* libri, *Μούμμιον* edit. Francofurt. cf. Sertor. 21, 4. 10. *μηχαναῖς* C. 11. *ἰτυίκην* V. 12. ‚in antiquis exemplaribus scriptum est *ὀκτακισχίλιοι*‘ Stephanus. 16. ‚legitur et hoc modo: *δόξα τοῖς ἄλλοις παρέστη πᾶσι*‘ Stephanus: *ἔδοξε τοῖς ἄλλοις πᾶσι* v. 18. *ἀποτεθειμένων* Coraes: *ἀποτιθεμένων* libri. 19. *θησαυρὸν* V. 23. *ἀβελτερίας* Reiskianae nuperi, cf. Fab. Max. 1, 21 Timol. 14, 21 Nic. 20, 23 Anton. 10 Artax. 14 Coraes ad Lycurg. 1 p. 387.

XII. 2. *περιβεβλημένου* C. *περᾶσαι* ia: *περάσαι* v. 5. *ἑαυτοῦ* Stephaniana. 12. *βραδύτερον* V. *δὲ* om S^E.

φόνῳ τοὺς πολεμίους (λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν) αὐτοκράτορα τὸν Πομπήϊον ἠσπάσαντο. Φήσαντος δὲ ἐκείνου μὴ δέχεσθαι τὴν τιμὴν, ἕως ὀρθὸν ἕστηκε τὸ στρατόπεδον τῶν πολεμίων, εἰ δὲ αὐτὸν ἀξιοῦσι ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα· καὶ Πομπήϊος ἄνευ κράνους ἠγωνίζετο δεδοικὼς τὸ πρότερον πάθος. Ἁλίσκεται δὲ τὸ στρατόπεδον καὶ ἀποθνήσκει Δομίτιος. Τῶν δὲ πόλεων αἱ μὲν εὐθὺς ὑπήκουον, αἱ δὲ κατὰ κράτος ἐλήφθησαν. Εἶλε δὲ καὶ τῶν βασιλέων Ἰάρφαν τὸν συμμαχήσαντα Δομιτίῳ, τὴν δὲ βασιλείαν Ἰάμψῃ παρέδωκε. Χρώμενος δὲ τῇ τύχῃ καὶ τῇ ῥώμῃ τοῦ στρατεύματος εἰς τὴν Νομαδικὴν ἐνέβαλε· καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας καὶ πάντων κρατήσας, οἷς ἐνέτυχε, καὶ τὸ πρὸς Ῥωμαίους δέος ἤδη τῶν βαρβάρων ἐξερρυηκὸς αὖθις ἰσχυρὸν καὶ φοβερὸν καταστήσας, οὐδὲ τὰ θηρία δεῖν ἔφη τὰ τὴν Λιβύην κατοικοῦντα τῆς τῶν Ῥωμαίων ἄπειρα ῥώμης καὶ τόλμης ἀπολιπεῖν. Ὅθεν ἐν θήραις 625
λεόντων καὶ ἐλεφάντων ἡμέρας διέτριψεν οὐ πολλάς· ταῖς δὲ πάσαις, ὥς φασι, τεσσαράκοντα τοὺς πολεμίους συνεῖλε καὶ Λιβύην ἐχειρώσατο καὶ διῆτησε τὰ τῶν βασιλέων ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν.

XIII. Ἐπανελθόντι δὲ εἰς Ἰτύκην αὐτῷ γράμματα κομίζεται Σύλλα προστάττοντος ἀφιέναι μὲν τὴν ἄλλην στρατιὰν, αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν αὐτόθι τὸν διαδεξόμενον στρατηγόν. Ἐπὶ τούτοις ἀδήλως μὲν αὐτὸς ἤχθετο καὶ βαρέως ἔφερεν, ἐμφανῶς δὲ ὁ στρατὸς ἠγανάκτει· καὶ δεηθέντος τοῦ Πομπηίου προελθεῖν τόν τε Σύλλαν κακῶς ἔλεγον κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χωρὶς αὐτῶν οὐδὲ εἴων πιστεύειν τῷ τυράννῳ. Τὸ μὲν οὖν πρῶτον ὁ Πομπήϊος ἐπειρᾶτο παύειν καὶ παρηγορεῖν αὐτούς· ὡς δ' οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. Οἱ δὲ συλλαβόντες αὐτὸν αὖθις ἐπὶ

4, 148—49 H.

---

19. καὶ δεδοικὼς S^{g}. 22. ἰάρφαν AC: ἴαρφαν ia, ἰάρφθαν S^{g}V, Ἰάρβαν x et nuperi, vide interpretes Livii epitom. 89. 23. Ἰέμψᾳ x, Ἰέμψᾳ Coraes, sed cf. Mar. 40, 32. παρέδωκεν A. 29. τόλμης S^{g}: τόλμης καὶ τύχης V, τύχης v.

XIII. 1. ἐπανελθόντα Aia. 2. στρατιὰν Bryanus: στρατείαν libri. 4. διαδεξάμενον V. 6. immo δεηθέντες.

τοῦ βήματος κατέστησαν· καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν κελευόντων, τοῦ δὲ πείθεσθαι δεομένου καὶ μὴ στασιάζειν, ἄχρι οὗ προσλιπαρούντων καὶ καταβοώντων ὤμοσεν ἀναιρήσειν ἑαυτὸν, εἰ βιάζοιντο καὶ μόλις ἐπαύσαντο οὕτως. Τῷ δὲ Σύλλᾳ πρώτη μὲν ἦλθεν ἀγγελία τὸν Πομπήϊον ἀφεστάναι, καὶ πρὸς τοὺς φίλους εἶπεν, ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενομένῳ γέροντι παιδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ Μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους, πυθόμενος δὲ τἀληθῆ καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι καὶ παραπέμπειν τὸν Πομπήϊον ὡρμημένους μετ' εὐνοίας ἔσπευδεν ὑπερβαλέσθαι· καὶ προελθὼν ἀπήντησεν αὐτῷ καὶ δεξιωσάμενος ὡς ἐνῆν προθυμότατα μεγάλῃ φωνῇ Μάγνον ἠσπάσατο καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεῦσαι. Σημαίνει δὲ μέγαν ὁ Μάγνος. Ἕτεροι δέ φασιν ἐν Λιβύῃ πρῶτον ἀναφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι, κράτος δὲ λαβεῖν καὶ δύναμιν ὑπὸ Σύλλα βεβαιωθέν. Αὐτὸς μέντοι πάντων ὕστατος καὶ μετὰ πολὺν χρόνον εἰς Ἰβηρίαν ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ Σερτώριον ἤρξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ τοῖς διατάγμασι Μάγνον Πομπήϊον· οὐκέτι γὰρ ἦν ἐπίφθονον τοὔνομα σύνηθες γενόμενον. Ὅθεν εἰκότως ἂν ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι Ῥωμαίους, οἳ ταῖς τοιαύταις κλήσεσι καὶ προσωνυμίαις οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκόσμουν. Δύο γοῦν Μαξίμους, ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος· Οὐαλλέριον μὲν ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ τὴν σύγκλητον, Φάβιον δὲ Ῥοῦλλον, ὅτι πλουσίους τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ καταλελεγμένους εἰς τὴν σύγκλητον ἐξέβαλεν.

4, 149—50 H.

---

14. *δεομένου* post *στασιάζειν* repetit C. *ἄχρι* S^{g} pr. ACi: *ἄχριῳ* v. 16. *οὕτως* S^{g}C: *οὔτω* v. sed scribendum videtur *οὕτως ἐπαύσαντο*, quamquam ipsum illud *οὕτω* delendum putabat Emperius. 18. *εἰπὼν* S^{g}ACπSV, ut suspiceris nonnulla intercidisse. 29. *πάντως* Stephaniana. 32. *ἦν* om C. 35. *ἐπικλήσεσι* Stephanianae ceteri. 38. *Οὐαλέριον* Stephanianae ceteri. 41. *καταλελεγμένους* S^{g}CV: *κατειλεγμένους* v.

XIV. Ἐκ τούτου θριάμβου ᾔτει Πομπήϊος, ἀντέλεγε δὲ Σύλλας. Ὑπάτῳ γὰρ ἢ στρατηγῷ μόνῳ, ἄλλῳ δὲ οὐδενὶ δίδωσιν ὁ νόμος. Διὸ καὶ Σκηπίων ὁ πρῶτος ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν Ἰβηρίᾳ Καρχηδονίων κρατήσας οὐκ ᾔτησε θρίαμβον· ὕπατος γὰρ οὐκ ἦν οὐδὲ στρατηγός. Εἰ δὲ Πομπήϊος οὔπω πάνυ γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βουλῆς διὰ τὴν ἡλικίαν οὐ μέτεστι, παντάπασιν ἐπίφθονον ἔσεσθαι καὶ τὴν ἀρχὴν ἑαυτῷ καὶ τὴν τιμὴν ἐκείνῳ. Ταῦτα πρὸς Πομπήϊον ὁ Σύλλας ἔλεγεν, ὡς οὐκ εἰάσων, ἀλλὰ ἐνστησόμενος αὐτῷ καὶ κωλύσων τὸ φιλόνεικον ἀπειθοῦντος. Ὁ δὲ Πομπήϊος οὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἐκέλευε τὸν Σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες ἢ δυόμενον προσκυνοῦσιν, ὡς αὐτῷ μὲν αὐξανομένης, μειουμέ- 626
νης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. Ταῦτα ὁ Σύλλας οὐκ ἀκριβῶς ἐξακούσας, ὁρῶν δὲ τοὺς ἀκούσαντας ἀπὸ τοῦ προσώπου καὶ τοῦ σχήματος ἐν θαύματι ποιουμένους, ἤρετό τί τὸ λεχθὲν εἴη. Πυθόμενος δὲ καὶ καταπλαγεὶς τοῦ Πομπηίου τὴν τόλμαν ἀνεβόησε δὶς ἐφεξῆς „Θριαμβευσάτω.“ Πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων ἔτι μᾶλλον αὐτούς, ὥς φασι, βουλόμενος ἀνιᾶν ὁ Πομπήϊος ἐπεχείρησεν ἐλεφάντων ἅρματι τεττάρων ἐπιβὰς εἰσελαύνειν· ἦγαγε γὰρ ἐκ Λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους· ἀλλὰ τῆς πύλης στενοτέρας οὔσης ἀπέστη καὶ μετῆλθεν ἐπὶ τοὺς ἵππους. Ἐπεὶ δὲ οἱ στρατιῶται μὴ τυχόντες ἡλίκων προσεδόκησαν ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν, οὐδὲν ἔφη φροντίζειν, ἀλλὰ ἀφήσειν μᾶλλον τὸν θρίαμβον ἢ κολακεύσειν ἐκείνους. Ὅτε δὴ καὶ Σερουίλιος, ἀνὴρ ἐπιφανὴς καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ Πομπηίου, νῦν ἔφη τὸν Πομπήϊον ὁρᾶν καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. Δῆλον δ' ἐστὶν, ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳ-

4, 150—52 H.

XIV. 2. μόνῳ — οὐδενὶ om C, solum μόνῳ π. Zonaras p. 120: ὡς ὑπάτῳ ἢ στρατηγῷ θριαμβεύειν νενόμισται, ἄλλῳ δὲ οὐδενί. 3. Σκιπίων Stephanianae ceteri. 6. πάνυ] σφόδρα V. θρίαμβον CV. 10. κολούσων Solani nuperi. 12. ἐκέλευσε Schaeferi C. 15. οὐκ om i. ἐξακούσας CSπV: ἀκούσας v. 17. εἴρετο S^g. 21. ἐλεφάντων ἅρματι S^g: ἅρματι ἐλεφάντων v. 23. στενοτέρας S^gC cl. ad Philop. 2, 16: στενωτέρας v. 26. φησὶ post μᾶλλον addunt omnes praeter ,duos codd.' Mureti V. κολακεύειν V.

δίως ἔτυχεν. Ἀλλ᾽ οὐκ ἐσπούδασεν, ὡς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. Οὐ γὰρ ἦν θαυμαστὸν, εἰ πρὸ ἡλικίας ἐβούλευε Πομπήϊος, ἀλλ᾽ ὑπέρλαμπρον, ὅτι μηδέπω βουλεύων ἐθριάμβευε. Τοῦτο δὲ αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ μικρόν· ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ.

XV. Σύλλας δὲ ἠνιᾶτο μὲν ὁρῶν εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως, αἰσχυνόμενος δὲ κωλύειν ἡσυχίαν ἦγε· πλὴν, ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ Λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας καὶ τὸν δῆμον τῇ πρὸς αὐτὸν εὐνοίᾳ ἐκείνῳ σπουδάζοντα παρασχὼν, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι᾽ ἀγορᾶς ὁ Σύλλας· „Ὁρῶ σε“ εἶπεν „ὦ νεανία, χαίροντα τῇ νίκῃ. Πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλὰ, Κάτλου τοῦ πάντων ἀρίστου Λέπιδον τὸν πάντων κάκιστον ἀποδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος; Ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν· ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτῷ παρεσκεύακας.“ Ἐδήλωσε δὲ μάλιστα Σύλλας, ὅτι πρὸς Πομπήϊον οὐκ εὐμενῶς εἶχε ταῖς διαθήκαις, ἃς ἔγραψεν. Ἑτέροις γὰρ φίλοις δωρεὰς ἀπολιπὼν καὶ τοῦ παιδὸς ἀποδείξας ἐπιτρόπους τὸν Πομπήϊον ὅλως παρῆλθεν. Ἤνεγκε μέντοι τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος, ὥστε, Λεπίδου καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι καὶ παρασχεῖν δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν.

XVI. Ἐπεὶ δὲ ταχὺ τοῦ Σύλλα τελευτήσαντος εἰς φῶς παρῆει τὰ μαντεύματα καὶ Λέπιδος εἰσποιῶν ἑαυτὸν εἰς τὴν ἐκείνου δύναμιν οὐ κύκλῳ περιιὼν οὐδὲ μετὰ σχήματος, ἀλλὰ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν τὰ πάλαι νοσοῦντα καὶ διαφυγόντα τὸν Σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος, ὁ δὲ συνάρχων αὐτοῦ Κάτλος, ᾧ τὸ καθα-

4, 152—53 H.

34. ἐθριάμβευεν C.

XV. 2. ἦγεν C. 3. ὅτι S^{g}ACi. 4. ἑαυτὸν C. 5. εὐνοίᾳ ἐκείνῳ] coniicio εὐνοίᾳ κἀκείνῳ. 12. σεαυτοῦ ia. παρεσκεύακας S^{g}[A]V: κατεσκεύακας ‚vet. cod.‘ Stephani V, παρασκενάσας i, παρεσκεύασας a et v. 14. δωρεὰς S^{g}[A]C: δωρεὰν v. 17. λέπιδος S^{g}. ἐνισταμένων om i.

XVI. 1. ταχὺ om C.

ρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἐν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστος τῶν τότε Ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον ἢ στρατιωτικῆς οἰκεῖος εἶναι, τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν Πομπήϊον· οὐ διεμέλλησεν ὅπη τράπηται, προσθεὶς δὲ τοῖς ἀρίστοις ἑαυτὸν ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν Λέπιδον ἤδη πολλὰ τῆς Ἰταλίας κεκινηκότα καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν κατέχοντα διὰ Βρούτου στρατεύματι. Τῶν μὲν οὖν ἄλλων ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ Πομπήϊος· ἐν δὲ Μουτίνῃ τῆς Γαλατίας ἀντεκάθητο τῷ 627
Βρούτῳ συχνὸν χρόνον· ἐν ᾧ Λέπιδος ἐπὶ τὴν Ῥώμην ὁρμὰς καὶ προσκαθήμενος ἔξωθεν ὑπατείαν ἤτει δευτέραν ὄχλῳ πολλῷ δεδιττόμενος τοὺς ἔνδον. Ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ Πομπηΐου κομισθεῖσα κατωρθωκότος ἄνευ μάχης τὸν πόλεμον. Ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλομένης ἐκείνης, ἐνεχείρισε τῷ Πομπηΐῳ τὸ σῶμα καὶ λαβὼν ἱππεῖς προπομποὺς ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν Πάδον, ὅπου μεθ' ἡμέραν μίαν, ἐπιπέμψαντος αὐτῷ τοῦ Πομπηΐου Γεμίνιον, ἀνῃρέθη· καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου Πομπήϊος αἰτίαν. Γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς μεταβολῆς πρὸς τὴν σύγκλητον, ὡς ἑκὼν αὐτῷ πρόσθοιτο Βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημένου τοῦ ἀνθρώπου κατηγορούσας. Τούτου Βροῦτος ἦν υἱὸς ὁ Καίσαρα σὺν Κασσίῳ κτείνας, ἀνὴρ ὁμοίως τῷ πατρὶ μήτε πολεμήσας μήτε ἀποθανὼν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Λέπιδος μὲν οὖν εὐθὺς ἐκπεσὼν τῆς Ἰταλίας ἀπέδρασεν εἰς Σαρδόνα· κἀκεῖ νοσήσας ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πραγμάτων, ὥς φασιν, ἀλλὰ γραμματίῳ περιπεσὼν, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς ἐφώρασε.

XVII. Λεπίδῳ δὲ οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων Σερτώριος ἐπῃωρεῖτο Ῥωμαίοις φοβερὸς, ὥσπερ ἔσχατον

4, 153—54 H.

8. ἐν delet Coraes, μεγίστῳ malebat Reiskius. 11. διεμέλησεν S^gC. 12. αὑτὸν C. 13. κεκινηκότα Emperius cl. vers. 5: νενικηκότα libri. 16. μονρίνῃ quantum perspici potuit S^g, μοντίνῃ Ci, Μυτίνῃ Anton. 17. 17. ῥυθεὶς i. 22. μεταβαλομένης Corais C: μεταβαλλομένης v. ἐκείνης] αὐτῆς V. 24. ὅπως V. 30. κασίῳ S^gCia. ὁμοίως Stephaniana: ὅμοιος libri. 33. σάρδω corr. A. 35. ἐφώρασε S^gV: κατεφώρασε v.

XVII. 2. ὥσπερ ἐπ' ἔσχατον Stephaniana

νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον τὸν ἄνδρα συνερ-
ρυηκότων, πολλοὺς μὲν ἤδη τῶν ἐλαττόνων στρατηγῶν ἀνη-
ρηκότα, Μετέλλῳ δὲ Πίῳ τότε συμπεπλεγμένον, ἀνδρὶ λαμ-
πρῷ μὲν καὶ πολεμικῷ, δοκοῦντι δὲ ἀργότερον ὑπὸ γήρως
ἔπεσθαι τοῖς καιροῖς τοῦ πολέμου καὶ ἀπολείπεσθαι τῶν
πραγμάτων ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ Σερτωρίου
παραβόλως καὶ λῃστρικώτερον αὐτῷ προσφερομένου καὶ
ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νομίμων ἀθλη-
τὴν ἀγώνων καὶ δυνάμεως στασίμου καὶ βαρείας ἡγεμόνα.
Πρὸς ταῦτα Πομπήϊος ἔχων τὴν στρατιὰν ὑφ' ἑαυτῷ δι-
επράττετο Μετέλλῳ πεμφθῆναι βοηθός· καὶ Κάτλου κελεύ-
οντος οὐ διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν ἀεί
τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν
Λευκίου Φιλίππου γνώμην εἰπόντος. Ὅτε καί φασιν ἐν συγ-
κλήτῳ πυθομένου τινὸς καὶ θαυμάζοντος, εἰ Πομπήϊον ἀνθ-
ύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος· „Οὐκ ἔγωγε“
φάναι τὸν Φίλιππον „ἀλλ' ἀνθ' ὑπάτων,“ ὡς ἀμφοτέρους
τοὺς τότε ὑπατεύοντας οὐδενὸς ἀξίους ὄντας.

XVIII. Ἐπεὶ δὲ τῆς Ἰβηρίας ἁψάμενος ὁ Πομπήϊος,
οἷα φιλεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέρους ταῖς ἐλπίσιν
ἐποίησε τοὺς ἀνθρώπους καὶ τὰ μὴ πάνυ βεβαίως τῷ Σερ-
τωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετεβάλλετο, λό-
γους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ Πομπηΐου διέσπειρε
καὶ σκώπτων ἔλεγε νάρθηκος ἂν αὐτῷ δεῆσαι καὶ σκύτους
ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο,
λέγων τὸν Μέτελλον. Ἔργῳ μέντοι φυλαττόμενος σφόδρα
καὶ δεδοικὼς τὸν Πομπήϊον ἀσφαλέστερον ἐστρατήγει. Καὶ
γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο τῷ
βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκώς, καὶ μεγάλη τις εἰς
ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐ-
τόν, ὥστε τῷ Πομπηΐῳ καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα
4, 154—56 H.

---

3. *πολέμων* Stephanus cum R: *πολεμίων* ceteri. 5. *Πίῳ* Xylander x: *ἀπίῳ* C, *ἀππίῳ* ceteri et v. num *τῷ Πίῳ*? *Ὀππίῳ* Μετέλλῳ Zonaras p. 120. 9. *προφερομένου* ia. 10. *νομίμων* [A]RV: *νόμιμον* v, *μονίμων* x, cf. ad Sertor. 12, 29. 12. *τὴν στρατιὰν* ego: *τὴν στρατείαν* S^g, *στρατείαν* ACia, *στρατιὰν* v.

XVIII. 2. *δόξαν νέου* C. 6. *ἄν* om ia. *δεήσαι* ia. 13. *ἅμα τῇ* Stephanianae editores.

δόξῃ φέρειν ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην· φύσει γὰρ ἦν σώφρων καὶ τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. Τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος ἠνίασε μάλιστα τὸν Πομπήϊον ἡ Λαύρωνος ἅλωσις ὑπὸ Σερτωρίου. Κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς καί τι μεγαλη- 628
γορήσας αὐτὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ· καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν αὐτοῦ παρόντος. Ἐρέννιον δὲ καὶ Περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ, νικήσας περὶ Οὐαλεντίαν ὑπὲρ μυρίους ἀπέκτεινεν.

XIX. Ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν ἐπ' αὐτὸν ἔσπευδε Σερτώριον, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. Περὶ δὲ Σούκρωνι ποταμῷ τῆς ἡμέρας ἤδη τελευτώσης συνέβαλον τὰς δυνάμεις δεδιότες μετελθεῖν τὸν Μέτελλον, ὁ μὲν, ὡς μόνος, ὁ δὲ, ὡς μόνῳ διαγωνίσαιτο. Τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχὲν ὁ ἀγών· ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε· τῶν δὲ στρατηγῶν πλέον ἠνέγκατο Σερτώριος· ἐτρέψατο γὰρ τὸ καθ' αὑτὸν ἐκεῖνος ἀντιταχθείς. Πομπηΐῳ δὲ ἀνὴρ μέγας ἱππότῃ πεζὸς ἐφώρμησε· συμπεσόντων δ' εἰς τὸ αὐτὸ καὶ γενομένων ἐν λαβαῖς ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας ἀμφοῖν, οὐχ ὁμοίως· ἐτρώθη μὲν γὰρ ὁ Πομπήϊος μόνον, ἐκείνου δὲ ἀπέκοψε τὴν χεῖρα. Πλειόνων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε προέμενος τὸν ἵππον τοῖς πολεμίοις φάλαρα χρυσᾶ καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. Ταῦτα γὰρ διανεμόμενοι καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους ἀπελείφθησαν. Ἅμα δὲ ἡμέρᾳ παρετάξαντο μὲν ἀμφότεροι πάλιν ἐκβεβαιούμενοι τὸ νίκημα, Μετέλλου δὲ προσιόντος ἀνεχώρησεν ὁ Σερτώριος σκεδασθέντι τῷ στρατῷ. Τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε πολλάκις μόνον πλανᾶσθαι τὸν Σερτώριον, πολλάκις

4, 156—57 H.

---

21. *ἐρρένιον* S^g, cf. ad Mar. 5, 22. 22. *καὶ πεφευγότων* Ai, *καταπεφευγόντων* V. 23. *οὐαλεντίναν* i.

XIX. 1. *πράξει*] *δόξῃ* S^g. 4. *συνέβαλον* C: *συνέβαλλον* v. 8. exspectabam *ἀντιταχθὲν*, item Emperius. 9. *ἱππότῃ* Muretus: *ἱππότης* libri. *συμπεσόντων δ' αὐτῶν* Stephaniana.

δὲ αὖθις ἐπιέναι μυριάσι πεντεκαίδεκα στρατιᾶς, ὥσπερ χειμάῤῥουν ἐξαίφνης πιμπλάμενον. Ὁ δ' οὖν Πομπήϊος, ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ Μετέλλῳ καὶ πλησίον ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδους θεραπεύων ὡς προὔχοντα τιμῇ τὸν Μέτελλον. Ὁ δὲ καὶ τοῦτο διεκώλυσε καὶ τἆλλα χρηστὸς ἦν ἀνὴρ περὶ αὐτὸν οὐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα κοινῇ στρατοπεδευόντων εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλου· τὰ πολλὰ δὲ χωρὶς ἐστρατοπεδεύοντο. Διέκοπτε γὰρ αὐτοὺς καὶ διίστη ποικίλος ὢν ὁ πολέμιος καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ περιφανῆναι καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους ἀγῶνας. Τέλος δὲ περικόπτων μὲν ἀγοράς, λῃζόμενος δὲ τὴν χώραν, ἐπικρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρους τῆς ὑφ' ἑαυτὸν Ἰβηρίας ἀναγκασθέντας εἰς ἀλλοτρίας καταφυγεῖν ἐπαρχίας ἀπορίᾳ τῶν ἐπιτηδείων.

XX. Πομπήϊος δὲ τὰ πλεῖστα τῶν ἰδίων ἐξανηλωκὼς καὶ κατακεχρημένος εἰς τὸν πόλεμον ᾔτει χρήματα τὴν σύγκλητον ὡς ἀφιξόμενος εἰς Ἰταλίαν μετὰ τῆς δυνάμεως, εἰ μὴ πέμποιεν. Ὑπατεύων δὲ Λεύκολλος τότε καὶ Πομπηΐῳ μὲν ὢν διάφορος, μνώμενος δ' ἑαυτῷ τὸν Μιθριδατικὸν πόλεμον ἔσπευσεν ἀποσταλῆναι τὰ χρήματα φοβούμενος αἰτίαν Πομπηΐῳ παρασχεῖν δεομένῳ Σερτώριον ἀφεῖναι καὶ πρὸς Μιθριδάτην τραπέσθαι, λαμπρὸν μὲν εἰς δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. Ἐν τούτῳ δὲ θνήσκει Σερτώριος ὑπὸ τῶν φίλων δολοφονηθείς· ὧν Περπέννας ὁ κορυφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων λογισμόν. Εὐθὺς οὖν ὁ Πομπήϊος ἐπεξελθὼν καὶ ῥεμβόμενον ἐν τοῖς πράγμασι τὸν
629 Περπέννην καταμαθὼν δέλεαρ αὐτῷ δέκα σπείρας ὑφῆκεν εἰς τὸ πεδίον διασπαρῆναι κελεύσας. Τραπομένου δὲ πρὸς ταύτας ἐκείνου καὶ διώκοντος ἄθρους ἐπιφανεὶς καὶ συνάψας
4, 157—59 H

---

22. μυριάσι marg. Ca: μυρίας S^gAi. στρατιᾶς Stephanus: στρατείας libri. χειμάῤῥουν S^gC. 26. τῇ τιμῇ V. 30. ἐστρατεύοντο S^g. 32. ἐπιφανῆναι tacito Schaeferus. perperam. 33. μὲν om ia. 35. τῆς om i, τοὺς V.

XX. 4. λεύκολλος S^g: Λεύκουλλος v. 11. ἀπὸ] ἀλλὰ V. 17. ἐκείνου om S^g ac potest abesse, cf. c. 19. quamquam cf. ad c. 8.

μάχην ἐκράτησε πάντων. Καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ· τὸν δὲ Περπέννην ἀχθέντα πρὸς αὐτὸν ἀπέκτεινεν, οὐκ ἀχάριστος οὐδ' ἀμνήμων γενόμενος τῶν περὶ Σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ δὲ διανοίᾳ καὶ σωτηρίῳ τῶν ὅλων γνώμῃ χρησάμενος. Ὁ γὰρ Περπέννας τῶν Σερτωρίου γραμμάτων γεγονὼς κύριος ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν Ῥώμῃ δυνατωτάτων ἀνδρῶν, οἳ τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα καὶ μεταστῆσαι τὴν πολιτείαν ἐκάλουν τὸν Σερτώριον εἰς τὴν Ἰταλίαν. Φοβηθεὶς οὖν ὁ Πομπήϊος ταῦτα, μὴ μείζονας ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε Περπέννην ἀνεῖλε καὶ τὰς ἐπιστολὰς οὐδ' ἀναγνοὺς κατέκαυσεν.

XXI. Ἐκ δὲ τούτου παραμείνας χρόνον ὅσον τὰς μεγίστας κατασβέσαι ταραχὰς καὶ τὰ φλεγμαίνοντα μάλιστα καταστῆσαι καὶ διαλῦσαι τῶν πραγμάτων ἀπῆγεν εἰς Ἰταλίαν τὸν στρατὸν ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ κατὰ τύχην φερόμενος. Διὸ καὶ Κράσσος ὁ στρατηγὸς ἠπείξε παραβόλως τὴν μάχην καὶ κατευτύχησε δισχιλίους τριακοσίους ἐπὶ μυρίοις κτείνας. Οὐ μὴν ἀλλὰ καὶ τούτῳ τὸν Πομπήϊον εἰσποιούσης ἀμωσγέπως τῷ κατορθώματι τῆς τύχης πεντακισχίλιοι φεύγοντες ἐκ τῆς μάχης ἐνέπεσον εἰς αὐτὸν, οὓς ἅπαντας διαφθείρας ἔγραψε πρὸς τὴν σύγκλητον ὑποφθάσας, ὡς Κράσσος μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. Καὶ ταῦτα βουλομένοις ἦν δι' εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς Ῥωμαίοις. Ἰβηρίαν δὲ καὶ Σερτώριον οὐδὲ παίζων ἄν τις εἶπεν ἑτέρου καὶ μὴ Πομπηΐου τὸ πᾶν ἔργον εἶναι. Ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς ὅμως ἐνῆν τις ὑποψία καὶ δέος, ὡς οὐ προησομένου τὸ στράτευμα, βαδιουμένου δὲ δι' ὅπλων καὶ μοναρχίας ἄντικρυς ἐπὶ τὴν Σύλλα πολιτείαν. Ὅθεν οὐκ ἐλάττονες ἦσαν τῶν δι' εὔνοιαν τρεχόντων καὶ φιλοφρονουμένων καθ' ὁδὸν οἱ φόβῳ ταῦτα ποιοῦντες. Ἐπεὶ δὲ καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν ὁ Πομπήϊος προειπὼν ἀφήσειν τὸ στράτευμα μετὰ τὸν θρίαμβον,

4, 159—60 H.

---

27. τόν τε] τότε ia.

XXI. 5. ἠπείξε S^g: κατήπειξε v. 8. τῷ κατορθώματι post τούτῳ collocat C. 9. εἰς] πρὸς S^gAC. 10. ὡς] ὅτι V. 17. τοῦ στρατεύματος V. 18. σύλλαν C.

ἐν αἰτιᾶσθαι τοῖς βασκαίνουσι περιῆν ὑπόλοιπον, ὅτι τῷ δήμῳ προσνέμει μᾶλλον ἑαυτὸν ἢ τῇ βουλῇ καὶ τὸ τῆς δημαρχίας ἀξίωμα, Σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστάναι καὶ χαρίζεσθαι τοῖς πολλοῖς, ὅπερ ἦν ἀληθές. Οὐ γὰρ ἔστιν οὕτινος ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος καὶ μᾶλλον ἐπόθησεν ἢ τὴν ἀρχὴν αὖθις ἐπιδεῖν ἐκείνην, ὥστε καὶ Πομπήϊον εὐτύχημα ποιεῖσθαι μέγα τὸν τοῦ πολιτεύματος καιρόν, ὡς οὐκ ἂν εὑρόντα χάριν ἄλλην, ᾗ τὴν εὔνοιαν ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέλαβε.

XXII. Ψηφισθέντος οὖν αὐτῷ δευτέρου θριάμβου καὶ ὑπατείας οὐ διὰ ταῦτα θαυμαστὸς ἐδόκει καὶ μέγας, ἀλλ' ἐκεῖνο τεκμήριον ἐποιοῦντο τῆς λαμπρότητος, ὅτι Κράσσος, ἀνὴρ τῶν τότε πολιτευομένων πλουσιώτατος καὶ δεινότατος εἰπεῖν καὶ μέγιστος αὐτόν τε Πομπήϊον ὑπερφρονῶν καὶ τοὺς ἄλλους ἅπαντας, οὐκ ἐθάρρησεν ὑπατείαν μετιέναι πρότερον ἢ Πομπηΐου δεηθῆναι. Καὶ μέντοι Πομπήϊος ἠγάπησε πάλαι δεόμενος χρείας τινὸς ὑπάρξαι καὶ φιλανθρωπίας πρὸς αὐτόν· ὥστε καὶ δεξιοῦσθαι προθύμως καὶ παρακαλεῖν τὸν δῆμον ἐπαγγελλόμενος χάριν ἕξειν οὐκ ἐλάττονα τοῦ συνάρχοντος ἢ τῆς ἀρχῆς. Οὐ μὴν ἀλλ' ἀποδειχθέντες ὕπατοι διεφέροντο
630 πάντα καὶ προσέκρουον ἀλλήλοις· καὶ ἐν μὲν τῇ βουλῇ μᾶλλον ἴσχυεν ὁ Κράσσος, ἐν δὲ τῷ δήμῳ μέγα τὸ Πομπηΐου κράτος ἦν. Καὶ γὰρ ἀπέδωκε τὴν δημαρχίαν αὐτῷ καὶ τὰς δίκας περιεῖδεν αὖθις εἰς τοὺς ἱππέας νόμῳ μεταφερομένας.
4, 160—62 H.

---

23. τὸ ὑπόλοιπον V. 24. τῆς δημαρχίας Reiskius post Amiotum (‚l'autorité et dignité du tribunat'): τῆς βουλῆς S^gACVi, τοῦ δήμου marg. C et v. cf. v. l. c. 30. Zonaras p. 120: ἔν δὲ — ᾐτιῶντο, ὅτι τῷ δήμῳ μᾶλλον ἢ τῇ βουλῇ προσένειμεν ἑαυτὸν, ὅπερ ἦν ἀληθὲς, οὐ γὰρ ἔστιν οὕτινος ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος, ut locum vel iam corruptum legerit vel oscitanter excerpserit. 25. ἀνιστάναι S^g: ἀνιστᾷν v. 28. ἐπόθησεν ἢ Stephanus cum [S^g] marg. Ca: ἐπόθησε AnuRi. εἰσιδεῖν C.

XXII. 1. οὖν] σὺν V. 4. ‚legitur etiam τῶν πώποτε πολιτευομένων, quae certe multo maior laus fuerit. Sed si τότε in πώποτε mutetur, videtur etiam πολιτευομένων in πολιτευσαμένων vel πεπολιτευμένων mutari debere. Quae tamen mutatio ex vetustis libris non annotatur, haud scio, an per incuriam praetermissa' Stephanus. πολιτευομένων om S^g, cf. ad c. 8. καὶ δεινότατος om CV. 6. ἐθάρρησεν S^gACV: ἐθάρσησεν v. 10. ἐλάττονα τοῦ Reiskius cl. Crass. 12, 6: ἔλαττον αὐτοῦ libri.

Ἥδιστον δὲ θέαμα τῷ δήμῳ παρέσχεν αὐτὸς ἑαυτὸν τὴν στρατείαν παραιτούμενος. Ἔθος γάρ ἐστι Ῥωμαίων τοῖς ἱππεῦσιν, ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγορὰν τὸν ἵππον ἐπὶ τοὺς δύο ἄνδρας, οὓς τιμητὰς καλοῦσι, καὶ καταριθμησαμένους τῶν στρατηγῶν καὶ αὐτοκρατόρων ἕκαστον, ὑφ' οἷς ἐστρατεύσαντο, καὶ διδόντας εὐθύνας τῆς στρατείας ἀφίεσθαι. Νέμεται δὲ καὶ τιμὴ καὶ ἀτιμία προσήκουσα τοῖς βίοις ἑκάστων. Τότε δὴ προεκάθηντο μὲν οἱ τιμηταὶ Γέλλιος καὶ Λέντλος ἐν κόσμῳ καὶ πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων, ὤφθη δὲ Πομπήϊος ἄνωθεν ἐπ' ἀγορὰν κατερχόμενος, τὰ μὲν ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διὰ χειρὸς ἄγων τὸν ἵππον. Ὡς δ' ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγόνει, κελεύσας διασχεῖν τοὺς ῥαβδοφόρους τῷ βήματι προσήγαγε τὸν ἵππον. Ἦν δὲ τῷ δήμῳ θαῦμα καὶ σιωπὴ πᾶσα τούς τε ἄρχοντας αἰδὼς ἅμα καὶ χαρὰ πρὸς τὴν ὄψιν ἔσχεν. Εἶτα ὁ μὲν πρεσβύτερος ἠρώτησε· „Πυνθάνομαί σου, ὦ Πομπήϊε Μάγνε, εἰ πάσας ἐστράτευσαι τὰς κατὰ νόμον στρατείας;“ Πομπήϊος δὲ μεγάλῃ φωνῇ· „Πάσας“ εἶπεν „ἐστράτευμαι, καὶ πάσας ὑπ' ἐμαυτῷ αὐτοκράτορι.“ Τοῦτο ἀκούσας ὁ δῆμος ἐξέκραγε καὶ κατασχεῖν οὐκέτι τὴν βοὴν ὑπὸ χαρᾶς ἦν, ἀλλ' ἀναστάντες οἱ τιμηταὶ προέπεμπον αὐτὸν οἴκαδε χαριζόμενοι τοῖς πολίταις ἑπομένοις καὶ κροτοῦσιν.

XXIII. Ἤδη δὲ τῆς ἀρχῆς περαινομένης τῷ Πομπηΐῳ, τῆς δὲ πρὸς Κράσσον αὐξομένης διαφορᾶς, Γάϊός τις Αὐρήλιος, ἀξίωμα μὲν ἱππικὸν ἔχων, βίῳ δὲ ἀπράγμονι κεχρημένος, ἐκκλησίας οὔσης ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προσελθὼν ἔφη κατὰ τοὺς ὕπνους αὐτῷ τὸν Δία φανῆναι κελεύοντα τοῖς ὑπάτοις φράσαι, μὴ πρότερον ἀποθέσθαι τὴν ἀρχὴν ἢ φίλους

4, 162—63 H.

---

17. στρατηγίαν V cum Zonara p. 121. 18. στρατεύσωσι V. 20. καταριθμησαμένων V. 21. immo δόντας. 24. καὶ ante Λέντλος om i. 26. ,legitur et ἔχων: sed dura haec repetitio participii tam propinqua videri queat' Stephanus. 30. πᾶσι Bryani nuperi, sed cf. mor. p. 146 b: ὁ χρόνος πολὺ σκότος ἐπάξει τοῖς πράγμασι καὶ πᾶσαν ἀσάφειαν. Luciani catapl. c. 15 εἰρήνη πᾶσα. 31. ἐρώτησεν Sg.

XXIII. 3. cf. ad Crass. 12, 16. 5. φανῆναι x post Amiotum (‚que Jupiter s'estoit la nuit apparu à luy') et Xylandrum cl. Crass. 12, 18: φᾶναι Aia, φάναι v.

ἀλλήλοις γενέσθαι. Ῥηθέντων δὲ τούτων ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑστώς, ὁ δὲ Κράσσος ἀρξάμενος δεξιοῦσθαι καὶ προσαγορεύειν αὐτόν· „Οὐδὲν“ εἶπεν „οἶμαι ποιεῖν ἀγεννὲς οὐδὲ ταπεινὸν, ὦ πολῖται, Πομπηίῳ πρότερος ἐνδιδοὺς, ὃν ὑμεῖς μήπω μὲν γενειῶντα Μέγαν ἠξιώσατε καλεῖν, μήπω δὲ μετέχοντι βουλῆς ἐψηφίσασθε δύο θριάμβους.“ Ἐκ τούτου διαλλαγέντες ἀπέθεντο τὴν ἀρχήν. Καὶ Κράσσος μὲν ὅπερ ἐξ ἀρχῆς εἵλετο τρόπον τοῦ βίου διεφύλαττε, Πομπηίου δὲ τάς τε πολλὰς ἀνεδύετο συνηγορίας καὶ τὴν ἀγορὰν κατὰ μικρὸν ἀπέλιπε καὶ προῆει σπανίως εἰς τὸ δημόσιον, ἀεὶ δὲ μετὰ πλήθους. Οὐ γὰρ ἦν ἔτι ῥάδιον ὄχλου χωρὶς ἐντυχεῖν οὐδ' ἰδεῖν αὐτόν, ἀλλ' ἥδιστος ὁμοῦ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο σεμνότητα περιβαλλόμενος ἐκ τούτου τῇ ὄψει καὶ ὄγκον, ταῖς δὲ τῶν πολλῶν ἐντεύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος δεῖν τὸ ἀξίωμα διατηρεῖν. Ὁ γὰρ ἐν ἱματίῳ βίος ἐπισφαλής ἐστι πρὸς ἀδοξίαν τοῖς ἐκ τῶν ὅπλων μεγάλοις καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις· αὐτοὶ μὲν γὰρ καὶ ἐνταῦθα πρωτεύειν, ὡς ἐκεῖ, δικαιοῦσι, τοῖς δὲ ἐκεῖ φερομένοις ἔλαττον ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν οὐκ ἀνεκτόν ἐστι. Διὸ τὸν ἐν στρατοπέδοις καὶ θριάμβοις λαμπρὸν, ὅταν ἐν ἀγορᾷ λάβωσιν, ὑπὸ χεῖρα ποιοῦνται καὶ καταβάλλουσι, τῷ δὲ ἀπολεγομένῳ καὶ ὑποχωροῦντι τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν ἀνεπίφθονον φυλάττουσιν. Ἐδήλωσε δὲ αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον.

XXIV. Ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ Κιλικίας τὸ πρῶτον ἀρχὴν παράβολον λαβοῦσα καὶ λανθάνουσαν, φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν τῷ Μιθριδατικῷ πο-
631 λέμῳ χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν. Εἶτα Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις περὶ θύρας τῆς Ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς ἡ θάλασσα κατὰ μικρὸν αὐτοὺς ἐφείλκετο καὶ προῆγεν οὐκέτι τοῖς πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ νήσους καὶ πόλεις παραλίους ἐκκόπτοντας. Ἤδη δὲ καὶ χρήμασι δυνατοὶ καὶ γένεσι λαμπροὶ καὶ

4, 163—65 H.

---

9. εἶπεν v post ἀγεννὲς positum transposuit S^{g}. 10. πρότερον S^{g}. 16. ἀπέλειπε Stephanianae ceteri. προῆει V. 19. ἀνθρώποις V. 23. ἀσύμμετρος libri praeter a.

XXIV. 2. παράβολον recte explicuit Reiskius. 7. ἐφείλκετο S^{g}[A]CuSπV: ἀφείλκετο v. 9. γενέσει S^{g}.

τὸ φρονεῖν ἀξιούμενοι διαφέρειν ἄνδρες ἐνέβαινον εἰς τὰ λῃστρικὰ καὶ μετεῖχον, ὡς καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν τοῦ ἔργου φέροντος. Ἦν δὲ καὶ ναύσταθμα πολλαχόθι πειρατικὰ καὶ φρυκτώρια τετειχισμένα καὶ στόλοι προσέπιπτον οὐ πληρωμάτων μόνον εὐανδρίαις οὐδὲ τέχναις κυβερνητῶν οὐδὲ τάχεσι νεῶν καὶ κουφότησιν ἐξησκημένοι πρὸς τὸ οἰκεῖον ἔργον, ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον αὐτῶν τὸ ἐπίφθονον ἐλύπει καὶ ὑπερήφανον, στυλίσι χρυσαῖς καὶ παραπετάσμασιν ἀλουργοῖς καὶ πλάταις ὑπαργύροις ὥσπερ ἐντρυφώντων τῷ κακουργεῖν καὶ καλλωπιζομένων. Αὐλοὶ δὲ καὶ ψαλμοὶ καὶ μέθαι παρὰ πᾶσαν ἀκτὴν καὶ σωμάτων ἡγεμονικῶν ἁρπαγαὶ καὶ πόλεων αἰχμαλώτων ἀπολυτρώσεις ὄνειδος ἦσαν τῆς Ῥωμαίων ἡγεμονίας. Ἐγένοντο δ' οὖν αἱ μὲν λῃστρίδες νῆες ὑπὲρ χιλίας, αἱ δὲ ἁλοῦσαι πόλεις ὑπ' αὐτῶν τετρακόσιαι. Τῶν δὲ ἀσύλων καὶ ἀβάτων πρότερον ἱερῶν ἐξέκοψαν ἐπιόντες τὸ Κλάριον, τὸ Διδυμαῖον, τὸ Σαμοθρᾴκιον, τὸν ἐν Ἑρμιόνῃ τῆς Χθονίας νεὼν καὶ τὸν ἐν Ἐπιδαύρῳ τοῦ Ἀσκληπιοῦ καὶ τὸν Ἰσθμοῖ καὶ Ταινάρῳ καὶ Καλαυρίᾳ τοῦ Ποσειδῶνος, τοῦ δὲ Ἀπόλλωνος τὸν ἐν Ἀκτίῳ καὶ Λευκάδι, τῆς δὲ Ἥρας τὸν ἐν Σάμῳ, τὸν ἐν Ἄργει, τὸν ἐπὶ Λακινίῳ. Ξένας δὲ θυσίας ἔθυον αὐτοὶ τὰς ἐν Ὀλύμπῳ καὶ τελετάς τινας ἀπορρήτους ἐτέλουν, ὧν ἡ τοῦ Μίθρου καὶ μέχρι δεῦρο διασώζεται καταδειχθεῖσα πρότερον ὑπ' ἐκείνων. Πλεῖστα δὲ Ῥωμαίοις ἐνυβρίσαντες ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν ἀναβαίνοντες ἀπὸ θαλάσσης ἐληΐζοντο καὶ τὰς ἐγγὺς ἐπαύλεις ἐξέκοπτον. Ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο Σεξτίλιον καὶ Βελλῖνον ἐν ταῖς περιπορφύροις καὶ τοὺς ὑπηρέτας ἅμα καὶ ῥαβδοφόρους ᾤχοντο σὺν αὐτοῖς ἐκείνοις ἔχοντες. Ἦλω δὲ καὶ θυγάτηρ Ἀντωνίου, θριαμβικοῦ ἀνδρὸς, εἰς ἀγρὸν βαδίζουσα καὶ

4, 165—66 H.

---

10. τὸ S^gAi: τῷ v. ἐνέβαινεν S^g[A]Sπ: ἀνέβαινον v. 15. νηῶν S^g. 17. στυλίσι] πιέλουσι V. ἁλουργοῖς] ἀργυροῖς C. 18. malim ἐπαργυροῖς Schaeferi. τὸ κακουργεῖν V. 20. ἀκτῖνα v. l. edit. Francof. 26. τὸ ἰσθμοῖ libri, corrigebat Stephanus. 28. δεκάδι C. 29. Λακινίῳ Xylander x: λυκανίῳ C, λευκανίῳ ceteri et v. 30. τελευτὰς x. 32. πρώτων Reiskius, πρῶτον Emperius. 33. nihil excidit nec quicquam mutandum falsumque τὰς προσόδους Xylandri annotatum ab x, cf. Appiani mithrid. 93. Ciceronis or. pro leg. Manil. 18, 55. 35. σεξτίλλιον καὶ βελλῆνον S^g. de illo cf. Lucull. 25. 38. θριαμβικοῦ ἀνδρὸς recte habet.

πολλῶν χρημάτων ἀπελυτρώθη. Ἐκεῖνο δὲ ἦν ὑβριστικώτατον. Ὁπότε γάρ τις ἑαλωκὼς ἀναβοήσειε Ῥωμαῖος εἶναι καὶ τοὔνομα φράσειεν, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι τούς τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ συγγνώμην ἔχειν ἀντιβολοῦντες· ὁ δὲ ἐπείθετο ταπεινοὺς ὁρῶν καὶ δεομένους. Ἐκ τούτου δὲ οἱ μὲν ὑπέδουν τοῖς καλκίοις αὐτὸν, οἱ δὲ τήβεννον περιέβαλλον, ὡς δὴ μὴ πάλιν ἀγνοηθείη. Πολὺν δὲ χρόνον οὕτω κατειρωνευσάμενοι καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου τέλος ἐν μέσῳ πελάγει κλίμακα προσβαλόντες ἐκέλευον ἐκβαίνειν καὶ ἀπεῖναι χαίροντα, τὸν δὲ μὴ βουλόμενον ὠθοῦντες αὐτοὶ κατέδυον.

XXV. Ἐπενείματο δὲ ἡ δύναμις αὕτη πᾶσαν ὁμοῦ τι τὴν καθ' ἡμᾶς θάλασσαν, ὥστε ἄπλουν καὶ ἄβατον ἐμπορίᾳ πάσῃ γενέσθαι. Τοῦτο δὴ μάλιστα Ῥωμαίους ἐπέστρεψε θλιβομένους τῇ ἀγορᾷ καὶ σπάνιν μεγάλην προσδοκῶντας ἐκπέμψαι Πομπήϊον ἀφαιρησόμενον τῶν πειρατῶν τὴν θάλασσαν. Ἔγραψε δὲ Γαβίνιος, εἷς τῶν Πομπηΐου συνήθων, νόμον οὐ ναυαρχίαν, ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα καὶ δύναμιν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. Ἐδίδου γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς Ἡρακλείων στηλῶν θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους ἀπὸ θαλάσσης. Τοῦτο δὲ οὐ πάνυ πολλὰ χωρία τῆς ὑπὸ Ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ μέγιστα τῶν ἐθνῶν καὶ τῶν βασιλέων οἱ δυνατώτατοι περιελαμβάνοντο.
632 Πρὸς δὲ τούτοις ἑλέσθαι πεντεκαίδεκα πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας, χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμείων καὶ παρὰ τῶν τελωνῶν ὅσα βούλοιτο καὶ ναῦς διακοσίας, κύριον ὄντα πλήθους καὶ καταλόγου στρατιᾶς καὶ πληρωμάτων ἐρετικῶν. Ἀναγνωσθέντων δὲ τούτων

4, 166—68 H.

---

40. ἀναβόησειεν S^{g}. 44. καλκίοις S^{g}a: καλικίοις Ci et V qui et καλτικίοις, καλτικίοις AS, καλτίοις v. cf. Wyttenbachium ad mor. p. 141 a. 48. προβαλόντες Ai cum Zonara. ἐκβαίνειν Zonaras: ἐμβαίνειν libri. ἀπιέναι Zonarae Reiskiique nuperi, sed cf. ad Aristid. 19, 9.

XXV. 1. τι τὴν] τιμὴν S^{g}. 2. καθ' ἡμᾶς] κατὰ Stephaniana, unde κάτω χ. ἐμπορίᾳ S^{g}A: ἐμπορίου i, ἐμπορείᾳ v. 3. ἐπέτρεψε ia. 6. εἷς τὸν ia. 17. στρατιᾶς Reiskius: στρατείας libri. 18. πληρωματικῶν ἐρεματικῶν C.

ὁ μὲν δῆμος ὑπερφυῶς ἐδέξατο, τῆς δὲ συγκλήτου τοῖς μεγί-
στοις καὶ δυνατωτάτοις ἔδοξε μεῖζον μὲν φθόνου, φόβου δὲ
ἄξιον εἶναι τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον. Ὅθεν
ἐνίσταντο τῷ νόμῳ πλὴν Καίσαρος· οὗτος δὲ συνηγόρει τῷ
νόμῳ, Πομπηΐου μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν
δῆμον ἐξ ἀρχῆς ἑαυτῷ καὶ κτώμενος. Οἱ δὲ ἄλλοι τοῦ Πομπηΐου
σφοδρῶς καθήπτοντο. Καὶ τῶν μὲν ὑπάτων ἄτερος εἰπὼν
πρὸς αὐτὸν, ὅτι Ῥωμύλον ζηλῶν οὐ φεύξεται ταὐτὸν ἐκείνῳ
τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι· Κάτλου
δὲ κατὰ τοῦ νόμου προσελθόντος πολλὴν μὲν αἰδούμενος ὁ
δῆμος ἡσυχίαν παρεῖχεν, ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς ἀνεπι-
φθόνως ὑπὲρ τοῦ Πομπηΐου διελθὼν συνεβούλευε φείδεσθαι
καὶ μὴ προβάλλειν τὸν τοιοῦτον ἄνδρα κινδύνοις ἐπαλλήλοις
καὶ πολέμοις „Ἤ τίνα“ εἶπεν „ἕξετε ἄλλον, ἂν ἀπολέσητε
τοῦτον;“ ἐκ μιᾶς γνώμης ὑπεφώνησαν ἅπαντες „Σεαυτόν.“
Ὁ μὲν οὖν Κάτλος, ὡς οὐκ ἔπειθεν, ἀπέστη· Ῥωσκίου δὲ
προσελθόντος οὐδεὶς ἤκουσεν· ὁ δὲ τοῖς δακτύλοις διεσήμαινε
μὴ μόνον, ἀλλὰ δεύτερον αἱρεῖσθαι Πομπήϊον. Ἐπὶ τούτῳ
λέγεται δυσχεράναντα τὸν δῆμον τηλικοῦτον ἀνακραγεῖν,
ὥστε ὑπερπετόμενον κόρακα τῆς ἀγορᾶς τυφωθῆναι καὶ
καταπεσεῖν εἰς τὸν ὄχλον. Ὅθεν οὐ δοκεῖ ῥῆξει τοῦ ἀέρος
καὶ διασπασμῷ κενὸν πολὺ λαμβάνοντος ἐνολισθαίνειν τὰ
πίπτοντα τῶν ὀρνέων, ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς,

4, 168—69 H.

---

24. ἑαυτῷ καὶ] καὶ ἑαυτῷ Reiskius, τὸν δῆμον δὲ θεραπεύων καὶ οἰκειούμενος ἑαυτῷ Zonaras. 25. μὲν Reiskius: τε libri, γε Schaeferus. 26. πρὸς αὐτὸν om C. 27. πλήθους] δήμου C. 29. παρῆγεν Cia. 31. τὸν om S^{g}, sed cf. Lucull. 23, 15. Phoc. 17. Cat. min. 3. Demetr. 51. 32. καὶ „Τίνα“ Schaeferus. num ἢ τίνα, εἰπὼν? 37. καὶ κραγεῖν V. 38. τυφωθῆναι Solanus post Amiotum: τυφλωθῆναι libri. cf. Dion. Cass. 36, 13: ὁ ὅμιλος μέγα καὶ ἀπειλητικὸν ἀνέκραγεν, ὥστε κόρακά τινα ὑπερπετόμενον σφῶν ἐκπλαγῆναι καὶ πεσεῖν ὥσπερ ἐμβρόντητον. 40. κενὸν πολὺ x: κλόνον κενὸν πολὺν S^{g}, ἴσως κλόνον κενὸν πολὺν ACi, κλόνον πολὺν a et v. τοῦ ἀέρος τὸν κλόνον et κενὸν πολύν, ἴσως κλόνον V. ex margine Mureti Walzius transscripsit haec: ‚κλόνον πολὺν TuS$^{\pi}$ κενὸν pro κλόνον habet κενὸν et non habet ἴσως et ita videtur legendum‘. (sic) ceterum correctionem illam x debet Amioto, qui quum locum sic interpretatus esset: ‚pource que l'air agité par aucune vehemente concussion se rompe n'y se fende‘ in margine annotavit haec: ‚Il y a double lecture en cest endroit, et selon

ὅταν ἐν τῷ ἀέρι σάλου καὶ κῦμα ποιήσῃ πολλὴ καὶ ἰσχυρὰ φερομένη.

XXVI. Τότε μὲν οὖν διελύθησαν. Ἡ δὲ ἡμέρα τὴν ψῆφον ἐποίσειν ἔμελλον ὑπεξῆλθεν ὁ Πομπήϊος εἰς ἀγρόν· ἀκούσας δὲ κεκυρῶσθαι τὸν νόμον εἰσῆλθε νύκτωρ εἰς τὴν πόλιν, ὡς ἐπιφθόνου τῆς πρὸς αὐτὸν ἀπαντήσεως καὶ συνδρομῆς ἐσομένης. Ἅμα δὲ ἡμέρᾳ προελθὼν ἔθυσε· καὶ γενομένης ἐκκλησίας αὐτῷ διεπράξατο προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις ἤδη μικροῦ διπλασιάσας τὴν παρασκευήν. Πεντακόσιαι μὲν γὰρ αὐτῷ νῆες ἐπληρώθησαν, ὁπλιτῶν δὲ μυριάδες δώδεκα καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. Ἡγεμονικοὶ δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς ἄνδρες εἰκοσιτέσσαρες ὑπ' αὐτοῦ, δύο δὲ ταμίαι παρῆσαν. Αἱ δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι λόγον ἡδομένῳ τῷ δήμῳ παρεῖχον, ὡς αὐτὸ τοὔνομα τοῦ Πομπηίου λέλυκε τὸν πόλεμον. Οὐ μὴν ἀλλὰ διελὼν τὰ πελάγη καὶ τὸ διάστημα τῆς ἐντὸς θαλάσσης εἰς μέρη τρισκαίδεκα καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάστῳ καὶ ἄρχοντα τάξας, ἅμα πανταχοῦ τῇ δυνάμει σκεδασθείσῃ τὰ μὲν ἐμπίπτοντα τῶν πειρατικῶν ἀθρόα περιλαμβάνων. εὐθὺς ἐξεθηρᾶτο καὶ κατῆγεν· οἱ δὲ φθάσαντες διαλυθῆναι καὶ διεκπεσόντες ὥσπερ εἰς σμῆνος ἐδύοντο πανταχόθεν καταφερόμενοι τὴν Κιλικίαν, ἐφ' οὓς αὐτὸς ἐστέλλετο ναῦς ἔχων ἑξήκοντα τὰς ἀρίστας. Οὐ μὴν πρότερον ἐπ' ἐκείνους ἐξέπλευσεν ἢ παντάπασι καθῆραι τῶν αὐτόθι λῃστηρίων τὸ Τυρρηνικὸν πέλαγος, τὸ Λιβυκὸν, τὸ περὶ Σαρδόνα καὶ Κύρνον καὶ Σικελίαν ἡμέραις τεσσαράκοντα ταῖς πάσαις αὐτῷ τε χρώμενος ἀτρύτῳ καὶ τοῖς στρατηγοῖς προθύμοις.

XXVII. Ἐν δὲ Ῥώμῃ τοῦ ὑπάτου Πείσωνος ὀργῇ καὶ φθόνῳ λυμαινομένου τὴν παρασκευὴν καὶ διαλύοντος τὰ πληρώματα, τὸ μὲν ναυτικὸν εἰς Βρεντέσιον περιέπεμψεν,
633 αὐτὸς δὲ διὰ Τυρρηνίας εἰς Ῥώμην ἀνέβαινεν. Αἰσθόμενοι
4, 169–70 H.

---

l'autre il faudroit traduire, pource que l'air fendu et entr'ouvert reçoive beaucoup de vuyde, *κενὸν πολύ*.

XXVI. 3. *τὸν* addiderunt S^g[AC]. 5. *ἔθυσεν* S^g. 8. *αὐτῷ* om C. 20. *καὶ καταφερόμενοι* Ai. 24. *ἡμέραις — ταῖς πάσαις* S^g[C]RuV: *ἡμέρας — ταῖς πάσαις* (sic) v.

δὲ πάντες ἐξεχύθησαν εἰς τὴν ὁδὸν, ὥσπερ οὐ πρὸ ἡμερῶν ὀλίγων ἐκπέμψαντες αὐτόν. Ἐποίει δὲ τὴν χαρὰν τὸ παρ' ἐλπίδα τῆς μεταβολῆς τάχος, ὑπερβάλλουσαν ἀφθονίαν τῆς ἀγορᾶς ἐχούσης. Ὅθεν ὁ Πείσων ἐκίνδυνευσε τὴν ὑπατείαν ἀφαιρεθῆναι, Γαβινίου νόμον ἔχοντος ἤδη συγγεγραμμένον. Ἀλλὰ καὶ τοῦτο διεκώλυσεν ὁ Πομπήϊος καὶ τἆλλα χρηματίσας ἐπιεικῶς καὶ διαπραξάμενος ὧν ἐδεῖτο καταβὰς εἰς Βρεντέσιον ἐξέπλευσεν. Ἐπειγόμενος δὲ τῷ καιρῷ καὶ παραπλέων τὰς πόλεις ὑπὸ σπουδῆς ὅμως οὐ παρῆλθε τὰς Ἀθήνας, ἀναβὰς δὲ καὶ θύσας τοῖς θεοῖς καὶ προσαγορεύσας τὸν δῆμον εὐθὺς ἀπιὼν ἀνεγίνωσκεν εἰς αὐτὸν ἐπιγεγραμμένα μονόστιχα, τὸ μὲν ἐντὸς τῆς πύλης·

Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσοῦτον εἶ θεός·

τὸ δ' ἐκτός·

Προσεδοκῶμεν, προσεκυνοῦμεν, εἴδομεν, προπέμπομεν.

Ἐπεὶ δὲ τῶν συνεστώτων ἔτι καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο καὶ παραλαβὼν τὰ πλοῖα καὶ τὰ σώματα κακὸν οὐδὲν ἐποίησεν, ἐπ' ἐλπίδος χρηστῆς οἱ λοιποὶ γενόμενοι τοὺς μὲν ἄλλους διέφευγον ἡγεμόνας, Πομπηΐῳ δὲ φέροντες ἑαυτοὺς μετὰ τέκνων καὶ γυναικῶν ἐνεχείριζον. Ὁ δὲ πάντων ἐφείδετο καὶ μάλιστα διὰ τούτων τοὺς ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων ἐκόμιζεν, ὡς αὐτοὺς ἑαυτοῖς ἀνήκεστα συνειδότας.

XXVIII. Οἱ δὲ πλεῖστοι καὶ δυνατώτατοι γενεὰς μὲν αὐτῶν καὶ χρήματα καὶ τὸν ἄχρηστον ὄχλον ἐν φρουρίοις καὶ πολίσμασι καρτεροῖς περὶ τὸν Ταῦρον εἶχον ἀποκείμενα, τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ Κορακήσιον τῆς Κιλικίας ἐπιπλέοντα τὸν Πομπήϊον ἐδέξαντο· καὶ μάχης γενομένης νικηθέντες ἐπολιορκοῦντο. Τέλος δὲ πέμψαντες ἱκετηρίας παρέδωκαν ἑαυτοὺς καὶ πόλεις καὶ νήσους, ὧν ἐπεκράτουν ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι καὶ δυσπροσπελάστους. Κατελύθη μὲν οὖν ὁ πόλεμος καὶ τὰ πανταχοῦ λῃστήρια τῆς θαλάσσης ἐξέπεσεν οὐκ ἐν πλείονι χρόνῳ τριῶν

4, 170—71 H.

XXVII. 14. ἀναβὰς tuearis Demosth. 27. malim tamen ἀποβάς. 19. προσδοκῶμεν C. 20. ἔτι] ἤδη V. post ἔτι in S^g dicitur esse διὰ, quod suspicor pertinere ad v 26. si est ita, ibi scribendum fuerit διαλανθάνοντας. 24. ἑαυτοὺς S^gCωV: αὐτοὺς γ, αὐτοὺς i. 26. ἐκόλαζεν Reiskii nuperi. non probo.

μηνῶν. Ναῦς δὲ πολλὰς μὲν ἄλλας, ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. Αὐτοὺς δὲ δισμυρίων πλείονας γενομένους ἀνελεῖν μὲν οὐδὲ ἐβουλεύσατο, μεθεῖναι δὲ καὶ περιϊδεῖν σκεδασθέντας ἢ συστάντας αὖθις ἀπόρους καὶ πολεμικοὺς καὶ πολλοὺς ὄντας οὐκ ᾤετο καλῶς ἔχειν. Ἐννοήσας οὖν, ὅτι φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν οὔτ' ἔστιν ἀνήμερον ζῶον οὐδ' ἄμικτον, ἀλλ' ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόπων καὶ βίων μεταβολαῖς ἐξημεροῦται, καὶ θηρία διαίτης κοινωνοῦντα πραοτέρας ἐκδύεται τὸ ἄγριον καὶ χαλεπὸν, ἔγνω τοὺς ἄνδρας εἰς γῆν μεταφέρειν ἐκ τῆς θαλάσσης καὶ βίου γεύειν ἐπιεικοῦς συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. Ἐνίους μὲν οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν Κιλίκων πόλεις ἐδέξαντο καὶ κατέμιξαν ἑαυταῖς χώραν προσλαβοῦσαι, τὴν δὲ Σολίων ἠρημωμένην ἔναγχος ὑπὸ Τιγράνου τοῦ Ἀρμενίων βασιλέως ἀναλαβὼν ἵδρυσε πολλοὺς ἐν αὐτῇ. Τοῖς δὲ πολλοῖς οἰκητήριον ἔδωκε Δύμην τὴν Ἀχαΐδα χηρεύουσαν ἀνδρῶν τότε, γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔχουσαν.

XXIX. Ταῦτα μὲν οὖν οἱ βασκαίνοντες ἔψεγον· τοῖς δὲ περὶ Κρήτην πραχθεῖσι πρὸς Μέτελλον οὐδ' οἱ πάνυ φιλοῦντες αὐτὸν ἔχαιρον. Ὁ γὰρ Μέτελλος οἰκεῖος ὢν ἐκείνου τοῦ συνάρξαντος ἐν Ἰβηρίᾳ τῷ Πομπηίῳ στρατηγὸς εἰς Κρήτην ἐπέμφθη πρότερον ἢ τὸν Πομπήϊον αἱρεθῆναι. Δευτέρα γάρ τις ἦν αὕτη τῶν πειρατηρίων πηγὴ μετὰ τὴν ἐν Κιλικίᾳ· καὶ πολλοὺς ἐγκαταλαβὼν ὁ Μέτελλος ἐξῄρει καὶ διέφθειρεν.
634 Οἱ δὲ περιόντες ἔτι καὶ πολιορκούμενοι πέμψαντες ἱκετηρίαν ἐπεκαλοῦντο τὸν Πομπήϊον εἰς τὴν νῆσον, ὡς τῆς ἐκείνου μέρος οὖσαν ἀρχῆς καὶ πανταχόθεν ἐμπίπτουσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θαλάσσης. Ὁ δὲ δεξάμενος ἔγραφε τῷ Μετέλλῳ κωλύων τὸν πόλεμον. Ἔγραφε δὲ καὶ ταῖς πόλεσι, μὴ προσ-

4, 171—73 H.

XXVIII. 12. αὐτοὺς δὲ] αὐτοὺς i. 14. καὶ πολλοὺς S^g, quidam vetusti' Stephani: πολλοὺς v, τοὺς πολλοὺς corrigebat Stephanus. 17. ἄφικτον ia. 18. βίων S^g: βίου v. ὅπου καὶ θηρία Coraes, ὡς καὶ θηρία Schaeferus, καὶ θηρία δὲ Emperius. hoc aut καὶ γὰρ θηρία malim. 20. τὴν γῆν C. 24. καὶ προσλαβοῦσαι i. 25. num ἀναλαμβάνων? 26. ἔδωκε S^g[A]C: δέδωκε v.

XXIX. 8. ἱκετηρίας error Bryaneae. 11 et 12. ἔγραψε Schaeferus.

ἔχειν Μετέλλῳ καὶ στρατηγὸν ἔπεμψε τῶν ὑφ' ἑαυτὸν ἀρχόντων ἕνα Λεύκιον Ὀκταούϊον, ὃς συνεισελθὼν εἰς τὰ τείχη τοῖς πολιορκουμένοις καὶ μαχόμενος μετ' αὐτῶν οὐ μόνον ἐπαχθῆ καὶ βαρὺν, ἀλλὰ καὶ καταγέλαστον ἐποίει τὸν Πομπήϊον ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τοὔνομα κιχράντα καὶ περιάπτοντα τὴν αὐτοῦ δόξαν ὥσπερ ἀλεξιφάρμακον ὑπὸ φθόνου καὶ φιλοτιμίας τῆς πρὸς τὸν Μέτελλον. Οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ μειρακίου παντάπασιν ἐμπλήκτου καὶ σεσοβημένου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα,

Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·

Πομπήϊον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων ἐπὶ τῷ τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότως. Οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο καὶ τὸν Ὀκταούϊον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.

XXX. Ἀπαγγελθέντος δὲ εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον καὶ σχολὴν ἄγοντα τὸν Πομπήϊον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων Μάλλιος, ὅσης Λεύκολλος ἄρχει χώρας καὶ δυνάμεως Πομπήϊον παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν, ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ τοῖς βασιλεῦσιν ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν καὶ τὸ κράτος τῆς θαλάσσης ἐφ' οἷς ἔλαβεν ἐξ ἀρχῆς. Τοῦτο δ' ἦν ὑφ' ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. Ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἐφικνεῖσθαι τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλατίας, Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας, αὗται προσετίθεντο μετὰ στρατοπέδων καὶ

4, 173—74 H.

---

19. τὸν μέτελλον S^g: *Μέτελλον* v. 23. Homer. Iliad. 22, 207. 25. τῷ τὸν Stephanus cum SuT et corr. A: ἐπὶ τὸ τὸν S^gC, ἐπὶ τὸν pr. Aia.

XXX. 2. ἀπέρχεσθαι i. 3. C. Manilium intelligendum esse viderunt interpretes. hinc *Μανίλιος* x probatum editoribus. alterum non mutandum fuisse plures docent loci Dionis Cassii, quem cf. 36, 25. 26. 27. 4. λεύκολλος S^g et postea: λούκολλος pr. Ai ubique: *Λεύκουλλος* v et postea, quod singulis locis annotare supervacaneum existimavi. 6. γαβρίων C. 8. ἐφ' ἑνὶ Stephanus cum [S^g?]. 10. ἐφικνεῖσθαι [AC]SuVx: ἀφικνεῖσθαι v.

δυνάμεων, αἷς Λεύκολλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην. Ἀλλὰ Λευκόλλου μὲν ἀποστερουμένου τὴν δόξαν ὧν κατειργάσατο καὶ θριάμβου μᾶλλον ἢ πολέμου διαδοχὴν λαμβάνοντος ἤττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχάριστα πάσχειν τὸν ἄνδρα, τὴν δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες ὡς τυραννίδα καθισταμένην ἰδίᾳ παρεκάλουν καὶ παρεθάρρυνον αὐτοὺς ἐπιλαβέσθαι τοῦ νόμου καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. Ἐνστάντος δὲ τοῦ καιροῦ τὸν δῆμον φοβηθέντες ἐξέλιπον καὶ κατεσιώπησαν οἱ λοιποί, Κάτλος δὲ τοῦ νόμου πολλὰ κατηγορήσας καὶ τοῦ δημάρχου, μηδένα δὲ πείθων, ἐκέλευε τὴν βουλὴν ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις ὅρος ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνὸν, ὅπου καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. Ἐκυρώθη δ' οὖν ὁ νόμος, ὡς λέγουσι, πάσαις, ταῖς φυλαῖς καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήϊος ἁπάντων σχεδὸν, ὧν ὁ Σύλλας ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. Αὐτὸς δὲ δεξάμενος τὰ γράμματα καὶ πυθόμενος τὰ δεδογμένα, τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγαγεῖν καὶ τὸν μηρὸν πατάξαι καὶ εἰπεῖν ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν· „Φεῦ τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς ἐν ἀγρῷ διαιτήσομαι μετὰ τῆς γυναι-
635 κός." Ἐφ' οἷς λεγομένοις οὐδ' οἱ πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν γινώσκοντες, ὅτι τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν πρὸς Λεύκολλον ἔχων διαφορὰν μειζόνως ἔχαιρεν.

XXXI. Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. Πανταχοῦ γὰρ ἐκτιθεὶς διαγράμματα τοὺς στρατιώτας ἀνεκαλεῖτο καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς ἑαυτόν. Ἐπιών τε τὴν χώραν οὐδὲν ἀκίνητον εἴα τῶν ὑπὸ τοῦ Λευκόλλου γεγονότων, ἀλλὰ καὶ κολά-
4, 174—76 H.

---

15. διαδοχὴν] cf. Lucull. 35, 46. 23. τοῦ δημάρχου S^g cod. Stephani (‚est et alia lectio') cl. Dion. Cass. 36, 27: τοῦ δήμου A[C], δήμου v. μηδένα δὲ S^g: μηδένα καὶ cod. Stephani (‚est et alia lectio'), μηδένα v. 25. ὅποι Reiskii ceteri. 26. ὡς λέγουσι πάσαις S^g: πάσαις ὡς λέγεται v. 35. τῆς addiderunt S^g[A]C.

σεις ἀνῆκε πολλοῖς καὶ δωρεὰς ἀφείλετο καὶ πάντα ὅλως ἔπραττεν ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς ὄντα κύριον. Ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων ἔδοξε συνελθεῖν εἰς ταὐτό· καὶ συνῆλθον περὶ τὴν Γαλατίαν. Οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατωρθωκότων δάφναις ἀνεστεμμένας ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων· ἀλλὰ Λεύκολλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει, Πομπήϊος δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην ἔτυχε διεληλυθώς. Ἰδόντες οὖν οἱ τοῦ Λευκόλλου ῥαβδοφόροι τοῦ Πομπηΐου τὰς δάφνας ἀθαλλεῖς καὶ μεμαραμμένας παντάπασιν, ἐκ τῶν ἰδίων προσφάτων οὐσῶν μεταδιδόντες ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους. Ὃ σημεῖον ἔδοξεν εἶναι τοῦ τὰ Λευκόλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον ἔρχεσθαι Πομπήϊον. Ἦν δὲ Λεύκολλος μὲν ἐν ὑπατείας τε τάξει καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηΐου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. Οὐ μὴν ἀλλὰ τὴν πρώτην ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο μεγαλύνοντες ἀλλήλων τὰ ἔργα καὶ συνηδόμενοι τοῖς κατορθώμασιν· ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν εἰς φιλαργυρίαν τὸν Λεύκολλον, ὁ δὲ εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. Καὶ Λεύκολλος μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ δωρεὰς ἄλλας οἷς ἐβούλετο, Πομπήϊος δὲ μικρὸν ἀπωτέρω στρατοπεδεύσας ἐκώλυε προσέχειν αὐτῷ καὶ τοὺς στρατιώτας ἅπαντας ἀφείλετο πλὴν χιλίων ἑξακοσίων, οὓς ἐνόμιζεν ὑπ' αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ Λευκόλλῳ δὲ δυσμενεῖς εἶναι. Πρὸς δὲ τούτοις διασύρων τὰ ἔργα ἐμφανῶς ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν

4, 176–77 H.

XXXI. 6. scribendum πάνθ' hic et ceteris locis similibus. 11. δάφναις ἀνεστεμμένας Bryanus: δάφνας ἀνεσταμένας A C i, δάφνας ἀνεσταλμένας v. ὁμοῦ καὶ] ὁμοίως Schaeferus Emperiusque, ὁμοῦ τοῖς πελέκεσι καὶ Reiskius, ὁμοῦ τὰς αἰχμὰς καὶ Coraes, sed cf. v. 17 et Lucull. 36, 12. Reimarum in Dion. Cass. 44, 4. ego praeferam ὁμαλῶς. 12. corrigo συνήντων. 13. προσήκει i. 14. κατεψυγμένον χῶρον C. 15. δορυφόροι C. ἀθαλεῖς Reiskius, sed cf. Valckenarium in Theocr. Adon. p. 303. 18. τοῦ τὰ S^{g}C: τὰ τοῦ v. 22. ἀλλὰ καὶ V. 33. ἔργ' ἐμφανῶς Plutarchum scripsisse puto.

Λεύκολλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν εἰς θυρεοὺς καὶ ξίφη καὶ ἵππους Μιθριδάτου καταφεύγοντος. Ἀμυνόμενος δὲ ὁ Λεύκολλος εἰδώλῳ καὶ σκιᾷ πολέμου τὸν Πομπήϊον ἔφη μαχούμενον βαδίζειν εἰθισμένον ἀλλοτρίοις νεκροῖς, ὥσπερ ὄρνιν ἀργὸν, ἐπικαταίρειν καὶ λείψανα πολέμων σπαράσσειν. Οὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερτωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακίοις, τὰ μὲν Κράσσου, τὰ δὲ Μετέλλου, τὰ δὲ Κάτλου κατορθωκότος. Ὅθεν οὐ θαυμάζειν, εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέμων ὑποβάλλεται τὴν δόξαν ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν θρίαμβον ἀμωσγέπως ἐμβαλεῖν μηχανησάμενος.

XXXII. Ἐκ τούτου Λεύκολλος μὲν ἀπῆρε, Πομπήϊος δὲ τῷ στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβὼν αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην ἔχοντα τρισμυρίους πεζοὺς ἐν φάλαγγι καὶ δισχιλίους ἱππεῖς, μάχεσθαι δὲ μὴ θαρροῦντα. Καὶ πρῶτον μὲν αὐτοῦ καρτερὸν ὄρος καὶ δύσμαχον, ἐν ᾧ στρατοπεδεύων ἔτυχεν, ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ τοῦτο κατασχὼν ὁ Πομπήϊος καὶ τῇ φύσει τῶν βλαστανόντων καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον ἐκέλευσεν ἐκβαλεῖν πανταχοῦ φρέατα. Καὶ μεστὸν ἦν εὐθὺς ὕδατος ἀφθόνου τὸ στρατόπεδον, ὥστε θαυμάζειν, εἰ τῷ παντὶ χρόνῳ
636 τοῦτο Μιθριδάτης ἠγνόησεν. Ἔπειτα περιστρατοπεδεύσας περιετείχιζεν αὐτόν. Ὁ δὲ πέντε καὶ τετταράκοντα πολιορκηθεὶς ἡμέρας ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐρρωμενεστάτης δυνάμεως κτείνας τοὺς ἀχρήστους καὶ νοσοῦντας. Εἶτα μέντοι περὶ τὸν Εὐφράτην καταλαβὼν αὐτὸν ὁ Πομπήϊος παρεστρατοπέδευσε· καὶ δεδιὼς, μὴ φθάσῃ περάσας τὸν Εὐφράτην, ἐκ μέσων νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν· καθ' ὃν χρόνον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν τὰ μέλλοντα προδηλοῦσαν. Ἐδόκει γὰρ οὐρίῳ πνεύ-
4, 177—78 H.

---

45. ἑαυτὸν ante ἐμβαλεῖν repetit C.

XXXII. 1. ἀπῆρεν S^{g}. 12. παραστρατοπεδεύσας Reiskii ne probes cum nuperis praeter Zonaram p. 122 cf. Appiani b. mithr. c. 99: περιελθὼν δὲ τὰ πρὸς ἕω τοῦ Μιθριδάτου καὶ φρούρια αὐτῷ καὶ στρατόπεδα πολλὰ ἐς ἑκατὸν καὶ πεντήκοντα σταδίους περιθεὶς ἀπετάφρευε τοῦ μὴ σιτολογεῖν αὐτὸν ἔτι εὐμαρῶς. 18. στρατιὰν Stephanus: στρατείαν libri. 20. ἰδεῖν] ὁρᾷν V.

ματι πλέων τὸ Ποντικὸν πέλαγος ἤδη Βόσπορον καθορᾷν καὶ φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ σαφεῖ καὶ βεβαίῳ χαίρων· ἄφνω δὲ ἀναφανῆναι πάντων ἔρημος ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. Ἐν τοιούτοις δὲ αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιστάντες ἀνέστησαν οἱ φίλοι φράζοντες ἐπιέναι Πομπήϊον. Ἦν οὖν ἐξ ἀνάγκης μαχητέον ὑπὲρ τοῦ χάρακος, καὶ προαγαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν. Αἰσθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήϊος ὤκνει κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν καὶ κύκλῳ μόνον ᾤετο δεῖν περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας δὲ κρείττους ὄντας ἐπιχειρεῖν. Οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν δεόμενοι καὶ παρακαλοῦντες ἐξώρμησαν αὐτόν· οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλὰ ἡ σελήνη καταφερομένη παρεῖχεν ἔτι τῶν σωμάτων ἱκανὴν ἔποψιν. Καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. Ἐπῆσαν μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες· πεπιεσμένου δὲ πρὸς τὰς δύσεις τοῦ φωτὸς αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι τοῖς πολεμίοις ἐπέβαλλον οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκριβῶς· ἀλλ' ὡς ἐν χερσὶν ἤδη γεγονότων τοὺς ὑσσοὺς ἀφέντες μάτην οὐδενὸς ἐφίκοντο. Τοῦτο συνιδόντες οἱ Ῥωμαῖοι μετὰ κραυγῆς ἐπέδραμον καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ φεύγοντας ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν, ἁλῶναι δὲ τὸ στρατόπεδον. Αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἱππεῦσι διέκοψε καὶ διεξήλασε τοὺς Ῥωμαίους, ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων ἀπελείφθη μετὰ τριῶν. Ἐν οἷς ἦν Ὑψικρατία παλλακὶς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος· Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει· τότε δὲ ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον οὔτε τῷ σώματι

4, 178—79 H.

---

26. ἐπιέναι Stephanus: ἐπεῖναι libri. 31. ταξιαρχῶν etiam c. 58. 68. Caes. 29 et 44. neque tamen certum habeo formae ταξιάρχης exemplum Plutarchi, nam et Pyrrh. 26, 27 libri meliores ταξιάρχους et Caes. 16 ex codicibus corrigendus. (memorabilis locus est Pomp. 78 ταξίαρχον — ἑκατοντάρχην) eadem tamen fluctuatione apud Polybium 6, 24 brevissimo spatio se excipiunt ταξιάρχους, ταξιαρχῶν, ταξιάρχους, de quo dixit Schweighaeuserus t. 6. p. 352. 32. παρακαλοῦντες Sg: παρακολουθοῦντες v. 36. τὴν δύσιν C. 38. προϊοῦσαι] προσπεριοῦσαι V, πρόσθεν ἰοῦσαι Zonaras. ἐπέβαλον C.

πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν οὔτε θεραπεύουσα τοῦ βασιλέως τὸ σῶμα καὶ τὸν ἵππον ἐξέκαμεν, ἄχρι ἦκον εἰς χωρίον Ἰνώρα χρημάτων καὶ κειμηλίων βασιλικῶν μεστόν. Ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. Ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ἄκων μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. Ἐντεῦθεν ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην, ἐκείνου δὲ ἀπαγορεύοντος καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου διὰ τῆς Κολχίδος ἔφευγε.

XXXIII. Πομπήϊος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρὸς καὶ συνήντησε τῷ Πομπηΐῳ περὶ τὸν Ἀράξην ποταμὸν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος. Οὗτοι μὲν οὖν προῆγον ἅμα τὰς πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης ἔναγχος μὲν ὑπὸ Λευκόλλου συντετριμμένος, ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾷον πυθόμενος εἶναι τὸν Πομπήϊον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουράν, ἀναλαβὼν δὲ τοὺς φίλους καὶ συγγενεῖς αὐτὸς ἐπορεύετο παρα-
637 δώσων ἑαυτόν. Ὡς δὲ ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδοῦχοι δύο τοῦ Πομπηΐου προσελθόντες ἐκέλευσαν ἀποβῆναι τοῦ ἵππου καὶ πεζὸν ἐλθεῖν· οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου καθεζόμενον ἐν Ῥωμαϊκῷ στρατοπέδῳ πώποτε ὀφθῆναι. Καὶ ταῦτα οὖν ὁ Τιγράνης ἐπείθετο καὶ τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐτὸν ἦλθε τὸν Πομπήϊον, ἀφελόμενος τὴν κίταριν ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι καὶ καταβαλὼν ἑαυτὸν, αἴσχιστα δὴ πάντων, προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. Ἀλλ' ὁ Πομπήϊος ἔφθη τῆς
4, 179—81 H.

---

51. τοῦ βασιλέως τὸ σῶμα S^g: τὸ σῶμα τοῦ βασιλέως v. ἄχρι $S^g Ci$: ἄχρις v. 52. ἰνώρα ia, ὁ ἑώρα (sic) V. scribendum aut Σινορία cum Lubino cl. Strabon. 12 p. 555 aut Σίνορα vel Σίνωρα cum Corae. Appiano mithrid. c. 101 est Σινόργα, Ammiano 16, 6. 10 Sinhorium vel Synorium.

XXXIII. 3. Ἀράξιν Stephaniana. 5. κάππιον S^g. 8. πυθόμενος εἶναι S^g: εἶναι πυθόμενος v. 10. δὲ post αὐτὸς habent libri, post ἀναλαβὼν posuit Solanus. 15. οὖν $S^g[A]C\pi S$: μὲν οὖν v. ὁ addiderunt $S^g C\pi S$. 16. ἀπολυσάμενος Reiskius cl. Camill. 28, 29: ἀποδυσάμενος libri.

δεξιᾶς αὐτοῦ λαβόμενος προσαγαγέσθαι· καὶ πλησίον ἱδρύσασθαι ἑαυτοῦ, τὸν δὲ υἱὸν ἐπὶ θάτερα, τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκολλον, ὑπ' ἐκείνου γὰρ ἀφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σωφηνήν· ἃ δὲ ἄχρις ἑαυτοῦ διατετήρηκεν ἔξειν ἐκτίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας, Σωφηνῆς δὲ βασιλεύειν τὸν υἱόν. Ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησε, καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα περιχαρὴς γενόμενος ἐπηγγείλατο στρατιώτῃ μὲν ἡμίμνεον ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς δέκα, χιλιάρχῳ δὲ τάλαντον· ὁ δ' υἱὸς ἐδυσφόρει καὶ κληθεὶς ἐπὶ δεῖπνον οὐκ ἔφη Πομπηίου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. Ἐκ τούτου δεθεὶς εἰς τὸν θρίαμβον ἐφυλάττετο. Καὶ μετ' οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος ἀπαιτῶν μὲν τὸν νεανίσκον, ὡς αὐτοῦ γαμβρόν, ἀξιῶν δὲ τῶν ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ. Πομπήϊος δὲ ἀπεκρίνατο τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον ἢ τῷ πενθερῷ προσήκειν, ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.

XXXIV. Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. Μέγιστά δὲ αὐτῶν ἐστιν ἔθνη Ἀλβανοὶ καὶ Ἴβηρες, Ἴβηρες μὲν ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δὲ ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. Οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηίῳ δίοδον ἔδοσαν· χειμῶνος δὲ τὴν στρατιὰν ἐν τῇ χώρᾳ καταλαβόντος καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμὸν, ὃς ἐκ τῶν Ἰβηρικῶν

4, 181—82 H.

---

20. immo ἱδρυσάμενος cum Reiskio. 22. ἀφῃρῆσθαι i, ἀφῃρῆσθε x, ἀφῄρησθε [S^{g}] C a et v. correxit Reiskius. 23. Σωφηνὴν et mox Σωφηνῆς Coraes cl. Lucull. 24, 42 et Strabon. p. 527 sqq.: Σωφήνην et Σωφήνης v. 24. ἄχρι αὐτοῦ Zonaras. 25. βασιλεύσειν Zonaras x et nuperi. 28. ἡμίμνεον S^{g} cl. Lycurg. 12, 10: ἡμίμναιον v.

XXXIV. 1. φρούριον Ai. ἀφράννιον A. 3. εἰσιν C cum Zonara p. 123. cf. c. 36, 27. ἔθνη deleo. 4. μεσχικὰ Zonaras, μαχικὰ V. 7. στρατιὰν Bryanus: στρατείαν libri. 9. τετρακισχιλίων V ‚in quibusdam' Stephani. codices intellige Parisinos 1676, 1677.

ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἀράξην ἀπ' Ἀρμενίας ἐξίησι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. Οἱ δὲ οὐ φασὶ τούτῳ συμφέρεσθαι τὸν Ἀράξην, ἀλλὰ καθ' ἑαυτόν, ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. Πομπήϊος δὲ, καίπερ ἐνστῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτα ἐπαγαγὼν ἐτρέψατο καὶ διέφθειρε παμπληθεῖς. Τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν καὶ σπεισάμενος ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι καὶ διωθεῖσθαι τὸν Πομπήϊον. Οὔτε γὰρ Μήδοις οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες, διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Ὑρκανίας ἀπάραντος. Οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήϊος, ὥστε ἀποθανεῖν μὲν ἐνακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουίλιος ἀπήντησε τὰς ναῦς ἔχων, αἷς ἐφρούρει τὸν Πόντον.

XXXV. Ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δὲ αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθη-
638 σαν. Πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν διεπέρασεν ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον καὶ, μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος ἤλαυνεν ἐπὶ τοὺς πολεμίους καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους ἑξακισμυρίους πεζοὺς καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. Ἡγεῖτο δὲ αὐτῶν βασιλέως ἀδελφὸς ὄνομα Κῶσις. Οὗτος ἐν χερσὶ τῆς μάχης γενομένης ἐπὶ τὸν Πομπήϊον ὁρμήσας αὐτὸν ἔβαλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι, Πομπήϊος δὲ ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. Ἐν ταύτῃ τῇ μάχῃ λέ-
4, 182—83 H.

---

11. ἀράξην S[g][A]C x et mox: ἀράξειν i, ἄραξιν a et v et mox. 12. ἐξίησιν S[g]. κάππιον S[g]. 14. μεταβολὴν V. 19. ἐβάδιζεν S[g]. 25. ἐννακισχιλίους S[g]C corr. A. 27. φᾶσιν i: Φάσιν v.

XXXV. 8. καὶ om i. 13. ἔβαλεν [A]CSV: ἔβαλλεν v.

γονται καὶ Ἀμαζόνες συναγωνίσασθαι τοῖς βαρβάροις ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβᾶσαι. Μετὰ γὰρ τὴν μάχην σκυλεύοντες οἱ Ῥωμαῖοι τοὺς βαρβάρους πέλταις Ἀμαζονικαῖς καὶ κοθόρνοις ἐνετύγχανον, σῶμα δὲ οὐδὲν ὥρθη γυναικεῖον. Νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς τὴν Ὑρκανίαν θάλασσαν οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου· καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταὐτὸ φοιτῶσαι περὶ τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν.

XXXVI. Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήϊος ἐλαύνειν ἐπὶ τὴν Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη τριῶν ὁδὸν ἡμερῶν ἀποσχών. Εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε· καὶ τῷ μὲν Ἐλυμαίων καὶ Μήδων βασιλεῖ πέμψασι πρέσβεις ἀντέγραψε φιλικῶς, τὸν δὲ Πάρθον εἰς τὴν Γορδυηνὴν ἐμβεβληκότα καὶ περικόπτοντα τοὺς ὑπὸ Τιγράνῃ πέμψας μετὰ Ἀφρανίου δύναμιν ἐξήλασε διωχθέντα μέχρι τῆς Ἀρβηλίτιδος. Ὅσαι δὲ τῶν Μιθριδάτου παλλακίδων ἀνήχθησαν, οὐδεμίαν ἔγνω, πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμπεν. Ἦσαν γὰρ αἱ πολλαὶ θυγατέρες καὶ γυναῖκες στρατηγῶν καὶ δυναστῶν. Στρατονίκη δέ, ἣ μέγιστον εἶχεν ἀξίωμα καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν, ἦν μέν, ὡς ἔοικε, ψάλτου τινὸς οὐκ εὐτυχοῦς τἆλλα, πρεσβύτου δὲ θυγάτηρ, οὕτω δὲ εὐθὺς εἶλε παρὰ πότον ψήλασα τὸν Μιθριδάτην, ὥστε ἐκείνην μὲν ἔχων ἀνεπαύετο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε δυσφοροῦντα τῷ μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. Ὡς μέντοι περὶ ὄρθρον ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν τραπέζας, ὄχλον δὲ θεραπείας πολὺν,

4, 183—85 H.

---

18. σκυλεύοντος a. 22. *Γέλλαι καὶ Λίγυες* Zonaras, *Γῆλαι καὶ Λῆγες* Strabon. XI. p. 503. cf. Bernhardyum in Dionys. Perieg. v. 1019.

XXXVI. 3. ἐπετράπη i. ἡμερῶν ὁδόν C. 4. ἀνεχώρησεν S^g. 5. καὶ τῷ *Μήδων* Coraes. 6. ἐμβεβηκότα Coraianae Schaeferus. 8. Ἀρβηλίτιδος Bryanus: ἀρβίτιδος S^g, ἀρβιηλίτιδος v. 10. ἀνέπεμψεν Corais C. 15. παρὰ S^g pr. A[C]πuRVx: περὶ v. ψάλασα C. 18. ἐκπωμάτων — τραπέζας] cf. Schaeferum in Longi p. 386.

εὐνούχους δὲ καὶ παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ καὶ πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον, ὥσπερ οἱ τῶν φίλων τοῦ βασιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα καὶ παιδιὰν ἡγούμενος ὥρμησε φεύγειν διὰ θυρῶν. Τῶν δὲ θεραπόντων ἀντιλαμβανομένων καὶ λεγόντων, ὅτι πλουσίου τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς δεδώρηται καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσὶν, οὕτω πιστεύσας μόλις καὶ τὴν πορφύραν ἀναλαβὼν καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον ἤλαυνε διὰ τῆς πόλεως βοῶν· „Ἐμὰ ταῦτα πάντα ἐστί.“ Πρὸς δὲ τοὺς καταγελῶντας οὐ τοῦτο ἔλεγεν εἶναι θαυμαστὸν, ἀλλ' ὅτι μὴ λίθοις βάλλει τοὺς ἀπαντῶντας ὑφ' ἡδονῆς μαινόμενος. Ταύτης μὲν ἦν καὶ γενεᾶς καὶ αἵματος ἡ Στρατονίκη. Τῷ δὲ Πομπηΐῳ καὶ τὸ χωρίον παρεδίδου τοῦτο καὶ δῶρα πολλὰ προσήνεγκεν, ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ θριάμβῳ παρέξειν ἐφαίνετο λαβὼν μόνα τὰ λοιπὰ τὴν Στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. Ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην τε καὶ τράπεζαν καὶ θρόνον, ἅπαντα χρυσᾶ, πέμψαντος αὐτῷ καὶ δεηθέντος λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.

XXXVII. Ἐν δὲ τῷ Καινῷ φρουρίῳ καὶ γράμμασιν ἀπορρήτοις ὁ Πομπήϊος ἐνέτυχε τοῦ Μιθριδάτου καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν. Ὑπομνήματα γὰρ ἦν, ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς καὶ τὸν υἱὸν Ἀριαράθην ἀνῃρηκὼς καὶ τὸν Σαρδιανὸν Ἄλκαῖον, ὅτι παρευδοκίμησεν αὐτὸν ἵπποις ἀγωνιστὰς ἐλαύνων. Ἦσαν δὲ ἀναγεγραμμέναι καὶ κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δὲ ἔνιαι τῶν γυναικῶν, ἐπιστολαί τε Μονίμης πρὸς αὐτὸν ἀκόλαστοι καὶ πάλιν ἐκείνου πρὸς αὐτήν. Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναί φησι παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίᾳ Ῥωμαίων. Ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι κακοήθευμα τοῦ Θεοφάνους εἶναι, τάχα μὲν οὐδὲν αὐτῷ τὸν Ῥουτίλιον ἐοι-

4, 185–86 H.

---

31. βάλλει Corais C: βάλλῃ v, βάλῃ Ai. 33. τὸ φρούριον x cum Zonara p. 123: δῶρά τε πολλὰ τῷ Πομπηΐῳ προσήγαγε καὶ τὸ φρούριον παρεδίδου. 38. χρυσῷ V.

XXXVII. 7. καὶ addidit Coraes. 9. μονίκης S^B.

κότα μισοῦντος, εἰκὸς δὲ καὶ διὰ Πομπήϊον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς ἱστορίαις.

XXXVIII. Ἐντεῦθεν εἰς Ἄμισὸν ἐλθὼν ὁ Πομπήϊος πάθος νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. Πολλὰ γὰρ τὸν Λεύκολλον ἐπικερτομήσας, ὅτι τοῦ πολεμίου ζῶντος ἔγραφε διατάξεις καὶ δωρεὰς ἔνεμε καὶ τιμάς, ἃ συνῃρημένου πολέμου καὶ πέρας ἔχοντος εἰώθασι ποιεῖν οἱ νενικηκότες, αὐτὸς ἐν Βοσπόρῳ Μιθριδάτου κρατοῦντος καὶ συνειλοχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταὐτὰ διακοσμῶν τὰς ἐπαρχίας καὶ διανέμων δωρεὰς, πολλῶν μὲν ἡγεμόνων καὶ δυνατῶν, βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. Ὅθεν οὐδὲ ἠξίωσε τὸν Πάρθον ἀντιγράφων, ὥσπερ οἱ λοιποὶ, βασιλέα βασιλέων προσαγορεῦσαι τοῖς ἄλλοις χαριζόμενος. Αὐτὸν δέ τις ἔρως καὶ ζῆλος εἶχε Συρίαν ἀναλαβεῖν καὶ διὰ τῆς Ἀραβίας ἐπὶ τὴν ἐρυθρὰν ἐλάσαι θάλασσαν, ὡς τῷ περιϊόντι τὴν οἰκουμένην παντα-χόθεν Ὠκεανῷ προσμίξειε νικῶν· καὶ γὰρ ἐν Λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσσης κρατῶν προῆλθε καὶ τὴν ἐν Ἰβηρίᾳ πάλιν ἀρχὴν ὡρίσατο Ῥωμαίοις τῷ Ἀτλαντικῷ πελάγει καὶ τρίτον ἔναγχος Ἀλβανοὺς διώκων ὀλίγου ἐδέησεν ἐμβαλεῖν εἰς τὴν Ὑρκανίαν θάλασσαν. Ὡς οὖν συνάψων τῇ ἐρυθρᾷ τὴν περίοδον τῆς στρατείας ἀνίστατο. Καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἑώρα δυσθήρατον ὄντα τοῖς ὅπλοις καὶ φεύγοντα χαλεπώτερον ἢ μαχόμενον.

XXXIX. Διὸ τούτῳ μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν ἐπέστησε φυλακὰς τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ἡ ζημία τοῖς ἁλισκομένοις. Ἀναλαβὼν δὲ τῆς στρατιᾶς τὴν πληθὺν συχνὴν προῆγε· καὶ τῶν μετὰ Τριαρίου πρὸς Μιθριδάτην ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων ἐντυχὼν ἀτά-

4, 186—88 H.

---

14. μισοῦντες V.

XXXVIII. 1. Ἄμισον error Reiskianae. 3. ἔγραψε C. 4. ἃ Solanus: ἅς libri. συνανῃρημένου S^g. 6. συνειλοχότος Coraes habentque 1676, 1677: συνειληχότος v, cf. ad Sull. 5, 43. 7. ταὐτὰ Solanus: ταῦτα v, πάντα V. 9. δυναστῶν Bryani nuperi. 14. περιόντι S^g. 18. ὀλίγων ia.

XXXIX. 1. τούτῳ [A]ix: τοῦτο v. 2. φυλακὰς Muretus (‚ἴσως') V: φύλακας libri. 4. στρατιᾶς Stephanus: libri στρατείας. τὴν πληθὺν τῆς στρατείας C.

φοις ἔτι τοῖς νεκροῖς ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας, ὃ δοκεῖ παραλειφθὲν οὐχ ἥκιστα Λευκόλλῳ μίσους αἴτιον γενέσθαι. Χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς περὶ Ἀμανὸν Ἄραβας καὶ καταβὰς αὐτὸς εἰς Συρίαν, ταύτην μὲν ὡς οὐκ ἔχουσαν γνησίους βασιλεῖς ἐπαρχίαν ἀπέφηνε καὶ κτῆμα τοῦ δήμου Ῥωμαίων, τὴν δὲ Ἰουδαίαν κατεστρέψατο καὶ συνέλαβεν Ἀριστόβουλον τὸν βασιλέα. Πόλεις δὲ τὰς μὲν ἔκτιζε, τὰς δὲ ἠλευθέρου κολάζων τοὺς ἐν ταύταις τυράννους. Τὴν δὲ πλείστην διατριβὴν ἐν τῷ δικάζειν ἐποιεῖτο πόλεων καὶ βασιλέων ἀμφισβητήματα διαιτῶν, ἐφ' ἃ δὲ αὐτὸς οὐκ ἐξικνεῖτο πέμπων τοὺς φίλους, ὥσπερ Ἀρμενίοις καὶ Πάρθοις περὶ ἧς διεφέροντο χώρας τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ τρεῖς ἀπέστειλε κριτὰς καὶ διαλλακτάς. Μέγα μὲν γὰρ ἦν
640 ὄνομα τῆς δυνάμεως, οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πραότητος· ᾧ καὶ τὰ πλεῖστα τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων καὶ συνήθων ἀπέκρυπτε, κωλύειν μὲν ἢ κολάζειν τοὺς πονηρευομένους οὐ πεφυκὼς, αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνουσι τοιοῦτον, ὥστε καὶ τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας εὐκόλως ὑπομένειν.

XL. Ὁ δὲ μέγιστον δυνάμενος παρ' αὐτῷ Δημήτριος ἦν ἀπελεύθερος, οὐκ ἄφρων εἰς τἆλλα νεανίας, ἄγαν δὲ τῇ τύχῃ χρώμενος· περὶ οὗ καὶ τοιόνδε τι λέγεται. Κάτων ὁ φιλόσοφος ἔτι μὲν ὢν νέος, ἤδη δὲ μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν εἰς Ἀντιόχειαν, οὐκ ὄντος αὐτόθι Πομπηίου, βουλόμενος ἱστορῆσαι τὴν πόλιν. Αὐτὸς μὲν οὖν, ὥσπερ ἀεὶ, πεζὸς ἐβάδιζεν, οἱ δὲ φίλοι συνώδευον ἵπποις χρώμενοι. Κατιδὼν δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς καὶ παρὰ τὴν ὁδὸν ἔνθεν μὲν τοὺς ἐφήβους, ἔνθεν δὲ τοὺς παῖδας διακεκριμένους, ἐδυσχέραινεν οἰόμενος εἰς τιμήν τινα καὶ θεραπείαν ἑαυτοῦ μηδὲν δεομένου ταῦτα γίνεσθαι. Τοὺς μέντοι φίλους ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ' αὐτοῦ· γενομένοις δὲ πλησίον ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ καθιστὰς ἔχων στέφανον καὶ ῥάβδον
4, 188—89 H.

---

10. ἄῤῥαβας C. 14. αὐταῖς Stephanianae editores. falsa narrat Reiskiana. 16. ἀμφισβητήσεις C. 17. ἀρμενίους a. 22. συνήθως a.

XL. 2. τῇ addiderunt S^gC. 9. τοὺς ἐφήβους S^gAC: ἐφήβους v. 12. γίνεσθαι $S^gCu\pi V$: γενέσθαι v.

ἀπήντησε πυνθανόμενος παρ' αὐτῶν, ποῦ Δημήτριον ἀπολελοίπασι καὶ πότε ἀφίξεται. Τοὺς μὲν οὖν φίλους τοῦ Κάτωνος γέλως ἔλαβεν, ὁ δὲ Κάτων εἰπών· „Ὦ τῆς ἀθλίας πόλεως" παρῆλθεν οὐδὲν ἕτερον ἀποκρινάμενος. Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις τοῦτον τὸν Δημήτριον ἧττον ἐπίφθονον ἐποίει αὐτὸς ὁ Πομπήϊος ἐντρυφώμενος ὑπ' αὐτοῦ καὶ μὴ δυσκολαίνων. Λέγεται γὰρ, ὅτι πολλάκις ἐν ταῖς ὑποδοχαῖς τοῦ Πομπηΐου προσμένοντος καὶ δεχομένου τοὺς ἄλλους ἐκεῖνος ἤδη κατέκειτο σοβαρὸς ἔχων δι' ὥτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. Οὕπω δὲ εἰς Ἰταλίαν ἐπανεληλυθὼς ἐκέκτητο τῆς Ῥώμης τὰ ἥδιστα προάστεια καὶ τῶν ἡβητηρίων τὰ κάλλιστα, καὶ κῆποι πολυτελεῖς ἦσαν ὀνομαζόμενοι Δημητρίου· καίτοι Πομπήϊος αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ ἀφελῶς ᾤκησεν. Ὕστερον δὲ Ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ περιβόητον ἀνιστὰς θέατρον, ὥσπερ ἐφόλκιόν τι, παρετεκτήνατο λαμπροτέραν οἰκίαν ἐκείνης, ἀνεπίφθονον δὲ καὶ ταύτην, ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς μετὰ Πομπήϊον εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι, ποῦ Πομπήϊος Μάγνος ἐδείπνει. Ταῦτα μὲν οὖν οὕτω λέγεται.

XLI. Τοῦ δὲ βασιλέως τῶν περὶ τὴν Πέτραν Ἀράβων πρότερον μὲν ἐν οὐδενὶ λόγῳ τὰ Ῥωμαίων τιθεμένου, τότε δὲ δείσαντος ἰσχυρῶς καὶ γράψαντος, ὅτι πάντα πείθεσθαι καὶ ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμενος αὐτοῦ τὴν διάνοιαν ὁ Πομπήϊος ἐστράτευσεν ἐπὶ τὴν Πέτραν οὐ πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον στρατείαν. Ἀπόδρασιν γὰρ ᾤοντο τῆς Μιθριδάτου διώξεως εἶναι καὶ πρὸς ἐκεῖνον ἠξίουν τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιστὴν αὖθις ἀναζωπυροῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο, διὰ Σκυθῶν καὶ Παιόνων στρατὸν ἐλαύνειν ἐπὶ τὴν Ἰταλίαν. Ὁ δὲ ῥᾷον οἰόμενος αὐτοῦ καταλύσειν τὴν δύναμιν πολεμοῦντος ἢ τὸ

4, 189—91 H.

---

20. *ἐποίει αὐτὸς* certum est non scripsisse Plutarchum. *αὐτὸς* om 1676. coniicio *αὐτὸς ἐποίει Πομπήϊος* vel *ἐποίει Πομπήϊος αὐτός*. 23. *σοβαρὸς* S^{5}: *σοβαρῶς* v. *δίωτον* Reiskius. 30. *ἐκείνοις* AVi. 33. *οὖν* om A. *οὕτως* C.

XLI. 5. *πάνυ τοι* C. 7. *ἧξίου* ia. 10. ne *Παννονίων* malis cum quibusdam cf. Dion. Cass. 39, 36: — *τῶν δὲ δὴ Ἑλλήνων τινὲς τἀληθὲς ἀγνοήσαντες Παίονας σφᾶς (τοὺς Παννονίους) προσεῖπον*. *ῥᾷον* x: *ῥάδιον* libri.

σῶμα λήψεσθαι φεύγοντος οὐκ ἐβούλετο τρίβεσθαι μάτην ἐπὶ τὴν δίωξιν, ἑτέρας δὲ τοῦ πολέμου παρενθήκας ἐποιεῖτο καὶ τὸν χρόνον εἶλκεν. Ἡ δὲ τύχη τὴν ἀπορίαν ἔλυσεν. Οὐκέτι γὰρ αὐτοῦ τῆς Πέτρας πολλὴν ὁδὸν ἀπέχοντος, ἤδη δὲ τῆς ἡμέρας ἐκείνης βεβλημένου χάρακα καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ περὶ τὸ στρατόπεδον γραμματηφόροι προσήλαυνον ἐκ Πόντου κομίζοντες εὐαγγέλια. Δῆλοι δ' εὐθὺς εἰσὶ ταῖς αἰχμαῖς τῶν δοράτων· δάφναις γὰρ ἀναστέφονται. 641 Τούτους ἰδόντες οἱ στρατιῶται συνετρόχαζον πρὸς τὸν Πομπήϊον. Ὁ δὲ πρῶτον μὲν ἐβούλετο τὰ γυμνάσια συντελεῖν, βοώντων δὲ καὶ δεομένων καταπηδήσας ἀπὸ τοῦ ἵππου καὶ λαβὼν τὰ γράμματα προῆλθε. Βήματος δὲ οὐκ ὄντος οὐδὲ τοῦ στρατιωτικοῦ γενέσθαι φθάσαντος (ὃ ποιοῦσιν αὐτοὶ τῆς γῆς ἐκτομὰς βαθείας λαμβάνοντες καὶ κατ' ἀλλήλων συντιθέντες), ὑπὸ τῆς τότε σπουδῆς καὶ προθυμίας τὰ σάγματα τῶν ὑποζυγίων συμφορήσαντες ὕψος ἐξῆραν. Ἐπὶ τοῦτο προσβὰς ὁ Πομπήϊος ἀπήγγειλεν αὐτοῖς, ὅτι Μιθριδάτης τέθνηκε στασιάσαντος Φαρνάκου τοῦ υἱοῦ διαχρησάμενος αὐτόν, τὰ δὲ ἐκεῖ πάντα πράγματα Φαρνάκης κατεκληρώσατο καὶ ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος.

XLII. Ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον, ὡς εἰκὸς, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν τῷ Μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων. Πομπήϊος δὲ ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς στρατείαις κεφαλὴν ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας· καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας εἰς Ἀμισὸν ἀφίκετο καὶ κατέλαβε πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκομισμένα, πολλὰ δὲ σώματα τῶν βασιλικῶν, αὐτὸν δὲ τὸν Μιθριδάτου νεκρὸν οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου (τὸν γὰρ ἐγκέφαλον ἔλαθεν ἐκτῆξαι τοὺς

---

13. ἐπὶ] περὶ Wyttenbachius ind. v. τρίβεσθαι et Schaeferus. 17. παρὰ τὸ C. γραμματοφόροι C. 27. εἰς ὕψος Solani non requiro. 28. προσβὰς $S^{g}C$ cl. c. 23. Crass. 12, 17 Dion. 29: προσβολὰς A, προβὰς v. 29. τέθνηκεν S^{g}. 30. αὐτὸν $S^{g}A$: αὐτὸν i, ἑαυτὸν v. deleto κατεκληρώσατο Emperius Φαρνάκης ἐφ' ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος. mihi sufficere videtur καὶ ἐφ' αὑτῷ.

XLII. 8. κεκοσμιμένα i.

θεραπεύοντας)· ἀλλὰ ταῖς οὐλαῖς ἐπεγίγνωσκον οἱ δεόμενοι τοῦ θεάματος. Οὐ γὰρ αὐτὸς Πομπήϊος ἰδεῖν ὑπέμεινεν, ἀλλ' ἀφοσιωσάμενος τὸ νεμεσητὸν εἰς Σινώπην ἀπέπεμψε. Τῆς δ' ἐσθῆτος, ἣν ἐφόρει, καὶ τῶν ὅπλων τὸ μέγεθος καὶ τὴν λαμπρότητα ἐθαύμασε· καίτοι τὸν μὲν ξιφιστῆρα πεποιημένον ἀπὸ τετρακοσίων ταλάντων Πόπλιος κλέψας ἐπώλησεν Ἀριαράθῃ, τὴν δὲ κίταριν Γάϊος ὁ τοῦ Μιθριδάτου σύντροφος ἔδωκε κρύφα δεηθέντι Φαύστῳ τῷ Σύλλα παιδὶ θαυμαστῆς οὖσαν ἐργασίας. Ὅ τότε τὸν Πομπήϊον διέλαθε· Φαρνάκης δὲ γνοὺς ὕστερον ἐτιμωρήσατο τοὺς ὑφελομένους. Διοικήσας δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος οὕτως ἤδη πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. Καὶ γὰρ εἰς Μιτυλήνην ἀφικόμενος τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις. Ἡσθεὶς δὲ τῷ θεάτρῳ περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ τὸν τύπον, ὡς ὅμοιον ἀπεργασόμενος τὸ ἐν Ῥώμῃ, μεῖζον δὲ καὶ σεμνότερον. Ἐν δὲ Ῥόδῳ γενόμενος πάντων μὲν ἠκροάσατο τῶν σοφιστῶν καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε· Ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγραψεν, ἣν ἔσχεν ἐπ' αὐτοῦ πρὸς Ἑρμαγόραν τὸν ῥήτορα περὶ τῆς καθόλου ζητήσεως ἀντιταξάμενος. Ἐν δὲ Ἀθήναις τὰ μὲν πρὸς τοὺς φιλοσόφους ὅμοια τοῦ Πομπηΐου· τῇ πόλει δὲ ἐπιδοὺς εἰς ἐπισκευὴν πεντήκοντα τάλαντα λαμπρότατος ἀνθρώπων ἤλπιζεν ἐπιβήσεσθαι τῆς Ἰταλίας καὶ ποθῶν ὀφθήσεσθαι τοῖς οἴκοι ποθοῦσιν. Ὧι δ' ἄρα πρὸς τὰ λαμπρὰ καὶ μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν ἀεί τινα κεραννύναι κακοῦ μοῖραν ἐπιμελές ἐστι δαιμονίῳ, τοῦτο ὑποικούρει πάλαι παρασκευάζον αὐτῷ λυπηροτέραν τὴν ἐπάνοδον. Ἐξύβρισε γὰρ ἡ Μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. Καὶ

4, 193—94 H.

---

11. *θεράποντας* temere Reiskius. *ἐπεγίνωσκον* A, *ἀπεγίγνωσκον* C. 13. *ἀφωσιωσάμενος* S^{g}. 15. libri *ξιφηστῆρα*, correxit Stephanus. 17. *τὴν δὲ κίταριν* S^{g}Ca: *τὸν δὲ κίταριν* AπSuVi, *τὴν δὲ κίδαριν* v, cf. annot. ad Themist. p. 185. 18. *δεηθέντι* om C. 19. *διέλαθεν* C. 20. *ὁ φαρνάκης* V. 27. *τῷ ἐν* A corr. Ci. *ἐν δὲ*] *ἐν* Vi. *Ῥόδῳ* om a. 28. *πάντων τὰ μὲν* i. 30. *ἐπ'* Stephanus: *ἀπ'* libri. 31. *καθόλου* S^{g}[A]q: *καθ' ὅλου* v. 33. *πεντήκοντα*] nimis minuta summa videbatur Reiskio *πεντακόσια* requirenti. 34. *ἐπιβήσεται* ia. 35. *ὡς δ'* S^{g}. 37. *ὑποκρούει* V. 39. *Μουκία*] *κακία* V.

πόρρω μὲν ὢν ὁ Πομπήϊος κατεφρόνει τοῦ λόγου· πλησίον δὲ Ἰταλίας γενόμενος καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον, ὡς ἔοικε, τῆς αἰτίας ἁψάμενος ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν, οὔτε τότε γράψας οὔθ' ὕστερον ἐφ' οἷς ἀφῆκεν ἐξειπών· ἐν δ' ἐπιστολαῖς Κικέρωνος ἡ αἰτία γέγραπται.

XLIII. Λόγοι δὲ παντοδαποὶ περὶ τοῦ Πομπηίου προκατέπιπτον εἰς τὴν Ῥώμην καὶ θόρυβος ἦν πολὺς, ὡς εὐθὺς 642 ἄξοντος ἐπὶ τὴν πόλιν τὸ στράτευμα καὶ μοναρχίας βεβαίας ἐσομένης. Κράσσος δὲ τοὺς παῖδας καὶ τὰ χρήματα λαβὼν ὑπεξῆλθεν, εἴτε δείσας ἀληθῶς, εἴτε μᾶλλον, ὡς ἐδόκει, πίστιν ἀπολείπων τῇ διαβολῇ καὶ τὸν φθόνον ποιῶν τραχύτερον. Εὐθὺς οὖν ἐπιβὰς Ἰταλίας ὁ Πομπήϊος καὶ συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας καὶ τὰ πρέποντα διαλεχθεὶς καὶ φιλοφρονησάμενος ἐκέλευσε διαλύεσθαι κατὰ πόλιν ἑκάστους καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα μεμνημένους αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. Οὕτω δὲ τῆς στρατιᾶς σκεδασθείσης καὶ πυνθανομένων ἁπάντων πρᾶγμα συνέβη θαυμαστόν. Ὁρῶσαι γὰρ αἱ πόλεις Πομπήϊον Μάγνον ἄνοπλον καὶ μετ' ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ ἄλλης ἀποδημίας διαπορευόμενον ἐκχεόμεναι δι' εὔνοιαν καὶ προπέμπουσαι μετὰ μείζονος δυνάμεως συγκατῆγον εἰς τὴν Ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν τότε, μηδὲν ἐκείνου δεόμενον τοῦ στρατεύματος.

XLIV. Ἐπεὶ δὲ ὁ νόμος οὐκ εἴα πρὸ τοῦ θριάμβου παρελθεῖν εἰς τὴν πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλὴν ἀναβαλέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας καὶ δοῦναι ταύτην αὐτῷ τὴν χάριν, ὅπως παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Κάτωνος δὲ πρὸς τὴν ἀξίωσιν ἐνστάντος οὐκ ἔτυχε τοῦ βουλεύματος. Θαυμάσας δὲ τὴν παρρησίαν αὐτοῦ καὶ τὸν τόνον, ᾧ μόνος ἐχρῆτο φανερῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἀμωσγέπως κτήσασθαι τὸν ἄνδρα· καὶ δυεῖν οὐσῶν ἀδελφιδῶν τῷ Κάτωνι τὴν μὲν αὐτὸς ἐβούλετο λαβεῖν γυ-

4, 194—95 H.

---

40. μὲν ὢν] μένων V. 43. οὔθ' ἕτερον V.

XLIII. 12. στρατιᾶς Stephanus: στρατείας libri.

XLIV. 5. βουλήματος Wyttenbachius ind. s. v. 6. τὸν om i. 8. ἀμωσγέπως Reiskius: ἄλλως γέ πως libri. 9. ἐβούλετο $S^{E}C$: ἐβουλεύετο v.

γαῖκα, τὴν δὲ τῷ παιδὶ συνοικίσαι. Τοῦ δὲ Κάτωνος ὑπιδομένου τὴν πεῖραν, ὡς διαφθορὰν οὖσαν αὐτοῦ τρόπον τινὰ δεκαζομένου διὰ τῆς οἰκειότητος, ἥ τε ἀδελφὴ καὶ ἡ γυνὴ χαλεπῶς ἔφερον, εἰ Πομπήϊον Μάγνον ἀποτρίψεται κηδεστήν. Ἐν τούτῳ δὲ βουλόμενος ὕπατον ἀποδεῖξαι Πομπήϊος Ἀφράνιον ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισκεν ὑπὲρ αὐτοῦ καὶ τοῦτο κατιόντες εἰς τοὺς Πομπηίου κήπους ἐλάμβανον, ὥστε τὸ πρᾶγμα περιβόητον εἶναι καὶ τὸν Πομπήϊον ἀκούειν κακῶς, ἧς αὐτὸς ἀρχῆς ἐφ' οἷς κατώρθωσεν ὡς μεγίστης ἔτυχε, ταύτην ὤνιον ποιοῦντα τοῖς δι' ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. „Τούτων μέντοι" πρὸς τὰς γυναῖκας ὁ Κάτων ἔφησε „τῶν ὀνειδῶν κοινωνητέον οἰκείοις Πομπηίου γενομένοις." Αἱ δὲ ἀκούσασαι συνέγνωσαν βέλτιον αὐτῶν ἐκεῖνον λογίζεσθαι περὶ τοῦ πρέποντος.

XLV. Τοῦ δὲ θριάμβου τῷ μεγέθει, καίπερ εἰς ἡμέρας δύο μερισθέντος, ὁ χρόνος οὐκ ἐξήρκεσεν, ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν ἑτέρας ἀποχρῶντα πομπῆς ἀξίωμα καὶ κόσμος εἶναι. Γράμμασι δὲ προηγουμένοις ἐδηλοῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. Ἦν δὲ τάδε· Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία, Μηδία, Κολχὶς, Ἴβηρες, Ἀλβανοὶ, Συρία, Κιλικία, Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην, Ἰουδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ καταπεπολεμημένον. Ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα χιλίων οὐκ ἐλάττονα, πόλεις δὲ οὐ πολὺ τῶν ἐνακοσίων ἀποδέουσαι, πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων μιᾶς δέουσαι τετταράκοντα. Πρὸς δὲ τούτοις ἔφραζε διὰ τῶν γραμμάτων, ὅτι πεντακισχίλιαι μὲν μυριάδες ἐκ τῶν τελῶν ὑπῆρχον, ἐκ δὲ [ὧν] αὐτὸς προσεκτήσατο τῇ πόλει μυριάδας ὀκτακισχιλίας πεντακοσίας λαμβάνουσιν, ἀναφέρεται δὲ εἰς τὸ δημόσιον ταμεῖον

4, 195—97 H.

---

10. *συνοικῆσαι* C. *ὑπιδομένου* Schaeferus: *ὑπειδομένου* libri. 12. *ἡ γυνὴ* S^g[A]C: *γυνὴ* v. 13. *ἀποτρέψεται* S^g, *ἀποτρέψαι* i, cf. Wyttenbachium in mor. p. 592. 19. *οὐκ ἔτυχε* corr. A. *ἔτυχεν* C.

XLV. 1. „in quodam exemplari non legitur *μεγέθει*" Stephanus. intellige cod. 1676. totum de triumpho locum habet Zonaras p. 124 cuius singulas discrepantias afferre nihil attinet. 6. *μηδεία* S^g, *μήδεια* C. 15. *ἐπεκτήσατο* 1676 V. 16. *ταμιεῖον* Coraes.

ἐν νομίσματι καὶ κατασκευαῖς ἀργυρίου καὶ χρυσοῦ δισμύρια τάλαντα πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων, ὧν ὁ τοὐλάχιστον αἴρων κατὰ λόγον δραχμὰς εἴληφε χιλίας πεντακοσίας. Αἰχμάλωτοι δ' ἐπομπεύθησαν ἄνευ τῶν ἀρχιπειρατῶν υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικὸς καὶ θυγατρὸς, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ Ζωσίμη καὶ βασιλεὺς Ἰουδαίων Ἀριστόβουλος, Μιθριδάτου δὲ ἀδελφὴ καὶ πέντε τέκνα καὶ Σκυθίδες γυναῖκες, Ἀλβανῶν δὲ καὶ Ἰβήρων ὅμηροι καὶ τοῦ Κομμαγηνῶν βασιλέως, καὶ τρόπαια πάμπολλα καὶ ταῖς μάχαις ἰσάριθμα πάσαις, ἃς ἢ αὐτὸς ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. Μέγιστον δὲ ὑπῆρχε πρὸς δόξαν καὶ μηδενὶ τῶν πώποτε Ῥωμαίων γεγονὸς, ὅτι τὸν τρίτον θριαμβον ἀπὸ τῆς τρίτης ἠπείρου κατήγαγεν. Ἐπεὶ τρεῖς γε καὶ πρότερον ἦσαν ἕτεροι τεθριαμβευκότες· ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τοῦτον δὲ τὸν τελευταῖον ἀπὸ τῆς Ἀσίας εἰσαγαγὼν τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ἐπῆχθαι θριάμβοις.

643

XLVI. Ἡλικίᾳ δὲ τότε ἦν, ὡς μὲν οἱ κατὰ πάντα τῷ Ἀλεξάνδρῳ παραβάλλοντες αὐτὸν καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος τῶν τριάκοντα καὶ τεττάρων ἐτῶν, ἀληθείᾳ δὲ τοῖς τετταράκοντα προσῆγεν. Ὡς ὤνητό γ' ἂν ἐνταῦθα τοῦ βίου παυσάμενος, ἄχρι οὗ τὴν Ἀλεξάνδρου τύχην ἔσχεν· ὁ δὲ ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνους, ἀνηκέστους δὲ τὰς δυστυχίας. Ἦν γὰρ ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει, ταύτῃ χρώμενος ὑπὲρ ἄλλων οὐ δικαίως, ὅσον ἐκείνοις ἰσχύος προσετίθει τῆς ἑαυτοῦ δόξης ἀφαιρῶν, ἔλαθε ῥώμῃ καὶ μεγέθει τῆς αὐτοῦ δυνάμεως καταλυθείς. Καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν πόλεων, ὅταν δέξηται πολεμίους, ἐκείνοις προστί-

4, 197—98 H.

---

17. ἀργύρου Coraes, ἀργυρίου καὶ χρυσίου Zonaras. 20. ἀρχοπειρατῶν C. 21. γυναικῶν καὶ θυγατέρων Zonaras. 26. καὶ ταῖς S^gACi: ταῖς v. 29. ἐπεὶ καὶ τρεῖς S^g. τρὶς Reiskii nuperi. 32. καταγαγὼν Zonaras. 33. ὑπῆχθαι Reiskii nuperi, sed cf. comp. Agesil. 3.

XLVI. 4. τετταράκοντα] πεντήκοντα dicendum fuisse observavit Xylander. ὤνητο S^gACπSVi: ὤνοιτο uV, ὤνατο v. γ' ἂν] γοῦν S^g, μὲν ἂν Zonaras. 5. ἄχρι S^g pr. ACi: ἄχρις v. 9. ἑαυτοῦ ante δόξης S^g: αὐτοῦ ACia, αὐτοῦ v.

θησι τὴν αὑτῶν ἰσχύν, οὕτως διὰ τῆς Πομπηΐου δυνάμεως Καῖσαρ ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων ἴσχυσε, τοῦτον ἀνέτρεψε καὶ κατέβαλεν. Ἐπράχθη δὲ οὕτως. Λεύκολλος ὡς ἐπανῆλθεν ἐξ Ἀσίας ὑπὸ Πομπηΐου περιϋβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο καὶ μᾶλλον ἔτι Πομπηΐου παραγενομένου κολούουσα τὴν δόξαν ἤγειρεν ἐπὶ τὴν πολιτείαν. Ὁ δὲ τἆλλα μὲν ἀμβλὺς ἦν ἤδη καὶ κατέψυκτο τὸ πρακτικὸν ἡδονῇ σχολῆς καὶ ταῖς περὶ τὸν πλοῦτον διατριβαῖς ἑαυτὸν ἐνδεδωκώς, ἐπὶ δὲ Πομπήϊον εὐθὺς ἀΐξας καὶ λαβόμενος ἐντόνως αὐτοῦ περί τε τῶν διατάξεων, ἃς ἔλυσεν, ἐκράτει καὶ πλέον εἶχεν ἐν τῇ βουλῇ συναγωνιζομένου Κάτωνος. Ἐκπίπτων δὲ καὶ περιωθούμενος ὁ Πομπήϊος ἠναγκάζετο δημαρχοῦσι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις· ὧν ὁ βδελυρώτατος καὶ θρασύτατος Κλώδιος ἀναλαβὼν αὐτὸν ὑπέῤῥιψε τῷ δήμῳ καὶ παρ' ἀξίαν κυλινδούμενον ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων ἐχρῆτο τῶν πρὸς χάριν ὄχλου καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῇ, καὶ προσέτι μισθὸν ᾔτει, ὥσπερ οὐ καταισχύνων, ἀλλὰ εὐεργετῶν, ὃν ὕστερον ἔλαβε παρὰ Πομπηΐου, προέσθαι Κικέρωνα, φίλον ὄντα καὶ πλεῖστα δὴ πεπολιτευμένον ὑπὲρ αὐτοῦ. Κινδυνεύοντι γὰρ αὐτῷ καὶ δεομένῳ βοηθείας οὐδὲ εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας τὴν αὔλειον ἑτέραις θύραις ᾤχετο ἀπιών. Κικέρων δὲ φοβηθεὶς τὴν κρίσιν ὑπεξῆλθε τῆς Ῥώμης.

XLVII. Τότε δὲ Καῖσαρ ἐλθὼν ἀπὸ στρατείας ἥψατο πολιτεύματος ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι καὶ δύναμιν εἰσαῦθις ἤνεγκε, μέγιστα δὲ Πομπήϊον ἔβλαψε καὶ τὴν πόλιν. Ὑπατείαν μὲν γὰρ μετῄει πρώτην· ὁρῶν δὲ, ὅτι, Κράσσου πρὸς Πομπήϊον διαφερομένου, θατέρῳ προσθέμενος ἐχθρῷ χρήσεται τῷ ἑτέρῳ, τρέπεται πρὸς διαλλαγὰς ἀμφοῖν, πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικὸν, αἰτίᾳ δὲ φαύλῃ καὶ μετὰ δεινότητος ὑπ' ἐκείνου συντεθὲν ἐπιβούλως.

4, 198—99 H.

---

13. οὕτως S^gC: οὕτω v. 14. καίσαρ S^g et infra. 15. οὕτως [S^g]AC: οὕτω v. Λεύκουλλον x nuperi, sed cf. ad Agesil. 23. 17. σύγκλησις CV. 18. κολούουσα x: κελεύουσα libri. 21. ἐπεὶ δὲ a. 28. ἔχων ἐν ἀγορᾷ Benseler de hiatu p. 359. 31. ὅν om libri praeter a. 33. βοηθεῖν C. 34. αὔλιον S^g. 35. scribe ᾤχετ' cl. Solon. 3, 19.

Ἡ γὰρ ὥσπερ ἐν σκάφει τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς πό-
644 λεως ἰσχὺς εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία τὴν πάντα
πράγματα καταστασιάσασαν καὶ καταβαλοῦσαν ἀνανταγώ-
νιστον ῥοπὴν ἐποίησεν. Ὁ γοῦν Κάτων τοὺς λέγοντας ὑπὸ
τῆς ὕστερον γενομένης πρὸς Καίσαρα Πομπηΐῳ διαφορᾶς
ἀνατραπῆναι τὴν πόλιν ἁμαρτάνειν ἔλεγεν αἰτιωμένους τὸ
τελευταῖον· οὐ γὰρ τὴν στάσιν οὐδὲ τὴν ἔχθραν, ἀλλὰ τὴν
σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν τῇ πόλει κακὸν πρῶτον
γενέσθαι καὶ μέγιστον. Ἱρέθη μὲν γὰρ ὕπατος Καῖσαρ·
εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον καὶ πένητα κατοικίας πό-
λεων καὶ νομὰς ἀγρῶν ἔγραφεν ἐκβαίνων τὸ τῆς ἀρχῆς
ἀξίωμα καὶ τρόπον τινὰ δημαρχίαν τὴν ὑπατείαν καθιστάς.
Ἐναντιουμένου δὲ τοῦ συνάρχοντος αὐτῷ Βύβλου καὶ Κά-
τωνος ἐῤῥωμενέστατα τῷ Βύβλῳ παρεσκευασμένου βοηθεῖν,
προσαγαγὼν ὁ Καῖσαρ ἐπὶ τοῦ βήματος Πομπήϊον ἐμφανῆ
καὶ προσαγορεύσας ἠρώτησεν, εἰ τοὺς νόμους ἐπαινοίη· τοῦ
δὲ συμφήσαντος „Οὐκοῦν“ εἶπεν „ἄν τις τοὺς νόμους βιά-
ζηται, εἰς τὸν δῆμον ἀφιξῃ βοηθῶν;“ „Πάνυ μὲν οὖν“ ἔφη
ὁ Πομπήϊος „ἀφίξομαι πρὸς τοὺς ἀπειλοῦντας τὰ ξίφη μετὰ
ξίφους καὶ θυρεὸν κομίζων.“ Τούτου Πομπήϊος οὐδὲν οὔτε
εἰπεῖν οὔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης φορτικώτερον
ἔδοξεν, ὥστε καὶ τοὺς φίλους ἀπολογεῖσθαι φάσκοντας ἐκ-
φυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. Τοῖς μέντοι μετὰ ταῦτα
πραττομένοις φανερὸς ἦν ἤδη παντάπασιν ἑαυτὸν τῷ Καί-
4, 199—200 H.

XLVII. 16. *κακὸν πρῶτον* S^g: *πρῶτον κακὸν* v. 17. *γὰρ* om C. 18. nec *ὄχλον* post *ἄπορον* inserendum cum Reiskio Corae nec *τοὺς ἀπόρους καὶ πένητας* scribendum cum Schaefero. nam etsi Mar. 9, 2 *πολὺν τὸν ἄπορον καὶ δοῦλον* corrigendum videbatur secundum libros quosdam, confer tamen Dionysii t. 3 p. 1884 R.: *καὶ τοῦτ' ἀπέφηνεν ἐπὶ τῷ συμφέροντι τότ' αὐτὴν βεβουλεῦσθαι, ἵνα μήτε γῆ χέρσος ᾖ καὶ ὁ τὴν πόλιν οἰκουρῶν πένης μὴ ἀργὸς, ὥσπερ νῦν, τοῖς ἀλλοτρίοις ἀγαθοῖς φθονῶν.* Appiani bell. civ. 2, 118 p. 339 Schw.: *πολὺς ὅμιλος ἄλλος ἀστῶν καὶ ξένων καὶ πολὺς θεράπων καὶ ἐξελεύθερος αὐτὸν ἐπὶ τὸ βουλευτήριον ἐκ τῆς οἰκίας παρεπεπόμφεισαν.* 19. *προεκβαίνων* V. 21. *βίβλου* a et v. alteram scripturam omnibus locis cum huius vitae tum Caesaris et Catonis minoris tanto consensu tuentur libri, ut raro unus vel alter habeat *βίβλος*. cf. et Schweighaeuserum ad Appiani t. 2 p. 186. 22. *τῷ* om S^g. 23. *προαγαγὼν* Reiskius. 25. *συμφωνήσαντος* V. 28. *θυρεῶν* S^g.

σαρι χρήσασθαι παραδεδωκώς. Ἰουλίαν γὰρ τὴν Καίσαρος θυγατέρα Καιπίωνι καθωμολογημένην καὶ γαμεῖσθαι μέλλουσαν ὀλίγων ἡμερῶν, οὐδενὸς ἂν προσδοκήσαντος ἔγημε Πομπήϊος, μείλιγμα Καιπίωνι τῆς ὀργῆς τὴν ἑαυτοῦ θυγατέρα καταινέσας Φαύστῳ τῷ παιδὶ Σύλλα πρότερον ἐγγεγυημένην. Αὐτὸς δὲ Καῖσαρ ἔγημε Καλπουρνίαν τὴν Πείσωνος.

XLVIII. Ἐκ δὲ τούτου Πομπήϊος ἐμπλήσας στρατιωτῶν τὴν πόλιν ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. Βύβλῳ τε γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ Λευκόλλου καὶ Κάτωνος ἄφνω προσπεσόντες κατέκλασαν τὰς ῥάβδους, αὐτοῦ δέ τις κοπρίων κόφινον ἐκ κεφαλῆς τοῦ Βύβλου κατεσκέδασε, δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων ἐτρώθησαν. Οὕτω δὲ τῶν ἐνισταμένων τὴν ἀγορὰν ἐρημώσαντες ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν χωρίων νόμον· ᾧ δελεασθεὶς ὁ δῆμος εἰς πᾶσαν ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει καὶ κατάντης πρᾶξιν οὐδὲν πολυπραγμονῶν, ἀλλ' ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις τὴν ψῆφον. Ἐκυρώθησαν οὖν Πομπηΐῳ μὲν αἱ διατάξεις, ὑπὲρ ὧν Λεύκολλος ἤριζε, Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἔχειν Γαλατίαν καὶ Ἰλλυριοὺς εἰς πενταετίαν καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν, ὑπάτους δὲ εἰς τὸ μέλλον εἶναι Πείσωνα τὸν Καίσαρος πενθερὸν καὶ Γαβίνιον, ἄνδρα τῶν Πομπηΐου κολάκων ὑπερφυέστατον. Πραττομένων δὲ τούτων Βύβλος μὲν εἰς τὴν οἰκίαν κατακλεισάμενος ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ' ἐξέπεμψε διαγράμματα βλασφημίας ἀμφοῖν ἔχοντα καὶ κατηγορίας, Κάτων δὲ ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει καὶ τῷ Πομπηΐῳ προηγόρευε, Λεύκολλος δὲ ἀπειπὼν ἡσυχίαν ἦγεν ὡς οὐκέτι πρὸς πολιτείαν ὡραῖος· ὅτε δὴ καὶ Πομπήϊος ἔφη, γέροντι τὸ τρυφᾶν ἀωρότερον εἶναι τοῦ πολιτεύεσθαι. Ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο τῷ τῆς κόρης ἔρωτι καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλὰ

4, 200—2 H.

---

34. *Καιπίωνι* Amiotus aliique: *σκηπίωνι* libri et postea. sed praestat fortasse *Καπίωνι*, cf. ad Cat. min. 1.

XLVIII. 5. *ἐκ*] *κατὰ* x male probatum nuperis, cf. ad Mar. 16, 3. 9. *πᾶσαν*] *πάντα* x. *τιθασσὸς* C. 10. *κατάντης πρᾶξιν* Wyttenbachius in mor. p. 448: *καταντεἰςπραξιν* S^g, *κατ' ἀντεἰσπραξιν* ceteri et v. *‚ἴσως ἀντίπραξιν'* Muretus, *ἀντίπραξις* V. 12. *ἤριζεν* S^g. 16. *γαμίνιον* V. 19. *ἐξέπεμπε* Coraes. 23. *ἔφη* om C. *ἔφη ὅτι* V. *ὡραιότερον* C.

καὶ συνδιημέρευεν ἐν ἀγροῖς καὶ κήποις, ἠμέλει δὲ τῶν κατ' ἀγορὰν πραττομένων, ὥστε καὶ Κλώδιον αὐτοῦ καταφρονῆσαι δημαρχοῦντα τότε καὶ θρασυτάτων ἅψασθαι πραγμάτων. Ἐπεὶ γὰρ ἐξέβαλε Κικέρωνα καὶ Κάτωνα προφάσει στρατηγίας εἰς Κύπρον ἀπέπεμψε, Καίσαρος εἰς Γαλατίαν
645 ἐξεληλακότος, αὐτῷ δὲ προσέχοντα τὸν δῆμον ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς χάριν, εὐθὺς ἐπεχείρει τῶν Πομπηΐου διατάξεων ἐνίας ἀναιρεῖν καὶ Τιγράνην τὸν αἰχμάλωτον ἁφαρπάσας εἶχε σὺν αὐτῷ καὶ τοῖς φίλοις δίκας ἐπῆγε πεῖραν ἐν ἐκείνοις τῆς Πομπηΐου λαμβάνων δυνάμεως. Τέλος δὲ, προελθόντος αὐτοῦ πρός τινα δίκην, ἔχων ὑφ' αὑτῷ πλῆθος ἀνθρώπων ἀσελγείας καὶ ὀλιγωρίας μεστὸν αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον καταστὰς ἐρωτήματα τοιαῦτα προὔβαλε· „Τίς ἐστιν αὐτοκράτωρ ἀκόλαστος; τίς ἀνὴρ ἄνδρα ζητεῖ; τίς ἐνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν;“ οἱ δὲ, ὥσπερ χορὸς εἰς ἀμοιβαῖα συγκεκροτημένος, ἐκείνου τὴν τήβεννον ἀνασείοντος, ἐφ' ἑκάστῳ μέγα βοῶντες ἀπεκρίναντο· „Πομπήϊος.“

XLIX. Ἡνία μὲν οὖν καὶ ταῦτα Πομπήϊον ἀήθη τοῦ κακῶς ἀκούειν ὄντα καὶ μάχης τοιαύτης ἄπειρον· ἤχθετο δὲ μᾶλλον αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ προπηλακιζομένῳ καὶ διδόντι δίκην τῆς Κικέρωνος προδοσίας. Ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι τραυμάτων συνέβη γενέσθαι καὶ Κλωδίου τις οἰκέτης παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς τὸν Πομπήϊον ἠλέγχθη ξίφος ἔχειν, ταῦτα ποιούμενος πρόφασιν, ἄλλως δὲ τοῦ Κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας δεδιὼς, οὐκέτι προῆλθεν εἰς ἀγορὰν ὅσον ἐκεῖνος ἦρχε χρόνον, ἀλλ' οἰκουρῶν διετέλει καὶ σκεπτόμενος μετὰ τῶν φίλων, ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς καὶ τῶν ἀρίστων τὴν πρὸς αὐτὸν ὀργήν. Κουλλέωνι μὲν οὖν κελεύοντι τὴν Ἰουλίαν ἀφεῖναι καὶ μεταβαλέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς Καίσαρος φιλίας οὐ προσέσχε, τοῖς δὲ Κικέρωνα καταγαγεῖν ἀξιοῦσιν, ἄνδρα καὶ Κλωδίῳ πολεμιώτατον καὶ τῇ βουλῇ προσφιλέστατον, ἐπείσθη· καὶ προ-

4, 202—4 H.

---

30. ἀπέπεμψε S^gAC: ἀπέστειλε v. cf. v. l. c. 60. 31. αὐτῷ [AC]SπV: αὐτοῦ v. 38. προὔβαλλε Stephanianae editores.

XLIX. 12. οὖν om S^g. 14. προσέσχεν S^g.

ἀγαγὼν τὸν ἀδελφὸν αὐτοῦ δεόμενον σὺν χειρὶ πολλῇ, τραυμάτων ἐν ἀγορᾷ γενομένων καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ Κλωδίου. Καὶ νόμῳ κατελθὼν ὁ Κικέρων τήν τε βουλὴν εὐθὺς τῷ Πομπηΐῳ διήλλαττε καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης, ὅσην ἐκέκτηντο Ῥωμαῖοι, κύριον ἐποίει Πομπηΐου. Ἐπ' αὐτῷ γὰρ ἐγίνοντο λιμένες, ἐμπόρια, καρπῶν διαθέσεις, ἐνὶ λόγῳ, τὰ τῶν πλεόντων πράγματα, τὰ τῶν γεωργούντων. Κλώδιος δὲ ᾐτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν, ἀλλ' ὅπως ὁ νόμος γραφείη γεγονέναι τὴν σιτοδείαν, ὥσπερ ἐκ λειποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαμβάνοντος. Ἕτεροι δὲ τοῦ ὑπάτου Σπινθῆρος ἀποφαίνουσι τοῦτο σόφισμα κατακλείσαντος εἰς ἀρχὴν μείζονα Πομπηΐου, ὅπως αὐτὸς ἐκπεμφθῇ Πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. Οὐ μὴν ἀλλὰ καὶ Κανίδιος εἰσήνεγκε δημαρχῶν νόμον, ἄνευ στρατιᾶς Πομπηΐου ἔχοντα ῥαβδούχους δύο διαλλάττειν Ἀλεξανδρεῦσι τὸν βασιλέα. Καὶ Πομπηΐος μὲν ἐδόκει τῷ νόμῳ μὴ δυσχεραίνειν, ἡ δὲ σύγκλητος ἐξέβαλεν εὐπρεπῶς σκηψαμένη δεδιέναι περὶ τἀνδρός. Ἦν δὲ γράμμασιν ἐντυχεῖν διερριμμένοις κατ' ἀγορὰν καὶ παρὰ τὸ βουλευτήριον, ὡς δὴ Πτολεμαίου δεομένου Πομπηΐον αὐτῷ στρατηγὸν ἀντὶ τοῦ Σπινθῆρος δοθῆναι. Τιμαγένης δὲ καὶ ἄλλως τὸν Πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησι καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα πράττοντος Πομπηΐῳ χρηματισμοὺς καὶ στρατηγίας καινῆς ὑπόθεσιν. Ἀλλὰ τοῦτο μὲν οὐχ οὕτως ἡ Θεοφάνους μοχθηρία πιθανὸν, ὡς ἄπιστον ἡ Πομπηΐου ποιεῖ φύσις οὐκ ἔχουσα κακόηθες οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον.

L. Ἐπισταθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ πολλαχοῦ μὲν ἀπέστειλε πρεσβευτὰς καὶ φίλους, αὐτὸς δὲ πλεύσας εἰς Σικελίαν καὶ Σαρδῶνα καὶ Λιβύην

4, 204—5 H.

---

27. praestatne λιποθυμίας? cf. ad Alex. 19. 28. ἀναλαβόντος καὶ ἀναζωπυροῦντος C. ἀναλαμβάνοντος Reiskii cod. 1677: ἀναλαβόντος v. 32. στρατιᾶς Coraes: στρατείας libri. 33. τὸν βασιλέα om C. 35. σκεψαμένη S^gACVi. 36. διερριμμένους S^g, διερριμένους A. 37. ὡς δὲ i. 42. μοχθηρία S^g: μοχθηρία πεποίηκε v. 43. ποιεῖ addidit S^g.

L. 2. πολλαχοῖ Schaeferus.

646 ἤθροιζε σῖτον. Ἀνάγεσθαι δὲ μέλλων, πνεύματος μεγάλου κατὰ θάλατταν ὄντος καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς καὶ κελεύσας τὴν ἄγκυραν αἴρειν ἀνεβόησε· „Πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη.“ Τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης ἀγαθῆς ἐνέπλησε σίτου τὰ ἐμπόρια καὶ πλοίων τὴν θάλασσαν, ὥστε καὶ τοῖς ἐκτὸς ἀνθρώποις ἐπαρκέσαι τὴν περιουσίαν ἐκείνης τῆς παρασκευῆς καὶ γενέσθαι καθάπερ ἐκ πηγῆς ἄφθονον ἀπορροὴν εἰς πάντας.

LI. Ἐν τούτῳ δὲ τῷ χρόνῳ μέγαν ἦραν οἱ Κελτικοὶ πόλεμοι Καίσαρα· καὶ δοκῶν πορρωτάτω τῆς Ῥώμης ἀπεῖναι καὶ συνηρτῆσθαι Βέλγαις καὶ Σουήβοις καὶ Βρεττανοῖς ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ καὶ τοῖς κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν Πομπήϊον. Αὐτὸς μὲν γὰρ ὡς σῶμα τὴν στρατιωτικὴν δύναμιν περικείμενος οὐκ ἐπὶ τοὺς βαρβάρους, ἀλλ' ὥσπερ ἐν θήραις καὶ κυνηγεσίοις τοῖς πρὸς ἐκείνους ἀγῶσι γυμνάζων διεπόνει καὶ κατεσκεύαζεν ἄμαχον καὶ φοβερόν, χρυσὸν δὲ καὶ ἄργυρον καὶ τἆλλα λάφυρα καὶ τὸν ἄλλον πλοῦτον τὸν ἐκ πολεμίων τοσούτων περιγενόμενον εἰς τὴν Ῥώμην ἀποστέλλων καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ συγχορηγῶν ἀγορανόμοις καὶ στρατηγοῖς καὶ ὑπάτοις καὶ γυναιξὶν αὐτῶν ᾠκειοῦτο πολλούς· ὥστε ὑπερβαλόντος αὐτοῦ τὰς Ἄλπεις καὶ διαχειμάζοντος ἐν Λούκῃ, τῶν μὲν ἄλλων ἀνδρῶν καὶ γυναικῶν ἀμιλλωμένων καὶ φερομένων πολὺ πλῆθος γενέσθαι, συγκλητικοὺς δὲ διακοσίους, ἐν οἷς καὶ Πομπήϊος ἦν καὶ Κράσσος, ἀνθυπάτων δὲ καὶ στρατηγῶν ἑκατὸν εἴκοσι ῥάβδους ἐπὶ ταῖς Καίσαρος θύραις ὀφθῆναι. Τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἐμπλήσας ἐλπίδων καὶ χρημάτων ἀπέστελλε, Κράσσῳ δὲ καὶ Πομπηΐῳ πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι, μετιέναι μὲν ὑπατείας ἐκείνους

4, 205—6 H.

---

4. ἤθροισε Zonaras p. 124 qui et alia quaedam immutat. 11. ἀπορροὴν S^g: ἐπιῤῥοὴν v.

LI. 3. συνηρτεῖσθαι S^g. 5. τὸν om S^g. 8. διετέλοι (sic) V. 9. δὲ καὶ] δὲ i. καὶ τἆλλα λάφυρα abesse malit Emperius. 10. πολέμων Corais cod. 1676. τοσούτων S^guV: τοσοῦτον v. 12. συγχωρῶν S^g. 14. ὑπερβαλόντος basileensis: ὑπερβάλοντος ia et in ras. A, ὑπερβάλλοντος v. 20. καὶ κράσσῳ V. 21. μετιέναι Muretus Stephanusque: μετεῖναι libri. ἐκείνους S^gRV: ἐκείνοις v.

καὶ Καίσαρα συλλαμβάνειν αὐτοῖς πέμποντα τῶν στρατιωτῶν συχνοὺς ἐπὶ τὴν ψῆφον, ἐπὰν δὲ αἱρεθῶσι τάχιστα, πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ στρατοπέδων ἡγεμονίας, Καίσαρι δὲ τὰς οὔσας βεβαιοῦν εἰς ἄλλην πενταετίαν. Ἐπὶ τούτοις ἐξενεχθεῖσιν εἰς τοὺς πολλοὺς χαλεπῶς ἔφερον οἱ πρῶτοι· καὶ Μαρκελλῖνος ἐν τῷ δήμῳ καταστὰς ἀμφοῖν ἐναντίον ἠρώτησεν, εἰ μετίασιν ὑπατείαν. Ὧι καὶ τῶν πολλῶν ἀποκρίνασθαι κελευόντων, πρῶτος Πομπήϊος εἶπεν, ὡς τάχα μὲν δὴ μετέλθοι, τάχα δὲ οὐκ ἂν μετέλθοι· Κράσσος δὲ πολιτικώτερον· οὕτω γὰρ ἔφη πράξειν, ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν. Ἐπιφυομένου δὲ Πομπηΐῳ Μαρκελλίνου καὶ σφοδρῶς λέγειν δοκοῦντος ὁ Πομπήϊος ἔφη, πάντων ἀδικώτατον εἶναι τὸν Μαρκελλῖνον, ὃς χάριν οὐκ ἔχει λόγιος μὲν ἐξ ἀφώνου δι' αὐτὸν, ἐμετικὸς δὲ ἐκ πεινατικοῦ γενόμενος.

LII. Οὐ μὴν ἀλλὰ τῶν ἄλλων ἀποστάντων τοῦ παραγγέλλειν ὑπατείαν Λεύκιον Δομίτιον Κάτων ἔπεισε καὶ παρεθάρρυνε μὴ ἀπειπεῖν· οὐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ' ὑπὲρ ἐλευθερίας εἶναι τὸν ἀγῶνα πρὸς τοὺς τυράννους. Οἱ δὲ περὶ τὸν Πομπήϊον φοβηθέντες τὸν τόνον τοῦ Κάτωνος, μὴ τὴν βουλὴν ἔχων ἅπασαν ἀποσπάσῃ καὶ μεταβάλῃ τοῦ δήμου τὸ ὑγιαῖνον, οὐκ εἴασαν εἰς ἀγορὰν κατελθεῖν τὸν Δομίτιον, ἀλλ' ἐπιπέμψαντες ἐνόπλους ἄνδρας ἀπέκτειναν μὲν τὸν προηγούμενον λυχνοφόρον, ἐτρέψαντο δὲ τοὺς ἄλλους· ἔσχατος δὲ Κάτων ἀνεχώρησε τρωθεὶς τὸν δεξιὸν πῆχυν ἀμυνόμενος πρὸ τοῦ Δομιτίου. Τοιαύτῃ δὲ ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχὴν οὐδὲ τἆλλα κοσμιώτερον ἔπραττον. Ἀλλὰ πρῶτον μὲν, τὸν Κάτωνα τοῦ δήμου στρατηγὸν αἱρουμένου καὶ τὴν ψῆφον ἐπιφέροντος, Πομπήϊος ἔλυσε τὴν ἐκκλησίαν οἰωνοὺς αἰτιώμενος, ἀντὶ δὲ Κάτωνος Βατίνιον ἀνηγόρευσαν ἀργυ-

4, 206—8 H.

25. τὰς ACπ: καὶ τὰς v. illud suspicor etiam in S^g esse, ut per errorem annotatum sit καὶ ante *Μαρκελλῖνος* ei libro deesse. *βεβαιῶσαι* V. 28. ᾧ CSx: ὅ v. 29. *ἀποκρίνασθαι* S^g[A]C: *ἀποκρίνεσθαι* v. 30. *δή*] *ἂν* Schaeferus, sed cf. act. societat. gr. 2, 1 p. 36. *οι μετέλθη* C.

LII. 6. *μεταβάλλη* S^g. 8. *ἐνόπλους* [A]CSπuRVx: *ἐν ὅπλοις* v. *μὲν τὸν* Xylander x cl. Crass. 15, 27: *μένιτον*, ut videtur, A nam priores syllabae in ras., *Μέλιτον* v. 15. *ἀντὶ δὲ Κάτωνος* ego cl. Cat. min. 42: *Ἀντίαν δὲ καὶ* libri.

ρίῳ τὰς φυλὰς διαφθείραντες. Ἔπειτα νόμους διὰ Τρεβω-
647 νίου δημαρχοῦντος εἰσέφερον, Καίσαρι μὲν, ὥσπερ ὡμολό-
γητο, δευτέραν ἐπιμετροῦντας πενταετίαν, Κράσσῳ δὲ Συ-
ρίαν καὶ τὴν ἐπὶ Πάρθους στρατείαν διδόντας, αὐτῷ δὲ
Πομπηΐῳ Λιβύην ἅπασαν καὶ Ἰβηρίαν ἑκατέραν καὶ τέσσαρα
τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο Καίσαρι δεηθέντι
πρὸς τὸν ἐν Γαλατίᾳ πόλεμον. Ἀλλὰ Κράσσος μὲν ἐξῆλθεν
εἰς τὴν ἐπαρχίαν ἀπαλλαγεὶς τῆς ὑπατείας, Πομπήϊος δὲ τὸ
θέατρον ἀναδείξας ἀγῶνας ἦγε γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ
τῇ καθιερώσει καὶ θηρῶν ἀμίλλας, ἐν οἷς πεντακόσιοι λέον-
τες ἀνῃρέθησαν, ἐπὶ πᾶσι δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτι-
κώτατον θέαμα, παρέσχεν.

LIII. Ἐπὶ τούτοις δὲ θαυμαστωθεὶς καὶ ἀγαπηθεὶς
αὖθις οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις
παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας αὐτὸς ἐν τοῖς
περὶ τὴν Ἰταλίαν ἡβητηρίοις μετιὼν ἄλλοτε ἀλλαχόσε μετὰ
τῆς γυναικὸς διῆγεν, εἴτε ἐρῶν αὐτῆς, εἴτε ἐρῶσαν οὐχ ὑπο-
μένων ἀπολιπεῖν· καὶ γὰρ καὶ τοῦτο λέγεται. Καὶ περιβόη-
τον ἦν τῆς κόρης τὸ φιλανδρον οὐ καθ' ὥραν ποθούσης τὸν
Πομπήϊον, ἀλλ' αἴτιον ἔοικεν ἡ τε σωφροσύνη τοῦ ἀνδρὸς
εἶναι μόνην γινώσκοντος τὴν γεγαμημένην ἥ τε σεμνότης οὐκ
ἄκρατον, ἀλλ' εὔχαριν ἔχουσα τὴν ὁμιλίαν καὶ μάλιστα γυ-
ναικῶν ἀγωγὸν, εἰ δεῖ μηδὲ Φλώραν ἀλῶναι τὴν ἑταίραν ψευ-
δομαρτυριῶν. Ἐν δ' οὖν ἀγορανομικοῖς ἀρχαιρεσίοις εἰς
χεῖρας τινῶν ἐλθόντων καὶ φονευθέντων περὶ αὐτὸν οὐκ
ὀλίγων ἀναπλησθεὶς αἵματος ἤλλαξε τὰ ἱμάτια. Πολλοῦ δὲ
θορύβου καὶ δρόμου πρὸς τὴν οἰκίαν γενομένου τῶν κομι-
ζόντων τὰ ἱμάτια θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα,
θεασαμένη δὲ καθημαγμένην τὴν τήβεννον ἐξέλιπε καὶ μόλις
ἀνήνεγκεν, ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμ-
βλωσεν. Ὅθεν οὐδὲ οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς Καί-
σαρα τοῦ Πομπηΐου φιλίαν ᾐτιῶντο τὸν ἔρωτα τῆς γυναικός.
Αὖθις μέντοι κυήσασα καὶ τεκοῦσα θῆλυ παιδίον ἐκ τῶν
ὠδίνων ἐτελεύτησε καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας ἐπέζησε.
4, 208—9 H.

---

18. ἐπιμετροῦντος a, mox διδόντος V.
LIII. 2. πρεσβευταῖς C. 10. ἄκρατον S^g Muretus: ἄκριτον v. 11. Φλώραν Coraes: Φλῶραν v. 12. ἐν γοῦν Schaeferus. 17. καθειεμένην τὴν τίβενναν V. 20. τοῦ om S^g.

Παρεσκευασμένου δὲ τοῦ Πομπηΐου τὸ σῶμα θάπτειν ἐν Ἀλβανῷ βιασάμενος ὁ δῆμος εἰς τὸ Ἄρειον πεδίον κατήνεγκεν, οἴκτῳ τῆς κόρης μᾶλλον ἢ Πομπηΐῳ καὶ Καίσαρι χαριζόμενος. Αὐτῶν δὲ ἐκείνων μεῖζον ἐδόκει μέρος ἀπόντι Καίσαρι νέμειν ὁ δῆμος ἢ Πομπηΐῳ παρόντι τῆς τιμῆς. Εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις καὶ πάντα τὰ πράγματα σάλον εἶχε καὶ λόγους διαστατικούς, ὡς ἡ πρότερον παρακαλύπτουσα μᾶλλον ἢ κατείργουσα τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. Μετ' οὐ πολὺ δὲ καὶ Κράσσος ἐν Πάρθοις ἀπολωλὼς ἠγγέλλετο· καὶ τοῦτο κώλυμα ὂν μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον πόλεμον ἐκποδὼν ἐγεγόνει· δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι τοῖς πρὸς ἀλλήλους ἀμωσγέπως ἐνέμενον δικαίοις. Ἐπεὶ δὲ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικόν·

Ὡς ἄτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται,
Τῶ χεῖρέ θ' ὑποκονίεται.

Οὕτως ἡ τύχη μικρόν ἐστι πρὸς τὴν φύσιν. Οὐ γὰρ ἀπὸ πίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπου τοσοῦτον βάθος ἡγεμονίας καὶ μέγεθος εὐρυχωρίας δυοῖν ἀνδροῖν οὐκ ἐπέσχεν, ἀλλ' ἀκούοντες καὶ ἀναγινώσκοντες, ὅτι τριχθὰ δὲ πάντα δέδασται τοῖς θεοῖς, ἕκαστος δ' ἔμμορε τιμῆς, ἑαυτοῖς οὐκ ἐνόμιζον ἀρκεῖν δυσὶν οὖσι τὴν Ῥωμαίων ἀρχήν.

LIV. *Καίτοι Πομπήϊος εἶπέ ποτε δημηγορῶν, ὅτι πᾶσαν ἀρχὴν λάβοι πρότερον ἢ προσεδόκησε καὶ κατάθοιτο θᾶττον ἢ προσεδοκήθη. Καὶ νὴ Δία μαρτυρούσας εἶχεν ἀεὶ* 648
τὰς διαλύσεις τῶν στρατοπέδων. Τότε δὲ τὸν Καίσαρα

4, 209—10 H.

---

23. τοῦ addidit S^{g}. 24. *ἀνήνεγκεν* S^{g}. 32. *καὶ οὗτος κώλυμα ὢν* x. 38. *θ'* Schaeferus: *τε* libri. *ὑποκρίνεται* S^{g}. 41. *ἀνδροῖν* om C. *ἐπέσχεν*] intellecto *τὴν ἐπιθυμίαν* explicabat Toupius emend. in Suid. 1 p. 173. *ἐπῄρκεσεν* vel *ἀπέχρησεν* malit Coraes, *οὐκέτ' ἔσχεν* scilicet *ἀποπιμπλάναι τὴν ἐπιθυμίαν* Schaeferus. mihi *εὐρυχωρία* hic sic dictum videtur ut Aem. P. 5, 33: *οἱ δὲ νῦν ἀδελφοὶ καὶ συγγενεῖς, ἂν μὴ κλίμασι καὶ πατρομοῖς καὶ διατειχίσμασιν ὁρίσωσι τὰ κοινὰ καὶ πολλὴν εὐρυχωρίαν ἐν μέσῳ λάβωσιν ἀπ' ἀλλήλων, οὐ παύονται διαφερόμενοι*: cl. compar. Nic. 2, 26, ut scribendum suspicer *εὐρυχωρίαν οὐ παρέσχεν*, quo modo mor. 680 a. 828 d. 925 a. vel *εὐρυχωρίαν οὐκέτ' ἔσχεν*. 42. Homeri Il. 15, 189.

LIV. 1. *ποτε* Solanus: *τότε* libri. 2. *κατάθειτο* C.

δοκῶν οὐ προήσεσθαι τὴν δύναμιν ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς ὀχυρὸς εἶναι πρὸς αὐτόν, ἄλλο δὲ οὐδὲν ἐνεωτέριζεν οὐδὲ ἐβούλετο δοκεῖν ἀπιστεῖν, ἀλλ' ὑπερορᾶν μᾶλλον καὶ καταφρονεῖν. Ἐπεὶ δὲ τὰς ἀρχὰς οὐ κατὰ γνώμην ἑώρα βραβευομένας, δεκαζομένων τῶν πολιτῶν, ἀναρχίαν ἐν τῇ πόλει περιεῖδε γενομένην· καὶ λόγος εὐθὺς ἐχώρει πολὺς ὑπὲρ δικτάτορος, ὃν πρῶτος εἰς μέσον ἐξενεγκεῖν ἐτόλμησε Λουκίλλιος ὁ δήμαρχος τῷ δήμῳ παραινῶν ἑλέσθαι δικτάτορα Πομπήϊον. Ἐπιλαβομένου δὲ Κάτωνος οὗτος μὲν ἐκινδύνευσε τὴν δημαρχίαν ἀποβαλεῖν, ὑπὲρ δὲ Πομπηίου πολλοὶ τῶν φίλων ἀπελογοῦντο παριόντες ὡς οὐ δεομένου τῆς ἀρχῆς ἐκείνης οὐδὲ βουλομένου. Κάτωνος δὲ Πομπήϊον ἐπαινέσαντος καὶ προτρεψαμένου τῆς εὐκοσμίας ἐπιμεληθῆναι, τότε μὲν αἰδεσθεὶς ἐπεμελήθη καὶ κατεστάθησαν ὕπατοι Λομίτιος καὶ Μεσάλας, ὕστερον δὲ πάλιν ἀναρχίας γινομένης καὶ πλειόνων ἤδη τὸν περὶ τοῦ δικτάτορος λόγον ἐγειρόντων ἰταμώτερον φοβηθέντες οἱ περὶ Κάτωνα, μὴ βιασθῶσιν, ἔγνωσαν ἀρχήν τινα τῷ Πομπηΐῳ προέμενοι νόμιμον ἀποτρέψαι τῆς ἀκράτου καὶ τυραννικῆς ἐκείνης. Καὶ Βύβλος ἐχθρὸς ὢν Πομπηΐῳ πρῶτος ἀπεφήνατο γνώμην ἐν συγκλήτῳ Πομπήϊον μόνον ἑλέσθαι ὕπατον· ἢ γὰρ ἀπαλλαγήσεσθαι τῆς παρούσης τὴν πόλιν ἀκοσμίας ἢ δουλεύσειν τῷ κρατίστῳ. Φανέντος δὲ παραδόξου τοῦ λόγου διὰ τὸν εἰπόντα Κάτων ἀναστὰς καὶ παρασχὼν δόκησιν, ὡς ἀντιλέξοι, γενομένης σιωπῆς εἶπε τὴν προκειμένην γνώμην αὐτὸς μὲν οὐκ ἂν εἰσενεγκεῖν, εἰσενηνεγμένῃ δὲ ὑφ' ἑτέρου πείθεσθαι κελεύειν, πᾶσαν μὲν ἀρχὴν μᾶλλον αἱρούμενος ἀναρχίας, Πομπηΐου δὲ μηδένα βέλτιον ἄρξειν ἐν ταραχαῖς τηλικαύταις νομίζων. Δεξαμένης δὲ τῆς βουλῆς καὶ ψηφισαμένης, ὅπως ὕπατος αἱρεθεὶς ὁ Πομπήϊος ἄρχοι μόνος, εἰ δὲ αὐτὸς συνάρχοντος δεηθείη, μὴ θᾶττον δυοῖν μηνοῖν δοκιμάσας ἔλοιτο, κατα-

4, 210—11 H.

---

11. δικτάτορος S^g et infra: δικτάτωρος v. 14. μοναρχίαν C. 15. παριόντες] ‚praesentes' Xylander. 19. μεσάλας S^{g}AC cl. comp. Solon. 1, 12: Μεσσάλας v, quo modo Brut. 53. 20. τῶν περὶ S^g. 23. Βύβλος] cf. ad c. 47. 25. ἑλέσθαι ὕπατον offendunt. de eadem re Cat. min. 47 ὡς χρὴ μόνον ἑλέσθαι Πομπήϊον ὕπατον: eumdem ordinem hic quoque probo. 30. εἰσενηνεγμένῃ C cum Corae: εἰσενηνεγμένην v.

σταθεὶς οὕτως καὶ ἀποδειχθεὶς διὰ Σουλπικίου μεσοβασιλέως ὕπατος ἠσπάζετο φιλοφρόνως τὸν Κάτωνα πολλὴν ὁμολογῶν χάριν ἔχειν καὶ παρακαλῶν γίνεσθαι σύμβουλον ἰδίᾳ τῆς ἀρχῆς. Κάτων δὲ χάριν μὲν ἔχειν αὐτῷ τὸν Πομπήϊον οὐκ ἠξίου· δι' ἐκεῖνον γὰρ ὧν εἶπεν οὐδὲν εἰπεῖν, διὰ δὲ τὴν πόλιν· ἔσεσθαι δὲ σύμβουλος ἰδίᾳ παρακαλούμενος, ἐὰν δὲ μὴ παρακαλῆται, δημοσίᾳ φράσειν τὸ φαινόμενον. Τοιοῦτος μὲν οὖν Κάτων ἐν πᾶσι.

LV. Πομπήϊος δὲ παρελθὼν εἰς τὴν πόλιν ἔγημε Κορνηλίαν θυγατέρα Μετέλλου Σκηπίωνος, οὐ παρθένον, ἀλλὰ χήραν ἀπολελειμμένην νεωστὶ Ποπλίου τοῦ Κράσσου παιδὸς, ᾧ συνῴκησεν ἐκ παρθενίας, ἐν Πάρθοις τεθνηκότος. Ἐνῆν δὲ τῇ κόρῃ πολλὰ φίλτρα δίχα τῶν ἀφ' ὥρας. Καὶ γὰρ περὶ γράμματα καλῶς ἤσκητο καὶ περὶ λύραν καὶ γεωμετρίαν καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν. Καὶ προσῆν τούτοις ἦθος ἀηδίας καὶ περιεργίας καθαρὸν, ἃ δὴ νέαις προστρίβεται γυναιξὶ τὰ τοιαῦτα μαθήματα· πατὴρ δὲ καὶ γένους ἕνεκα καὶ δόξης ἄμεμπτος. Ἀλλ' ὅμως τοῦ γάμου τοῖς μὲν οὐκ ἤρεσκε τὸ μὴ καθ' ἡλικίαν· υἱῷ γὰρ αὐτοῦ συνοικεῖν ὥραν εἶχεν ἡ Κορνηλία μᾶλλον· οἱ δὲ κομψότεροι τὸ τῆς πόλεως ἡγοῦντο παρεωρακέναι τὸν Πομπήϊον, ἐν τύχαις οὔσης, ὧν ἐκεῖνον ἰατρὸν ἥρηται καὶ μόνῳ παραδέδωκεν αὐτήν· ὁ δὲ στεφανοῦται καὶ θύει γάμους αὐτὴν τὴν ὑπατείαν ὀφείλων ἡγεῖσθαι συμφορὰν οὐκ ἂν οὕτω παρανόμως δοθεῖσαν, εὐτυχούσης τῆς πατριδος. Ἐπεὶ δὲ ταῖς δίκαις τῶν δωροδοκιῶν καὶ δεκασμῶν ἐπιστὰς καὶ νόμους γράψας, καθ' οὓς αἱ κρίσεις ἐγίνοντο, τὰ μὲν ἄλλα σεμνῶς ἐβράβευε καὶ καθαρῶς, ἀσφάλειαν ἅμα καὶ κόσμον καὶ ἡσυχίαν αὐτοῦ προσκαθημένου μεθ' ὅπλων τοῖς δικαστηρίοις παρέχων, Σκηπίωνος δὲ τοῦ πενθεροῦ κρινομένου, μεταπεμψάμενος οἴκαδε τοὺς ἑξήκοντα καὶ τριακοσίους δικαστὰς ἐνέτυχε βοηθεῖν, ὁ δὲ κατήγορος ἀπέστη τῆς δίκης ἰδὼν τὸν Σκηπίωνα προπεμ- 649

4, 211—12 H.

---

36. οὕτω Cia et in ras. A. 42. φράσειν Stephanus: φράζειν libri.

LV. 2. σκιπίωνος i et v. 17. εὐτυχοῦσαν C. ἔπειτα Corais Schaeferus, cf. ad c. 5. 21. προσκαθημένου $S^{g}AC$: προκαθημένου v. Σκιπίωνος Stephanus et postea. 23. καὶ Corais cod. 1677: καὶ τοὺς v.

πόμενον ἐξ ἀγορᾶς ὑπὸ τῶν δικαστῶν· πάλιν οὖν ἦκουε κακῶς, ἔτι δὲ μᾶλλον, ὅτι λύσας νόμῳ τοὺς γινομένους περὶ τῶν κρινομένων ἐπαίνους αὐτὸς εἰσῆλθε Πλάγκον ἐπαινεσόμενος. Καὶ Κάτων (ἔτυχε γὰρ κρίνων) ἐπισχόμενος τὰ ὦτα ταῖς χερσὶν οὐκ ἔφη καλῶς ἔχειν αὐτῷ παρὰ τὸν νόμον ἀκούειν τῶν ἐπαίνων. Ὅθεν ὁ μὲν Κάτων ἀπεβλήθη πρὸ τοῦ φέρειν τὴν ψῆφον· ἑάλω δὲ ταῖς ἄλλαις ὁ Πλάγκος σὺν αἰσχύνῃ τοῦ Πομπηΐου. Καὶ γὰρ ὀλίγαις ὕστερον ἡμέραις Ὑψαῖος, ἀνὴρ ὑπατικὸς, δίκην φεύγων καὶ παραφυλάξας τὸν Πομπήϊον ἐπὶ δεῖπνον ἀπιόντα λελουμένον ἱκέτευε τῶν γονάτων λαβόμενος. Ὁ δὲ παρῆλθεν ὑπεροπτικῶς εἰπὼν διαφθείρειν τὸ δεῖπνον αὐτοῦ, ἄλλο δὲ μηδὲν περαίνειν. Οὕτως οὖν ἄνισος εἶναι δοκῶν αἰτίας εἶχε. Τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέστησεν εἰς τάξιν καὶ προσείλετο συνάρχοντα τὸν πενθερὸν εἰς τοὺς ὑπολοίπους πέντε μῆνας. Ἐψηφίσθη δὲ αὐτῷ τὰς ἐπαρχίας ἔχειν εἰς ἄλλην τετραετίαν καὶ χίλια τάλαντα λαμβάνειν καθ' ἕκαστον ἐνιαυτὸν, ἀφ' ὧν θρέψει καὶ διοικήσει τὸ στρατιωτικόν.

LVI. Οἱ δὲ Καίσαρος φίλοι ταύτην ἀρχὴν λαβόντες ἠξίουν τινὰ γενέσθαι καὶ Καίσαρος λόγον ἀγωνιζομένου τοσούτους ἀγῶνας ὑπὲρ τῆς ἡγεμονίας· ἢ γὰρ ὑπατείας ἄξιον εἶναι τυχεῖν ἑτέρας ἢ προσλαβεῖν τῇ στρατείᾳ χρόνον, ἐν ᾧ τῶν πεπονημένων οὐκ ἄλλος ἐπελθὼν ἀφαιρήσεται τὴν δόξαν, ἀλλ' αὐτὸς ἄρξει καὶ τιμήσεται καθ' ἡσυχίαν ὁ κατεργασάμενος. Οὔσης δὲ περὶ τούτων ἀμίλλης, ὡς δὴ παραιτούμενος ὑπὲρ τοῦ Καίσαρος ἐπ' εὐνοίᾳ τὸν φθόνον ὁ Πομπήϊος ἔφη γράμματα Καίσαρος ἔχειν βουλομένου λαβεῖν διάδοχον καὶ παύσασθαι τῆς στρατείας· ὑπατείας μέντοι καὶ μὴ παρόντι καλῶς ἔχειν αἰτησιν αὐτῷ δοθῆναι. Πρὸς ταῦτα ἐνισταμένων τῶν περὶ Κάτωνα καὶ κελευόντων ἰδιώτην γενόμενον καὶ τὰ ὅπλα καταθέμενον εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθὸν, οὐκ ἐξερίσας, ἀλλ' οἷον ἡττηθεὶς ὁ Πομπήϊος ὕποπτος ἦν μᾶλλον ὢν ἐφρόνει περὶ Καίσαρος. Ἔπεμψε δὲ καὶ
4, 212—13 H.

---

27. *πλάκκον* libri praeter a constanter. 36. *μηθὲν* C. 38. *προσείλετο* S^g[C]: *προείλετο* v.

LVI. 3. *ἡγεμονίας*] *ἐλευθερίας* S^g cf. v. l. Mar. 16, 27. 4. *τῇ στρατηγίᾳ* malit Schaeferus, cf. c. 58. comp. Pomp. 3. Caes. 21. Cat. min. 41. *ἐφ' ᾧ* x. 7. *τοῦτον* C. 13. *περὶ τῶν* Aia.

τὰς δυνάμεις ἀπαιτῶν, ἃς ἔχρησεν αὐτῷ, τὰ Παρθικὰ ποιούμενος πρόφασιν. Ὁ δὲ, καίπερ εἰδὼς ἐφ' οἷς ἀπῃτεῖτο τοὺς στρατιώτας, ἀπέπεμψε καλῶς δωρησάμενος.

LVII. Ἐκ τούτου δὲ Πομπήϊος ἐν Νεαπόλει νοσήσας ἐπισφαλῶς ἀνέῤῥωσε. Πραξαγόρου δὲ πείσαντος τοὺς Νεαπολίτας ἔθυσαν ὑπὲρ αὐτοῦ σωτήρια. Μιμουμένων δὲ τούτους τῶν προσοίκων καὶ τοῦ πράγματος οὕτω περιϊόντος τὴν Ἰταλίαν πᾶσαν καὶ μικρὰ καὶ μεγάλη πόλις ἐφ' ἡμέρας πολλὰς ἑώρταζε. Τοὺς δὲ ἀπαντῶντας πανταχόθεν οὐδεὶς ἐχώρει τόπος, ἀλλὰ ὁδοί τε κατεπίμπλαντο καὶ κῶμαι καὶ λιμένες εὐωχουμένων καὶ θυόντων. Πολλοὶ δὲ καὶ στεφανηφοροῦντες ὑπὸ λαμπάδων ἐδέχοντο καὶ παρέπεμπον ἀνθοβολούμενον, ὥστε τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν θέαμα κάλλιστον εἶναι καὶ λαμπρότατον. Οὐδενὸς μέντοι τοῦτο λέγεται τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτίων ἔλαττον γενέσθαι. Φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ μεγέθει τῆς χαρᾶς τοὺς ἀπὸ τῶν πραγμάτων λογισμούς· καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐ- 650
τυχήματα καὶ τὰς πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς Καίσαρος δυνάμεως, ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος, ἀλλὰ πολὺ ῥᾷον καθαιρήσων ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. Πρὸς δὲ τούτοις Ἄππιος ἀφίκετο κομίζων ἐκ Γαλατίας ἣν ἔχρησε Πομπήϊος Καίσαρι στρατιάν· καὶ πολλὰ μὲν ἐξεφλαύριζε τὰς ἐκεῖ πράξεις καὶ λόγους ἐξέφερε βλασφήμους περὶ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἀπείρως ἔχειν ἔλεγε τῆς αὐτοῦ δυνάμεως καὶ δόξης ἑτέροις ὅπλοις πρὸς Καίσαρα φραγνύμενον, ὃν αὐτοῖς κατεργάσεται τοῖς ἐκείνου στρατεύμασιν, ὅταν πρῶτον ὀφθῇ· τοσοῦτον καὶ μίσους πρὸς Καίσαρα καὶ πόθου πρὸς Πομπήϊον ἐνυπάρχειν αὐτοῖς. Οὕτω δ' οὖν ὁ Πομπήϊος ἐπῄρθη καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγωρίας διὰ τὸ θαῤῥεῖν ἐγένετο μεστὸς, ὥστε καὶ τῶν δεδιότων τὸν πόλεμον κατεγέλα καὶ τοὺς λέγοντας, ἂν ἐλαύνῃ Καῖσαρ ἐπὶ τὴν πόλιν, οὐχ ὁρᾶν δυνάμεις, αἷς αὐτὸν ἀμυνοῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος ἀμελεῖν ἐκέλευσεν· „Ὅπου γὰρ ἂν" ἔφη „τῆς

4, 213—15 H.

LVII. 12. αἰτίων Schaeferus: αἰτιῶν libri. 15. τιθεμένην C. 18. ῥᾷον Reiskius: ῥᾴδιον libri. 21. στρατείαν S^g. ἐξεφλαύριζε Emperius: ἐξεφλαύρισε v, ἐξεφλαύρησε S^g. 32. ἀμελεῖν om i.

Ἰταλίας ἐγὼ κρούσω τῷ ποδὶ τὴν γῆν ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις.“

LVIII. Ἤδη δὲ καὶ Καῖσαρ ἐπεφύετο τοῖς πράγμασιν ἐρρωμενέστερον, αὐτὸς μὲν οὐκέτι μακρὰν τῆς Ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τοὺς στρατιώτας ἀποστέλλων ἀρχαιρεσιάσοντας, χρήμασι δὲ πολλοὺς ὑποικουρῶν καὶ διαφθείρων ἄρχοντας· ὧν καὶ Παῦλος ἦν ὁ ὕπατος ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλόμενος, καὶ Κουρίων ὁ δήμαρχος ἀμηχάνων πλήθει δανείων ἐλευθερωθεὶς ὑπ᾽ αὐτοῦ, καὶ Μάρκος Ἀντώνιος διὰ φιλίαν Κουρίωνος ὢν ὠφελεῖτο μετέχων. Ἐλέχθη μὲν οὖν, ὅτι τῶν ἀφιγμένων τις ἀπὸ Καίσαρος ταξιαρχῶν ἑστὼς παρὰ τὸ βουλευτήριον καὶ πυθόμενος, ὡς οὐ δίδωσιν ἡ βουλὴ Καίσαρι χρόνον τῆς ἀρχῆς, εἶπεν ἐπικρούων τῇ χειρὶ τὸ ξίφος „Ἀλλὰ τοῦτο δώσει.“ Καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα ταύτην εἶχε τὴν διάνοιαν. Αἱ μέντοι Κουρίωνος ἀξιώσεις καὶ παρακλήσεις ὑπὲρ Καίσαρος ἐφαίνοντο δημοτικώτεραι. Δυεῖν γὰρ ἠξίου θάτερον, ἢ καὶ Πομπήϊον ἀπαιτεῖν ἢ μηδὲ Καίσαρος ἀφαιρεῖσθαι τὸ στρατιωτικόν· ἢ γὰρ ἰδιώτας γενομένους ἐπὶ τοῖς δικαίοις ἢ μένοντας ἀντιπάλους ἐφ᾽ οἷς ἔχουσιν ἀτρεμήσειν· ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν ἦν φοβεῖται δύναμιν διπλασιάζει. Πρὸς ταῦτα Μαρκέλλου τοῦ ὑπάτου λῃστὴν ἀποκαλοῦντος τὸν Καίσαρα καὶ ψηφίζεσθαι πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα, Κουρίων ὅμως ἴσχυσε μετὰ Ἀντωνίου καὶ Πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. Ἐκέλευσε γὰρ μεταστῆναι τοὺς Καίσαρα μόνον τὰ ὅπλα καταθέσθαι κελεύοντας, Πομπήϊον δὲ ἄρχειν· καὶ μετέστησαν οἱ πλείους. Αὖθις δὲ μεταστῆναι κελεύσαντος ὅσοις ἀμφοτέρους ἀρέσκει τὰ ὅπλα καταθέσθαι καὶ μηδέτερον ἄρχειν, Πομπηίῳ μὲν εἴκοσι καὶ δύο μόνον, Κουρίωνι δὲ πάντες οἱ λοιποὶ προσέθεντο. Κἀκεῖνος μέν, ὡς νενικηκὼς, λαμπρὸς ὑπὸ χαρᾶς εἰς τὸν δῆμον ἐξήλατο, κρότῳ καὶ βολαῖς στεφάνων καὶ

4, 215—16 H.

LVIII. 6. μεταβαλόμενος C cum Corae: μεταβαλλόμενος v. 7. ἀμηχάνων Schaeferus, cf. Caes. 29 Κουρίωνα — πολλῶν ἐλευθερώσαντος δανείων. Alex. 26 πλήθει τε ἄπειροι καὶ κατὰ γένος παντοδαποί: ἀμηχάνῳ libri. 8. ὠφελεῖτο Emperius: ὠφείλετο libri. 9. ἐλέγχθη ia. ὑπὸ C. 10. ταξιαρχῶν] cf. ad c. 32. 15. δυοῖν C. 24. μόνα S^{E}. 26. ὅσους CV.

ἀνθῶν δεξαμένων αὐτόν. Ἐν δὲ τῇ βουλῇ Πομπήϊος οὐ παρῆν· οἱ γὰρ ἄρχοντες στρατοπέδων εἰς τὴν πόλιν οὐκ εἰσίασι. Μάρκελλος δὲ ἀναστὰς οὐκ ἔφη λόγων ἀκροάσεσθαι καθήμενος, ἀλλ' ὁρῶν ὑπερφαινόμενα τῶν Ἄλπεων ἤδη δέκα τάγματα βαδίζειν καὶ αὐτὸς ἐκπέμψειν τὸν ἀντιταξόμενον αὐτοῖς ὑπὲρ τῆς πατρίδος.

LIX. Ἐκ τούτου τὰς ἐσθῆτας ὡς ἐπὶ πένθει μετεβάλοντο. Μάρκελλος δὲ πρὸς Πομπήϊον δι' ἀγορᾶς ἐβάδιζε τῆς βουλῆς ἑπομένης καὶ καταστὰς ἐναντίος· „Κελεύω σε" εἶπεν „ὦ Πομπήϊε, βοηθεῖν τῇ πατρίδι καὶ χρῆσθαι ταῖς 651
παρεσκευασμέναις δυνάμεσι καὶ καταλέγειν ἑτέρας." Τὰ δ' αὐτὰ ταῦτα καὶ Λέντλος ἔλεγε τῶν ἀποδεδειγμένων εἰς τὸ μέλλον ὑπάτων ἄτερος. Ἀρξαμένου δὲ τοῦ Πομπηΐου καταλέγειν οἱ μὲν οὐχ ὑπήκουον, ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνῆσαν, οἱ δὲ πλείους διαλύσεις ἐβόων. Καὶ γὰρ ἀνέγνω τινὰ Καίσαρος ἐπιστολὴν Ἀντώνιος ἐν τῷ δήμῳ βιασάμενος τὴν βουλὴν ἔχουσαν ἐπαγωγοὺς ὄχλου προκλήσεις. Ἠξίου γὰρ ἀμφοτέρους ἐκβάντας τῶν ἐπαρχιῶν καὶ τὰς στρατιωτικὰς δυνάμεις ἀφέντας ἐπὶ τῷ δήμῳ γενέσθαι καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. Οἱ δὲ περὶ Λέντλον ὑπατεύοντες ἤδη βουλὴν οὐ συνῆγον· ἄρτι δὲ ἐκ Κιλικίας ἀφιγμένος Κικέρων ἔπραττε διαλλαγὰς, ὅπως Καῖσαρ ἐξελθὼν Γαλατίας καὶ τὴν ἄλλην στρατιὰν ἀφεὶς πᾶσαν ἐπὶ δυσὶ τάγμασι καὶ τῷ Ἰλλυρικῷ τὴν δευτέραν ὑπατείαν περιμένῃ. Πομπηΐου δὲ δυσκολαίνοντος ἐπείσθησαν οἱ Καίσαρος φίλοι θάτερον ἀφεῖναι· Λέντλου δὲ ἀντικρούσαντος καὶ Κάτωνος αὖθις ἁμαρτάνειν τὸν Πομπήϊον ἐξαπατώμενον βοῶντος οὐκ ἔσχον αἱ διαλύσεις πέρας.

LX. Ἐν τούτῳ δὲ ἀπαγγέλλεται Καῖσαρ Ἀρίμινον, πόλιν μεγάλην τῆς Ἰταλίας, κατειληφὼς καὶ βαδίζων ἄντικρυς ἐπὶ τὴν Ῥώμην μετὰ πάσης τῆς δυνάμεως. Τοῦτο δὲ ἦν ψεῦδος. Ἐβάδιζε γὰρ οὐ πλείονας ἔχων ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὴν δὲ ἄλλην δύναμιν ἐπέκεινα

4, 216—17 H.

---

31. ἀνθέων V. δεξιούμενον Reiskius. 33. εἰσίασιν S^{E}.

LIX. 1. μετεβάλλοντο S^{E}. 8. ὀλίγοι] οἱ C. 9. οἱ δὲ] αἱ δὲ S^{E}. 12. ἠξίουν V. 17. στρατιὰν Coraes: στρατείαν libri. 20. libri θατέραν, correxit x, cf. Suetonii Caes. 29.

LX. 1. ἀπαγγέλλεται S^{E}: ἀπηγγέλλετο v.

τῶν Ἄλπεων οὖσαν οὐ περιέμενεν ἐμπεσεῖν ἄφνω τεταραγμένοις καὶ μὴ προσδοκῶσι βουλόμενος μᾶλλον ἢ χρόνον δοὺς ἐκ παρασκευῆς μάχεσθαι. Καὶ γὰρ ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν ἐλθών, ὃς ἀφώριζεν αὐτῷ τὴν δεδομένην ἐπαρχίαν, ἔστη σιωπῇ καὶ διεμέλλησεν αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος. Εἶτα, ὥσπερ οἱ πρὸς βάθος ἀφιέντες ἀχανὲς ἀπὸ κρημνοῦ τινος ἑαυτοὺς, μύσας τῷ λογισμῷ καὶ παρακαλυψάμενος πρὸς τὸ δεινὸν καὶ τοσοῦτον μόνον Ἑλληνιστὶ πρὸς τοὺς παρόντας ἐκβοήσας, „Ἀνερρίφθω κύβος,“ διεβίβαζε τὸν στρατόν. Ὡς δὲ πρῶτον ἡ φήμη προσέπεσε καὶ κατέσχε τὴν Ῥώμην μετὰ ἐκπλήξεως θόρυβος καὶ φόβος οἷος οὔπω πρότερον, εὐθὺς μὲν ἡ βουλὴ φερομένη πρὸς τὸν Πομπήϊον συνέτρεχον καὶ παρῆσαν αἱ ἀρχαί, πυθομένου δὲ τοῦ Τύλλου περὶ στρατιᾶς καὶ δυνάμεως καὶ τοῦ Πομπηΐου μετά τινος μελλήσεως ἀθαρσῶς εἰπόντος, ὅτι τοὺς παρὰ Καίσαρος ἥκοντας ἑτοίμους ἔχει, νομίζει δὲ καὶ τοὺς κατειλεγμένους πρότερον ἐν τάχει συνάξειν τρισμυρίους ὄντας, ὁ μὲν Τύλλος ἀναβοήσας, „Ἐξηπάτηκας ἡμᾶς, ὦ Πομπήϊε,“ συνεβούλευεν ὡς Καίσαρα πρέσβεις ἀποστέλλειν, Φαώνιος δέ τις, ἀνὴρ τἆλλα μὲν οὐ πονηρὸς, αὐθαδείᾳ δὲ καὶ ὕβρει πολλάκις τὴν Κάτωνος οἰόμενος ἀπομιμεῖσθαι παῤῥησίαν, ἐκέλευε τὸν Πομπήϊον τῷ ποδὶ τύπτειν τὴν γῆν ὡς ὑπισχνεῖτο δυνάμεις ἀνακαλούμενον. Ὁ δὲ ταύτην μὲν ἤνεγκε τὴν ἀκαιρίαν πρᾴως· τοῦ δὲ Κάτωνος ὑπομιμνήσκοντος ὧν ἐν ἀρχῇ περὶ Καίσαρος αὐτῷ προεῖπεν, ἀπεκρίνατο μαντικώτερα μὲν εἶναι τὰ Κάτωνι λεχθέντα, φιλικώτερα δὲ ὑπ᾽ αὐτοῦ πεπρᾶχθαι.

LXI. Κάτων δὲ συνεβούλευεν αἱρεῖσθαι στρατηγὸν αὐτοκράτορα Πομπήϊον ἐπειπὼν, ὅτι τῶν αὐτῶν ἐστι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. Οὗτος μὲν οὖν εὐθὺς

4, 217—18 H.

8. libri ῥουβικῶνα, cf. ad Caes. 32. 10. διεμέλησεν C. 14. cf. Caes. 32. 15. διεβάδιζε i. 18. συνέτρεχε Stephani q. cf. Caes. 67. 19. Τύλλου] πόλλου V. στρατιᾶς Coraes: στρατείας libri. 21. καὶ addiderunt [A]CπV. 24. καὶ συνεβούλευεν V. ne συνεβούλευσεν Schaeferi probes cf. 60, 1. c. 66 (ἀπεφαίνετο) Cat. min. 52. ἀποστέλλειν] πέμπειν V. 28. ἀνακαλούμενον [AC]πVx: ἀνακαλουμενος v. 30. προεῖπεν a. 32. πεπράχθαι Sg.

LXI. 3. οὖν om i.

ἐξῆλθεν εἰς Σικελίαν (ἔλαχε γὰρ αὐτὴν τῶν ἐπαρχιῶν) καὶ τῶν ἄλλων ἕκαστος ἂς ἐκληρώθη. Τῆς δ' Ἰταλίας σχεδὸν ὅλης ἀνισταμένης ἀπορίαν εἶχε τὸ γινόμενον. Οἱ μὲν γὰρ ἔξωθεν φερόμενοι φυγῇ πανταχόθεν εἰς τὴν Ῥώμην ἐνέπιπτον, οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες ἐξέπιπτον αὐτοὶ καὶ ἀπέλειπον 652 τὴν πόλιν ἐν χειμῶνι καὶ ταράχῳ τοσούτῳ τὸ μὲν χρήσιμον ἀσθενὲς ἔχουσαν, τὸ δὲ ἀπειθὲς ἰσχυρὸν καὶ δυσμεταχείριστον ἄρχουσιν. Οὐ γὰρ ἦν παῦσαι τὸν φόβον οὐδὲ εἴασέ τις χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς Πομπήϊον, ἀλλ' ᾧ τις ἐνετύγχανε πάθει, φοβηθεὶς ἢ λυπηθεὶς ἢ διαπορήσας, τούτῳ φέρων ἐκεῖνον ἀνεπίμπλη· καὶ τἀναντία τῆς αὐτῆς ἡμέρας ἐκράτει βουλεύματα καὶ πυθέσθαι περὶ τῶν πολεμίων οὐδὲν ἦν ἀληθὲς αὐτῷ διὰ τὸ πολλοὺς ἀπαγγέλλειν, ὅ τι τύχοιεν, εἶτα ἀπιστοῦντι χαλεπαίνειν. Οὕτω δὴ ψηφισάμενος ταραχὴν ὁρᾶν καὶ κελεύσας ἅπαντας ἕπεσθαι αὐτῷ τοὺς ἀπὸ βουλῆς καὶ προειπὼν, ὅτι Καίσαρος ἡγήσεται τὸν ἀπολειφθέντα, περὶ δείλην ὀψίαν ἀπέλιπε τὴν πόλιν. Οἱ δὲ ὕπατοι μηδὲ θύσαντες ἃ νομίζεται πρὸ πολέμων ἔφυγον. Ἦν δὲ καὶ παρ' αὐτὰ τὰ δεινὰ ζηλωτὸς ἀνὴρ τῆς πρὸς αὐτὸν εὐνοίας τῶν ἀνθρώπων, ὅτι πολλῶν τὴν στρατηγίαν μεμφομένων οὐδεὶς ἦν ὁ μισῶν τὸν στρατηγὸν, ἀλλὰ πλείονας ἄν τις εὗρε τῶν διὰ τὴν ἐλευθερίαν φευγόντων τοὺς ἀπολιπεῖν Πομπήϊον μὴ δυναμένους.

LXII. Ὀλίγαις δὲ ὕστερον ἡμέραις Καῖσαρ εἰσελάσας καὶ κατασχὼν τὴν Ῥώμην τοῖς μὲν ἄλλοις ἐπιεικῶς ἐνέτυχε καὶ κατεπράϋνε, τῶν δὲ δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι χρήματα λαβεῖν αὐτὸν ἐκ τοῦ ταμείου θάνατον ἠπείλησε καὶ προσέθηκε τῇ ἀπειλῇ τραχύτερον λόγον· ἔφη γὰρ, ὡς τὸ

4, 218—20 H.

---

5. εἰς ἃς Coraes, ὡς pro ἃς Emperius. 8. ἀπέλειπον Schaeferi C: ἀπέλιπον v. 11. τοῖς ἄρχουσιν Muretus V. 13. τοῦτο C. 14. ἀνεπίμπλει S^g quod correxi: ἐνεπίμπλη v. 18. ἕπεσθαι αὐτῷ ferri non potest. pronomen hic non magis necessarium quam Caes. 33 τὴν πόλιν ἐξέλιπε κελεύσας ἕπεσθαι τὴν γερουσίαν. 19. ἀποληφθέντα ia et v. 20. δεινοληψίαν V. 22. τὰ om ia et v. ἀνὴρ S^g cl. comp. Pelop. 1. Cat. min. 64. Cic. 39. 48: ὁ ἀνὴρ v.

LXII. 3. τῶν δὲ δημάρχῳ Francofurtana. 4. ταμιείου Coraes. quamquam tam tuta forma altera est tot locorum consensu, ut operae pretium non sit singulis locis de ea re admonere. 5. γὰρ

φῆσαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον ἢ πρᾶξαι. Τρεψάμενος δὲ τὸν Μέτελλον οὕτω καὶ λαβὼν ὧν ἔχρῃζεν ἐδίωκε Πομπήϊον ἐκβαλεῖν σπεύδων ἐκ τῆς Ἰταλίας, πρὶν ἀφικέσθαι τὴν ἐξ Ἰβηρίας αὐτῷ δύναμιν. Ὁ δὲ τὸ Βρεντέσιον κατασχὼν καὶ πλοίων εὐπορήσας τοὺς μὲν ὑπάτους εὐθὺς ἐμβιβάσας καὶ μετ' αὐτῶν σπείρας τριάκοντα προεξέπεμψεν εἰς Δυρράχιον, Σκηπίωνα δὲ τὸν πενθερὸν καὶ Γναῖον τὸν υἱὸν εἰς Συρίαν ἀπέστειλε ναυτικὸν κατασκευάσοντας. Αὐτὸς δὲ φραξάμενος τὰς πύλας καὶ τοῖς τείχεσι τοὺς ἐλαφροτάτους στρατιώτας ἐπιστήσας, τοὺς δὲ Βρεντεσινοὺς ἀτρεμεῖν κατ' οἰκίαν κελεύσας ὅλην ἐντὸς τὴν πόλιν ἀνέσκαψε καὶ διετάφρευσε καὶ σκολόπων ἐνέπλησε τοὺς στενωποὺς πλὴν δυεῖν, δι' ὧν ἐπὶ θάλατταν αὐτὸς κατῆλθεν. Ἡμέρᾳ δὲ τρίτῃ τὸν μὲν ἄλλον ὄχλον ἐν ταῖς ναυσὶν εἶχεν ἤδη καθ' ἡσυχίαν ἐμβεβηκότα, τοῖς δὲ τὰ τείχη φυλάττουσιν ἐξαίφνης σημεῖον ἄρας καὶ καταδραμόντας ὀξέως ἀναλαβὼν ἀπεπέρασεν. Ὁ δὲ Καῖσαρ, ὡς εἶδεν ἐκλελειμμένα τὰ τείχη, τὴν φυγὴν αἰσθόμενος μικροῦ μὲν ἐδέησε διώκων τοῖς σταυροῖς καὶ τοῖς ὀρύγμασι περιπετὴς γενέσθαι· τῶν δὲ Βρεντεσινῶν φρασάντων φυλατ-

4, 220 H.

ὡς τὸ codd. 1676, 1677 a et v: γὰρ οὐ τὸ S^g, γὰρ ὡς οὐ τὸ ACi. de sententia dubitari non potest vel propter Caes. 35: καὶ τοῦτο, ἔφη, μειράκιον, οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ πρᾶξαι. sed librorum discrepantias consideranti vulgata scriptura non potest non suspecta esse. hinc γὰρ ὡς τοῦτο Haitinger act. philol. Monac. 3, 2 p. 208, γὰρ ὡς οὕτω Schaeferus. ego sic mihi videor loco succurrere posse: ἔφη γὰρ ὡς οὐ τὸ πρᾶξαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον ἢ φῆσαι. 6. τὸ πρᾶξαι Mureti non requiro. 8. ἐφικέσθαι S^g. 9. quum infra c. 63 et 65 etsi ibi cum aliqua librorum discrepantia scriptum sit *Βρεντέσιον*, quae forma sine varietate exstat Cat. mai. 14, 22. Sull. 27, 3 ac fere ubique uno vel pluribus libris commendetur, cf. Caes. 35. 37. Cic. 32. non dubitavi eamdem h. l. contra libros reponere confirmatam etiam Strabonis, Appiani, Dionis aliorumque auctoritate et adiectivo *Βρεντεσινὸς* quod sequitur. 10. ἀπορήσας i. 15. *Βρεντεσινοὺς* et 24 *Βρεντεσινῶν* Reiskiana: *βρεντεσηνοὺς* libri et Anton. 35. cf. G. Dindorfium in Stephani thesauro. ceterum *Βρεντεσῖνος* Stephanus Byzantius aliique. 16. τὴν πόλιν ἀνέσκαψε S^gAC: ἀνέσκαψε τὴν πόλιν v. τὴν πόλιν om i. διετάφρευσε [AC]πV: διετάφρευε v. 17. πλὴν] πλεῖν A. δυοῖν C. 19. ἐμβεβληκότα Stephaniana cum [S^g?]. 24. φθασάντων S^g.

τόμενος τὴν πόλιν καὶ κύκλῳ περιὼν ἀνηγμένους εὗρε πάντας πλὴν δυεῖν πλοίων στρατιώτας τινὰς οὐ πολλοὺς ἐχόντων.

LXIII. Οἱ μὲν οὖν ἄλλοι τοῦ Πομπηΐου τὸν ἀπόπλουν ἐν τοῖς ἀρίστοις τίθενται στρατηγήμασιν, αὐτὸς δὲ Καῖσαρ ἐθαύμαζεν, ὅτι καὶ πόλιν ἔχων ὀχυρὰν καὶ προσδοκῶν τὰς ἐξ Ἰβηρίας δυνάμεις καὶ θαλασσοκρατῶν ἐξέλιπε καὶ προήκατο τὴν Ἰταλίαν. Αἰτιᾶται καὶ Κικέρων, ὅτι τὴν Θεμιστοκλέους ἐμιμήσατο στρατηγίαν μᾶλλον ἢ τὴν Περικλέους, τῶν πραγμάτων τούτοις ὁμοίων ὄντων, οὐκ ἐκείνοις. Ἐδήλωσε δὲ Καῖσαρ ἔργῳ σφόδρα φοβούμενος τὸν χρόνον. Ἑλὼν γὰρ Νουμέριον Πομπηΐου φίλον ἀπέστειλεν εἰς Βρεντέσιον ἐπὶ τοῖς ἴσοις ἀξιῶν διαλλαγῆναι· Νουμέριος δὲ Πομπηΐῳ συνεξέπλευσεν. Ἐντεῦθεν ὁ μὲν ἡμέραις ἑξήκοντα κύριος γεγονὼς ἀναιμωτὶ τῆς Ἰταλίας ὅλης ἐβούλετο μὲν εὐθὺς Πομπηΐου διώκειν, πλοίων δὲ μὴ παρόντων ἀποστρέψας εἰς Ἰβηρίαν ἤλαυνε τὰς ἐκεῖ δυνάμεις προσαγαγέσθαι βουλόμενος.

LXIV. Ἐν δὲ τῷ χρόνῳ τούτῳ μεγάλη συνέστη Πομπηΐῳ δύναμις, ἡ μὲν ναυτικὴ καὶ παντελῶς ἀνανταγώνιστος 653
(ἦσαν γὰρ αἱ μάχιμοι πεντακόσιαι, λιβυρνίδων δὲ καὶ κατασκόπων ὑπερβάλλων ἀριθμός), ἱππεῖς δὲ, Ῥωμαίων καὶ Ἰταλῶν τὸ ἀνθοῦν, ἑπτακισχίλιοι, γένεσι καὶ πλούτῳ καὶ φρονήμασι διαφέροντες· τὴν δὲ πεζὴν σύμμικτον οὖσαν καὶ μελέτης δεομένην ἐγύμναζεν ἐν Βεροίᾳ καθήμενος οὐκ ἀργὸς, ἀλλ' ὥσπερ ἀκμάζοντι χρώμενος αὐτῷ πρὸς τὰ γυμνάσια. Μεγάλη γὰρ ἦν ῥοπὴ πρὸς τὸ θαρρεῖν τοῖς ὁρῶσι Πομπηΐου Μάγνου ἑξήκοντα μὲν ἔτη δυεῖν λείποντα γεγενημένου, ἐν δὲ τοῖς ὅπλοις ἀμιλλώμενον πεζὸν, εἶτα ἱππότην αὖθις ἑλκόμενόν τε τὸ ξίφος ἀπραγμόνως θέοντι τῷ ἵππῳ καὶ κατακλείοντα πάλιν εὐχερῶς· ἐν δὲ τοῖς ἀκοντισμοῖς οὐ μόνον ἀκρίβειαν, ἀλλὰ καὶ ῥώμην ἐπιδεικνύμενον εἰς μῆκος, ὃ πολλοὶ 4, 220—22 H.

---

26. πλεῖν A. δυοῖν C.

LXIII. 5. αἰτιᾶται δὲ καὶ Reiskii nuperi. 8. ἔργα CVi. 9. Νουμέριον] hoc loco uti poterat Oudendorpius ad Caesaris b. c. 1, 24 ad verum homini praenomen restituendum. 11. μὲν ἐν Muretus. 12. ἀνεμωτὶ S^{g}.

LXIV. 2. καὶ male suspectum Schaefero. de eadem re Appianus b. c. 2, 65: τὸ ναυτικὸν ᾧ δὴ καὶ πολὺ προεῖχεν. 5. γένεσιν S^{g}. 7. βερροίᾳ AC, cf. ad Pyrrh. 11, 6. 12. ‚ἀντὶ τοῦ θέοντος τοῦ ἵππου' margo Mureti Vx.

τῶν νέων οὐχ ὑπερέβαλλον. Ἐπεφοίτων δὲ καὶ βασιλεῖς ἐθνῶν καὶ δυνάσται καὶ τῶν ἀπὸ Ῥώμης ἡγεμονικῶν ἀριθμὸς ἦν ἐντελοῦς βουλῆς περὶ αὐτόν. Ἦλθε δὲ καὶ Λαβεὼν ἀπολιπὼν Καίσαρα φίλος γεγονὼς καὶ συνεστρατευμένος ἐν Γαλατίᾳ καὶ Βροῦτος, υἱὸς ὢν Βρούτου τοῦ περὶ Γαλατίαν σφαγέντος, ἀνὴρ μεγαλόφρων καὶ μηδέποτε Πομπήϊον προσειπὼν μηδὲ ἀσπασάμενος πρότερον ὡς φονέα τοῦ πατρὸς, τότε δὲ ὡς ἐλευθεροῦντι τὴν Ῥώμην ὑπέταξεν ἑαυτόν. Κικέρων δὲ, καίπερ ἄλλα γεγραφὼς καὶ βεβουλευμένος, ὅμως κατηδέσθη μὴ γενέσθαι τοῦ προκινδυνεύοντος ἀριθμοῦ τῆς πατρίδος. Ἦλθε δὲ καὶ Τίδιος Σέξτιος, ἐσχατόγηρως ἀνὴρ θάτερον πεπηρωμένος σκέλος, εἰς Μακεδονίαν· ὃν, τῶν ἄλλων γελώντων καὶ χλευαζόντων, ὁ Πομπήϊος ἰδὼν ἐξανέστη καὶ προσέδραμε μέγα νομίζων μαρτύριον εἶναι καὶ τοὺς παρ' ἡλικίαν καὶ παρὰ δύναμιν αἱρουμένους τὸν μετ' αὐτοῦ κίνδυνον ἀντὶ τῆς ἀσφαλείας.

LXV. Ἐπεὶ δὲ βουλῆς γενομένης καὶ γνώμην Κάτωνος εἰπόντος ἐψηφίσαντο μηδένα Ῥωμαίων ἄνευ παρατάξεως ἀναιρεῖν μηδὲ διαρπάζειν πόλιν ὑπήκοον Ῥωμαίοις, ἔτι μᾶλλον ἡ Πομπήϊου μερὶς ἠγαπήθη· καὶ γὰρ οἷς μηδὲν ἦν πρᾶγμα τοῦ πολέμου πόρρω κατοικοῦσιν ἢ δι' ἀσθένειαν ἀμελουμένοις τῷ γε βούλεσθαι συγκατετίθεντο καὶ τῷ λόγῳ συνεμάχουν ὑπὲρ τῶν δικαίων ἡγούμενοι θεοῖς εἶναι καὶ ἀνθρώποις ἐχθρὸν, ᾧ μὴ καθ' ἡδονήν ἐστι νικᾶν Πομπήϊον. Οὐ μὴν ἀλλὰ καὶ Καῖσαρ εὐγνώμονα παρεῖχεν ἑαυτὸν ἐν τῷ κρατεῖν, ὃς καὶ τὰς ἐν Ἰβηρίᾳ τοῦ Πομπηΐου δυνάμεις ἑλὼν καὶ καταπολεμήσας ἀφῆκε τοὺς στρατηγοὺς, τοῖς δὲ στρατιώταις ἐχρῆτο. Καὶ πάλιν ὑπερβαλὼν τὰς Ἄλπεις καὶ διαδραμὼν τὴν Ἰταλίαν εἰς Βρεντέσιον ἦκεν ἐν τροπαῖς ἤδη τοῦ χειμῶνος ὄντος· καὶ διαπεράσας τὸ πέλαγος αὐτὸς μὲν εἰς Ὤρικον παρενέβαλεν, Ἰούβιον δὲ τὸν Πομπηΐου φίλον αἰχμά-

4, 222—23 H.

---

17. *Λαβιηνὸς* dicendum fuisse cl. Caes. 34 observavit Xylander x idque reposuerunt editores. 26. *πεπηρωμένον* A. 28. *εἶναι*] *εἶναι τὸ* C. 29. *παρὰ* addidit S^{ε}.

LXV. 11. *καὶ* post *ἑλὼν* malim abesse cl. Caes. 36: *κύριον βίᾳ γενέσθαι τῶν στρατοπέδων.* 13. *βρεντήσιον* CV, cf. ad c. 62. 15. *νώρικον* $S^{\varepsilon}V$, *ἤρικον* ACπi, sed praestare videtur *Ὤρικόν*. cf. v. l. Caes. 37. *Ἰούβιον*] secundum Caesaris b. c. 1, 15. 23. 34.

λωτον ἔχων σὺν ἑαυτῷ πρὸς Πομπήϊον ἀνέστειλε προκαλούμενος εἰς ἓν συνελθόντας ἀμφοτέρους ἡμέρᾳ τρίτῃ πάντα διαλῦσαι τὰ στρατεύματα καὶ γενομένους φίλους καὶ ὁμόσαντας ἐπανελθεῖν εἰς Ἰταλίαν. Ταῦτα Πομπήϊος αὖθις ἐνέδραν ἡγεῖτο· καὶ καταβὰς ὀξέως ἐπὶ θάλατταν κατέλαβε χωρία καὶ τόπους ἕδρας τε τοῖς πεζοῖς στρατοπέδοις ὑπεραλκεῖς ἔχοντα καὶ ναύλοχα καὶ κατάρσεις ἐπιφόρους τοῖς ἐπιφοιτῶσι διὰ θαλάττης, ὥστε πάντα πνεῖν ἄνεμον Πομπηΐῳ σῖτον ἢ στρατιὰν ἢ χρήματα κομίζοντα, Καίσαρα δὲ δυσχωρίαις κατὰ γῆν ὁμοῦ καὶ κατὰ θάλατταν περιεχόμενον ἐξ ἀνάγκης φιλομαχεῖν καὶ προσβάλλοντα τοῖς ἐρύμασι καὶ προκαλούμενον ἑκάστοτε τὰ μὲν πλεῖστα νικᾶν καὶ κρατεῖν τοῖς ἀκροβολισμοῖς, ἅπαξ δὲ μικροῦ συντριβῆναι καὶ τὴν στρατιὰν ἀποβαλεῖν, τοῦ Πομπηΐου λαμπρῶς ἀγωνισαμένου μέχρι τροπῆς ἁπάντων καὶ φόνου δισχιλίων, βιάσασθαι δὲ καὶ συνεισπεσεῖν μὴ δυνηθέντος ἢ φοβηθέντος, ὥστε εἰπεῖν Καίσαρα πρὸς τοὺς φίλους ὅτι „Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον.“ 654

LXVI. Ἐπὶ τούτῳ μέγα φρονήσαντες οἱ Πομπηΐου διὰ μάχης ἔσπευδον κριθῆναι. Πομπήϊος δὲ τοῖς μὲν ἔξω βασιλεῦσι καὶ στρατηγοῖς καὶ πόλεσιν ὡς νενικηκὼς ἔγραφε, τὸν δὲ τῆς μάχης κίνδυνον ὠρώδει τῷ χρόνῳ καὶ ταῖς ἀπορίαις καταπολεμήσειν νομίζων ἄνδρας ἀμάχους μὲν ἐν τοῖς ὅπλοις καὶ συνειθισμένους νικᾶν μετ' ἀλλήλων πολὺν ἤδη χρόνον, πρὸς δὲ τὴν ἄλλην στρατείαν καὶ πλάνας καὶ μεταβάσεις καὶ τάφρων ὀρύξεις καὶ τειχῶν οἰκοδομίας ἀπαγορεύοντας ὑπὸ γήρως καὶ διὰ τοῦτο ταῖς χερσὶν ἐμφῦναι τάχιστα καὶ συμ-

4, 223–24 H.

---

38 dubitari non potest quin Vibullius Rufus significetur intellexitque hoc Xylander Muretusque suo *Οὐιβούλλιον*. eius tamen nomen quominus reponam cum alia me prohibent tum mira codicum quorumdam Caesaris fluctuatio inter Jubellium, Jubilium, Jubulum, ex qua iam in eo, quo Plutarchus uteretur, Caesaris exemplo nomen corruptum fuisse suspicor. 17. ἡμέρᾳ ῥητῇ Bryani nuperi, quos refello Caesaris b. c. 3, 10: ‚si uterque in concione statim iuravisset, se triduo proximo exercitum dimissurum.‘ 22. ἔχοντας Mureti probatum nuperis non requiro. 24. στρατείαν S^{g}. δυσχερείαις Coraes. 27. ἑκάστοτε om C. 28. στρατείαν S^{g}. 30. δισχιλίων] cf. Schmiederum in Caes. 41. δὲ om ACia. καὶ om 1676, 1677.

LXVI. 1. τοῦτο S^{g}.

πλακῆναι σπεύδοντας. Οὐ μὴν ἀλλὰ πρότερον ἀμωσγέπως παρῆγε πείθων τοὺς περὶ αὐτὸν ἀτρεμεῖν ὁ Πομπήϊος· ἐπεὶ δὲ μετὰ τὴν μάχην ὁ Καῖσαρ ὑπὸ τῶν ἀποριῶν ἀναστὰς ἐβάδιζε δι' Ἀθαμάνων εἰς Θετταλίαν, οὐκέτι καθεκτὸν ἦν τὸ φρόνημα τῶν ἀνδρῶν, ἀλλὰ φεύγειν Καίσαρα βοῶντες οἱ μὲν ἀκολουθεῖν καὶ διώκειν ἐκέλευον, οἱ δὲ διαβαίνειν εἰς Ἰταλίαν, οἱ δὲ θεράποντας εἰς Ῥώμην καὶ φίλους ἔπεμπον οἰκίας προκαταληψομένους ἐγγὺς ἀγορᾶς ὡς αὐτίκα μετιόντες ἀρχάς. Ἐθελονταὶ δὲ πολλοὶ πρὸς Κορνηλίαν ἔπλεον εἰς Λέσβον εὐαγγελιζόμενοι πέρας ἔχειν τὸν πόλεμον· ἐκεῖ γὰρ αὐτὴν ὑπεξέπεμψεν ὁ Πομπήϊος. Ἀθροισθείσης δὲ βουλῆς Ἀφράνιος μὲν ἀπεφαίνετο γνώμην ἔχεσθαι τῆς Ἰταλίας, ταύτην γὰρ εἶναι τοῦ πολέμου τὸ μέγιστον ἆθλον, προστιθέναι δὲ τοῖς κρατοῦσιν εὐθὺς Σικελίαν, Σαρδῶνα, Κύρνον, Ἰβηρίαν, Γαλατίαν ἅπασαν· ἧς τε δὴ πλεῖστος ὁ λόγος Πομπηΐῳ πατρίδος ὀρεγούσης χεῖρας ἐγγύθεν, οὐ καλῶς ἔχειν περιορᾶν προπηλακιζομένην καὶ δουλεύουσαν οἰκέταις καὶ κόλαξι τυράννων. Αὐτὸς δὲ Πομπήϊος οὔτε πρὸς δόξαν ἡγεῖτο καλὸν αὐτῷ δευτέραν φυγὴν φεύγειν Καίσαρα καὶ διώκεσθαι, τῆς τύχης διώκειν διδούσης, οὔτε ὅσιον ἐγκαταλιπεῖν Σκηπίωνα καὶ τοὺς περὶ τὴν Ἑλλάδα καὶ Θετταλίαν ἄνδρας ὑπατικοὺς εὐθὺς ὑπὸ Καίσαρι γενησομένους μετὰ χρημάτων καὶ δυνάμεων μεγάλων, τῆς δὲ Ῥώμης μάλιστα κήδεσθαι τὸν ἀπωτάτω πολεμοῦντα περὶ αὐτῆς, ὅπως ἀπαθὴς κακῶν οὖσα καὶ ἀνήκοος περιμένῃ τὸν κρατοῦντα.

LXVII. Ταῦτα ψηφισάμενος ἐδίωκε Καίσαρα, μάχης μὲν ἐγνωκὼς ἀπέχεσθαι, πολιορκεῖν δὲ καὶ τρίβειν ταῖς ἀπορίαις ἐγγύθεν ἐπακολουθῶν. Καὶ γὰρ ἄλλως ταῦτα συμφέρειν ἡγεῖτο καὶ λόγος τις εἰς αὐτὸν ἧκεν ἐν τοῖς ἱππεῦσι φερόμενος, ὡς χρὴ τάχιστα τρεψαμένους Καίσαρα συγκαταλύειν κἀκεῖνον αὐτόν. Ἔνιοι δέ φασι διὰ τοῦτο καὶ Κάτωνι μηδὲν ἄξιον σπουδῆς χρήσασθαι Πομπήϊον, ἀλλὰ καὶ πορευόμενον ἐπὶ Καίσαρα πρὸς θαλάσσῃ καταλιπεῖν ἐπὶ τῆς ἀπο-

4, 224—25 H.

---

11. παρῆγε] παρεῖναι C. 13. διὰ Θαμανῶν V. 24. ἧς γε C. ὁ λόγος] cf. ad Lucull. 18, 14. 26. ὁρᾶν ACV. 33. τὸν — πολεμοῦντα Muretus: τῶν πολεμούντων libri.

LXVII. 7. πρὸς μηδὲν Mureti nuperi. perperam, cf. Poplic. 15, 8. Solon. 2, 18. Phoc. 6. Cicer. 38.

σκευῆς φοβηθέντα, μὴ Καίσαρος ἀναιρεθέντος ἀναγκάσῃ κἀκεῖνον εὐθὺς ἀποθέσθαι τὴν ἀρχήν. Οὕτω δὲ παρακολουθῶν ἀτρέμα τοῖς πολεμίοις ἐν αἰτίαις ἦν καὶ καταβοήσεσιν, ὡς οὐ Καίσαρα καταστρατηγῶν, ἀλλὰ τὴν πατρίδα καὶ τὴν βουλήν, ὅπως διὰ παντὸς ἄρχῃ καὶ μηδέποτε παύσηται τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν χρώμενος ὑπηρέταις καὶ δορυφόροις. Δομίτιος δὲ αὐτὸν ἀεὶ ὁ Αἰνόβαρβος Ἀγαμέμνονα καλῶν καὶ βασιλέα βασιλέων ἐπίφθονον ἐποίει. Καὶ Φαώνιος οὐχ ἧττον ἦν ἀηδὴς τῶν παῤῥησιαζομένων ἀκαίρως ἐν τῷ σκώπτειν „Ἄνθρωποι“ βοῶν „οὐδὲ τῆτες ἔσται τῶν ἐν Τουσκλάνῳ σύκων μεταλαβεῖν;“ Λεύκιος δὲ Ἀφράνιος ὁ τὰς ἐν Ἰβηρίᾳ δυνάμεις ἀποβαλὼν ἐν αἰτίᾳ προ- 655
δοσίας γεγονὼς, τότε δὲ τὸν Πομπήϊον ὁρῶν φυγομαχοῦντα, θαυμάζειν ἔλεγε τοὺς κατηγοροῦντας αὐτοῦ, πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν οὐ μάχονται προελθόντες. Ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ λέγοντες ἄνδρα δόξης ἧττονα καὶ τῆς πρὸς τοὺς φίλους αἰδοῦς τὸν Πομπήϊον ἐξεβιάσαντο καὶ συνεπεσπάσαντο ταῖς ἑαυτῶν ἐλπίσι καὶ ὁρμαῖς ἐπακολουθῆσαι προέμενον τοὺς ἀρίστους λογισμούς, ὅπερ οὐδὲ πλοίου κυβερνήτῃ, μήτιγε τοσούτων ἐθνῶν καὶ δυνάμεων αὐτοκράτορι στρατηγῷ παθεῖν ἦν προσῆκον. Ὁ δὲ τῶν μὲν ἰατρῶν τοὺς μηδέποτε χαριζομένους ταῖς ἐπιθυμίαις ἐπῄνεσεν, αὐτὸς δὲ τῷ νοσοῦντι τῆς στρατηγίας ἐνέδωκε δείσας ἐπὶ σωτηρίᾳ λυπηρὸς γενέσθαι. Πῶς γὰρ ἄν τις φήσειεν ὑγιαίνειν ἐκείνους τοὺς ἄνδρας, ὧν οἱ μὲν ὑπατείας ἤδη καὶ στρατηγίας ἐν τῷ στρατοπέδῳ περινοστοῦντες ἐμνῶντο, Σπινθῆρι δὲ καὶ Δομιτίῳ καὶ Σκηπίωνι περὶ τῆς Καίσαρος ἀρχιερωσύνης ἔριδες ἦσαν καὶ φιλονεικίαι καὶ δεξιώσεις; ὥσπερ αὐτοῖς Τιγράνου τοῦ Ἀρμενίου παραστρατοπεδεύοντος ἢ τοῦ Ναβαταίων βασιλέως, ἀλλ᾽ οὐ Καίσαρος ἐκείνου καὶ τῆς δυνάμεως, ᾗ χιλίας

4, 225—26 H.

15. ὁ βάρβαρος S^{g}V, ὁ βάρβος ceteri praeter a. corrigo αὐτὸν Ἀηνόβαρβος cl. Aem. P. 25, 13. Anton. 40. Appiani b. c. 5, 50 cl. cum 2, 17. Dionis Cass. 48, 7. 18. τῆτες] τούτῳ τῷ ἔτει marg. Mureti V. 20. ἀφάνιος S^{g}. 21. φιλομαχοῦντα C. 25. καὶ συναπεσπάσαντο ab ceteris omissa addidit S^{g} (‚extremae litterae πεσπάσαντο ita deletae sunt, ut vix legi possint‘), correxit Coraes confirmantque 1676, 1677. 27. οὔτε S^{g}. 28. μήτοιγε C. 31. στρατιᾶς Bryani probatum nuperis repudio. 34. σκηπίωνι δὲ καὶ σπινθῆρι καὶ δομιτίῳ C. 37. ναβατέων S^{g}. 38. ᾗ x: ἣ libri.

μὲν ᾗρήκει πόλεις κατὰ κράτος, ἔθνη δὲ πλείονα τριακοσίων ὑπῆκτο, Γερμανοῖς δὲ καὶ Γαλάταις μεμαχημένος ἀήττητος ὅσας οὐκ ἄν τις ἀριθμήσαι μάχας ἑκατὸν μυριάδας αἰχμαλώτων ἔλαβεν, ἑκατὸν δὲ ἀπέκτεινε τρεψάμενος ἐκ παρατάξεως.

LXVIII. Ἀλλ' ὅμως ἐγκείμενοι καὶ θορυβοῦντες, ἐπεὶ κατέβησαν εἰς τὸ Φαρσάλιον πεδίον, ἠνάγκασαν βουλὴν προθεῖναι τὸν Πομπήϊον, ἐν ᾗ Λαβιηνὸς ὁ τῶν ἱππέων ἄρχων πρῶτος ἀναστὰς ὤμοσε μὴ ἀναχωρήσειν ἐκ τῆς μάχης, εἰ μὴ τρέψαιτο τοὺς πολεμίους· τὰ δὲ αὐτὰ καὶ πάντες ὤμνυσαν. Τῆς δὲ νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους Πομπήϊος εἰς τὸ θέατρον εἰσιόντος αὐτοῦ κροτεῖν τὸν δῆμον, αὐτὸς δὲ κοσμεῖν ἱερὸν Ἀφροδίτης νικηφόρου πολλοῖς λαφύροις. Καὶ τὰ μὲν ἐθάρρει, τὰ δὲ ὑπέθραττεν αὐτὸν ἡ ὄψις δεδοικότα, μὴ τῷ γένει τῷ Καίσαρος εἰς Ἀφροδίτην ἀνήκοντι δόξα καὶ λαμπρότης ἀπ' αὐτοῦ γένηται· καὶ πανικοί τινες θόρυβοι διάττοντες ἐξανέστησαν αὐτόν. Ἑωθινῆς δὲ φυλακῆς ὑπὲρ τοῦ Καίσαρος στρατοπέδου πολλὴν ἡσυχίαν ἄγοντος ἐξέλαμψε μέγα φῶς, ἐκ δὲ τούτου λαμπὰς ἀρθεῖσα φλογοειδὴς ἐπὶ Πομπηΐου κατέσκηψε· καὶ τοῦτο ἰδεῖν φησι Καῖσαρ αὐτὸς ἐπιὼν τὰς φυλακάς. Ἅμα δὲ ἡμέρᾳ μέλλοντος αὐτοῦ πρὸς Σκοτοῦσσαν ἀναζευγνύειν καὶ τὰς σκηνὰς τῶν στρατιωτῶν καθαιρούντων καὶ προπεμπόντων ὑποζύγια καὶ θεράποντας, ἦκον οἱ σκοποὶ φράζοντες ὅπλα πολλὰ καθορᾶν ἐν τῷ χάρακι τῶν πολεμίων διαφερόμενα καὶ κίνησιν εἶναι καὶ θόρυβον ἀνδρῶν ἐπὶ μάχην ἐξιόντων. Μετὰ δὲ τούτους ἕτεροι παρῆσαν εἰς τάξιν ἤδη καθίστασθαι τοὺς πρώτους λέγοντες. Ὁ μὲν οὖν Καῖσαρ εἰπὼν τὴν προσδοκωμένην ἥκειν ἡμέραν, ἐν ᾗ πρὸς ἄνδρας, οὐ πρὸς λιμὸν οὐδὲ πενίαν μαχοῦνται, κατὰ τάχος πρὸ τῆς σκηνῆς ἐκέλευσε προθεῖναι τὸν φοινικοῦν χιτῶνα· τοῦτο γὰρ μάχης Ῥωμαίοις ἐστὶ σύμβολον.

4, 226—28 H.

LXVIII. 8. *ἱερὸν* S^{g}[AC]SπVx: *ἱερὰ* v. 9. *ὑπέθραπτεν* V. 14. *ἀρθεῖσα* Heldius in Timol. p. 353 cl. Caes. 43: *ὤφθη λαμπὰς οὐρανίου πυρός, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος στρατόπεδον λαμπρὰν καὶ φλογώδη γενομένην ἔδοξεν εἰς τὸ Πομπηΐου καταπεσεῖν* et Dionis Cass. 41, 61: *ἀφθεῖσα* Aia, *ἀφθεῖσα* v. *ἐπὶ τὸ* Reiskii non requiro. 17. *πρὸ σκότους* (*σκόπους* V) libri, correxerunt Amiotus Xylander x aliique cl. Caes. 43. 25. *προσθεῖναι* C. 26. *ἐστὶ ῥωμαίοις* C.

Οἱ δὲ στρατιῶται θεασάμενοι μετὰ βοῆς καὶ χαρᾶς τὰς σκηνὰς ἀφέντες ἐφέροντο πρὸς τὰ ὅπλα. Καὶ τῶν ταξιαρχῶν ἀγόντων εἰς ἣν ἔδει τάξιν ἕκαστος ὥσπερ χορὸς ἄνευ θορύβου μεμελετημένος εἰς τάξιν καὶ πρᾴως καθίστατο.

LXIX. *Πομπήϊος δὲ τὸ μὲν δεξιὸν αὐτὸς ἔχων ἔμελλεν ἀνθίστασθαι πρὸς Ἀντώνιον, ἐν δὲ τῷ μέσῳ Σκηπίωνα τὸν πενθερὸν ἀντέταξε Καλβίνῳ Λευκίῳ, τὸ δὲ εὐώνυμον εἶχε μὲν Λεύκιος Δομίτιος, ἐρρώσθη δὲ τῷ πλήθει τῶν ἱππέων. Ἐνταῦθα γὰρ ὀλίγου δεῖν ἅπαντες ἐρρύησαν, ὡς Καίσαρα βιασόμενοι καὶ τὸ δέκατον τάγμα διακόψοντες, οὗ πλεῖστος* 656
ἦν ὁ λόγος ὡς μαχιμωτάτου, καὶ Καῖσαρ ἐν ἐκείνῳ ταττόμενος εἰώθει μάχεσθαι. Κατιδὼν δὲ πεφραγμένον ἵππῳ τοσαύτῃ τῶν πολεμίων τὸ εὐώνυμον καὶ φοβηθεὶς τὴν λαμπρότητα τοῦ ὁπλισμοῦ μετεπέμψατο σπείρας ἐξ ἀπὸ τῶν ἐπιταγμάτων καὶ κατέστησεν ὄπισθεν τοῦ δεκάτου κελεύσας ἡσυχίαν ἄγειν ἀδήλους τοῖς πολεμίοις ὄντας· ὅταν δὲ προσελαύνωσιν οἱ ἱππεῖς, διὰ τῶν προμάχων ἐκδραμόντας μὴ προέσθαι τοὺς ὑσσοὺς, ὥσπερ εἰώθασιν οἱ κράτιστοι σπεύδοντες ἐπὶ τὰς ξιφουλκίας, ἀλλὰ παίειν ἄνω συντιτρώσκοντας ὄμματα καὶ πρόσωπα τῶν πολεμίων· οὐ γὰρ μενεῖν τοὺς καλοὺς τούτους καὶ ἀνθηροὺς πυῤῥιχιστὰς διὰ τὸν ὡραϊσμὸν οὐδὲ ἀντιβλέψειν πρὸς τὸν σίδηρον ἐν ὀφθαλμοῖς γινόμενον. Ἐν τούτοις μὲν οὖν ὁ Καῖσαρ ἦν. Ὁ δὲ Πομπήϊος ἀφ' ἵππου τὴν παράταξιν ἐπισκοπῶν, ὡς ἑώρα τοὺς μὲν ἀντιπάλους μεθ' ἡσυχίας τὸν καιρὸν ἐν τάξει προσμένοντας, τῆς δ' ὑφ' αὑτῷ στρατιᾶς τὸ πλεῖστον οὐκ ἀτρεμοῦν, ἀλλὰ κυμαῖνον ἀπειρίᾳ καὶ θορυβούμενον, ἔδεισε, μὴ διασπασθῇ παντάπασιν ἐν ἀρχῇ τῆς μάχης, καὶ παράγγελμα τοῖς προτεταγμένοις ἔδωκεν ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τοὺς πολεμίους. Ὁ δὲ Καῖσαρ αἰτιᾶται τὸ στρατήγημα τοῦτο· τῶν τε γὰρ πληγῶν τὸν ἐξ ἐπιδρομῆς τόνον ἀμαυρῶσαι καὶ

4, 228—29 H.

28. *ταξιαρχῶν*] cf. ad c. 32. 30. *μεμελητημένος* S^{g}: *μεμελητημένως* v.

LXIX. 7. ὁ deletum malit Schaeferus omittitque 1677. sic est Anton. 8. sed cf. ad c. 66, 24. 8. *πεφραγμένον* om i, *πεφρασμένον* a. 13. *ἐκδραμόντων* ACV. 15. ne *τὰ ἄνω* requiras cum Reiskio cf. Appiani b. c. 2, 78: *ὀρθοῖς ἄνω τοῖς δόρασιν ἐς τὰ πρόσωπα τύπτοντες τοὺς ἐπικαθημένους.* 21. *δ'* om S^{g}. 22. *στρατιᾶς* Stephanus: *στρατείας* libri. 25. *ἀραρότας* V.

τὴν μάλιστα τοὺς πολλοὺς ἐν τῷ συμφέρεσθαι τοῖς πολεμίοις πληροῦσαν ἐνθουσιασμοῦ καὶ φορᾶς ἀντεξόρμησιν, ἅμα κραυγῇ καὶ δρόμῳ τὸν θυμὸν αὔξουσαν, ἀφελόντα πῆξαι καὶ καταψῦξαι τοὺς ἄνδρας. Ἦσαν δὲ οἱ μὲν μετὰ Καίσαρος δισχίλιοι πρὸς δισμυρίοις, οἱ δὲ μετὰ Πομπηΐου βραχεῖ πλείονες ἢ διπλάσιοι τούτων.

LXX. Ἤδη δὲ συνθήματος διδομένου παρὰ ἀμφοτέρων καὶ τῆς σάλπιγγος ἀρχομένης ἐγκελεύεσθαι πρὸς τὴν σύστασιν, τῶν μὲν πολλῶν ἕκαστος ἐσκόπει τὸ καθ' αὑτὸν, ὀλίγοι δὲ Ῥωμαίων οἱ βέλτιστοι καί τινες Ἑλλήνων παρόντες ἔξω τῆς μάχης, ὡς ἐγγὺς ἦν τὸ δεινὸν, ἐλογίζοντο τὴν πλεονεξίαν καὶ φιλονεικίαν, ὅπου φέρουσα τὴν ἡγεμονίαν ἐξέθηκεν. Ὅπλα γὰρ συγγενικὰ καὶ τάξεις ἀδελφαὶ καὶ κοινὰ σημεῖα καὶ μιᾶς πόλεως εὐανδρία τοσαύτη καὶ δύναμις αὐτὴ πρὸς ἑαυτὴν συνέπιπτεν ἐπιδεικνυμένη τὴν ἀνθρωπίνην φύσιν, ὡς ἐν πάθει γενομένη τυφλόν ἐστι καὶ μανιῶδες. Ἦν μὲν γὰρ ἤδη καθ' ἡσυχίαν χρήζουσιν ἄρχειν καὶ ἀπολαύειν τῶν κατειργασμένων τὸ πλεῖστον καὶ κράτιστον ἀρετῇ γῆς καὶ θαλάσσης ὑπήκοον, ἦν δ' ἔτι τροπαίων καὶ θριάμβων ἔρωτι βουλομένους χαρίζεσθαι καὶ διψῶντας ἐμπίπλασθαι Παρθικῶν πολέμων ἢ Γερμανικῶν. Πολὺ δὲ καὶ Σκυθία λειπόμενον ἔργον καὶ Ἰνδοί, καὶ πρόφασις οὐκ ἄδοξος ἐπὶ ταῦτα τῆς πλεονεξίας ἡμερῶσαι τὰ βαρβαρικά. Τίς δ' ἂν ἢ Σκυθῶν ἵππος ἢ τοξεύματα Πάρθων ἢ πλοῦτος Ἰνδῶν ἐπέσχε μυριάδας ἑπτὰ Ῥωμαίων ἐν ὅπλοις ἐπερχομένας Πομπηΐου καὶ Καίσαρος ἡγουμένων, ὧν ὄνομα πολὺ πρότερον ἤκουσαν ἢ τὸ Ῥωμαίων; οὕτως ἄμικτα καὶ ποικίλα καὶ θηριώδη φῦλα νικῶντες ἐπῆλθον. Τότε δὲ ἀλλήλοις μαχόμενοι συνῆσαν οὐδὲ τὴν δόξαν αὐτῶν, δι' ἣν τῆς πατρίδος ἠφείδουν, οἰκτείραντες ἄχρι τῆς ἡμέρας ἐκείνης ἀνικήτων προσαγορευομένων. Ἡ μὲν γὰρ γενομένη συγγένεια καὶ τὰ Ἰουλίας φίλτρα καὶ

4, 229—31 H.

---

31. καταψῦξαι Schaeferus: καταψύξαι v. 32. δισμυρίοις ia et ct in rasur. $S^{g}AC$: δισμυρίους v.

LXX. 3. ἕκαστος ἐσκόπει τὸ καθ' αὑτόν ego: ἐσκοπεῖτο ἕκαστος καθ' libri, ἐσκοπεῖτο ἕκαστος τὸ καθ' Reiskii nuperi. 13. ὑπήκουον $S^{g}C$. δ' ἔτι secundum Amiotum x: δέ τι v. 16. καὶ post Ἰνδοὶ om ia. 21. φαύλα S^{g}. 22. συνῆσαν Coraes, qui et μαχούμενοι: συνῆσαν libri.

γάμος ἐκεῖνος εὐθὺς ἦν ἀπατηλὰ καὶ ὕποπτα κοινωνίας ἐπὶ χρείᾳ συνισταμένης ὁμηρεύματα, φιλίας δ' ἀληθινῆς οὐ μετέσχεν.

LXXI. Ὡς δ' οὖν τὸ Φαρσάλιον πεδίον ἀνδρῶν καὶ ἵππων καὶ ὅπλων ἀνεπέπλητο καὶ μάχης ἤρθη παρ' ἀμφοτέρων σημεῖα, πρῶτος ἐκ τῆς Καίσαρος φάλαγγος ἐξέδραμε Γάϊος Κρασσιανὸς ἀνδρῶν ἑκατὸν εἴκοσι λοχαγῶν μεγάλην ἀποδιδοὺς ὑπόσχεσιν Καίσαρι. Πρῶτον γὰρ αὐτὸν ἐξιὼν 657 τοῦ χάρακος εἶδε καὶ προσαγορεύσας ἤρετο, πῶς φρονοίη περὶ τῆς μάχης. Ὁ δὲ τὴν δεξιὰν προτείνας ἀνεβόησε „Νικήσεις λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ δὲ ἢ ζῶντα τήμερον ἢ νεκρὸν ἐπαινέσεις.“ Τούτων τῶν λόγων μεμνημένος ἐξώρμησε καὶ συνεπεσπάσατο πολλοὺς καὶ προσέβαλε κατὰ μέσους τοὺς πολεμίους. Γενομένου δὲ τοῦ ἀγῶνος εὐθὺς ἐν ξίφεσι καὶ πολλῶν φονευομένων, βιαζόμενον πρόσω καὶ διακόπτοντα τοὺς πρώτους ὑποστάς τις ὠθεῖ διὰ τοῦ στόματος τὸ ξίφος, ὥστε τὴν αἰχμὴν περάσασαν ἀνασχεῖν κατὰ τὸ ἰνίον. Πεσόντος δὲ τοῦ Κρασσιανοῦ, κατὰ τοῦτο μὲν ἦν ἰσόῤῥοπος ἡ μάχη, τὸ δὲ δεξιὸν ὁ Πομπήϊος οὐ ταχέως ἐπῆγεν, ἀλλὰ παπταίνων ἐπὶ θάτερα καὶ τὸ τῶν ἱππέων ἀναμένων ἔργον ἐνδιέτριβεν. Ἤδη δὲ ἐκεῖνοι τοὺς οὐλαμοὺς ἀνῆγον ὡς κυκλωσόμενοι τὸν Καίσαρα καὶ τοὺς προτεταγμένους ἱππεῖς ὀλίγους ὄντας ἐμβαλόντες εἰς τὴν φάλαγγα. Καίσαρος δὲ σημεῖον ἄραντος, οἱ μὲν ἱππεῖς ἐξανεχώρησαν, αἱ δὲ ἐπιτεταγμέναι σπεῖραι πρὸς τὴν κύκλωσιν ἐκδραμοῦσαι, τρισχίλιοι ἄνδρες, ὑπαντιάζουσι τοὺς πολεμίους καὶ παριστάμενοι καθ' ἵππων, ὡς ἐδιδάχθησαν, ὑψηλοῖς ἐχρῶντο τοῖς ὑσσοῖς ἐφιέ-

4, 231—32 H.

---

26. εὐθὺς ἦν om Sg.

LXXI. 4. Κρασσίνιον Plutarchus dicit Caes. 44. Crastinum Caesar b. c. 3, 91. cf. Schweighaeuserum ad Appiani t. 3. p. 766. ἑκατὸν om ACi. 14. ἀνασχεῖν Coraes cl. Caes. 44: ὥστε καὶ τὴν αἰχμὴν ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν: ἐνσχεῖν libri. 18. διέτριβεν 1676. ὑλαμοὺς V. 20. ἐμβαλοῦντες Bryani nuperi, quod vide ne repugnet Caesari b. c. 3, 93: quorum impetum noster equitatus non tulit, sed paullum loco motus cessit, equitesque Pompeii hoc acrius instare et se turmatim explicare aciemque nostram a latere aperto circuire coeperunt. 21. τὸ σημεῖον Reiskii non requiro, cf. Crass. 23, 38. 23. τοὺς πολεμίους] cf. Lobeckium in Sophocl. Aiac. v. 801. 24. ἵππων] ἱππέων Reiskius, ἵππον Coraes. vulgatam tuetur et res

μενοι τῶν προσώπων. Οἱ δέ, ἅτε μάχης πάσης ἄπειροι, τοιαύτην δὲ μὴ προσδοκήσαντες μηδὲ προμαθόντες, οὐκ ἐτόλμων οὐδὲ ἠνείχοντο τὰς πληγὰς ἐν ὄμμασι καὶ στόμασιν οὔσας, ἀλλ' ἀποστρεφόμενοι καὶ προϊσχόμενοι τῶν ὄψεων τὰς χεῖρας ἀκλεῶς ἐτράποντο. Φευγόντων δὲ τούτων ἀμελήσαντες οἱ Καίσαρος ἐχώρουν ἐπὶ τοὺς πεζούς, ᾗ μάλιστα τῶν ἱππέων τὸ κέρας ἐψιλωμένον περιδρομὴν ἐδίδου καὶ κύκλωσιν. Ἅμα δὲ τούτων ἐκ πλαγίου προσπεσόντων καὶ κατὰ στόμα τοῦ δεκάτου προσμίξαντος οὐχ ὑπέμειναν οὐδὲ συνέστησαν ὁρῶντες ἐν ᾧ κυκλώσεσθαι τοὺς πολεμίους ἤλπιζον αὐτοὺς τοῦτο πάσχοντας.

LXXII. Τραπομένων δὲ τούτων, ὡς κατεῖδε τὸν κονιορτὸν ὁ Πομπήϊος καὶ τὸ περὶ τοὺς ἱππέας πάθος εἴκασεν, ᾧ μὲν ἐχρήσατο λογισμῷ χαλεπὸν εἰπεῖν, μάλιστα δὲ ὅμοιος παράφρονι καὶ παραπλῆγι τὴν διάνοιαν καὶ μηδ' ὅτι Μάγνος ἐστὶ Πομπήϊος ἐννοοῦντι μηδένα προσειπὼν ἀπῄει βάδην εἰς τὸν χάρακα, πάνυ τοῖς ἔπεσι πρέπων ἐκείνοις·

Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψιζυγος ἐν φόβον ὦρσε·
στῆ δὲ ταφὼν, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου.

Τοιοῦτος εἰς τὴν σκηνὴν παρελθὼν ἄφθογγος καθῆστο, μέχρι οὗ τοῖς φεύγουσι πολλοὶ διώκοντες συνέπιπτον· τότε δὲ φωνὴν μίαν ἀφεὶς ταύτην „Οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν;" ἄλλο δὲ μηδὲν εἰπὼν, ἀναστὰς καὶ λαβὼν ἐσθῆτα τῇ παρούσῃ τύχῃ πρέπουσαν ὑπεξῆλθεν. Ἔφυγε δὲ καὶ τὰ λοιπὰ τάγματα καὶ φόνος ἐν τῷ στρατοπέδῳ πολὺς ἐγένετο σκηνοφυλάκων καὶ θεραπόντων· στρατιώτας δὲ μόνους ἑξακισχιλίους πεσεῖν φησιν Ἀσίννιος Πολίων μεμαχημένος ἐκείνην

4, 232—33 H.

---

ipsa et verba Appiani b. c. 2, 78: ἐξαναστάντες ἐς τοὺς ἵππους ἐχώρουν ὀρθοῖς ἄνω τοῖς δόρασιν ἐς τὰ πρόσωπα τύπτοντες τοὺς ἐπικαθημένους. 26. μὴ S^g: μηδὲ v. 31. ἐπιδρομὴν S^g. cf. Agesil. 39.

LXXII. 7. Homeri Il. 11, 543 sqq. Αἴανθ' Stephanus: αἴαντι libri. ἔμφοβον S^g, φόβος V. ὦρσεν Coraes. 8. ὄπισθεν ia. 9. τρέσεν ia. ἐφ' S^g cum Homero: ἀφ' v. 11. μέχρι S^g pr. Ai: μέχρις v. scribam συνεισέπιπτον cum Schaefero. 17. πεσεῖν φησιν S^g: φησὶ πεσεῖν v. Ἀσίνιος Coraes, sed Ἀσίννιος aliquot libri etiam Caes. 32 omnes 46. 52. Cat. min. 53. cf. Schweighaeuserum an. crit. in Appiani b. c. 2, 45 et 82. Πολλίων Schaeferus cl. Caes. 32. 46. 52.

τὴν μάχην μετὰ Καίσαρος. Αἰροῦντες δὲ τὸ στρατόπεδον ἐθεῶντο τὴν ἄνοιαν καὶ κουφότητα τῶν πολεμίων. Πᾶσα γὰρ σκηνὴ μυρσίναις κατέστεπτο καὶ στρωμναῖς ἀνθιναῖς ἤσκητο καὶ τραπέζαις ἐκπωμάτων μεσταῖς· καὶ κρατῆρες οἴνου προὔκειντο καὶ παρασκευὴ καὶ κόσμος ἦν τεθυκότων καὶ πανηγυριζόντων μᾶλλον ἢ πρὸς μάχην ἐξοπλιζομένων. Οὕτω ταῖς ἐλπίσι διεφθαρμένοι καὶ γέμοντες ἀνοήτου θράσους ἐπὶ τὸν πόλεμον ἐχώρουν.

LXXIII. Πομπήϊος δὲ μικρὸν ἔξω τοῦ χάρακος προελθὼν τὸν μὲν ἵππον ἀφῆκεν, ὀλίγων δὲ κομιδῇ περὶ αὐτὸν ὄντων, ὡς οὐδεὶς ἐδίωκεν, ἀπῄει καθ' ἡσυχίαν ἐν διαλογισμοῖς ὢν, οἵους εἰκὸς λαμβάνειν ἄνθρωπον ἔτη τέτταρα καὶ τριάκοντα νικᾶν καὶ κρατεῖν ἁπάντων εἰθισμένον, ἥττης δὲ 658 καὶ φυγῆς τότε πρῶτον ἐν γήρᾳ λαμβάνοντα πεῖραν, ἐννοούμενον δὲ ἐξ ὅσων ἀγώνων καὶ πολέμων ηὐξημένην ἀποβαλὼν ὥρᾳ μιᾷ δόξαν καὶ δύναμιν, ᾗ πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος ἀπέρχεται μικρὸς οὕτω γεγονὼς καὶ συνεσταλμένος, ὥστε λανθάνειν ζητοῦντας τοὺς πολεμίους. Παραμειψάμενος δὲ Λάρισσαν, ὡς ἦλθεν ἐπὶ τὰ Τέμπη, καταβαλὼν ἑαυτὸν ἐπὶ στόμα δεδιψηκὼς ἔπινε τοῦ ποταμοῦ καὶ πάλιν ἀναστὰς ἐβάδιζε διὰ τῶν Τεμπῶν, ἄχρι οὗ κατῆλθεν ἐπὶ θάλαττων. Ἐκεῖ δὲ τῆς νυκτὸς τὸ λοιπὸν ἀναπαυσάμενος ἐν καλυβίῳ τινὶ σαγηνέων καὶ περὶ τὸν ὄρθρον ἐπιβὰς ποταμίου πλοίου καὶ τῶν ἑπομένων τοὺς ἐλευθέρους ἀναλαβὼν, τοὺς δὲ θεράποντας ἀπεῖναι πρὸς Καίσαρι κελεύσας καὶ μὴ δεδιέναι, παρὰ γῆν κομιζόμενος εἶδεν εὐμεγέθη φορτηγὸν ἀνάγεσθαι μέλλουσαν, ἧς ἐναυκλήρει Ῥωμαῖος ἀνὴρ οὐ πάνυ Πομπηίῳ συνήθης, γινώσκων δὲ τὴν ὄψιν αὐτοῦ· Πετίκιος ἐπεκαλεῖτο. Τούτῳ συνεβεβήκει τῆς παρῳχημένης νυκτὸς ἰδεῖν κατὰ τοὺς ὕπνους Πομπήϊον, οὐχ ὃν ἑώρακε πολλάκις, ἀλλὰ ταπεινὸν καὶ κατηφῆ προσ-

4, 233—34 H.

---

20. γὰρ om S^g. ἀνθειναῖς C.

LXXIII. 6. πείραν S^g. 8. ᾗ delebat Schaeferus, ὁ corrigebat Reiskius. alterum utrum necessarium videtur. 12. ἐπὶ τὸ S^g, sed cf. Alcib. 2. Pomp. 3. Demetr. 29. Artax. 29. 14. ἄχρι S^{g}i: ἄχρις v. ἐπὶ S^{g}AC: ἐπὶ τὴν v. 17. ἀπιέναι Stephani ceteri, v. ad Aristid. 19, 9. 19. ἐν μεγέθει V. 21. ἐπεκαλεῖτο S^g 1676, 1677 cl. inscr. ap. Maff. Mus. Ver. 288, 5: ὑπεκαλεῖτο V, ἐκαλεῖτο v. 23. ἑωράκει Schaeferus.

διαλεγόμενον αὐτῷ. Καὶ ταῦτα τοῖς συμπλέουσιν ἐτύγχανε διηγούμενος, ὡς δὴ φιλεῖ περὶ πραγμάτων τηλικούτων λόγον ἔχειν ἀνθρώπους σχολὴν ἄγοντας. Ἐξαίφνης δέ τις τῶν ναυτῶν ἔφρασε κατιδὼν, ὅτι πλοῖον ποτάμιον ἀπὸ τῆς γῆς ἐρέσσεται καὶ κατασείουσι τινὲς ἄνθρωποι τὰ ἱμάτια καὶ τὰς χεῖρας ὀρέγουσι πρὸς αὐτούς. Ἐπιστήσας οὖν ὁ Πετίκιος εὐθὺς ἔγνω τὸν Πομπήϊον, οἷον ὄναρ εἶδε· καὶ πληξάμενος τὴν κεφαλὴν ἐκέλευσε τοὺς ναύτας τὸ ἐφόλκιον παραβαλεῖν καὶ τὴν δεξιὰν ἐξέτεινε καὶ προσεκάλει τὸν Πομπήϊον ἤδη συμφρονῶν τῷ σχήματι τὴν τύχην καὶ μεταβολὴν τοῦ ἀνδρός. Ὅθεν οὔτε παράκλησιν ἀναμείνας οὔτε λόγον, ἀλλ' ἀναλαβὼν ὅσους ἐκέλευσε μετ' αὐτοῦ (Λέντουλοι δὲ ἦσαν ἀμφότεροι καὶ Φαώνιος) ἀνήχθη· καὶ μικρὸν ὕστερον ἰδόντες ἀπὸ γῆς ἀμιλλώμενον Δηϊόταρον τὸν βασιλέα προσαναλαμβάνουσιν. Ἐπεὶ δὲ καιρὸς ἦν δείπνου καὶ παρεσκεύασεν ὁ ναύκληρος ἐκ τῶν παρόντων, ἰδὼν ὁ Φαώνιος οἰκετῶν ἀπορίᾳ τὸν Πομπήϊον ἀρχόμενον αὐτὸν ὑπολύειν προσέδραμε καὶ ὑπέλυσε καὶ συνήλειψε. Καὶ τὸ λοιπὸν ἐκ τούτου περιέπων καὶ θεραπεύων, ὅσα δεσπότας δοῦλοι, μέχρι νίψεως ποδῶν καὶ δείπνου παρασκευῆς διετέλεσεν, ὥστε τὴν ἐλευθεριότητα τῆς ὑπουργίας ἐκείνης θεασάμενον ἄν τινα καὶ τὸ ἀφελὲς καὶ ἄπλαστον εἰπεῖν·

Φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

LXXIV. Οὕτω δὲ παραπλεύσας ἐπ' Ἀμφιπόλεως ἐκεῖθεν εἰς Μιτυλήνην ἐπεραιοῦτο βουλόμενος τὴν Κορνηλίαν ἀναλαβεῖν καὶ τὸν υἱόν. Ἐπεὶ δὲ προσέσχε τῇ νήσῳ κατ' αἰγιαλὸν, ἔπεμψεν εἰς πόλιν ἄγγελον, οὐχ ὡς ἡ Κορνηλία προσεδόκα τοῖς πρὸς χάριν ἀπαγγελλομένοις καὶ γραφομένοις ἐλπίζουσα τοῦ πολέμου κεκριμένου περὶ Λυρράχιον ἔτι λοιπὸν ἔργον εἶναι Πομπηΐῳ τὴν Καίσαρος δίωξιν. Ἐν τούτοις

---

24. *πλέουσιν* AC. 25. *περὶ* Reiskii [A]C 1676, 1677: *περὶ τῶν* v. 29. *ἐπιστήσας* Emperius: *ἐπιστὰς* libri, cf. Sull. 5, 38 Wyttenbachium in mor. 32 b. *ὁ* addiderunt S^{s}[A]C. 30. *ἔγνω*] *εἶδε* C. 37. *δικόταρον* V. *ἀναλαμβάνουσι* Stephaniana. 40. *ἀπολούειν* et *ἀπέλουσε* a et v. 44. *ἂν* addidit Reiskius. 46. *φεῦ*] Euripidis fr. inc. CXIX ed. Matthiae. *τίσι* ia.

LXXIV. 2. *ἐπεραιοῦτο* Coraes: *ἐπέρα οὕτω* v, *ἐπείρα οὕτω* A, *τὴν* addiderunt S^{s}[A]CuSV.

οὖσαν αὐτὴν καταλαβὼν ὁ ἄγγελος ἀσπάσασθαι μὲν οὐχ ὑπέμεινε, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν κακῶν τοῖς δάκρυσι μᾶλλον ἢ τῇ φωνῇ φράσας σπεύδειν ἐκέλευσεν, εἰ βούλεταί πως Πομπήϊον ἰδεῖν ἐπὶ νεὼς μιᾶς καὶ ἀλλοτρίας. Ἡ δὲ ἀκούσασα προήκατο μὲν αὐτὴν χαμᾶζε καὶ πολὺν χρόνον ἔκφρων καὶ ἄναυδος ἔκειτο, μόλις δέ πως ἔμφρων γενομένη καὶ συννοήσασα τὸν καιρὸν οὐκ ὄντα θρήνων καὶ δακρύων ἐξέδραμε διὰ τῆς πόλεως ἐπὶ θάλατταν. Ἀπαντήσαντος δὲ τοῦ Πομπηΐου καὶ δεξαμένου ταῖς ἀγκάλαις αὐτὴν ὑπερειπομένην καὶ περιπίπτουσαν „Ὁρῶ σε“ εἶπεν „ἄνερ, οὐ τῆς σῆς τύχης ἔργον, ἀλλὰ τῆς ἐμῆς, προσερρίμμενον ἐνὶ σκάφει τὸν πρὸ 659
τῶν Κορνηλίας γάμων πεντακοσίαις ναυσὶ ταύτην παραπλεύσαντα τὴν θάλασσαν. Τί με ἦλθες ἰδεῖν καὶ οὐκ ἀπέλιπες τῷ βαρεῖ δαίμονι τὴν καὶ σὲ δυστυχίας ἀναπλήσασαν τοσαύτης; Ὡς εὐτυχὴς μὲν ἂν ἤμην γυνὴ πρὸ τοῦ Πόπλιον ἐν Πάρθοις ἀκοῦσαι τὸν παρθένιον ἄνδρα κείμενον ἀποθανοῦσα, σώφρων δὲ καὶ μετ' ἐκεῖνον, ὥσπερ ὥρμησα, τὸν ἐμαυτῆς προεμένη βίον· ἐσωζόμην δ' ἄρα καὶ Πομπηΐῳ Μάγνῳ συμφορὰ γενέσθαι.“

LXXV. Ταῦτα εἰπεῖν τὴν Κορνηλίαν λέγουσι, τὸν δὲ Πομπήϊον ἀποκρίνασθαι· „Μίαν ἄρα, Κορνηλία, τύχην ᾔδεις τὴν ἀμείνονα, ἢ καὶ σὲ ἴσως ἐξηπάτησεν, ὅτι μοι χρόνον πλείονα τοῦ συνήθους παρέμεινεν. Ἀλλὰ καὶ ταῦτα δεῖ φέρειν γενομένους ἀνθρώπους καὶ τῆς τύχης ἔτι πειρατέον. Οὐ γὰρ ἀνέλπιστον ἐκ τούτων ἀναλαβεῖν ἐκεῖνα τὸν ἐξ ἐκείνων ἐν τούτοις γενόμενον.“ Ἡ μὲν οὖν γυνὴ μετεπέμπετο χρήματα καὶ θεράποντας ἐκ πόλεως· τῶν δὲ Μιτυληναίων τὸν Πομπήϊον ἀσπασαμένων καὶ παρακαλούντων εἰσελθεῖν εἰς τὴν πόλιν, οὐκ ἠθέλησεν, ἀλλὰ κἀκείνους ἐκέλευσε τῷ κρατοῦντι πείθεσθαι καὶ θαρρεῖν· εὐγνώμονα γὰρ εἶναι Καίσαρα καὶ χρηστόν. Αὐτὸς δὲ πρὸς Κράτιππον τραπόμενος τὸν φιλόσοφον (κατέβη γὰρ ἐκ τῆς πόλεως ὀψόμενος αὐτὸν), ἐμέμψατο καὶ συνδιεπόρησε βραχέα περὶ τῆς προνοίας, ὑποκατακλινομένου τοῦ Κρατίππου καὶ παράγοντος αὐτὸν ἐπὶ τὰς ἀμείνονας ἐλπίδας, ὅπως μὴ λυπηρὸς μηδὲ

4, 236—37 H.

13. καὶ — ἔμφρων om pr. A, margini add. m sec. 21. σὲ ia: σε v. 23. παρθενικὸν V. 24. καὶ μετ' AC 1676, 1677: μετ' v.
LXXV. 3. σὲ ia: σε v.

ἄκαιρος ἀντιλέγων εἴη. Ἐπεὶ τὸ μὲν ἐρέσθαι τὸν Πομπήϊον ἦν ὑπὲρ τῆς προνοίας, τὸν δ' ἀποφαίνεσθαι, ὅτι τοῖς πράγμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολιτείαν· ἐρέσθαι δέ· „Πῶς, ὦ Πομπήϊε, καὶ τίνι τεκμηρίῳ πεισθῶμεν, ὅτι βέλτιον ἂν σὺ τῇ τύχῃ Καίσαρος ἐχρήσω κρατήσας;“ Ἀλλὰ ταῦτα μὲν ἐατέον ὥσπερ ἔχει τὰ τῶν θεῶν.

LXXVI. Ἀναλαβὼν δὲ τὴν γυναῖκα καὶ τοὺς φίλους ἐκομίζετο προσίσχων ὅρμοις ἀναγκαίοις ὕδωρ ἢ ἀγορὰν ἔχουσιν. Εἰς δὲ πόλιν εἰσῆλθε πρώτην Ἀττάλειαν τῆς Παμφυλίας. Ἐνταῦθα δὲ αὐτῷ καὶ τριήρεις τινὲς ἀπήντησαν ἐκ Κιλικίας καὶ στρατιῶται συνελέγοντο καὶ τῶν συγκλητικῶν πάλιν ἑξήκοντα περὶ αὐτὸν ἦσαν. Ἀκούων δὲ καὶ τὸ ναυτικὸν ἔτι συνεστάναι καὶ Κάτωνα πολλοὺς στρατιώτας ἀνειληφότα περαιοῦν εἰς Λιβύην ὠδύρετο πρὸς τοὺς φίλους καταμεμφόμενος ἑαυτὸν ἐκβιασθέντα τῷ πεζῷ συμβαλεῖν, τῇ δὲ κρείττονι ἀδηρίτως δυνάμει πρὸς μηδὲν ἀποχρήσασθαι μηδὲ περιορμίσαι τὸ ναυτικόν, ὅπου κατὰ γῆν σφαλεὶς εὐθὺς ἂν εἶχεν ἀντίπαλον ἐκ θαλάττης παρεστῶσαν ἀλκὴν καὶ δύναμιν τοσαύτην. Οὐδὲν γὰρ ἁμάρτημα Πομπηΐου μεῖζον οὐδὲ δεινότερον στρατήγημα Καίσαρος ἢ τὸ τὴν μάχην οὕτω μακρὰν ἀποσπάσασθαι τῆς ναυτικῆς βοηθείας. Οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων κρίνειν τι καὶ πράττειν ἀναγκαζόμενος ἐπὶ τὰς πόλεις περιέπεμπε· τὰς δ' αὐτὸς περιπλέων ᾔτει χρήματα καὶ ναῦς ἐπλήρου. Τὴν δ' ὀξύτητα τοῦ πολεμίου καὶ τὸ

---

17. τὸν Πομπήϊον delet Schaeferus, ἐπεὶ ut ad ἀντιλέγων referatur hac sententia: ‚quum Pompeius talem expertus rerum conversionem dubitasset de providentia deorum, Cratippo licebat declarare —, adiuncta etiam interrogatione hac: Quibus tandem argumentis, Pompei, nobis persuadebis —?‘ sed hoc vel propter hiatum ferri non potest. τὸ μὲν — τὸ δὲ (tum-tum) Solanus, in quo acquiescere possis nisi gravior corruptela latet, quod videbatur Emperio sic coniicienti scribendum esse: ἐπεὶ τὸ μὲν ἐρέσθαι τὸν Πομπήϊον ἦν ὑπὲρ τῆς προνοίας, τὸ δὲ ἀποφαίνεσθαι· ἀποφαίνεσθαι μὲν ὅτι —.

LXXVI. 3. ἀτταλίαν S^{g}. τῆς om i. 9. τῷ addiderunt [A]CπV. immo τῇ κρείττονι δὲ. 11. περιορμίσαι Stephanus: περιορμῆσαι libri, malim παρορμίσαι Bryani. τῷ ναυτικῷ C. 13. οὐδὲν γὰρ S^{g}[A]CπSV: οὐδὲ γὰρ v. 15. ἀπυσπάσαι AC. 16. κρίνειν S^{g}ACi: κινεῖν v. 17. περιέπεμπε S^{g}ACSVx: παρέπεμπε v.

τάχος δεδοικὼς, μὴ προαναρπάσῃ τῆς παρασκευῆς αὐτὸν ἐπελθὼν, ἐσκόπει καταφυγὴν ἐπὶ τῷ παρόντι καὶ ἀναχώρησιν. Ἐπαρχία μὲν οὖν οὐδεμία φύξιμος ἐφαίνετο βουλευομένοις αὐτοῖς, τῶν δὲ βασιλειῶν αὐτὸς μὲν ἀπέφαινε τὴν Πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῷ παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς ἀσθενεῖς ὄντας αὖθίς τε ῥῶσαι καὶ πρὸ πέμψαι μετὰ πλείστης δυνάμεως· τῶν δ' ἄλλων οἱ μὲν εἰς Λιβύην καὶ Ἰόβαν ἔτρεπον τὴν γνώμην, Θεοφάνει δὲ τῷ Λεσβίῳ μανικὸν ἐδόκει τριῶν ἡμερῶν πλοῦν ἀπέχουσαν Αἴγυπτον ἀπολιπόντα καὶ Πτολεμαῖον, ἡλικίαν μὲν ἀντίπαιδα, φιλίας δὲ καὶ χάριτος πατρῴας ὑπόχρεων, Πάρθοις ὑποβα- 660
λεῖν ἑαυτὸν, ἀπιστοτάτῳ γένει, καὶ Ῥωμαίῳ μὲν ἀνδρὶ κηδεστῇ γενομένῳ τὰ δεύτερα λέγοντα πρῶτον εἶναι τῶν ἄλλων μὴ θέλειν μηδὲ πειρᾶσθαι τῆς ἐκείνου μετριότητος, Ἀρσάκην δὲ ποιεῖσθαι κύριον ἑαυτοῦ τὸν μηδὲ Κράσσου δυνηθέντα ζῶντος· καὶ γυναῖκα νέαν οἴκου τοῦ Σκηπίωνος εἰς βαρβάρους κομίζειν ὕβρει καὶ ἀκολασίᾳ τὴν ἐξουσίαν μετροῦντας, ᾗ, κἂν μὴ πάθῃ, δόξῃ δὲ παθεῖν, δεινόν ἐστιν ἐπὶ τοῖς ποιῆσαι δυναμένοις γενομένῃ. Τοῦτο μόνον, ὥς φασιν, ἀπέτρεψε τῆς ἐπὶ τὸν Εὐφράτην ὁδοῦ Πομπήϊον· εἰ δή τις ἔτι Πομπηΐου λογισμὸς, ἀλλ' οὐχὶ δαίμων ἐκείνην ὑφηγεῖτο τὴν ὁδόν.

LXXVII. Ὡς δ' οὖν ἑνίκα φεύγειν εἰς τὴν Αἴγυπτον, ἀναχθεὶς ἀπὸ Κύπρου Σελευκίδι τριήρει μετὰ τῆς γυναικὸς (τῶν δ' ἄλλων οἱ μὲν ἐν μακραῖς ὁμοίως ναυσὶν, οἱ δὲ ἐν ὁλκάσιν ἅμα συμπαρέπλεον), τὸ μὲν πέλαγος διεπέρασεν ἀσφαλῶς, πυθόμενος δὲ τὸν Πτολεμαῖον ἐν Πηλουσίῳ καθῆσθαι μετὰ στρατιᾶς πολεμοῦντα πρὸς τὴν ἀδελφὴν, ἐκεῖ κατέσχε προπέμψας τὸν φράσοντα τῷ βασιλεῖ καὶ δεησόμενον.

4, 238—39 H.

---

19. τάχος] θράσος C. 20. καταφυγεῖν — ἀναχωρήσειν i. 21. οὐδὲ μία S^5. φύξιμος qV 1677 ‚quaedam exempl.' Stephani: φυλάξιμος v. 26. θεοφάνῃ C. 28. ἀπολιπόντα Schaeferus: ἀπολιπόντας v. ἡλικίᾳ C. ἀντίποδα V. 29. ὑπόχρεω C. 31. νέμοντα x. 36. ᾗ Reiskius cum [C]: ἤ A, ἤ v. δόξει Aia, malim δόξαι γε Schaeferi, ᾖ κἂν μὴ πάθῃ, δόξῃ τοῦ παθεῖν δεινόν ἐστιν ἰδεῖν ἐπὶ τοῖς Muretus. 37. γενομένῃ Reiskius cum [C]: γενομένη corr. Ai, γενομένην v. ἀπέτρεψεν ὥς φασι C. ἀπέστρεψε V. 38. ἔτι] ἔστι i.

LXXVII. 6. στρατιᾶς Stephanus: στρατείας libri.

Ὁ μὲν οὖν Πτολεμαῖος ἦν κομιδῇ νέος· ὁ δὲ πάντα διέπων τὰ πράγματα Ποθεινὸς ἤθροισε βουλὴν τῶν δυνατωτάτων· ἐδύναντο δὲ μέγιστον οὓς ἐκεῖνος ἐβούλετο· καὶ λέγειν ἐκέλευσεν ἣν ἔχει γνώμην ἕκαστος. Ἦν οὖν δεινὸν περὶ Πομπηΐου Μάγνου βουλεύεσθαι Ποθεινὸν τὸν εὐνοῦχον καὶ Θεόδοτον τὸν Χῖον ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλον ἀνειλημμένον καὶ τὸν Αἰγύπτιον Ἀχιλλᾶν. Κορυφαιότατοι γὰρ ἦσαν ἐν κατευνασταῖς καὶ τιθηνοῖς τοῖς ἄλλοις οὗτοι σύμβουλοι. Καὶ τοιούτου δικαστηρίου ψῆφον Πομπήϊος ἐπ' ἀγκυρῶν πρόσω τῆς χώρας ἀποσαλεύων περιέμενεν, ὃν Καίσαρι σωτηρίας χάριν οὐκ ἦν ἄξιον ὀφείλειν. Τῶν μὲν οὖν ἄλλων τοσοῦτον αἱ γνῶμαι διέστησαν, ὅσον οἱ μὲν ἀπελαύνειν ἐκέλευον, οἱ δὲ καλεῖν καὶ δέχεσθαι τὸν ἄνδρα· Θεόδοτος δὲ δεινότητα λόγου καὶ ῥητορείαν ἐπιδεικνύμενος οὐδέτερον ἀπέφηνεν ἀσφαλές, ἀλλὰ δεξαμένους μὲν ἔξειν Καίσαρα πολέμιον καὶ δεσπότην Πομπήϊον, ἀπωσαμένους δὲ καὶ Πομπηΐῳ τῆς ἐκβολῆς ὑπαιτίους ἔσεσθαι καὶ Καίσαρι τῆς διώξεως· κράτιστον οὖν εἶναι μετάπεμψαμένους ἀνελεῖν τὸν ἄνδρα· καὶ γὰρ ἐκείνῳ χαριεῖσθαι καὶ τοῦτον οὐ φοβήσεσθαι. Προσεπεῖπε δὲ διαμειδιάσας, ὥς φασιν, ὅτι νεκρὸς οὐ δάκνει.

LXXVIII. Ταῦτα κυρώσαντες ἐπ' Ἀχιλλᾷ ποιοῦνται τὴν πρᾶξιν. Ὁ δὲ Σεπτίμιόν τινα πάλαι γεγονότα Πομπηΐου ταξίαρχον παραλαβὼν καὶ Σάλβιον ἕτερον ἑκατοντάρχην καὶ τρεῖς ἢ τέτταρας ὑπηρέτας ἀνήχθη πρὸς τὴν Πομπηΐου ναῦν. Ἔτυχον δὲ πάντες εἰς αὐτὴν οἱ δοκιμώτατοι τῶν συμπλεόντων ἐμβεβηκότες, ὅπως εἰδεῖεν τὸ πραττόμενον. Ὡς οὖν εἶδον οὐ βασιλικὴν οὐδὲ λαμπρὰν οὐδὲ ταῖς Θεοφάνους ἐλπίσιν ὁμοίαν ὑποδοχήν, ἀλλ' ἐπὶ μιᾶς ἀλιάδος προσπλέοντας ὀλίγους ἀνθρώπους, ὑπείδοντο τὴν ὀλιγωρίαν καὶ τῷ Πομπηΐῳ παρῄνουν εἰς πέλαγος ἀνακρούεσθαι τὴν ναῦν, ἕως ἔξω βέλους εἰσίν. Ἐν τούτῳ δὲ πελαζούσης τῆς ἀλιάδος φθάσας ὁ Σεπτίμιος ἐξανέστη καὶ Ῥωμαϊστὶ τὸν Πομπήϊον αὐτοκράτορα

4, 239—41 H.

---

9. *Φωτῖνος* x ut suspicor ex corrupta scriptura Caesaris b. c. 3, 108. *δυνατωτάτων* S^g[A]C: *δεινοτάτων* v. 24. *διώσεως* AC 1676, 1677 ia. 27. *προσέπιπτε* i.

LXXVIII. 5. *αὐτὴν* Stephanus cum [S^g]: *αὐτὸν* ceteri. 6. *ἴδοιεν* malit Schaeferus.

προσηγόρευσεν. Ὁ δὲ Ἀχιλλᾶς ἀσπασάμενος αὐτὸν Ἑλληνιστὶ παρεκάλει μετελθεῖν εἰς τὴν ἁλιάδα· τέναγος γὰρ εἶναι πολὺ καὶ βάθος οὐκ ἔχειν πλοῖμον τριήρει τὴν θάλατταν ὑπόψαμμον οὖσαν. Ἅμα δὲ καὶ ναῦς τινες ἐωρῶντο τῶν βασιλικῶν πληρούμεναι καὶ τὸν αἰγιαλὸν ὁπλῖται κατεῖχον, ὥστ' ἄφυκτα καὶ μεταβαλλομένοις ἐφαίνετο καὶ προσῆν τὸ διδόναι τοῖς φονεῦσι τὴν ἀπιστίαν αὐτὴν τῆς ἀδικίας ἀπολογίαν. Ἀσπασάμενος οὖν τὴν Κορνηλίαν προαποθρηνοῦσαν αὐτοῦ 661
τὸ τέλος καὶ δύο ἑκατοντάρχας προεμβῆναι κελεύσας καὶ τῶν ἀπελευθέρων ἕνα Φίλιππον καὶ θεράποντα Σκύθην ὄνομα, δεξιουμένων αὐτὸν ἤδη τῶν περὶ τὸν Ἀχιλλᾶν ἐκ τῆς ἁλιάδος, μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν εἶπε Σοφοκλέους ἰαμβεῖα·

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

LXXIX. Ταῦτα δ' ἔσχατα πρὸς τοὺς ἑαυτοῦ φθεγξάμενος ἐνέβη· καὶ συχνοῦ διαστήματος ὄντος ἐπὶ τὴν γῆν ἀπὸ τῆς τριήρους, ὡς οὐδεὶς παρὰ τῶν συμπλεόντων ἐγίνετο λόγος φιλάνθρωπος πρὸς αὐτὸν, ἀποβλέψας εἰς τὸν Σεπτίμιον „Οὐ δή πού σε" εἶπεν „ἐγὼ γεγονότα συστρατιώτην ἐμὸν ἀμφιγνοῶ;" κἀκεῖνος ἐπένευσε τῇ κεφαλῇ μόνον οὐδὲν προσειπὼν οὐδὲ φιλοφρονηθείς. Πολλῆς οὖν πάλιν οὔσης σιωπῆς ὁ Πομπήϊος ἔχων ἐν βιβλίῳ μικρῷ γεγραμμένον ὑπ' αὐτοῦ λόγον Ἑλληνικὸν, ᾧ παρεσκεύαστο χρῆσθαι πρὸς τὸν Πτολεμαῖον, ἀνεγίνωσκεν. Ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν Κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρους περιπαθὴς οὖσα τὸ μέλλον ἀπεσκοπεῖτο καὶ θαρρεῖν ἤρχετο πολλοὺς ὁρῶσα πρὸς τὴν ἀπόβασιν τῶν βασιλικῶν οἷον ἐπὶ τιμῇ καὶ δεξιώσει

4, 241—42 H.

---

15. πλῴμον C et Zonaras p. 129 cum Schaefero cl. Lobeckio ad Phryn. p. 615. sic Sull. 20 mor. 852 c. sed πλόϊμος 676 a. τριήρη S^g. 16. ναῦς S^gACi cl. Dion. 25 Lobeckio ad Phryn. p. 170: νῆες v. 18. τῷ διδόναι A. 21. ἑκατοντάρχους Zonaras. 22. σκύθην S^gV Zonaras: σκύνην Aia, σκύην CV, Σκήνην v. 23. τὸν addiderunt AC. 24. ἀποστραφεὶς 1676, 1677. 25. fr. incert. LIV. 26. ὅστις ia. ἐκπορεύεται V. 27. μολῇ ia.

LXXIX. 1. δεξάμενος C. 3. περὶ τῶν ia. ἐγένετο C. 12. ἀπεσκοπεῖτο S^g[A]C: ἐπεσκοπεῖτο v. ἤρετο libri, corrigebat Stephanus x aliique. Xylander ‚animum recipere coeperat.'

συνερχομένους. Ἐν τούτῳ δὲ τὸν Πομπήϊον τῆς τοῦ Φιλίππου λαμβανόμενον χειρὸς, ὅπως ῥᾷον ἐξαναστήῃ, Σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτον, εἶτα Σάλβιος μετ' ἐκεῖνον, εἶτα Ἀχιλλᾶς ἐσπάσαντο τὰς μαχαίρας. Ὁ δὲ ταῖς χερσὶν ἀμφοτέραις τὴν τήβεννον ἐφελκυσάμενος κατὰ τοῦ προσώπου μηδὲν εἰπὼν ἀνάξιον ἑαυτοῦ μηδὲ ποιήσας, ἀλλὰ στενάξας μόνον ἐνεκαρτέρησε ταῖς πληγαῖς, ἑξήκοντα μὲν ἐνὸς δέοντος βεβιωκὼς ἔτη, μιᾷ δ' ὕστερον ἡμέρᾳ τῆς γενεθλίου τελευτήσας τὸν βίον.

LXXX. *Οἱ δ' ἀπὸ τῶν νεῶν ὡς ἐθεάσαντο τὸν φόνον, οἰμωγὴν ἐξάκουστον ἄχρι τῆς γῆς ἐκχέαντες ἔφυγον ἀράμενοι τὰς ἀγκύρας κατὰ τάχος. Καὶ πνεῦμα λαμπρὸν ἐβοήθει πελαγίοις ὑπεκθέουσιν, ὥστε βουλομένους διώκειν ἀποτραπέσθαι τοὺς Αἰγυπτίους. Τοῦ δὲ Πομπηΐου τὴν μὲν κεφαλὴν ἀποτέμνουσι, τὸ δὲ ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος τοῖς δεομένοις τοιούτου θεάματος ἀπέλιπον. Παρέμεινε δὲ αὐτῷ Φιλιππος, ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως· εἶτα περιλούσας τῇ θαλάσσῃ τὸ σῶμα καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτοῦ περιστείλας, ἄλλο δὲ οὐδὲν ἔχων, ἀλλὰ περισκοπῶν τὸν αἰγιαλὸν εὗρε μικρᾶς ἁλιάδος λείψανα, παλαιὰ μὲν, ἀρκοῦντα δὲ νεκρῷ γυμνῷ καὶ οὐδὲ ὅλῳ πυρκαϊὰν ἀναγκαίαν*

4, 242—43 H.

---

14. *τῆς τοῦ* Stephanus cum [S^g]: legebatur *τῆς*. 15. *ἐξανάστη* S^g. 16. *πρῶτος* 1676, 1677 V, sed cf. Aristid. 19, 1. Philop. 8, 9. Lys. 18, 13. 21, 7. Cat. min. 32. 57 all. 17. *ἐπεσπάσαντο* S^g. 18. *τίβεννον* S^g. 21. *δέοντα* Zonaras requiritque constans scriptoris usus, cuius loci hi sunt: Fab. Max. 14 *μυριάδες γὰρ ἐννέα δισχιλίων ἀνδρῶν δέουσαι*. Aem. P. 33 *πλῆθος ἦν τῶν ἀγγείων ὀγδοήκοντα τριῶν δέοντα*. Pelopid. 9 *πεντήκοντα δυεῖν δέοντες*. Marc. 29 *εἴκοσι δυεῖν δέοντες*. Lucull. 37 *ἑπτὰ νομίσματος ἀργυροῦ μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας*. Crass. 8 *ὀγδοήκοντα δυεῖν δέοντες*. Pomp. 45 *πόλεις δ' οὐ πολὺ τῶν ἐνακοσίων ἀποδέουσαι*. Alex. 36 *ἐξ ἐτῶν δέκα δεόντων διακοσίων*. Caes. 2 *ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεούσαις*. ibid. 18 *εἴκοσι δ' αἱ μαχόμεναι (μυριάδες) μιᾶς δέουσαι*. Cat. min. 73 *ἔτη δυεῖν δέοντα βεβιωκώς*. Demosth. 15 *δυοῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονώς*. Demetr. 19 *ἦν — μικρὸν ἀπολείποντα γεγονὼς ἔτη ὀγδοήκοντα*. ibid. 43 *ὕψος — πεντήκοντα δυοῖν δεόντων*. Anton. 86 *ἑνὸς δέοντα τεσσαράκοντα ἔτη βιώσασα*. mor. 892 c *ἐν τοῖς ἑξήκοντα ἑνὸς δέουσιν*. 909 b *τελειοῦσθαι — ἀπὸ πεντηκοστῆς μιᾶς δεούσης*. *ἡμέρᾳ* addidit Stephanus cum [S^g].

LXXX. 2. *μέχρι* V.

παρασχεῖν. Ταῦτα συγκομίζοντος αὐτοῦ καὶ συντιθέντος ἐπιστὰς ἀνὴρ Ῥωμαῖος ἤδη γέρων, τὰς δὲ πρώτας στρατείας ἔτι νέος Πομπηίῳ συνεστρατευμένος „Τίς ὢν, ὦ ἄνθρωπε“ ἔφη „θάπτειν διανοῇ Μάγνον Πομπήϊον;“ Ἐκείνου δὲ φήσαντος, ὡς ἀπελεύθερος· „Ἀλλ᾽ οὐ μόνῳ σοὶ“ ἔφη „τοῦτο τὸ καλὸν ὑπάρξει· κἀμὲ δὲ ὥσπερ εὐρήματος εὐσεβοῦς δέξαι κοινωνὸν, ὡς μὴ κατὰ πάντα μέμφωμαι τὴν ἀποξένωσιν ἀντὶ πολλῶν ἀνιαρῶν τοῦτο γοῦν εὑράμενος, ἄψασθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ τὸν μέγιστον αὐτοκράτορα Ῥωμαίων.“ Οὕτω μὲν ἐκηδεύετο Πομπήϊος. Τῇ δ᾽ ὑστεραίᾳ Λεύκιος Λέντλος οὐκ εἰδὼς τὰ πεπραγμένα πλέων ἀπὸ Κύπρου καὶ παρὰ γῆν κομιζόμενος, ὡς εἶδε νεκροῦ πυρὰν καὶ παρεστῶτα τὸν Φίλιππον, οὔπω καθορώμενος· „Τίς ἄρα“ ἔφη „τὸ πεπρωμένον ἐνταῦθα τελέσας ἀναπέπαυται;“ καὶ μικρὸν διαλιπὼν καὶ στενάξας „Τάχα δὲ“ εἶπε „σὺ, Πομπήϊε Μάγνε.“ Καὶ μετὰ μικρὸν ἀποβὰς καὶ συλληφθεὶς ἀπέθανε. Τοῦτο Πομπηίου τέλος. Οὐ πολλῷ δὲ ὕστερον Καῖσαρ ἐλθὼν εἰς Αἴγυπτον ἄγους τοσούτου καταπεπλησμένην τὸν μὲν προσ- 662
φέροντα τὴν κεφαλὴν ὡς παλαμναῖον ἀπεστράφη, τὴν δὲ σφραγῖδα τοῦ Πομπηίου δεξάμενος ἐδάκρυσεν· ἦν δὲ γλυφὴ λέων ξιφήρης. Ἀχιλλᾶν δὲ καὶ Ποθεινὸν ἀπέσφαξεν· αὐτὸς δὲ ὁ βασιλεὺς μάχῃ λειφθεὶς περὶ τὸν ποταμὸν ἠφανίσθη. Θεόδοτον δὲ τὸν σοφιστὴν ἡ μὲν ἐκ Καίσαρος δίκη παρῆλθε· φυγὼν γὰρ Αἴγυπτον ἐπλανᾶτο ταπεινὰ πράττων καὶ μισούμενος· Βροῦτος δὲ Μάρκος, ὅτε Καίσαρα κτείνας ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ καὶ πᾶσαν αἰκίαν αἰκισάμενος ἀπέκτεινε. Τὰ δὲ λείψανα τοῦ Πομπηίου Κορνηλία δεξαμένη κομισθέντα περὶ τὸν Ἄλβανὸν ἔθηκεν.

4, 243—44 H.

---

15. *νέῳ* Zonaras p. 130 qui et *συστρατευσάμενος*. 19. *μέμφομαι* S^{g}. 25. *καθορώμενος* Reiskius: *καθορώμενον* libri. 30. *ἄγους τοσούτου καταπεπλησμένην* Emperius observ. in Dion. Chrys. p. 11: *αὔγουστος* (*αὔγουστον* C) *οὕτω καταπεπληγμένην* S^{g}ACi, *οὕτω καταπεπληγμένην* a et v. emendationi comparo Dionis Cass. 42, 3 *ἐκ τούτου προστρόπαιον καὶ ἑαυτοῖς καὶ τῇ Αἰγύπτῳ πάσῃ προσέθεντο*. 33. *λέων*] *λέξεων* i. 34. *ὁ βασιλεὺς* post *λειφθεὶς* v posita transposuit S^{g}. *λειφθεὶς* Solani 1676: *ληφθεὶς* v, cf. Caes. 49. *παρὰ τὸν* AC. 37. *ὅτε*] *ὁ τὸν* Coraes. 40. *περὶ τὸ* corrigebat Stephanus probatum nuperis. sed *περὶ τὸν Ἄλβανὸν* etiam Cicer. 31 quod quo modo intelligendum sit sequens docet *ἀνέβη*.

ΑΓΗΣΙΛΑΟΥ ΚΑΙ ΠΟΜΠΗΙΟΥ ΣΥΓΚΡΙΣΙΣ.

I. Ἐκκειμένων οὖν τῶν βίων ἐπιδράμωμεν τῷ λόγῳ ταχέως τὰ ποιοῦντα τὰς διαφορὰς παράλληλα συνάγοντες. Ἔστι δὲ ταῦτα· πρῶτον, ὅτι Πομπήϊος ἐκ τοῦ δικαιοτάτου τρόπου παρῆλθεν εἰς δύναμιν καὶ δόξαν αὐτὸς ὁρμηθεὶς ἀφ' ἑαυτοῦ καὶ πολλὰ καὶ μεγάλα Σύλλᾳ τὴν Ἰταλίαν ἀπὸ τῶν τυράννων ἐλευθεροῦντι συγκατεργασάμενος, Ἀγησίλαος δὲ τὴν βασιλείαν ἔδοξε λαβεῖν οὔτε τὰ πρὸς θεοὺς ἄμεμπτος οὔτε τὰ πρὸς ἀνθρώπους, κρίνας νοθείας Λεωτυχίδην, ὃν υἱὸν αὐτοῦ ἀπέδειξεν ὁ ἀδελφὸς γνήσιον, τὸν δὲ χρησμὸν κατειρωνευσάμενος τὸν περὶ τῆς χωλότητος. Δεύτερον, ὅτι Πομπήϊος Σύλλαν καὶ ζῶντα τιμῶν διετέλεσε καὶ τεθνηκότος ἐκήδευσε βιασάμενος Λέπιδον τὸ σῶμα καὶ τῷ παιδὶ Φαύστῳ τὴν αὐτοῦ θυγατέρα συνῴκισεν, Ἀγησίλαος δὲ Λύσανδρον ἐκ τῆς τυχούσης προφάσεως ὑπεξέῤῥιψε καὶ καθύβρισε. Καίτοι Σύλλας μὲν οὐκ ἐλαττόνων ἔτυχεν ἢ Πομπηΐῳ παρέσχεν, Ἀγησίλαον δὲ Λύσανδρος καὶ τῆς Σπάρτης βασιλέα καὶ τῆς Ἑλλάδος στρατηγὸν ἐποίησε. Τρίτον δὲ αἱ περὶ τὰ πολιτικὰ τῶν δικαίων παραβάσεις Πομπηΐῳ μὲν δι' οἰκειότητας ἐγένοντο· τὰ γὰρ πλεῖστα Καίσαρι καὶ Σκηπίωνι συνεξήμαρτε κηδεσταῖς οὖσιν· Ἀγησίλαος δὲ Σφοδρίαν μὲν ἐφ' οἷς Ἀθηναίους ἠδίκησεν ἀποθανεῖν ὀφείλοντα τῷ τοῦ παιδὸς ἔρωτι χαριζόμενος ἐξήρπασε, Φοιβίδᾳ δὲ Θηβαίους παρασπονδήσαντι δῆλος ἦν δι' αὐτὸ τὸ ἀδίκημα προθύμως βοηθῶν. Κα-

---

inscriptionem addidi Corais.

I. 2. παρ' ἄλληλα Coraes. 8. αὐτοῦ ἀπέδειξεν ferri non potest. num γνήσιον post αὐτοῦ transponendum? 11. τεθνηκότα V. 12. αὐτοῦ S^g: ἑαυτοῦ v. 17. πολιτικὰ Coraes: πολιτικὰ καὶ libri. 20. οὖσαις C. 22. Θηβαίοις ACia.

θόλου δὲ ὅσα Ῥωμαίους δι' αἰδῶ Πομπήϊος ἢ ἄγνοιαν αἰτίαν ἔσχε βλάψαι, ταῦτα θυμῷ καὶ φιλονεικίᾳ Λακεδαιμονίους Ἀγησίλαος ἔβλαψε τὸν Βοιώτιον ἐκκαύσας πόλεμον.

II. Εἰ δὲ καὶ τύχην τινὰ τῶν ἀνδρῶν ἑκατέρου τοῖς σφάλμασι προσοιστέον, ἀνέλπιστος μὲν ἡ Πομπηΐου Ῥωμαίοις, Ἀγησίλαος δὲ Λακεδαιμονίους ἀκούοντας καὶ προειδότας οὐκ εἴασε φυλάξασθαι τὴν χωλὴν βασιλείαν. Καὶ γὰρ εἰ μυριάκις ἠλέγχθη Λεωτυχίδης ἀλλότριος εἶναι καὶ νόθος, οὐκ ἂν ἠπόρησαν Εὐρυπωντίδαι γνήσιον καὶ ἀρτίποδα τῇ Σπάρτῃ βασιλέα παρασχεῖν, εἰ μὴ δι' Ἀγησίλαον ἐπεσκότησε τῷ χρησμῷ Λύσανδρος. Οἷον μὲν τῇ περὶ τῶν τρεσάντων ἀπορίᾳ προσήγαγεν ὁ Ἀγησίλαος ἅμα μετὰ τὴν ἐν Λεύκτροις ἀτυχίαν κελεύσας τοὺς νόμους ἐκείνην τὴν ἡμέραν καθεύδειν, οὐ γέγονεν ἄλλο σόφισμα πολιτικὸν οὐδ' ἔχομέν τι τοῦ Πομπηΐου παραπλήσιον, ἀλλὰ τοὐναντίον οὐδ' οἷς αὐτὸς ἐτίθει νόμοις ᾤετο δεῖν ἐμμένειν τὸ δύνασθαι μέγα τοῖς φίλοις ἐνδεικνύμενος. Ὁ δὲ εἰς ἀνάγκην καταστὰς τοῦ λῦσαι τοὺς νόμους ἐπὶ τῷ σῶσαι τοὺς πολίτας ἐξεῦρε τρόπον, ᾧ μήτε ἐκείνους βλάψουσι μήτε ὅπως οὐ βλάψωσι λυθήσονται. Τίθεμαι δὲ κἀκεῖνο τὸ ἀμίμητον ἔργον εἰς πολιτικὴν ἀρετὴν τοῦ Ἀγησιλάου, τὸ δεξάμενον τὴν σκυτάλην ἀπολιπεῖν τὰς ἐν Ἀσίᾳ πράξεις. Οὐ γὰρ, ὡς Πομπήϊος, ἀφ' ὧν ἑαυτὸν ἐποίει μέγαν ὠφέλει τὸ κοινὸν, ἀλλὰ τὸ τῆς πατρίδος σκοπῶν 663
τηλικαύτην ἀφῆκε δύναμιν καὶ δόξαν, ἡλίκην οὐδεὶς πρότερον οὐδὲ ὕστερον πλὴν Ἀλέξανδρος ἔσχεν.

III. Ἀπ' ἄλλης τοίνυν ἀρχῆς, ἐν ταῖς στρατηγίαις καὶ τοῖς πολεμικοῖς ἀριθμῷ μὲν τροπαίων καὶ μεγέθει δυνάμεων, ἃς ἐπηγάγετο Πομπήϊος, καὶ πλήθει παρατάξεων, ἃς ἐνίκησεν, οὐδ' ἂν ὁ Ξενοφῶν μοι δοκεῖ παραβαλεῖν τὰς Ἀγησιλάου

4, 245—47 H.

II. 2. *ἀνέλπιστον* S^{g}. *μὲν ἦν ἡ* Schaeferus, sed cf. praef. Themist. p. 45. 6. *ἠπόρησαν* Xylander x aliique: *ἠπόρησεν* libri. *Εὐρυπωντίδαι* Valckenarius in Herodoti 8, 131: *Εὐρυτιωνίδαι* Amiotus Xylander, *εὐρυτίωνι δὲ* libri. *ἀρτίπαιδα* i. 7. *βασιλείᾳ* S^{g}. *παρασχεῖν* vel *παρέχειν* Xylander x aliique: *παρέσχεν* libri. 8. *μὲν*] *μέντοι* Reiskii nuperi. 9. *ὁ* om S^{g}AC. *ἅμα* x secundum Amioti ‚sage invention' vel Xylandri ‚consilium': *ἅμα* libri. 13. *δεῖν μέγα τὸ δύνασθαι ἐμμένειν τοῖς φίλοις* i. 15. *ἐπὶ τὸ* S^{g}. 16. *ἐκείνους βλάψωσι* C.

III. 3. *ἐπηγάγετο*] cf. ad Pomp. 45. 4. *δοκεῖ* Corais C: *δοκῇ* v.

νίκας, ᾧ διὰ τἆλλα καλὰ καθάπερ γέρας ἐξαίρετον δέδοται καὶ γράφειν ὃ βούλοιτο καὶ λέγειν περὶ τοῦ ἀνδρός. Οἶμαι δὲ καὶ τῇ πρὸς τοὺς πολεμίους ἐπιεικείᾳ διαφέρειν τὸν ἄνδρα τοῦ ἀνδρός. Ὁ μὲν γὰρ ἀνδραποδίσασθαι Θήβας καὶ Μεσσήνην ἐξοικίσασθαι βουλόμενος, ἣν μὲν ὁμόκληρον τῆς πατρίδος, ἣν δὲ μητρόπολιν τοῦ γένους, παρ' οὐδὲν ἦλθε τὴν Σπάρτην ἀποβαλεῖν· ἀπέβαλε δὲ τὴν ἡγεμονίαν· ὁ δὲ καὶ τῶν πειρατῶν τοῖς μεταβαλομένοις πόλεις ἔδωκε καὶ Τιγράνην τὸν Ἀρμενίων βασιλέα γενόμενον ἐφ' ἑαυτῷ θριαμβεῦσαι σύμμαχον ἐποιήσατο φήσας ἡμέρας μιᾶς αἰῶνα προτιμᾶν. Εἰ μέντοι τοῖς μεγίστοις καὶ κυριωτάτοις εἰς τὰ ὅπλα πράγμασι καὶ λογισμοῖς προστίθεται πρωτεῖον ἀρετῆς ἀνδρὸς ἡγεμόνος, οὐ μικρὸν ὁ Λάκων τὸν Ῥωμαῖον ἀπολέλοιπε. Πρῶτον μὲν γὰρ οὐ προήκατο τὴν πόλιν οὐδ' ἐξέλιπεν ἑπτὰ μυριάσι στρατοῦ τῶν πολεμίων ἐμβαλόντων ὀλίγους ἔχων ὁπλίτας καὶ προνενικημένους ἐν Λεύκτροις· Πομπήϊος δὲ, πεντακισχιλίοις μόνοις καὶ τριακοσίοις μίαν Καίσαρος πόλιν Ἰταλικὴν καταλαβόντος, ἐξέπεσε τῆς Ῥώμης ὑπὸ δέους ἢ τοσούτοις εἴξας ἀγεννῶς ἢ πλείονας ψευδῶς εἰκάσας· καὶ συσκευασάμενος τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ, τὰς δὲ τῶν ἄλλων πολιτῶν ἐρήμους ἀπολιπὼν ἔφυγε, δέον ἢ κρατεῖν μαχόμενον ὑπὲρ τῆς πατρίδος ἢ δέχεσθαι διαλύσεις παρὰ τοῦ κρείττονος· ἦν γὰρ πολίτης καὶ οἰκεῖος νῦν δὲ ᾧ στρατηγίας χρόνον ἐπιμετρῆσαι καὶ ὑπατείαν ψηφίσασθαι δεινὸν ἡγεῖτο, τούτῳ παρέσχε λαβόντι τὴν πόλιν εἰπεῖν πρὸς Μέτελλον, ὅτι κἀκεῖνον αἰχμάλωτον αὐτοῦ νομίζει καὶ τοὺς ἄλλους ἅπαντας.

IV. Ὅ τοίνυν ἔργον ἐστὶν ἀγαθοῦ στρατηγοῦ μάλιστα, κρείττονα μὲν ὄντα βιάσασθαι τοὺς πολεμίους μάχεσθαι, λειπόμενον δὲ δυνάμει μὴ βιασθῆναι, τοῦτο ποιῶν Ἀγησί-

4, 247—48 H.

---

6. οἶμαι — ἀνδρὸς om C. 8. μεσήνην C. 9. ἐξοικίσασθαι vide ne ortum sit ex praegressa terminatione, Plutarchus ut ἐξοικίσαι scripserit. ὁμόκληρον Solanus: ὁλόκληρον libri. 12. μεταβαλομένοις Corais C: μεταβαλλομένοις v. 13. τὸν Corais C: τῶν v. 14. φήσας Reiskii Cπ: καὶ φήσας v. 15. εἰ] ἐν i. nonne εἰς τὰ ὅλα? 16. ἀρετὴ x noli probare cum nuperis. 25. ἀπολιπὼν om libri praeter a.

IV. 2. ὄντα Reiskius: τὸ libri. βιάζεσθαι C. 3. λιπόμενον Sε.

λαος ἀεὶ διεφύλαξεν ἑαυτὸν ἀνίκητον· Πομπήϊον δὲ Καῖσαρ, οὗ μὲν ἦν ἐλάττων, διέφυγε μὴ βλαβῆναι, καθὸ δὲ κρείττων ἦν, ἠνάγκασεν ἀγωνισάμενον τῷ πεζῷ περὶ πάντων σφαλῆναι, καὶ κύριος εὐθὺς ἦν χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης, ἀφ' ὧν διεπέπρακτο ἂν ἄνευ μάχης ἐκείνοις προσόντων. Τὸ δ' ὑπὲρ τούτων ἀπολόγημα μέγιστόν ἐστιν ἔγκλημα στρατηγοῦ τηλικούτου. Νέον μὲν γὰρ ἄρχοντα θορύβοις καὶ καταβοήσεσιν εἰς μαλακίαν καὶ δειλίαν ἐπιταραχθέντα τῶν ἀσφαλεστάτων ἐκπεσεῖν λογισμῶν εἰκός ἐστι καὶ συγγνωστόν· Πομπήϊον δὲ Μάγνον, οὗ Ῥωμαῖοι τὸ μὲν στρατόπεδον πατρίδα, σύγκλητον δὲ τὴν σκηνὴν, ἀποστάτας δὲ καὶ προδότας τοὺς ἐν Ῥώμῃ πολιτευομένους καὶ στρατηγοῦντας καὶ ὑπατεύοντας ἐκάλουν, ἀρχόμενον δὲ ὑπ' οὐδενὸς ἔγνωσαν, πάσας δὲ αὐτοκράτορα στρατευσάμενον ἄριστα τὰς στρατείας, τίς ἂν ἀνάσχοιτο τοῖς Φαωνίου σκώμμασι καὶ Δομιτίου, καὶ ἵνα μὴ Ἀγαμέμνων λέγηται, παρ' ἐλάχιστον ἐκβιασθέντα τὸν περὶ τῆς ἡγεμονίας καὶ ἐλευθερίας ἀναρρῖψαι κίνδυνον; ὃς εἰ μόνον ἐσκόπει τὸ παρ' ἡμέραν ἄδοξον, ὤφειλεν ἀντιστὰς ἐν ἀρχῇ διαγωνίσασθαι περὶ τῆς Ῥώμης, ἀλλὰ μὴ τὴν φυγὴν ἐκείνην ἀποφαίνων στρατήγημα Θεμιστόκλειον ὕστερον ἐν αἰσχρῷ τίθεσθαι τὴν ἐν Θετταλίᾳ πρὸ μάχης διατριβήν. Οὐ γὰρ ἐκεῖνό γε στάδιον αὐτοῖς καὶ θέατρον ἐναγωνίσασθαι περὶ τῆς ἡγεμονίας ὁ θεὸς ἀπέδειξε τὸ Φαρσάλιον πεδίον, οὐδὲ ὑπὸ κήρυκος ἐκαλεῖτο μάχεσθαι κατιὼν ἢ λιπεῖν ἑτέρῳ τὸν στέφανον, ἀλλὰ πολλὰ μὲν πεδία, μυρίας δὲ πόλεις καὶ γῆν ἄπλετον ἡ κατὰ θάλατταν εὐπορία παρέσχε βουλομένῳ μιμεῖσθαι Μάξιμον καὶ Μάριον καὶ Λεύκολλον καὶ αὐτὸν Ἀγησίλαον, ὃς οὐκ ἐλάττονας μὲν ἐν Σπάρτῃ θορύβους ὑπέμεινε βουλομένων Θηβαίοις ὑπὲρ τῆς χώρας μάχεσθαι, πολλὰς δ' ἐν Αἰγύπτῳ διαβολὰς καὶ κατηγορίας καὶ ὑπονοίας τοῦ βασιλέως ἤνεγκεν ἡσυχίαν ἄγειν κελεύων, χρησάμενος δὲ τοῖς ἀρίστοις ὡς ἐβούλετο λογισμοῖς, οὐ μόνον Αἰγυπτίους

664

4, 248—50 H.

---

5. κρεῖττον ia. 8. διεπέπρακτ' ἂν Reiskius: διεπέπρακτο libri. ἐκείνης S^g. 18. ἂν addebat Coraes. 20. ἀναρρῖψαι Schaeferus: ἀναρρίψαι v. 24. διατριβὴν] διαγωγὴν C. 28. δὲ om S^gAi. 29. ἄπλετον S^g 1676, 1677: ἅπασαν v. 32. Θηβαίοις Solanus: Θηβαίων libri. 33. καὶ ὑπονοίας 1676, 1677 cod. Stephani (‚legitur etiam') Amiotus x cl. Agesil. 38. 39: ὑπ' ἀνοίας v.

ἄκοντας ἔσωσεν οὐδὲ τὴν Σπάρτην ἐν τοσούτῳ σεισμῷ μόνος ὀρθὴν ἀεὶ διεφύλαξεν, ἀλλὰ καὶ τρόπαιον ἔστησε κατὰ Θηβαίων ἐν τῇ πόλει τὸ νικῆσαι παρασχὼν αὖθις ἐκ τοῦ τότε μὴ προαπολέσθαι βιασαμένους. Ὅθεν Ἀγησίλαος μὲν ὑπὸ τῶν βιασθέντων ὕστερον ἐπῃνεῖτο σωθέντων, Πομπήϊος δὲ δι' ἄλλους ἁμαρτὼν αὐτοὺς, οἷς ἐπείσθη, κατηγόρους εἶχε. Καίτοι φασί τινες, ὡς ὑπὸ τοῦ πενθεροῦ Σκηπίωνος ἐξηπατήθη· τὰ γὰρ πλεῖστα τῶν χρημάτων ὧν ἐκόμιζεν ἐξ Ἀσίας βουλόμενον αὐτὸν νοσφίσασθαι καὶ ἀποκρύψαντα κατεπεῖξαι τὴν μάχην, ὡς οὐκέτι χρημάτων ὄντων. Ὃ κἂν ἀληθὲς ἦν, παθεῖν οὐκ ὤφειλεν ὁ στρατηγὸς οὐδὲ ῥᾳδίως οὕτω παραλογισθεὶς ἀποκινδυνεῦσαι περὶ τῶν μεγίστων. Ἐν μὲν οὖν τούτοις οὕτως ἑκάτερον ἀποθεωροῦμεν.

V. Εἰς Αἴγυπτον δ' ὁ μὲν ἐξ ἀνάγκης ἔπλευσε φεύγων, ὁ δὲ οὔτε καλῶς οὔτε ἀναγκαίως ἐπὶ χρήμασιν, ὅπως ἔχῃ τοῖς Ἕλλησι πολεμεῖν ἀφ' ὧν τοῖς βαρβάροις ἐστρατήγησεν. Εἶτα ἃ διὰ Πομπήϊον Αἰγυπτίοις ἐγκαλοῦμεν, ταῦτα Αἰγύπτιοι κατηγοροῦσιν Ἀγησιλάου. Ὁ μὲν γὰρ ἠδικήθη πιστεύσας, ὁ δὲ πιστευθεὶς ἐγκατέλιπε καὶ μετέστη πρὸς τοὺς πολεμοῦντας οἷς ἔπλευσε συμμαχήσων.

4, 250—51 H.

---

38. παρασχὸν Ai. 39. προαπολέσθαι Solanus: προαπολέσθαι libri. 41. αὐτοὺς [C] cum Solano: αὐτὸς v. ἔσχεν C. 45. ᾖ C et olim Coraes. 46. παθεῖν οὐκ ὤφειλεν S^g: οὐκ ὤφειλε παθεῖν v.

V. 2. ἔχῃ S^gA: ἔχει ia, ἔχοι Stephanus cum [C].

ΑΛΕΞΑΝΔΡΟΣ.

I. Τὸν Ἀλεξάνδρου τοῦ βασιλέως βίον καὶ τοῦ Καίσαρος, ὑφ' οὗ κατελύθη Πομπήϊος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων οὐδὲν ἄλλο προεροῦμεν ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα μηδὲ καθ' ἕκαστον ἐξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. Οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους, οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις καὶ ῥῆμα καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον ἢ μάχαι μυριόνεκροι καὶ παρατάξεις αἱ μέγισται καὶ πολιορκίαι πόλεων. Ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ ἦθος, ἀναλαμβάνουσιν ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες, οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου βίον ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας. 665

codices habui Parisinum 1671 (A) in hac vita sui dissimilem ab Heldio ad Coraianam, 1673 (C) ab Sypsomo, Monacensem 85 (M) a Goellero ad Huttenianam utrumque collatum. Palatinum 169 (P) ego contuli cum eadem. accedunt excerptae Mureti scripturae ex codicibus SωTqu. Monacensis vitia non omnia annotavi. item consulto reticui scripturas codicum Parisinorum 1672 (B) 1674 (D) 1678 (H).

I. 1. καὶ τὸν καίσαρος βίον x. 2. βυβλίῳ Ai. 3. προαιροῦμεν in ras. P. 5. ἐξειργομένως P, ἐπεξειργασμένως V. 8. πράξεσιν ἔνεστι πάντως ἀρετῆς δήλωσις C. 11. πολιορκίαι Bryanus: πολιορκία libri, πολιορκίας x. 16. ἐάσαντες A. τὰ μέγιστα C.

II. Ἀλέξανδρος ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς Αἰακίδης ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστί. Λέγεται δὲ Φίλιππος ἐν Σαμοθράκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς αὐτός τε μειράκιον ὢν ἔτι κἀκείνης παιδὸς ὀρφανῆς γονέων ἐρασθῆναι καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς Ἀρύμβαν. Ἡ μὲν οὖν νύμφη πρὸ τῆς νυκτὸς, ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε, βροντῆς γενομένης ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν, ἐκ δὲ τῆς πληγῆς πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντη φερομένας διαλυθῆναι. Ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ αὐτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός· ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, ὡς ᾤετο, λέοντος εἶχεν εἰκόνα. Τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένων τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμησεὺς κύειν ἔφη τὴν ἄνθρωπον, οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν, καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. Ὤφθη δέ ποτε καὶ δράκων κοιμωμένης τῆς Ὀλυμπιάδος παρεκτεταμένος τῷ σώματι· καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾷν ἔτι πολλάκις παρ' αὐτὴν ἀναπαυσόμενον, εἴτε δείσαντα τινὰς μαγείας ἐπ' αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν ὡς κρείττονι συνούσης ἀφοσιούμενον. Ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ

4, 252—53 H.

II. 1. ἦν om C. 2. κεράνου P. 6. ἁρμόσαι C. τὸν πατράδελφον x. nempe secundum annotationem Xylandri, qui τὸν ἀδελφὸν τοῦ πατρὸς αὐτῆς corrigendum putabat. 7. Ἀρύμβαν Stephanus cum P[M C]: ἀρύβαν A, ἀρύββαν ia, quam formam libri iubebant restitui Pyrrh. 1, 17. nec videtur in tanta β et μ literarum similitudine certi quid constitui posse. hinc excerpsit Zonaras libr. 4 p. 131. συνηρχθησαν C. 13. ὡς ᾤετο om C. 15. δεομένων qV[M]: δεομένῳ v. τῶν om C. 16. τελμισεὺς M, Τελμισσεὺς nuperi, cf. Wesselingium in Herodoti 1, 78. 18. ποτε om M. 20. ‚legitur etiam τὴν φιλοφροσύνην' Stephanus. 21. παρ' αὐτὴν ἀναπαυσόμενον πολλάκις M. πολλάκις] μᾶλλον C. 22. τινα M. μαγείας τινὰς C. ἐπ' αὐτὸν C, ἐφ' αὐτῷ Schaeferus. 23. συνούσης Pux: συνούσῃ v.

τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἶμον Θρήσσαις ὅμοια δρῶσιν, ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις ἱερουργίαις· ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις ἐξέπληττον τοὺς ἄνδρας.

III. Οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφοὺς χρησμὸν κομισθῆναι λέγουσι παρὰ τοῦ θεοῦ κελεύοντος Ἄμμωνι θύειν καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν θεόν· ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας ἁρμῷ προσβαλὼν κατώπτευσεν ἐν μορφῇ δράκοντος συνευναζόμενον τῇ γυναικὶ τὸν θεόν. Ἡ δὲ Ὀλυμπιὰς, ὡς Ἐρατοσθένης φησὶ, προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρατείαν καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόῤῥητον ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. Ἕτεροι δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν· „Οὐ παύσεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν;“ Ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἰσταμένου μηνὸς Ἑκατομβαιῶνος, ὃν Μακεδόνες Λῶον καλοῦσιν, ἕκτῃ, καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ᾧ γ' Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον· εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ τὴν Ἀλεξάνδρου μαίωσιν. Ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι καὶ βοῶντες ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέ- 666

4, 253—54 H.

---

27. κλύδωνες C. μιμαλλῶνες P, μιμαλῶνες M, μιμάλωνες C. 29. κατακόποις x. 32. χειροηθεῖς P. 35. τοὺς στεφάνους P.

III. 3. λέγουσι κομισθῆναι M. 4. προσβαλεῖν M. 8. ἐπὶ] εἰς V. 11. παύσετε P. ἀλέξανδρος διαβάλλων M. 12. οὖν om M. 13. ἕκτης PAMV. 14. ναός C et mox ναόν. ᾧ γ' ego: ὡς libri praeter C qui ἡγησίας οὖν omisso ὡς, ᾧ x et nuperi. 16. δεόμενον CM. 21. ἅμα om CM nec habet Zonaras.

ραν ἐκείνην τετοκέναι. Φιλίππῳ δὲ ἄρτι Ποτίδαιαν ᾑρηκότι τρεῖς ἦκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν Ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος, ἡ δὲ Ὀλυμπίασιν ἵππῳ κέλητι νενικηκέναι, τρίτη δὲ περὶ τῆς Ἀλεξάνδρου γενέσεως. Ἐφ' οἷς ἡδόμενον, ὡς εἰκός, ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν ἀποφαινόμενοι τὸν παῖδα τρισὶ νίκαις συγγεγενημένον ἀνίκητον ἔσεσθαι.

IV. Τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. Καὶ γὰρ ἃ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμιμοῦντο, τήν τε ἀνάτασιν τοῦ αὐχένος εἰς εὐώνυμον ἠσυχῇ κεκλιμένου καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δὲ γράφων τὸν κεραυνοφόρον οὐκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. Ἦν δὲ λευκὸς, ὥς φασιν· ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. Ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις. Αἰτία δὲ ἴσως ἡ τοῦ σώματος κρᾶσις πολύθερμος οὖσα καὶ πυρώδης· ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. Ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν· ἐξαιρεῖ γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δὲ ἡ θερμότης τοῦ σώματος, ὡς ἔοικε, καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. Ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς ἤ

4, 254—55 H.

---

24. μάχῃ μεγάλῃ om C. Ὀλυμπίασιν Schaeferus et postea: Ὀλυμπιάσιν ν, ὀλυμπιᾶσιν P. 25. κέλλητι CM. 27. δυσὶ x. συγγεγεννημένον Coraes. cf. Pomp. 9. 28. ἀήττητον C.

IV. 3. ἃ hic addidit Solanus, post μάλιστα Schaeferus, post ὀμμάτων x. 4. ἀνάστασιν in ras. P, malim ἀνάκλισιν Emperii cl. Pyrrh. 8, 8 mor. 53 c 335 b c. quamquam possis etiam ἀνάκλασιν cl. Meinekio fr. comic. gr. 4 p. 612. 6. ἀκριβῶς ὁ τεχνίτης διατετήρηκεν C. 7. cf. mor. 335 a. 8 — 20 habet Photius Bekkeri p. 395 b. 9. αὐτοῦ om C. 17. ἔξαρεῖ Reiskius cl. mor. 623 f: ἐξαίρει libri. 18. ἐπιπολλάζον A, ἐπιπολάζων P, ἐπιπολάζοντος V. τοῖς — θερμότης om M. 19. ὡς ἔοικεν ante ἡ ponit C.

τε σωφροσύνη διεφαίνετο τῷ πρὸς τἆλλα ῥαγδαῖον ὄντα καὶ φερόμενον σφοδρῶς ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὸ σῶμα δυσκίνητον εἶναι καὶ μετὰ πολλῆς πραότητος ἅπτεσθαι τῶν τοιούτων, ἥ τε φιλοτιμία παρ' ἡλικίαν ἐμβριθὲς εἶχε τὸ φρόνημα καὶ μεγαλόψυχον. Οὔτε γὰρ ἀπὸ παντὸς οὔτε πᾶσαν ἠγάπα δόξαν, ὡς Φίλιππος λόγου τε δεινότητι σοφιστικῶς καλλωπιζόμενος καὶ τὰς ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν, ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων, εἰ βούλοιτ' ἂν Ὀλυμπίασιν ἀγωνίσασθαι στάδιον, ἦν γὰρ ποδώκης, „Εἴ γε" ἔφη „βασιλεῖς ἔμελλον ἕξειν ἀνταγωνιστάς." Φαίνεται δὲ καὶ καθόλου πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων· πλείστους γέ τοι θεὶς ἀγῶνας οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν, θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας, οὔτε πυγμῆς οὔτε παγκρατίου μετά τινος σπουδῆς ἔθηκεν ἆθλον.

V. Τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας ἀποδημοῦντος Φιλίππου ξενίζων καὶ γενόμενος συνήθης οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ καὶ τῷ μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι μηδὲ μικρὸν, ἀλλ' ὁδῶν τε μήκη καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι καὶ περὶ αὐτοῦ τοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε θαυμάζειν ἐκείνους καὶ τὴν λεγομένην Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. Ὁσάκις γοῦν ἀπαγγελθείη Φίλιππος ἢ πόλιν ἔνδοξον ῥητορικῶς ἢ μάχην τινὰ περιβόητον νενικηκώς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν „Ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν." Οὐ γὰρ ἡδονὴν ζηλῶν οὐδὲ πλοῦτον, 667
ἀλλ' ἀρετὴν καὶ δόξαν, ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ

4, 255—56 H.

21. τῷ om Aia. 24. γὰρ post ἡλικίαν addit M. τὸ om Aia. 25. οὔτε — οὔτε Coraes: οὐδὲ — οὐδὲ libri. 26. καὶ σοφιστικῶς M. 27. τῶν ἁρμάτων om C. εἰςχαράττων P. 28. ἀποπεπειραμένων M. 30. ἔμελλεν ia. 32. πλείστους γὰρ τιθεὶς M. 34. θῆράς τε παντοδαπεῖς P. 35. ἄθλον P.

V. 3. τῇ om C. καὶ τὸ P. 5. τοῦ addidit P cl. mor. 342 b. 6. πολέμους Reiskii nuperi. 7. ἀκμὴ C. 12. προσλήψεται C. 14. μέγα καὶ λαμπρὸν om C. ζηλῶν ἀλλ' ἀρετὴν καὶ πλοῦτον M. 15. ὅσα C.

τοῦ πατρὸς, ἐλάττονα κατορθώσειν δι' ἑαυτοῦ. Διὸ τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγούμενος ἐβούλετο μὴ χρήματα μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας ἔχουσαν ἀρχὴν παραλαβεῖν. Πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν, ὡς εἰκὸς, ἦσαν αὐτοῦ τροφεῖς καὶ παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι, πᾶσι δ' ἐφειστήκει Λεωνίδας, ἀνὴρ τό τε ἦθος αὐστηρὸς καὶ συγγενὴς Ὀλυμπιάδος· αὐτὸς μὲν οὐ φεύγων τὸ τῆς παιδαγωγίας ὄνομα καλὸν ἔργον ἐχούσης καὶ λαμπρὸν, ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. Ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος ἦν Λυσίμαχος, τῷ γένει Ἀκαρνὰν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ' ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δὲ Ἀλέξανδρον Ἀχιλλέα, Πηλέα δὲ τὸν Φίλιππον, ἠγαπᾶτο καὶ δευτέραν εἶχε χώραν.

VI. Ἐπεὶ δὲ, Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βουκεφάλαν ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον, ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος οὔτε ἀναβάτην προσιέμενος οὔτε φωνὴν ὑπομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων κατεξανιστάμενος, δυσχεραίνοντος δὲ τοῦ Φιλίππου καὶ κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον, παρὼν Ἀλέξανδρος εἶπεν „Οἷον ἵππον ἀπολλύουσι δι' ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι,“ τὸ μὲν οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησε· πολλάκις δὲ αὐτοῦ παραφθεγγομένου καὶ περιπαθοῦντος „Ἐπιτιμᾷς σὺ“ ἔφη „πρεσβυτέροις ὡς τι πλέον αὐτὸς εἰδὼς ἢ μᾶλλον ἵππῳ χρή-

4, 256—57 H.

---

17. αὐξουμένοις P. 18. μηδὲ] καὶ P. 21. αὐτοῦ ὡς εἰκὸς ἦσαν C. 22. γενόμενοι CM. ἐφεστήκει C. 23. οὐ Bryanus: οὖν v, δὴ C. 28. immo τὸ γένος cum Benselero de hiatu p. 363. 29. μὲν om P.

VI. 1. Βουκεφάλαν Coraes convenienter Zonarae p. 131: βουκέφαλον libri et Photius p. 395 b. infra c. 16 βουκέφαλος MV. 44 βουκέφαλον PCM. 61 βουκέφαλος C. mor. 970 c Βουκεφάλας. cf. Ellendtium ad Arriani t. 2 p. 201. 5. τινος ὑπομένων C. τὸν περὶ C. 6. ἀλλὰ πάντων CM. δὲ] τε malit Schaeferus, sed cf. ad Pomp. 5. Heldium ad Timol. p. 308. 8. ὁ ἀλέξανδρος C. 9. χρῆσθαι C.

σασθαι δυνάμενος;" „Τούτῳ γοῦν" ἔφη „χρησαίμην ἂν ἑτέρου βέλτιον." „Ἂν δὲ μὴ χρήσῃ, τίνα δίκην τῆς προπετείας ὑφέξεις;" „Ἐγώ, νὴ Δί'" εἶπεν „ἀποτίσω τοῦ ἵππου τὴν τιμήν." Γενομένου δὲ γέλωτος, εἶτα ὁρισμοῦ πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, εὐθὺς προσδραμὼν τῷ ἵππῳ καὶ παραλαβὼν τὴν ἡνίαν ἐπέστρεψε πρὸς τὸν ἥλιον, ὡς ἔοικεν, ἐννοήσας, ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ διαταράττοιτο. Μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα καὶ μετεωρίσας αὑτὸν ἀσφαλῶς περιέβη. Καὶ μικρὰ μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσανέστειλεν· ὡς δὲ ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπειλὴν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον, ἀφεὶς ἐδίωκεν ἤδη φωνῇ θρασυτέρᾳ καὶ ποδὸς κρούσει χρώμενος. Τῶν δὲ περὶ τὸν Φίλιππον ἦν ἀγωνία καὶ σιγὴ τὸ πρῶτον· ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς σοβαρὸς καὶ γεγηθώς, οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαί τι λέγεται πρὸς τὴν χαρὰν καὶ καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλήσας „Ὦ παῖ" φάναι „ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ."

VII. Καθορῶν δὲ τὴν φύσιν αὐτοῦ δυσκίνητον μὲν οὖσαν ἐρίσαντος μὴ βιασθῆναι, ῥᾳδίως δὲ ἀγομένην ὑπὸ λό-

4, 257—59 H.

---

14. ἑτέρου] ἢ ἕτεροι CMV margo Mureti. 16. ὁρισμοὺς i, ἐρισμοῦ x, cf. ad Flamin. 19, 11. 17. εὐθὺς] οὗτος V unde Coraes αὐτὸς, quod noli credere habere codicem ab J. Bekkero comparatum (Diurn. Jenens. a. 1813 t. 1 c. 277 ss.), quem Parisinum dicit Schaeferus. est is codex Palatinus a me comparatus quem denuo inspectum habere εὐθὺς auctore affirmo Baehrio. 19. προπίπτουσαν Schmiederus. 20. ἑαυτοῦ M. οὗτος M. 21. καταστήσας C. θυμοῦ πληρούμενον ὁμοῦ καὶ Photius. 23. ἀνέβη x. περιβαλὼν C. 24. προσέστειλεν PMV. 25. ἀφεικότα τὸν χαλινὸν ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσέστειλεν ὀργῶντα πρὸς M. 26. ἐφεὶς Coraes, ἀφῆκε πρὸς δρόμον Zonaras. ἐνέδωκεν x. 27. τῶν δὲ περὶ τὸν Φίλιππον] his omissis sic pergit Photius: Καὶ τοῖς μὲν δέος καὶ ἀγὼν ἐνέπιπτε, μή τι τὸ μειράκιον πάθῃ, τοῖς δὲ κρότος ἦν χειρῶν καὶ τερπνὸν θέαμα, πάντας δ' ὁμοίως εἶχεν ἔκπληξις· ὡς δὲ κάμψας ὑπέστρεψεν ὀρθῶς σοβαρὸς καὶ γεγηθώς, ἅπαντες μὲν χαίροντες ἀνηλάλαξαν —. 28. ὀρθὸς C. 30. τι om Photius, cf. Sertor. 20, 17. καὶ καταβάντος] καταβάντος δὲ Photius.

VII. 2. ἐρείσαντος C, cf. Camill. 1, 7.

γου πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς μείζονος οὖσαν πραγματείας καὶ κατὰ τὸν Σοφοκλέα

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

668 μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ λογιώτατον Ἀριστοτέλην καλὰ καὶ πρέποντα διδασκάλια τελέσας αὐτῷ. Τὴν γὰρ Σταγειριτῶν πόλιν, ἐξ ἧς ἦν Ἀριστοτέλης, ἀνάστατον ὑπ' αὐτοῦ γεγενημένην συνῴκισε πάλιν καὶ τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν πολιτῶν ἀποκατέστησε. Σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν τὸ περὶ Μίεζαν νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν Ἀριστοτέλους ἕδρας τε λιθίνας καὶ ὑποσκίους περιπάτους δεικνύουσιν. Ἔοικε δὲ Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀπορρήτων καὶ βαθυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγορεύουσιν οὐκ ἐξέφερον εἰς πολλούς, μετασχεῖν. Ἤδη γὰρ εἰς Ἀσίαν διαβεβηκὼς καὶ πυθόμενος λόγους τινὰς ἐν βιβλίοις περὶ τούτων ὑπὸ Ἀριστοτέλους ἐκδεδόσθαι γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παρρησιαζόμενος ἐπιστολήν, ἧς ἀντίγραφόν ἐστιν· „Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν. Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. Τίνι γὰρ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ, καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; Ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν. Ἔρρωσο.“ Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων. Ἀληθῶς γὰρ

4, 259—60 H.

---

3. μᾶλλον ἐπειρᾶτο C. post προστάσσειν lacuna ex ras. in M post quam sic pergit πρὸς τὸ δέον καὶ τοῖς. 6. fr. inc. LV. 7. θ' Stephanus: τε libri. 9. Ἀριστοτέλην om C. διδασκαλεῖα PCM. 10. σταγειριτῶν M. 12. ἢ βάλλοντας καὶ δουλεύοντας M cui scripturae si quid tribuendum sit coniicias λαθόντας. 13. μέζαν C. 14. λιθίνας ultima in ras. P, λιθίνους V. 17. βαθυτέρων Coraes: βαρυτέρων libri. 20. μεταβεβηκὼς P. 21. περὶ τούτων ἐν βιβλίοις C. 25. γὰρ C: γὰρ δὴ v, γὰρ ἔτι Gellius N. A. 20, 5, τίνι γὰρ τῶν ἄλλων διοίσομεν Zonaras. 30. ὡς καὶ PC Gellius: ὡς v. ἀληθῶς γὰρ om P.

ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται.

VIII. Δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι μᾶλλον ἑτέρων Ἀριστοτέλης. Οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιστολῶν λαβεῖν ἔστιν. Ἦν δὲ καὶ φύσει φιλολόγος [καὶ φιλομαθὴς] καὶ φιλαναγνώστης. Καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν, εἶχε δὲ ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε. Τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις Ἅρπαλον ἐκέλευσε πέμψαι. Κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνὰς καὶ Τελέστου καὶ Φιλοξένου διθυράμβους. Ἀριστοτέλην δὲ θαυμάζων ἐν ἀρχῇ καὶ ἀγαπῶν οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρὸς, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ ὥστε ποιῆσαί τι κακὸν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν ἀλλοτριότητος ἐγένοντο τεκμήριον. Ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος οὐκ ἐξερρύη τῆς ψυχῆς, ὡς ἡ περὶ Ἀνάξαρχόν τε τιμὴ καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα τάλαντα καὶ Δάνδαμις καὶ Καλανὸς οὕτω σπουδασθέντες μαρτυροῦσι.

IX. Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους ἦν μὲν ἐκκαιδεκέτης Ἀλέξανδρος, ἀπολειφθεὶς δὲ κύριος ἐν Μακε-

4, 260—61 H.

---

31. τὰ om P.

VIII. 1. καὶ τῷ P. προτρέψασθαι V. 5. καὶ φιλομαθὴς ‚ex vetustis codicibus' Stephani addita sed in nullo adhuc libro reperta non requiro. 6. μὲν om C. 9. προκεφάλαιον CAi. 10. Ὀνησίκριτος Solanus: ὀνησικράτης libri. 14. ἀριστοτέλην CM corr. A: ἀριστοτέλει P, Ἀριστοτέλη v. 17. τι om CM. 18. ‚pro σφοδρὸν legitur etiam στερρόν' Stephanus. 23. δάνδαλις M, δάρδαμις καὶ κάλαμος V. scribebatur Κάλανος, cf. c. 65. 24. μαρτυροῦσι M: μαρτυροῦσιν v.

IX. 2. ἀλέξανδρος PCM: ὁ Ἀλέξανδρος v.

δονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος Μαίδων τε τοὺς ἀφεστῶτας κατεστρέψατο καὶ πόλιν ἑλὼν αὐτῶν τοὺς μὲν βαρβάρους ἐξήλασε, συμμίκτους δὲ κατοικίσας Ἀλεξανδρόπολιν προσηγόρευσεν. Ἐν δὲ Χαιρωνείᾳ τῆς πρὸς τοὺς Ἕλληνας μάχης παρὼν μετέσχε καὶ λέγεται πρῶτος ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων. Ἔτι δὲ καὶ καθ' ἡμᾶς ἐδείκνυτο
669 παλαιὰ παρὰ τὸν Κηφισὸν Ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ἣν τότε κατεσκήνωσε, καὶ τὸ πολυάνδριον οὐ πόρρω τῶν Μακεδόνων ἐστίν. Ἐκ μὲν οὖν τούτων, ὡς εἰκὸς, Φίλιππος ὑπερηγάπα τὸν υἱόν, ὥστε καὶ χαίρειν τῶν Μακεδόνων Ἀλέξανδρον μὲν βασιλέα, Φίλιππον δὲ στρατηγὸν καλούντων. Αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαὶ διὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐτοῦ τρόπον τινὰ τῆς βασιλείας τῇ γυναικωνίτιδι συννοσούσης πολλὰς αἰτίας καὶ μεγάλας διαφορὰς παρεῖχον, ἃς ἡ τῆς Ὀλυμπιάδος χαλεπότης, δυσζήλου καὶ βαρυθύμου γυναικὸς, ἔτι μείζονας ἐποίει παροξυνούσης τὸν Ἀλέξανδρον. Ἐκφανεστάτην δὲ Ἄτταλος παρέσχεν ἐν τοῖς Κλεοπάτρας γάμοις, ἣν ὁ Φίλιππος ἠγάγετο παρθένον ἐρασθεὶς παρ' ἡλικίαν τῆς κόρης. Θεῖος γὰρ ὢν αὐτῆς ὁ Ἄτταλος ἐν τῷ πότῳ μεθύων παρεκάλει τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ Φιλίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον τῆς βασιλείας. Ἐπὶ τούτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος καὶ εἰπών· „Ἡμεῖς δέ σοι, κακὴ κεφαλὴ, νόθοι δοκοῦμεν;“ ἔβαλε σκύφον ἐπ' αὐτόν. Ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον ἐξανέστη σπασάμενος τὸ ξίφος, εὐτυχίᾳ δὲ ἑκατέρου διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσε σφαλείς. Ὁ δὲ Ἀλέξανδρος ἐφυβρίζων „Οὗτος μέντοι“ εἶπεν „ἄνδρες, εἰς Ἀσίαν ἐξ Εὐρώπης παρεσκευάζετο διαβαίνειν, ὃς ἐπὶ κλίνην ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται.“ Μετὰ ταύτην
4, 261—62 H.

---

3. τῶν σφραγίδων M. Μαίδων Solanus post Xylandrum: μέδων PC, μέδρων V, μεδάρων v. de emendatione non licet dubitari propter Stephanum Byz. v. Μαιδοὶ (sic ille): ἔθνος Θράκης πλησίον Μακεδονίας cl. s. v. Ἀλεξάνδρεια: τρίτη Θράκης πρὸς τῇ Μακεδονίᾳ, ἣν ἔκτισε πρὸ τῆς μεγάλης Ἀλεξανδρείας ἑπτακαίδεκα ὧν ἐτῶν. τε] δὲ PA. 5. ἐξήλασε PCMV: ἐξαπήλασε v. κατοικήσας CAia. 6. χερονείᾳ P. 7. παρὼν] παρασχὼν V. ἐνδῦσαι V. 8. λόγῳ V. 9. τὸν om C. κησιφὸν ia et v. 10. ἣν PCM: ἡ v. 12. φίλιππος ὡς εἰκὸς C. ἠγάπα CM. 15. τρόπον τινὰ] τῆς γυναικὸς P. 18. δυσθύμου καὶ βαρυζήλου C.

τὴν παροινίαν ἀναλαβὼν τὴν Ὀλυμπιάδα καὶ καταστήσας εἰς Ἤπειρον αὐτὸς ἐν Ἰλλυριοῖς διέτριβεν. Ἐν τούτῳ δὲ Δημάρατος ὁ Κορίνθιος, ξένος ὢν τῆς οἰκίας καὶ παρῥησίας μετέχων, ἀφίκετο πρὸς Φίλιππον. Μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ φιλοφροσύνας ἐπερωτῶντος τοῦ Φιλίππου, πῶς ἔχουσιν ὁμονοίας πρὸς ἀλλήλους οἱ Ἕλληνες, „Πάνυ γοῦν“ ἔφη „σοι προσήκει, Φίλιππε, κήδεσθαι τῆς Ἑλλάδος, ὃς τὸν οἶκον τὸν σεαυτοῦ στάσεως τοσαύτης καὶ κακῶν ἐμπέπληκας.“ Οὕτω δὴ συμφρονήσας ὁ Φίλιππος ἔπεμψε καὶ κατήγαγε πείσας διὰ τοῦ Δημαράτου τὸν Ἀλέξανδρον.

X. Ἐπεὶ δὲ Πιξόδωρος ὁ Καρίας σατράπης ὑποδυόμενος δι' οἰκειότητος εἰς τὴν Φιλίππου συμμαχίαν ἐβούλετο τὴν πρεσβυτάτην τῶν θυγατέρων Ἀρῥιδαίῳ τῷ Φιλίππου γυναῖκα δοῦναι καὶ περὶ τούτων Ἀριστόκριτον εἰς Μακεδονίαν ἀπέστειλεν, αὖθις ἐγίνοντο λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς Ἀλέξανδρον, ὡς Ἀρῥιδαῖον ἐπὶ τῇ βασιλείᾳ Φιλίππου γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις εἰσοικειοῦντος. Ὑφ' ὧν διαταραχθεὶς πέμπει Θεσσαλὸν εἰς Καρίαν τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν Πιξοδώρῳ διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἐάσαντα καὶ οὐ φρενήρη μεθαρμόσασθαι τὸ κῆδος εἰς Ἀλέξανδρον. Καὶ Πιξοδώρῳ μὲν οὐ παρὰ μικρὸν ἤρεσκε ταῦτα τῶν προτέρων μᾶλλον. Ὁ δὲ Φίλιππος αἰσθόμενος ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον

4, 262—63 H.

---

32. *εἰς τὴν* M. 33. *ἰλλυροῖς* a et v. *δημάρετος* et postea *δημαρέτου* C. 36. *ἐρωτῶντος* M. 37. *πρὸς ἀλλήλους ὁμονοίας* C.

X. 1. *πηξόδωρος* hic quidem libri omnes, quod correxi secundum Aia versu 11. sed vera nominis forma videtur vel *Πιξώδαρος* vel *Πιξόδαρος* esse, cf. interpretes Arriani 1, 23, 10. Diodori 16, 74. Gaisfordum in Herodoti 5, 118. 2. *οἰκειότητα* C. 4. *ἀριστόκρειττον* P. 6. *ἀῤῥίδαιον* P. 9. *πιξοδώρῳ* Aia et mox: *Πηξοδώρῳ* v. 13. *ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον* sana videbantur Corai (‘*αἰσθόμενος ὁ Φίλιππος διατρίβοντα ἐν τῷ δωματίῳ, τουτέστιν ἐν τῷ κοιτῶνι, οὗπερ εἰώθει αὐτὸς ὁ Φίλιππος Ὀλυμπιάδι συναναπαύεσθαι*’), *ἰόντα* corrigebat Stephanus, *ἰὼν εἰς τὸ Ἀλεξάνδρου δωμάτιον* x secundum Amiotum (‚Philippus en estant averty s'en alla luy mesme en la chambre d'Alexander‘) probatum Schaefero aliisque. de corruptela loci mea sententia dubitari non potest, cui tamen quum non uno modo succurri possit correctio incerta est. anonymi quidem rationem partim transpositione effectam suspectam habeo. Emperio sic videbatur corrigi posse: *αἰσθόμενος*

παραλαβὼν τῶν φίλων αὐτοῦ καὶ συνήθων ἕνα, Φιλώταν τὸν Παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς καὶ πικρῶς ἐλοιδόρησεν ὡς ἀγεννῆ καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ Καρὸς ἀνθρώπου καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος ἀγαπᾷ γαμβρὸς γενέσθαι. Τὸν δὲ Θετταλὸν ἔγραψε Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐν πέδαις δεδεμένον. Τῶν δὲ ἄλλων ἑταίρων Ἅρπαλον καὶ Νέαρχον, ἔτι δ' Ἠριγύιον καὶ Πτολεμαῖον ἐκ Μακεδονίας μετέστησεν, οὓς ὕστερον Ἀλέξανδρος καταγαγὼν ἐν ταῖς μεγίσταις ἔσχε τιμαῖς. Ἐπεὶ δὲ Παυσανίας Ἀττάλου γνώμῃ καὶ Κλεοπάτρας ὑβρισθεὶς καὶ μὴ τυχὼν δίκης ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖστον εἰς Ὀλυμπιάδα τῆς αἰτίας περιῆλθεν, ὡς θυμουμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ παροξύνασαν, ἔθιγε δέ τις καὶ Ἀλε-
670 ξάνδρου διαβολή. Λέγεται γὰρ ἐντυχόντος αὐτῷ τοῦ Παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην καὶ ἀποδυρομένου προενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον·

Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην.

Οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας ἐκόλασε καὶ τὴν Κλεοπάτραν ἀποδημοῦντος αὐτοῦ τῆς Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησε.

XI. Παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. Οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν δούλωσιν ἔφερε ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος ὅσον κατεζεῦξαι καὶ τιθασεῦσαι χρόνον ἔσχεν, ἀλλὰ μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα πολὺν σάλον ἔχοντα καὶ κίνησιν

4, 263—64 H.

τὰ ὄντα, τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον παραλαβὼν καὶ τῶν φ., ego tale quid desidero: ὁ δὲ Φίλιππος αἰσθόμενος ταῦτα πράττοντα τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον ἰὼν, παραλαβὼν —. 16. ἀγενῆ P. 19. ἐν PCMV cl. c. 55. Nic. 19. Artax. 18: ἐπὶ v. 20. δ' Ἠριγύιον] δὲ Φρύγιον libri. correxi secundum Arriani exped. 3, 6, 8 et 9 videoque idem vidisse Schmiederum ibidem p. 160. 24. τὸν μὲν P. 26. προσεγκαλεσαμένην V. παροξύνουσαν P. ἔθηγε M. 28. ἀποδυραμένου M. προσενέγκασθαι M. 29. ἰάμβειον P, ἰάμβιον MAi. Euripides Med. v. 290. 32. τὴν om P. 33. ἠγανάκτησε CM: ἠγανάκτησεν v.

XI. 1. οὖν om A. 5. τοῖς ὅπλοις κρατήσας φίλιππος C. 6. τιθασσεῦσαι CMA.

ὑπὸ ἀηθείας ἀπέλιπε. Φοβουμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν καὶ τὰ μὲν Ἑλληνικὰ πάντως αἱρεῖναι καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων δεῖν, τοὺς δὲ ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι πρᾴως καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ' ἐναντίων λογισμῶν ὥρμησε τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν, ὡς, κἂν ὁτιοῦν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος, ἐπιβησομένων ἁπάντων. Τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν ὀξέως ἐπιδραμὼν στρατῷ μέχρι πρὸς τὸν Ἴστρον, ᾗ καὶ Σύρμον ἐνίκησε μάχῃ μεγάλῃ τὸν βασιλέα τῶν Τριβαλλῶν· Θηβαίους δὲ ἀφεστάναι πυθόμενος καὶ συμφρονεῖν αὐτοῖς Ἀθηναίους [ἐθέλων ἀνὴρ φανῆναι] εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν εἰπών, ὅτι Δημοσθένει παῖδα μὲν αὐτὸν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. Προσμίξας δὲ ταῖς Θήβαις καὶ διδοὺς ἔτι τῶν πεπραγμένων μετάνοιαν ἐξῄτει Φοίνικα καὶ Προθύτην καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν ἄδειαν ἐκήρυττε. Τῶν δὲ Θηβαίων ἀντεξαιτούντων μὲν παρ' αὐτοῦ Φιλώταν καὶ Ἀντίπατρον, κηρυττόντων δὲ τοὺς τὴν Ἑλλάδα βουλομένους συνελευθεροῦν τάττεσθαι μετ' αὐτῶν, οὕτως ἔτρεψε τοὺς Μακεδόνας πρὸς πόλεμον. Ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν ἀρετῇ καὶ προθυμίᾳ τὰ παρὰ τῶν Θηβαίων πολλαπλασίοις οὖσι τοῖς πολεμίοις ἀντιταχθέντων· ἐπεὶ δὲ καὶ τὴν Καδμείαν ἀφέντες οἱ φρουροὶ τῶν Μακεδόνων ἐπέπιπτον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖστοι κατὰ τὴν μάχην αὐτὴν ἔπεσον, ἡ δὲ πόλις ἥλω καὶ διαρπασθεῖσα κατεσκάφη, τὸ μὲν ὅλον προσδοκήσαντος αὐτοῦ τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν, ἄλλως δὲ καὶ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασι· καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων κατηγόρησαν.

4, 264—65 H.

8. ἀπέλειπε P. 16. κινήματα] πολέμια P. 17. ᾗ] ἣ P. 19. αὐτοῖς Ἀθηναίους Solanus cum [C]: αὐτοὺς Ἀθηναίους v. 20. inclusa recte delebat Solanus. 25. ἐζήτει M. 26. δὲ om PM. 29. ἔταξε, ἔτραψε V. 30. πρὸς] εἰς P. τὸν πόλεμον C. 31. τὰ cum Reiskio delent nuperi. 32. καδμίαν PM. 37. δὲ καὶ καλλωπισμένου P, δὲ κεκαλλωπισμένον M, δὲ καλλωπισμένον C, δὲ καλλωπισαμένου v.

Ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς καὶ τοὺς ξένους τῶν Μακεδόνων ἅπαντας καὶ τοὺς ἀπὸ Πινδάρου γεγονότας καὶ τοὺς ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις τὴν ἀπόστασιν ἀπέδοτο τοὺς ἄλλους περὶ τρισμυρίους γενομένους· οἱ δὲ ἀποθανόντες ὑπὲρ ἑξακισχιλίους ἦσαν.

XII. Ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατεῖχε, Θρᾳκές τινες ἐκκόψαντες οἰκίαν Τιμοκλείας, γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα διήρπαζον, ὁ δὲ ἡγεμὼν τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος καὶ καταισχύνας ἀνέκρινεν, εἴ που χρυσίον ἔχοι κεκρυμμένον ἢ ἀργύριον. Ἡ δὲ ἔχειν ὡμολόγησε καὶ μόνον εἰς τὸν κῆπον ἀγαγοῦσα καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη τῆς
671 πόλεως ἁλισκομένης καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν χρημάτων. Ἐγκύπτοντος δὲ τοῦ Θρᾳκὸς καὶ κατασκεπτομένου τὸν τόπον, ἔωσεν αὐτὸν ἐξόπισθεν γενομένη καὶ τῶν λίθων ἐπεμβαλοῦσα πολλοὺς ἀπέκτεινεν. Ὡς δὲ ἀνήχθη πρὸς Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφάνη τις ἀξιωματικὴ καὶ μεγαλόφρων ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγουσιν· ἔπειτα τοῦ βασιλέως ἐρωτήσαντος, ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο Θεαγένους ἀδελφὴ γεγονέναι τοῦ παραταξαμένου πρὸς Φίλιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. Θαυμάσας οὖν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων.

XIII. Ἀθηναίοις δὲ διηλλάγη, καίπερ οὐ μετρίως ἐνεγκοῦσι τὸ περὶ Θήβας δυστύχημα. Καὶ γὰρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χεροῖν ἔχοντες ὑπὸ πένθους ἀφῆκαν καὶ τοῖς καταφυγοῦσιν ἐπὶ τὴν πόλιν ἁπάντων μετεδίδοσαν τῶν φιλ-
4, 265—67 H.

---

40. τοὺς ξένους καὶ τοὺς ἱερεῖς M. 41. ὑπὸ PM. ἐναντιωθέντας CM. 42. ψηφίσμασι C. τὴν om P.

XII. 1. καὶ χαλεποῖς πάθεσιν C. 5. ἔχει MA. κεκρυμμένον om C. 6. καὶ ante μόνον om P. 8. αὐτῇ Aia, αὐτὴν V. 10. τὸν λίθον P. 11. πρὸς τὸν Stephaniana, non P, quod moneo propter Bekkerum. 18. χερωνείᾳ P. ὁ om P. 19. καὶ τὴν ἀπόκρισιν αὐτῆς C.

XIII. 3. malim χερσὶν cum Schaefero cl. Cleomen. 22. 4. ἐπὶ om P, εἰς CMV.

ἀνθρώπων. Ἀλλ' εἴτε μεστὸς ὢν ἤδη τὸν θυμὸν, ὥσπερ οἱ λέοντες, εἴτε ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι τὸν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη περὶ αὐτὸν, ἄρξουσαν τῆς Ἑλλάδος. Ὕστερον μέντοι πολλάκις αὐτὸν ἡ Θηβαίων ἀνιᾶσαι συμφορὰ λέγεται καὶ πρᾳότερον οὐκ ὀλίγοις παρασχεῖν. Ὅλως δὲ καὶ τὸ περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον καὶ τὴν πρὸς Ἰνδοῖς τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν στρατείαν καὶ τὴν δόξαν αὐτοῦ προεμένων, εἰς μῆνιν ἀνῆγε Διονύσου καὶ νέμεσιν. Ἦν δὲ Θηβαίων οὐδεὶς τῶν περιγενομένων, ὃς ἐντυχών τι καὶ δεηθεὶς ὕστερον οὐ διεπράξατο παρ' αὐτοῦ. Ταῦτα μὲν τὰ περὶ Θήβας.

XIV. Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν ἡγεμὼν ἀνηγορεύθη. Πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένην τὸν Σινωπέα ταὐτὸ ποιήσειν διατρίβοντα περὶ Κόρινθον. Ὡς δὲ ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν· ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ. Καὶ μικρὸν μὲν ἀνεκάθισεν ἀνθρώπων τοσούτων ἐπερχομένων καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δὲ ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος „Μικρὸν“ εἶπεν „ἀπὸ τοῦ ἡλίου μετάστηθι.“ Πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρὸς, ὥστε τῶν περὶ αὐτὸν, ὡς ἀπῆσαν, διαγελώντων καὶ σκωπτόντων „Ἀλλὰ μὴν ἐγὼ“ εἶπεν „εἰ μὴ Ἀλέξανδρος ἦμην, Διογένης ἂν ἤμην.“ Βουλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας ἦλθεν εἰς

4, 267—68 H.

---

5. τῶν θυμῶν P. 6. ἐπιεικείᾳ P. 8. τὸν νοῦν τοῖς πράγμασι C. τὴν πόλιν om C. 9. συμβαίη om P. 12. scribam Ἰνδοὺς. cf. Aem. P. 12, 13. Lucull. 3, 2. 14. τὴν δόξαν P[CM]Ai: δόξαν v. καὶ τὴν στρατείαν post αὐτοῦ repetit M. ἀνήγαγε P. 16. τι om C. οὐ om i. 17. τὰ παρ' M.

XIV. 5. διογένην PMA: Διογένη v. ταὐτὸν v. 7. κρανίῳ P. 10. αὐτῷ PCA. 13. οὕτω καὶ CM. 17. περὶ] διὰ M. τῆς om C.

Δελφούς· καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν τὴν πρόμαντιν. Ὡς δὲ ἀρνουμένης καὶ προϊσχομένης τὸν νόμον αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἵλκεν αὐτήν, ἡ δὲ ὥσπερ ἐξηττημένη τῆς σπουδῆς εἶπεν· „Ἀνίκητος εἶ, ὦ παῖ“, τοῦτο ἀκούσας Ἀλέξανδρος οὐκέτι ἔφη χρῄζειν ἑτέρου μαντεύματος, ἀλλ' ἔχειν ὃν ἐβούλετο παρ' αὐτῆς χρησμόν. Ἐπεὶ δὲ ὥρμησε πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι καὶ τὸ περὶ Λείβηθρα τοῦ Ὀρφέως ξόανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκε. Φοβουμένων δὲ πάντων τὸ σημεῖον Ἀρίστανδρος ἐκέλευε θαῤῥεῖν, ὡς ἀοιδίμους καὶ περιβοήτους κατερ-
672 γασόμενον πράξεις, αἳ πολὺν ἱδρῶτα καὶ πόνον ὑμνοῦσι ποιηταῖς καὶ μουσικοῖς παρέξουσι.

XV. Τῆς δὲ στρατιᾶς τὸ πλῆθος οἱ μὲν ἐλάχιστον λέγοντες τρισμυρίους πεζοὺς καὶ τετρακισχιλίους ἱππεῖς, οἱ δὲ πλεῖστον πεζοὺς μὲν τετρακισμυρίους καὶ τρισχιλίους, ἱππέας δὲ πεντακισχιλίους ἀναγράφουσιν. Ἐφόδιον δὲ τούτοις οὐ πλέον ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριστόβουλος ἱστορεῖ, Δοῦρις δὲ τριάκοντα μόνον ἡμερῶν διατροφήν, Ὀνησίκριτος δὲ καὶ διακόσια τάλαντα προσοφειλειν. Ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμενος οὐ πρότερον ἐπέβη τῆς νεὼς ἢ τὰ τῶν ἑταίρων πράγματα σκεψάμενος ἀπονεῖμαι τῷ μὲν ἀγρὸν, τῷ δὲ κώμην, τῷ δὲ συνοικίας πρόσοδον ἢ λιμένος. Ἤδη δὲ κατανηλωμένων καὶ διαγεγραμμένων σχεδὸν ἁπάντων τῶν βασιλικῶν ὁ Περδίκκας „Σεαυτῷ δὲ“ εἶπεν „ὦ βασιλεῦ, τί καταλείπεις;“ τοῦ δὲ φήσαντος ὅτι τὰς
4, 268—69 H.

---

19. *νενόμιστο* C. 23. *ὁ ἀλέξανδρος* C. 25. *τ' ἐδόκει* C. 27. *ὑπὸ*] *περὶ* A. 28. *βουλομένων δὲ* V. 30. *πράξεις* om M.

XV. 2. *τετρακισχιλίους*] *πεντακισχιλίους* libri et mox 4 *ἱππέας δὲ τετρακισχιλίους*, quae iure suspecta Reiskio non diutius ferenda putabam cum ipsa ratione ductus tum confirmatus loco mor. 327 c: *τοῖς τρισμυρίοις — πεζοῖς καὶ τετρακισχιλίοις ἱππεῦσι πιστεύσας, τοσοῦτοι γὰρ ἦσαν, ὡς Ἀριστόβουλός φησιν, ὡς δὲ Πτολεμαῖος ὁ βασιλεύς, τρισμύριοι πεζοί, πεντακισχίλιοι δὲ ἱππεῖς, ὡς δ' Ἀναξιμένης, τετρακισμύριοι πεζοὶ καὶ τρισχίλιοι, πεντακισχίλιοι δὲ καὶ πεντακόσιοι ἱππεῖς.* 3. *τετρακισμυρίους καὶ τρισχιλίους* PCMV: *τετρακισχιλίους καὶ τρισμυρίους* v. 6. *μόνων* C. 9. *ἑτέρων* PCM. 11. *κατανηλωμένων* PCM: *κατηνηλωμένων* v. 12. *δὲ* om A.

ἐλπίδας, „Οὐκοῦν“ ἔφη „καὶ ἡμεῖς τούτων κοινωνήσομεν οἱ μετὰ σοῦ στρατευόμενοι.“ Παραιτησαμένου δὲ τοῦ Περδίκκου τὴν διαγεγραμμένην κτῆσιν αὐτῷ καὶ τῶν ἄλλων φίλων ἕνιοι τὸ αὐτὸ ἐποίησαν. Τοῖς δὲ λαμβάνουσι καὶ δεομένοις προθύμως ἐχαρίζετο καὶ τὰ πλεῖστα τῶν ἐν Μακεδονίᾳ διανέμων οὕτως κατηνάλωσε. Τοιαύτῃ μὲν ὁρμῇ καὶ παρασκευῇ διανοίας τὸν Ἑλλήσποντον διεπέρασεν. Ἀναβὰς δὲ εἰς Ἴλιον ἔθυσε τῇ Ἀθηνᾷ καὶ τοῖς ἥρωσιν ἔσπεισε. Τὴν δὲ Ἀχιλλέως στήλην ἀλειψάμενος λίπα καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς, ὥσπερ ἔθος ἐστὶν, ἐστεφάνωσε μακαρίσας αὐτὸν, ὅτι καὶ ζῶν φίλου πιστοῦ καὶ τελευτήσας μεγάλου κήρυκος ἔτυχεν. Ἐν δὲ τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ κατὰ τὴν πόλιν ἐρομένου τινὸς αὐτὸν, εἰ βούλεται τὴν Ἀλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν ἐκείνης ἔφη, τὴν δ' Ἀχιλλέως ζητεῖν, ᾗ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος.

XVI. Ἐν δὲ τούτῳ τῶν Δαρείου στρατηγῶν μεγάλην δύναμιν ἠθροικότων καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τοῦ Γρανικοῦ, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν, ὥσπερ ἐν πύλαις τῆς Ἀσίας, περὶ τῆς εἰσόδου καὶ ἀρχῆς· τοῦ δὲ ποταμοῦ τὸ βάθος καὶ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν πέραν ὄχθων, πρὸς οὓς ἔδει γίνεσθαι τὴν ἀπόβασιν μετὰ μάχης, τῶν πλείστων δεδιότων, ἐνίων δὲ καὶ τὸ περὶ τὸν μῆνα νενομισμένον οἰομένων δεῖν φυλάξασθαι· Δαισίου γὰρ οὐκ εἰώθεισαν οἱ βασιλεῖς τῶν Μακεδόνων ἐξάγειν τὴν στρατιάν· τοῦτο μὲν ἐπηνωρθώσατο κελεύσας δεύτερον Ἀρτεμίσιον ἄγειν, τοῦ δὲ Παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας οὔσης, οὐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν αἰσχύνεσθαι τὸν Ἑλλήσποντον, εἰ φοβήσεται τὸν Γρανικὸν διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι σὺν ἵλαις ἱππέων τρισκαίδεκα· καὶ πρὸς ἐναντίαν

4, 269—70 H.

---

14. τούτων καὶ ἡμεῖς A. κοινωνήσωμεν μετὰ P. mor. 342 e: οὐκοῦν, ἔφη, καὶ ἡμεῖς τούτων μεθέξομεν. 18. διανέμων om P, νέμων CM. 19. οὕτως PCM: οὕτω v. 26. αὐτῶν P. 27. δεῖν φροντίζειν M. 28. Homeri Il. 9, v. 189.

XVI. 2. καὶ τῶν P. 3. γρανίκου P. 5. τὴν τραχύτητα M. 6. ὄχθων qV: ὀχθῶν v. γενέσθαι V. 7. τὸ — νενομισμένον olim Schaeferus, qui nunc δ' ἐκ τῶν — νενομισμένων: τὸν — νενομισμένων P, τῶν — νενομισμένων v. 8. εἰώθησαν P, εἰώθεσαν C. 13. φοβηθήσεται C. τὸ γράνικον P. 14. εἴλαις A, εἴλαις i.

βέλη καὶ τόπους ἀποῤῥῶγας ὅπλοις καταπεφραγμένους καὶ ἵπποις ἐλαύνων καὶ διὰ ῥεύματος παραφέροντος καὶ περικλύζοντος ἔδοξε μανικῶς καὶ πρὸς ἀπόνοιαν μᾶλλον ἢ γνώμῃ στρατηγεῖν. Οὐ μὴν ἀλλ' ἐμφὺς τῇ διαβάσει καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις ὑγρῶν καὶ περισφαλῶν γενομένων διὰ τὸν πηλὸν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι καὶ κατ' ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν τινὰ καταστῆναι τοὺς διαβαίνοντας. Ἐνέκειντο γὰρ κραυγῇ καὶ τοὺς ἵππους παραβάλλοντες τοῖς ἵπποις ἐχρῶντο δόρασι καὶ ξίφεσι τῶν δοράτων συντριβέντων. Ὠσαμένων δὲ πολλῶν ἐπ' αὐτὸν (ἦν δὲ τῇ πέλτῃ καὶ τοῦ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν εἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστὸν), ἀκοντισθεὶς μὲν ὑπὸ τὴν ὑποπτυ-
673 χίδα τοῦ θώρακος οὐκ ἐτρώθη, Ῥοισάκου δὲ καὶ Σπιθριδάτου τῶν στρατηγῶν προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, Ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ καὶ τὸ δόρυ κατακλάσας ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησε. Συμπεπτωκότων δὲ αὐτῶν ὁ Σπιθριδάτης ὑποστήσας ἐκ πλαγίων τὸν ἵππον καὶ μετὰ σπουδῆς συνεξαναστὰς κοπίδι βαρβαρικῇ κατήνεγκε· καὶ τὸν μὲν λόφον ἀπήῤῥαξε μετὰ θατέρου πτεροῦ, τὸ δὲ κράνος πρὸς τὴν πληγὴν ἀκριβῶς καὶ μόλις ἀντέσχεν, ὥστε τῶν πρώτων ψαῦσαι τριχῶν τὴν πτέρυγα τῆς κοπίδος. Ἑτέραν δὲ τὸν Σπιθριδάτην πάλιν ἐπαιρόμενον ἔφθασε Κλεῖτος ὁ μέλας τῷ ξυστῷ διελάσας μέσον. Ὁμοῦ δὲ καὶ Ῥοισάκης ἔπεσεν ὑπὸ Ἀλεξάνδρου ξίφει πληγείς. Ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶνος οὔσης τῆς ἱππομαχίας ἥ τε φάλαγξ διέβαινε τῶν Μακεδόνων καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις. Οὐ μὴν ὑπέστησαν εὐρώστως οὐδὲ πολὺν χρόνον, ἀλλ' ἔφυγον τρα-
4, 270—72 H.

---

15. καταπεφραγμένους CM. 16. ἵππους a et v. παραῤῥέοντος CquV. 18. ἐπιφὺς M, ἐνφὺς i. 22. καταστῆσαι M. 25. τῇ χαίτῃ τοῦ κράνους C. 26. λευκότητι — θαυμαστὸν om C. 29. προφερομένων P. ἐγκλίνας M. 30. προεμβαλὼν M. τεθωρακισμένῳ καὶ τὸ δόρυ κατακλάσας ἐπὶ Emperii C cl. Pelop. 17, 8 Philop. 6, 47: τεθωρακισμένῳ τὸ δόρυ καὶ κατακλάσας τοῦτο ἐπὶ v. 33. κοπίδα βαρβαρικὴν M. 34. ἀπέῤῥαξε PM cum Corae, sed praestare videtur eiusdem ἀπήραξε, cf. Ellendtium ad Arriani t. 2 p. 188. 36. τριχῶν] πτερῶν V. 38. μέλας Blancardus ad Arriani 1, 15 cl. Diodori 17, 20: μέγας libri.

πόμενοι πλὴν τῶν μισθοφόρων Ἑλλήνων. Οὗτοι δὲ πρός τινι λόφῳ συστάντες ᾔτουν τὰ πιστὰ τὸν Ἀλέξανδρον. Ὁ δὲ θυμῷ μᾶλλον ἢ λογισμῷ πρῶτος ἐμβαλὼν τόν τε ἵππον ἀποβάλλει ξίφει πληγέντα διὰ τῶν πλευρῶν (ἦν δὲ ἕτερος, οὐχ ὁ Βουκεφάλας), καὶ τοὺς πλείστους τῶν ἀποθανόντων καὶ τραυματισθέντων ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν πρὸς ἀνθρώπους ἀπεγνωκότας καὶ μαχίμους συμπλεκομένους. Λέγονται δὲ πεζοὶ μὲν δισμύριοι τῶν βαρβάρων, ἱππεῖς δὲ δισχίλιοι πεντακόσιοι πεσεῖν. Τῶν δὲ περὶ τὸν Ἀλέξανδρον Ἀριστόβουλος φησὶ τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἐννέα πεζοὺς εἶναι. Τούτων μὲν οὖν ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς Λύσιππος εἰργάσατο. Κοινούμενος δὲ τὴν νίκην τοῖς Ἕλλησιν ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις ἔπεμψε τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας, κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφήν· „Ἀλέξανδρος ὁ Φιλίππου καὶ οἱ Ἕλληνες πλὴν Λακεδαιμονίων ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν κατοικούντων.“ Ἐκπώματα δὲ καὶ πορφύρας καὶ ὅσα τοιαῦτα τῶν Περσικῶν ἔλαβε πάντα τῇ μητρὶ πλὴν ὀλίγων ἔπεμψεν.

XVII. Οὗτος ὁ ἀγὼν μεγάλην εὐθὺς ἐποίησε τῶν πραγμάτων μεταβολὴν πρὸς Ἀλέξανδρον, ὥστε καὶ Σάρδεις, τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσης τῶν βαρβάρων ἡγεμονίας, παραλαβεῖν καὶ τἆλλα προστίθεσθαι. Μόνη δὲ Ἁλικαρνασσὸς ἀντέστη καὶ Μίλητος, ἃς ἑλὼν κατὰ κράτος καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσάμενος ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. Καὶ πολλάκις μὲν ἔσπευδε Δαρείῳ συμπεσὼν ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων, πολλάκις δὲ τοῖς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο πρῶτον οἷον ἐνασκήσας καὶ ῥώσας αὐτὸν οὕτως ἀναβαίνειν ἐπ' ἐκεῖνον. Ἔστι δὲ τῆς

4, 272—74 H.

---

43. τινα λόφον P, τινι λόφων M. 47. βουκέφαλος M pr. AV cf. ad c. 6. 48. κινδυνεῦσαι καὶ om C. πρὸς — πεσεῖν om M. 50. δισμύριοι] μύριοι ‚quidam codices‘ Stephani. 52. γενέσθαι νεκροὺς C. 56. ἔπεμψεν αἰχμαλώτους τριακοσίους C. 57. ἐπιγραφήν] ἐπιστολὴν M.

XVII. 3. θαλάσσῃ Stephanianae editores, cf. vers. 8 et c. 18 τῶν ἐπὶ θαλάττῃ — στρατηγῶν, sed c. 22 ὁ τῶν ἐπὶ θαλάττης στρατηγός. 4. ἁλικαρνασσὸς CM: Ἁλικαρνασσὸς v. 10. ἑαυτὸν C. ὑπ' ἐκεῖνον P.

Λυκίας κρήνη περὶ τὴν Ξανθίων πόλιν, ἧς τότε λέγουσιν αὐτομάτως περιτραπείσης καὶ ὑπερβαλούσης ἐκ βυθοῦ δέλτον ἐκπεσεῖν χαλκῆν τύπους ἔχουσαν ἀρχαίων γραμμάτων, ἐν οἷς ἐδηλοῦτο παύσασθαι τὴν Περσῶν ἀρχὴν ὑπὸ Ἑλλήνων καταλυθεῖσαν. Τούτοις ἐπαρθεὶς ἠπείγετο τὴν παραλίαν ἀνακαθήρασθαι μέχρι τῆς Φοινίκης καὶ Κιλικίας. Ἡ δὲ τῆς Παμφυλίας παραδρομὴ πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν ἄλλως ἀεὶ τραχεῖαν ἐκ πελάγους προσφερομένην, σπανίως δέ ποτε λεπτοὺς καὶ προσεχεῖς ὑπὸ τὰ κρημνώδη καὶ παρερρωγότα τῆς ὀρεινῆς πάγους διακαλύπτουσαν. Δηλοῖ δὲ καὶ Μένανδρος ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον·

Ὡς Ἀλεξανδρῶδες ἤδη τοῦτο· κἂν ζητῶ τινα,
674 Αὐτόματος οὗτος παρέσται· κἂν διελθεῖν δηλαδὴ
Διὰ θαλάσσης δέῃ τόπον τιν', οὗτος ἔσται μοι βατός.

Αὐτὸς δὲ Ἀλέξανδρος ἐν ταῖς ἐπιστολαῖς οὐδὲν τοιοῦτον τερατευσάμενος ὁδοποιῆσαί φησι τὴν λεγομένην Κλίμακα καὶ διελθεῖν ὁρμήσας ἐκ Φασηλίδος. Διὸ καὶ πλείονας ἡμέρας ἐν τῇ πόλει διέτριψεν· ἐν αἷς καὶ Θεοδέκτου τεθνηκότος (ἦν δὲ Φασηλίτης) ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ μετὰ δεῖπνον ἐπεκώμασε μεθύων καὶ τῶν στεφάνων ἐπέρριψε πολλούς, οὐκ ἄχαριν ἐν παιδιᾷ ἀποδιδοὺς τιμὴν τῇ γενομένῃ δι' Ἀριστοτέλην καὶ φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα.

XVIII. Μετὰ ταῦτα Πισιδῶν τε τοὺς ἀντιστάντας ᾖρει καὶ Φρυγίαν ἐχειροῦτο· καὶ Γόρδιον πόλιν, ἑστίαν Μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην, παραλαβὼν τὴν Θρυ-

4, 274—75 H.

12. *ὑπερβαλλούσης* P. 13. *τύπον* P. 14. *παύσεσθαι* Stephanianae cum [CM] editores. cf. c. 18 *ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ λαμπρὰ μὲν γενέσθαι — τὰ Μακεδόνων.* 20. *ποτε* addidit P. 21. *προσεχεῖς* x: *προσηχεῖς* libri, *προεχεῖς* Coraes. 22. *ἀνακαλύπτουσαν* x. 23. *πεζων* P. vid. sylloge Meinekii p. 211. sive fr. comic. gr. 4, p. 246. 26. *τιν'* Stephanus: *τινα* libri. *βατὸς*] *αὐτὸς* M. 27. *τοιούτων* P. 29. scribebatur *Φασήλιδος. φασιλίδος* CA, *φασίλιδος* i, *βασηλίδος* V, *βασιλίδος* M. 31. *φασιλίτης* PAi. malim *κειμένην* cl. Cat. mai. 16. Mar. 2. Caes. 66. 33. immo *τιμὴν ἀποδιδοὺς* cum Benselero de hiatu p. 363.

XVIII. 1. *ταῦτα δὲ* C. *τε* om C. 3. *θρυλουμένην* CAia: *θρυλλουμένην* v, *καλουμένην* ‚quidam' Stephani.

λουμένην ἅμαξαν εἶδε φλοιῷ κρανίας ἐνδεδεμένην καὶ λόγον ἐπ' αὐτῇ πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῷ λύσαντι τὸν δεσμὸν εἵμαρται βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. Οἱ μὲν οὖν πολλοί φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς φανῆναι. Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἔστορα καλούμενον, ᾧ συνείχετο τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. Ἐντεῦθεν Παφλαγόνας τε καὶ Καππαδόκας προσαγαγόμενος καὶ τὴν Μέμνονος ἀκούσας τελευτήν, ὃς τῶν ἐπὶ θαλάττῃ Δαρείου στρατηγῶν ἐπίδοξος ἦν Ἀλεξάνδρῳ πολλὰ πράγματα καὶ μυρίας ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπερρώσθη πρὸς τὴν ἄνω στρατείαν μᾶλλον. Ἤδη δὲ καὶ Δαρεῖος ἐκ Σούσων κατέβαινεν ἐπαιρόμενός τε τῷ πλήθει τῆς δυνάμεως (ἑξήκοντα γὰρ ἦγε μυριάδας στρατοῦ), καί τινος ὀνείρου θαρρύνοντος αὐτὸν, ὃν οἱ μάγοι πρὸς χάριν ἐξηγοῦντο μᾶλλον ἢ κατὰ τὸ εἰκός. Ἔδοξε γὰρ πυρὶ νέμεσθαι πολλῷ τὴν Μακεδόνων φάλαγγα, τὸν δὲ Ἀλέξανδρον ἔχοντα στολὴν, ἣν αὐτὸς ἐφόρει πρότερον ἀστάνδης ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ· παρελθόντα δὲ εἰς τὸ τοῦ Βήλου τέμενος ἀφανῆ γενέσθαι. Διὰ τούτων, ὡς ἔοικεν, ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ λαμπρὰ μὲν γενέσθαι καὶ περιφανῆ τὰ τῶν Μακεδόνων, Ἀλεξάνδρου δὲ τῆς μὲν Ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε Δαρεῖος ἐξ ἀστάνδου βασιλεὺς γενόμενος, ταχὺ δὲ σὺν δόξῃ τὸν βίον ἀπολείψειν.

XIX. Ἔτι δὲ μᾶλλον ἐθάρρησε καταγνοὺς δειλίαν Ἀλεξάνδρου πολὺν χρόνον ἐν Κιλικίᾳ διατρίψαντος. Ἦν δὲ ἡ

4, 275—76 H.

---

4. κρανίας PC: κρανείας v. ἐνδεδυμένην M. 11. ῥᾳδίαν λέγει τὴν λύσιν αὐτῷ C. 12. scribam γενέσθαι τὴν λύσιν. τὸν νέστορα V. 13. συνείχετο τὸ CM cum Schmiedero: συνεῖχε τὸ v. ἐφελκύσαντι V. 15. μένονος ia, Μέμνωνος Stephaniana. 24. ἀστάνδης Stephanus x aliique cl. mor. 326 f. 340 b. Hesychio Suida Eustathio in Odyss. p. 1854, 28: ἀσγάνδης libri et mox ἀσγάνδου. τοῦ βασιλέως P. 25. προελθόντα C. 26. δ' ὡς C. 27. μὲν addiderunt PCM. γενήσεσθαι correctionem Stephani probatam nuperis non confirmat P, ut scribit Bekkerus. cf. ad c. 17, 14.

διατριβὴ διὰ νόσον, ἣν οἱ μὲν ἐκ κόπων, οἱ δὲ λουσαμένῳ ἐν τῷ τοῦ Κύδνου ῥεύματι καταπαγέντι προσπεσεῖν λέγουσι. Τῶν μὲν οὖν ἄλλων ἰατρῶν οὐδεὶς ἐθάρρει βοηθήσειν, ἀλλὰ τὸν κίνδυνον οἰόμενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας ἐφοβοῦντο τὴν ἐκ τοῦ σφαλῆναι διαβολὴν πρὸς τοὺς Μακεδόνας· Φίλιππος δ' ὁ Ἀκαρνὰν μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα, τῇ δὲ φιλίᾳ πιστεύων καὶ δεινὸν ἡγούμενος, εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει μέχρι τῆς ἐσχάτης πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι καὶ πιεῖν σπεύδοντα ῥωσθῆναι πρὸς τὸν πόλεμον. Ἐν τούτῳ δὲ Παρμενίων ἔπεμψεν ἐπιστολὴν ἀπὸ στρατοπέδου διακελευόμενος αὐτῷ φυλάξασθαι τὸν Φίλιππον ὡς ὑπὸ Δαρείου πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις καὶ γάμῳ
675 θυγατρὸς ἀνελεῖν Ἀλέξανδρον. Ὁ δὲ τὴν ἐπιστολὴν ἀναγνοὺς καὶ μηδενὶ δείξας τῶν φίλων ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. Ὡς δὲ τοῦ καιροῦ παρόντος εἰσῆλθε μετὰ τῶν ἑταίρων ὁ Φίλιππος τὸ φάρμακον ἐν κύλικι κομίζων, ἐκείνῳ μὲν ἐπέδωκε τὴν ἐπιστολήν, αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο προθύμως καὶ ἀνυπόπτως, ὥστε θαυμαστὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι, τοῦ μὲν ἀναγινώσκοντος, τοῦ δὲ πίνοντος, εἶτα ἅμα πρὸς ἀλλήλους ἀποβλεπόντων οὐχ ὁμοίως, ἀλλὰ τοῦ μὲν Ἀλεξάνδρου φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν Φίλιππον εὐμένειαν καὶ πίστιν ἀποφαίνοντος, ἐκείνου δὲ πρὸς τὴν διαβολὴν ἐξισταμένου καὶ ποτὲ μὲν θεοκλυτοῦντος καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος καὶ παρακαλοῦντος τὸν Ἀλέξανδρον εὐθυμεῖν καὶ προσέχειν αὐτῷ. Τὸ γὰρ φάρμακον ἐν ἀρχῇ κρατῆσαν τοῦ σώματος οἷον ἀπέωσε καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν καὶ τὰ
4, 276—77 H.

XIX. 3. ὁ μὲν P. ἐν deleam cl. mor. 237 a Xenophontis memor. 3, 13, 3. 4. καὶ καταπαγέντι Coraes, καὶ παγέντι Schaeferus. neutro puto opus esse. 5. βοηθεῖν Coraes, βοηθῆσαι Schaeferus. ‚quum ceterorum medicorum nemo remedium se allaturum esse confideret' Stephanus. 9. τῷ δὲ φιλίᾳ P. 10. συγκινδυνεύσῃ PC. 13. ἀπὸ τοῦ C. 14. κελευόμενος C. 15. ἐπὶ om C. 18. ἔθηκεν P. cf. Pelop. 10, 29 ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν, ubi item ἔθηκεν MV^{b}. 27. ἀνατείναντος M. 31. ἐπιλιπεῖν Coraes: ἐπιλείπειν v, ἐκλείπειν C.

περὶ τὴν αἴσθησιν ἀσαφῆ καὶ μικρὰ κομιδῇ γενέσθαι, λιποθυμίας ἐπιπεσούσης. Οὐ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τοῦ Φιλίππου καὶ ῥώσας αὐτὸν ἐπέδειξε τοῖς Μακεδόσιν· οὐ γὰρ ἐπαύοντο πρὶν ἰδεῖν τὸν Ἀλέξανδρον ἀθυμοῦντες.

XX. Ἦν δέ τις ἐν τῷ Δαρείου στρατῷ πεφευγὼς ἐκ Μακεδονίας ἀνὴρ Μακεδών, Ἀμύντας, οὐκ ἄπειρος τῆς Ἀλεξάνδρου φύσεως. Οὗτος ὡρμημένον ἰδὼν Δαρεῖον εἴσω τῶν στενῶν βαδίζειν ἐπ' Ἀλέξανδρον ἐδεῖτο κατὰ χώραν ὑπομένειν ἐν πλάτος ἔχουσι πεδίοις καὶ ἀναπεπταμένοις πρὸς ἐλάττονας πλήθει τοσούτῳ διαμαχούμενον. Ἀποκριναμένου δὲ Δαρείου δεδιέναι, μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι καὶ διαφυγὼν Ἀλέξανδρος, „Ἀλλὰ τούτου γε" εἶπεν „ὦ βασιλεῦ, χάριν θἀρρεῖ· βαδιεῖται γὰρ ἐκεῖνος ἐπὶ σὲ καὶ σχεδὸν ἤδη βαδίζει." Ταῦτα λέγων Ἀμύντας οὐκ ἔπειθεν, ἀλλ' ἀναστὰς ἐπορεύετο Δαρεῖος εἰς Κιλικίαν, ἅμα δὲ Ἀλέξανδρος εἰς Συρίαν ἐπ' ἐκεῖνον. Ἐν δὲ τῇ νυκτὶ διαμαρτόντες ἀλλήλων αὖθις ἀνέστρεφον, Ἀλέξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ στενά, Δαρεῖος δὲ τὴν προτέραν ἀναλαβεῖν στρατοπεδείαν καὶ τῶν στενῶν ἐξελιξαι τὴν δύναμιν. Ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβληκὼς ἑαυτὸν εἰς χωρία θαλάττῃ καὶ ὄρεσι καὶ ποταμῷ διὰ μέσου ῥέοντι τῷ Πινάρῳ δύσιππα καὶ διεσπασμένα πολλαχοῦ καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα τὴν θέσιν. Ἀλεξάνδρῳ δὲ τὸν μὲν τόπον ἡ τύχη παρέσχεν, ἐστρατήγησε δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόντων πρὸς τὸ νικῆσαι βέλτιον, ὅς γε τοσούτῳ πλήθει τῶν βαρβάρων λειπόμενος ἐκείνοις μὲν οὐ παρέσχε κύκλωσιν, αὐτὸς δὲ τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλὼν καὶ γενόμενος κατὰ κέρας φυγὴν ἐποίησε τῶν καθ' αὐτὸν βαρβάρων ἐν πρώτοις ἀγωνιζόμενος, ὥστε τρωθῆναι ξίφει τὸν μηρόν, ὡς μὲν Χάρης φησίν, ὑπὸ Δαρείου (συμπεσεῖν γὰρ αὐτοὺς εἰς χεῖρας), Ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπι-

4, 277—79 H.

---

32. λιποθυμίας P cl. c. 63. Brut. 15. 26. Agesil. 27: λειποθυμίας v.

XX. 6. δαρείου μὴ φθάσωσιν ἀποδράντες αὐτὸν οἱ πολέμιοι δεδιέναι καὶ διαφυγὼν C. 9. ἐπὶ σὲ om C. 13. τὴν συντυχίαν M. 15. στρατείαν PM. 18. τῷ πινδάρῳ διὰ μέσου ῥέοντι καὶ δύσιππα C. Πινάρῳ Bryanus: πιννάρῳ x, πινδάρῳ libri. 19. τὴν om Aia. 22. malim τοσοῦτον. λιπόμενος in ras. P. ἐκεῖνος P.

στέλλων τοῖς περὶ τὸν Ἀντίπατρον οὐκ εἴρηκεν, ὅστις ἦν ὁ τρώσας, ὅτι δὲ τρωθείη τὸν μηρὸν ἐγχειριδίῳ· δυσχερὲς δ' οὐδὲν ἀπὸ τοῦ τραύματος συμβὰν γέγραφε. Νικήσας δὲ λαμπρῶς καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα μυριάδας τῶν πολεμίων Δαρεῖον μὲν οὐχ εἷλε τέτταρας σταδίους ἢ πέντε προλαβόντα τῇ φυγῇ, τὸ δὲ ἅρμα καὶ τὸ τόξον αὐτοῦ λαβὼν ἐπανῆλθε· καὶ κατέλαβε τοὺς Μακεδόνας τὸν μὲν ἄλλον πλοῦτον ἐκ τοῦ βαρβαρικοῦ στρατοπέδου φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει, καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων καὶ τὰ πλεῖστα τῆς ἀποσκευῆς ἐν Δαμασκῷ καταλι-
676 πόντων, τὴν δὲ Δαρείου σκηνὴν ἑξηκοντόρους ἐκείνῳ θεραπείας τε λαμπρᾶς καὶ παρασκευῆς καὶ χρημάτων πολλῶν γέμουσαν. Εὐθὺς οὖν ἀποδυσάμενος τὰ ὅπλα πρὸς τὸ λουτρὸν ἐβάδιζεν εἰπών· „Ἴωμεν ἀπολουσόμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα τῷ Δαρείου λουτρῷ.“ Καί τις τῶν ἑταίρων „Μὰ τὸν Δία“ εἶπεν „ἀλλὰ τῷ Ἀλεξάνδρου· τὰ γὰρ τῶν ἡττωμένων εἶναί τε δεῖ καὶ προσαγορεύεσθαι τοῦ κρατοῦντος.“ Ὡς δὲ εἶδε μὲν ὅλκια καὶ κρωσσοὺς καὶ πύελους καὶ ἀλαβάστρους, πάντα χρυσοῦ, ἠσκημένα περιττῶς, ὠδώδει δὲ θεσπέσιον οἷον ὑπὸ ἀρωμάτων καὶ μύρων ὁ οἶκος, ἐκ δὲ τούτου παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει καὶ τῶν περὶ τὴν στρωμνὴν καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτοῦ κόσμῳ θαύματος ἀξίαν, διαβλέψας πρὸς τοὺς ἑταίρους „Τοῦτο ἦν, ὡς ἔοικεν“ ἔφη „τὸ βασιλεύειν.“

XXI. Τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ φράζει τις ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυναῖκα Δαρείου καὶ θυγατέρας δύο παρθένους ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. Συχνὸν οὖν ἐπισχὼν χρόνον Ἀλέξανδρος καὶ ταῖς ἐκείνων τύχαις
4, 279—80 H.

---

30. συμβὰν PM: συμβαίη v. 39. λαμπρᾶς om PCM. 43. εἰπεῖν MV. 44. δεῖ] δὴ P. 45. μὲν ὅλκια Solanus: μὲν ὅλκια qu, μενολκία P, μενόλκια v. 46. χρυσοῦ, ἠσκημένα] interpunctio vereor ne non sufficiat ad excusandum hiatum, ut coniiciam καὶ ἠσκημένα. ἀπὸ V. ὑπὸ — μύρων om M. 47. οἷον ὁ οἶκος ὑπὸ ἐκ ceteris omissis M. εἰς σκηνὴν om PM. 48. καὶ τῷ x nuperi. 49. τὰς τραπέζας Schaeferus. ἀξίαν Reiskius: ἄξια libri. 50. ἑτέρους i.

XXI. 5. οὖν χρόνον ὁ ἀλέξανδρος ἐπισχὼν C.

μᾶλλον ἢ ταῖς ἑαυτοῦ ἐμπαθὴς γενόμενος πέμπει Λεοννάτον ἀπαγγεῖλαι κελεύσας, ὡς οὔτε Δαρεῖος τέθνηκεν οὔτε Ἀλέξανδρον δεδιέναι χρή· Δαρείῳ γὰρ ὑπὲρ ἡγεμονίας πολεμεῖν, ἐκείναις δὲ πάντα ὑπάρξειν, ὧν καὶ Δαρείου βασιλεύοντος ἠξιοῦντο. Τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φανέντος ἔτι μᾶλλον [γενομέναις αἰχμαλώτοις] τὰ ἀπὸ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. Θάψαι γὰρ ὅσους ἐβούλοντο Περσῶν ἔδωκεν ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων, θεραπείας τε καὶ τιμῆς, ἣν εἶχον, οὐδ' ὁτιοῦν ἀφεῖλε, συντάξεις δὲ καὶ μείζονας ἐκαρποῦντο τῶν προτέρων. Ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' αὐτοῦ γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι μήτε ἀκοῦσαί τι μήτε ὑπονοῆσαι μήτε προσδοκῆσαι τῶν αἰσχρῶν, ἀλλ' ὥσπερ οὐκ ἐν στρατοπέδῳ τῶν πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν ἀπόῤῥητον ἔχειν καὶ ἀόρατον ἑτέροις δίαιταν. Καίτοι λέγεταί γε τὴν Δαρείου γυναῖκα πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς Δαρεῖος ἀνδρῶν κάλλιστος καὶ μέγιστος, τὰς δὲ παῖδας ἐοικέναι τοῖς γονεῦσιν. Ἀλλ' Ἀλέξανδρος, ὡς ἔοικε, τοῦ νικᾶν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος οὔτε τούτων ἔθιγεν οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου πλὴν Βαρσίνης. Αὕτη δὲ μετὰ τὴν Μέμνονος τελευτὴν χήρα γενομένη περὶ Δαμασκὸν ἐλήφθη. Πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικὴν καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα καὶ πατρὸς Ἀρταβάζου γεγονότος ἐκ βασιλέως θυγατρὸς ἐγνώσθη, Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον, ὥς φησιν Ἀριστόβουλος, καλῆς καὶ γενναίας καὶ τὸ

4, 280—81 H.

---

6. ἐμπαθὴς] c. 69 comparavit Bekkerus, sed praefero συμπαθὴς Reiskii, cui comparo mor. 338 e. λεονάτον CMA, λεοννᾶτον P. 11. ἔτι δὲ P. γενομέναις αἰχμαλώτοις ab PCM omissa vel delenda sunt cum Schmiedero nuperisque ut ex sequentibus huc illata vel vers. 9 post ὑπάρξειν collocanda. τὰ ἀπὸ om iidem. praepositione non invitus careo, sed articulum retineam. interpolatori debetur quod habent CM ἔτι μᾶλλον τὸ ἔργον ἀπήντα φιλάνθρωπον. Schaeferi ἔτι μᾶλλον τῷ ἔργῳ probari nequit. 14. τε] δὲ C. 15. δὲ καὶ Reiskii P: δὲ v. 19. τῶν addidit P. 24. ἀλλ' om P. ὡς om P. 27. πρὸ γάμου om C. βαρσίνης P[CM] et Photius Bekkeri p. 396 cum Bryano: Βαρσήνης v. 30. γεγονυῖα CM. cf. Diodori 16, 52. 31. προστρεψαμένου M.

κάλλος ἅψασθαι γυναικός. Τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. Ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἰδέαν τὴν ἐκείνων τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμψεν.

XXII. Ἐπεὶ δὲ Φιλόξενος ὁ τῶν ἐπὶ θαλάττης στρατηγὸς ἔγραψεν εἶναι παρ' αὐτῷ Θεόδωρόν τινα Ταραντῖνον ἔχοντα παῖδας ὠνίους δύο τὴν ὄψιν ὑπερφυεῖς καὶ πυνθανόμενος, εἰ πρίηται, χαλεπῶς ἐνεγκὼν ἐβόα πολλάκις πρὸς τοὺς φίλους ἐρωτῶν, τί πώποτε Φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς τοιαῦτα ὀνείδη προξενῶν κάθηται. Τὸν δὲ Φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ λοιδορήσας ἐκέλευσεν αὐτοῖς
677 φορτίοις τὸν Θεόδωρον εἰς τὸν ὅλεθρον ἀποστέλλειν. Ἐπέπληξε δὲ καὶ Ἄγνωνι νεανίσκῳ γράψαντι πρὸς αὐτὸν, ὅτι Κρωβύλον εὐδοκιμοῦντα ἐν Κορίνθῳ βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. Πυνθανόμενος δὲ, μισθοφόρων τινῶν γύναια διεφθαρκέναι Δάμωνα καὶ Τιμόθεον Μακεδόνας τῶν ὑπὸ Παρμενίωνι στρατευομένων, ἔγραψε Παρμενίωνι κελεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία ἐπὶ καταφθορᾷ τῶν ἀνθρώπων γεγονότα τιμωρησάμενον ἀποκτεῖναι. Καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφεν· „Ἐγὼ
4, 281—82 H.

---

33. εὐπρεπεστάτης post κάλλος addit M. καὶ post γενναίας vel delendum vel in κατὰ mutandum censebat Stephanus, καὶ τὸ κάλλος cum Schmiedero delent nuperi. Solano videbantur aliquot verba excidisse. id mihi quoque non incredibile est. 35. ὡς om P. 37. παρέπεμψεν PV: παρέπεμπεν v.

XXII. 1. θαλάττῃ C. 3. ὠνίους] ἰωνίας V, unde Ἰωνίους vel ἐξ Ἰωνίας suspicabatur Coraes, quod habet aliquam speciem propter mor. 332 a: Φιλοξένου — γράψαντος ὅτι παῖς ἐν Ἰωνίᾳ γέγονεν οἷος οὐκ ἄλλος ὥραν καὶ εἶδος καὶ πυνθανομένου διὰ τῶν γραμμάτων, εἰ ἀναπέμψει, πικρῶς ἀντέγραψεν, ὦ κάκιστε ἀνθρώπων, τί μοι πώποτε τοιοῦτο συνέγνως, ἵνα τοιαύταις με κολακεύσῃς ἡδοναῖς; 4. εἶ] ἦν C. 5. ποτε PC. 7 ἐπιστολαῖς M. ἐκέλευσεν Schaeferi P: ἐκέλευεν v. 9. ἄγνωνι M: Ἄγνωνι v. νεανισκῷ delendum puto ut ad Κρωβύλον olim ascriptum delebatque Bryanus. νεανικῶς Solanus, Κρωβύλον νεανίσκον legit Amiotus. 10. Κρωβύλον] cf. Boissonadium ad Aristaeneti p. 441. 12. γυναῖκα A. δάμονα P. 13. στρατευομένων — Παρμενίωνι om P. 15. τιμωρησόμενον PCAi.

γὰρ οὐχ ὅτι ἑωρακὼς ἂν εὐρεθείην τὴν Λαρείου γυναῖκα ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὐδὲ τῶν λεγόντων περὶ τῆς εὐμορφίας αὐτῆς προσδεδεγμένος τὸν λόγον." Ἔλεγε δὲ μάλιστα συνιέναι θνητὸς ὢν ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν, ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. Ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος, καὶ τοῦτο ἄλλοις τε πολλοῖς ἐδήλωσε καὶ τοῖς πρὸς Ἅδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα καὶ Καρίας βασίλισσαν ἀπέδειξεν. Ὡς γὰρ ἐκείνη φιλοφρονουμένη πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιούς, ἔφη τούτων μηδενὸς δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν ὑπὸ τοῦ παιδαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ, πρὸς μὲν τὸ ἄριστον, νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον, ὀλιγαριστίαν. „Ὁ δ' αὐτὸς οὗτος ἀνὴρ" ἔφη „καὶ τῶν στρωμάτων ἐπιὼν τὰ ἀγγεῖα καὶ τῶν ἱματίων ἔλυεν ἐπισκοπῶν, μή τί μοι τρυφερὸν ἢ περισσὸν ἡ μήτηρ συντέθεικεν."

XXIII. Ἦν δὲ καὶ πρὸς οἶνον ἧττον ἢ ἐδόκει καταφερής. Ἔδοξε δὲ διὰ τὸν χρόνον, ὃν οὐ πίνων μᾶλλον ἢ λαλῶν εἶλκεν ἐφ' ἑκάστης κύλικος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος καὶ ταῦτα πολλῆς σχολῆς οὔσης. Ἐπεὶ πρός γε τὰς πράξεις οὐκ οἶνος ἐκεῖνον, οὐχ ὕπνος, οὐ παιδιά τις, οὐ γάμος, οὐ θέα, καθάπερ ἄλλους στρατηγούς, ἐπέσχε. Δηλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν παντάπασι, πλείστων καὶ μεγίστων πράξεων ἐνέπλησεν. Ἐν δὲ ταῖς σχολαῖς πρῶτον μὲν ἀναστὰς καὶ θύσας τοῖς θεοῖς εὐθὺς ἠρίστα καθήμενος· ἔπειτα διημέρευε κυνηγῶν ἢ συντάττων ἢ δικάζων τι τῶν πολεμικῶν ἢ ἀναγινώσκων. Εἰ δὲ ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα πορευόμενος ἢ τοξεύειν ἢ ἐπιβαίνειν

4, 282—83 H.

---

17. εὑρεθείην] εἴην PCMV. 18. οὐδὲ Coraes: οὔτε libri. 22. ἐγκρατέστατος PMω cl. Wyttenbachio ad mor. p. 825: ἐγκρατέστερος C, ἐγκρατέστατος ὡς v. 23. ἐδήλωσε PC: ἐδήλωσεν v. 27. μὴ δενὸς P: μηδὲν v. 28. εἶχεν M. 29. τὸν ἄριστον P. 30. ὀλιγαρκίαν M, ὀλιγαρχίαν V. 31. καὶ τὰ P. 32. ἔλυεν Coraes: ἔλυσεν libri. 33. ἐντέθεικεν Emperius.

XXIII. 2. ἔδοξεν οὖν κατὰ τὸν χρόνον M. ἔδειξε margo Mureti V. 7. παντάπασι C: παντάπασιν v. μεγάλων C. 10. δικάζων] num διδάσκων cl. c. 32 extr. aut συντάττων τι τῶν πολεμικῶν ἢ δικάζων?

ἅρματος ἐλαυνομένου καὶ ἀποβαίνειν. Πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευε καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν ἐφημερίδων. Καταλύσας δὲ καὶ τρεπόμενος πρὸς λουτρὸν ἢ ἄλειμμα τοὺς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν, εἰ τὰ πρὸς τὸ δεῖπνον εὐτρεπῶς ἔχουσι. Καὶ δειπνεῖν μὲν ὀψὲ καὶ σκότους ἤδη κατακλινόμενος ἤρχετο, θαυμαστὴ δὲ ἦν ἡ ἐπιμέλεια καὶ περίβλεψις ἐπὶ τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως μηδὲ ὀλιγώρως διανέμοιτο· τὸν δὲ πότον, ὥσπερ εἴρηται, μακρὸν ὑπὸ ἀδολεσχίας ἐξέτεινε. Καὶ τἆλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι καὶ χάριτος οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις ἀηδὴς ἐγίνετο καὶ λίαν στρατιωτικὸς, αὐτός τε πρὸς τὸ κομπῶδες ὑποφερόμενος καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνεικῶς ἱππάσιμον, ὑφ' ὧν οἱ χαριέστεροι τῶν παρόντων ἐπετρίβοντο, μήτε ἀμιλλᾶσθαι τοῖς κόλαξι μήτε λείπεσθαι βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. Τὸ μὲν γὰρ αἰσχρὸν ἐδόκει, τὸ δὲ κίνδυνον ἔφερε. Μετὰ δὲ τὸν πότον λουσάμενος ἐκάθευδε πολλάκις μέχρι μέσης ἡμέρας· ἔστι δ' ὅτε καὶ
678 διημέρευεν ἐν τῷ καθεύδειν. Αὐτὸς μὲν οὖν καὶ ὄψων ἐγκρατὴς ἦν, ὥστε καὶ τὰ σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀκροδρύων καὶ ἰχθύων ἑκάστῳ διαπεμπόμενος τῶν ἑταίρων πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλιπεῖν· τὸ μέντοι δεῖπνον ἦν ἀεὶ μεγαλοπρεπὲς καὶ τοῖς εὐτυχήμασι τῆς δαπάνης ἅμα συναυξομένης τέλος εἰς μυρίας δραχμὰς προῆλθεν. Ἐνταῦθα δὲ ἔστη καὶ τοσοῦτον ὡρίσθη τελεῖν τοῖς ὑποδεχομένοις Ἀλέξανδρον.

XXIV. Μετὰ δὲ τὴν μάχην τὴν ἐν Ἰσσῷ πέμψας εἰς Δαμασκὸν ἔλαβε τὰ χρήματα καὶ τὰς ἀποσκευὰς καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν Περσῶν. Καὶ πλεῖστα μὲν ὠφελήθησαν οἱ τῶν Θεσσαλῶν ἱππεῖς· τούτους γὰρ ἄνδρας

4, 283—84 H.

---

15. τραπόμενος Schaeferi C. 16. ἄλειμα P. 17. τὸ om C, τὸν P, cf. ad Caton. mai. 21, 18. εὐτρεπῶς S[AM]V: εὐπρεπῶς v. 20. πότον ὡς ὑπὸ ἀδολεσχίας εἴρηται ἐξε ceteris abrasis M. 23. τότε om C. 25. ἀνεικῶς ἑαυτὸν C. χαριέστεροι qCV: χαριέστατοι v. 26. βουλόμενοι μήτε λείπεσθαι C. λείπεσθαι] βούλεσθαι P. 30. διημέρευεν ia et v. ἐν om A. 31. πολλάκις] delent nuperi, cf. ad Agesil. 6. 32. κομιζομένων αὐτῷ M. 33. καταλιπεῖν om M. 34. τοῖς σχήμασι V. 35. συναυξομένης PCM: συναυξανομένης v.

ἀγαθοὺς διαφερόντως ἐν τῇ μάχῃ γενομένους ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλόμενος· ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατόπεδον. Καὶ γευσάμενοι τότε πρῶτον οἱ Μακεδόνες χρυσοῦ καὶ ἀργύρου καὶ γυναικῶν καὶ διαίτης βαρβαρικῆς ὥσπερ κύνες ἔσπευδον ἁψάμενοι στίβου διώκειν καὶ ἀνιχνεύειν τὸν τῶν Περσῶν πλοῦτον. Οὐ μὴν ἀλλ' Ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατύνεσθαι τὰ πρὸς θαλάσσῃ. Κύπρον μὲν οὖν εὐθὺς οἱ βασιλεῖς ἦκον ἐγχειρίζοντες αὐτῷ καὶ Φοινίκην πλὴν Τύρου. Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας χώμασι καὶ μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης ὄναρ εἶδε τὸν Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους καὶ καλοῦντα. Τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔδοξεν ὁ Ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς Ἀλέξανδρον· οὐ γὰρ ἀρέσκειν αὐτῷ τὰ πραττόμενα κατὰ τὴν πόλιν. Ἀλλ' αὐτοὶ μὲν ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους ἐπ' αὐτοφώρῳ τὸν θεὸν εἰληφότες σειράς τε τῷ κολοσσῷ περιέβαλλον αὐτοῦ καὶ καθήλουν πρὸς τὴν βάσιν Ἀλεξανδριστὴν καλοῦντες. Ἕτεραν δὲ ὄψιν Ἀλέξανδρος εἶδε κατὰ τοὺς ὕπνους. Σάτυρος αὐτῷ φανεὶς ἐδόκει προσπαίζειν πόῤῥωθεν, εἶτα βουλομένου λαβεῖν ὑπεξέφυγε· τέλος δὲ πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος ἦλθεν εἰς χεῖρας. Οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες οὐκ ἀπιθάνως ἔφασαν αὐτῷ· „Σὴ γενήσεται Τύρος.“ Καὶ κρήνην δέ τινα δεικνύουσι, πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξε τὸν Σάτυρον. Διὰ μέσου δὲ τῆς πολιορκίας ἐπὶ τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῷ Αντιλιβάνῳ στρατεύσας ἐκινδύνευσε διὰ τὸν παιδαγωγὸν Λυσί-

4, 284–85 H.

XXIV. 10. *τῶν* addiderunt PM. *ἀλλ'* om C. 11. *δὲ πρῶτον* C. *θάλασσαν* M. 12. *ἦκον οἱ βασιλεῖς* C. 14. *διακοσίαισι* P. *θαλάσσης* M. 18. *οὗτοι* Schaeferus. 21. *ἀλεξανδρίτην* CMV cod. Stephani (‚legitur etiam‘). *ὁ ἀλέξανδρος* C. 23. *φανεὶς αὐτῷ πόῤῥωθεν ἐδόκει προσπαίζειν* C, *φανεὶς ἐδόκει προσπαίζειν αὐτῷ πόῤῥωθεν* M. 26. *σὰ* Cx probatum nuperis. ac videri potest sic legisse Zonaras p. 134: *ἐκρίθη δ' οὗτος ὁ ὄνειρος δηλοῦν αὐτῷ κατὰ διαίρεσιν τοῦ ὀνόματος ὡς ‚σὰ Τύρος ἔσται‘*, cl. qui ex h. l. hausisse videtur Eustathio in Dionysii Perieg. v. 911. sed suspecta in talibus est codicis C fides nec opus isto acumine. longius progressus Acidalius ad Curtii 4, 2, 17 delebat *γενήσεται*, quod ipsum, credo, documento est, *σὴ* Plutarchum, non *σὰ* scripsisse. 27. *δὲ* om M. *ἦ* C.

μαχον· ἐξηκολούθησε γὰρ αὐτῷ λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων οὐδὲ πρεσβύτερος. Ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς καὶ τοὺς ἵππους ἀπολιπὼν πεζὸς ἐβάδιζεν, οἱ μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, ἑσπέρας ἤδη καταλαμβανούσης καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀνακαλούμενος καὶ παρακομίζων ἔλαθε τοῦ στρατεύματος ἀποσπασθεὶς μετ' ὀλίγων καὶ σκότους ἅμα καὶ ῥίγους σφοδροῦ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. Εἶδεν οὖν πόῤῥω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. Θαῤῥῶν δὲ τοῦ σώματος τῇ κουφότητι καὶ τῷ πονεῖν αὐτὸς ἀεὶ παραμυθούμενος τὴν ἀπορίαν τῶν Μακεδόνων προσέδραμε τοῖς ἐγγίστα πῦρ καίουσι· καὶ περικαθημένους τῇ πυρᾷ δύο βαρβάρους πατάξας τῷ ἐγχειριδίῳ καὶ δαλὸν ἁρπάσας ἦκε πρὸς τοὺς ἑαυτοῦ κομίζων. Ἐγκαύσαντες δὲ πῦρ πολὺ τοὺς μὲν εὐθὺς ἐφόβησαν, ὥστε φυγεῖν, τοὺς δ' ἐπιόντας ἐτρέψαντο καὶ κατηυλίσθησαν ἀκινδύνως. Ταῦτα μὲν οὖν Χάρης ἱστόρηκεν.

XXV. Ἡ δὲ πολιορκία τοιοῦτον ἔσχε πέρας. Ἀλεξάνδρου τὴν μὲν πολλὴν τῆς δυνάμεως ἀναπαύοντος ἀπὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τινας, ὡς μὴ σχολάζοιεν
679 οἱ πολέμιοι, τοῖς τείχεσι προσάγοντος, Ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο· καὶ τὰ σημεῖα κατιδὼν θρασύτερον διωρίσατο πρὸς τοὺς παρόντας ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσεσθαι τὴν πόλιν. Γενομένου δὲ χλευασμοῦ καὶ γέλωτος (ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα), διηπορημένον αὐτὸν ἰδὼν ὁ βασιλεὺς καὶ συμφιλοτιμούμενος ἀεὶ τοῖς μαντεύμασιν ἐκέλευε μηκέτι τριακάδα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος ἀριθμεῖν· καὶ τῇ σάλπιγγι σημήνας ἀπεπειρᾶτο τῶν τειχῶν ἐῤῥωμενέστερον ἢπερ ἐξ ἀρχῆς διενοήθη. Γενομένης δὲ λαμπρᾶς ἐπιβολῆς καὶ μηδὲ τῶν ἐπὶ στρατοπέδου καρτερούντων,
4, 285—87 H.

31. ἐξηκολούθησεν αὐτῷ P. 32. χεῖρον P. 33. ἀπολιπὼν] καταλαβὼν pr. Ai, καταβαλὼν corr. A. 34. προῆλθον πολὺ C. ἤδη] οὔσης M. 39. οὖν] nonne οὖν οὐ? cf. ad Cat. min. 40. 45. ἐναύσαντες Bryanus.

XXV. 1. ἀλεξάνδρου δὲ M. 3. σχολάζειεν ia. 6. πάντως γὰρ M. 7. τὴν πόλιν] αὐτὴν P. 9. συμφιλοτιμούμενον Stephaniana. ἀεὶ om C. ἐκέλευσε Schaeferi C. 10. τριεικάδα M. 13. ἐπὶ Reiskii P[CM]: ἀπὸ v.

ἀλλὰ συντρεχόντων καὶ προσβοηθούντων, ἀπεῖπον οἱ Τύριοι· καὶ τὴν πόλιν εἶλε κατ' ἐκείνην τὴν ἡμέραν. Μετὰ δὲ ταῦτα πολιορκοῦντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίστην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον ἀφεθεὶς ἄνωθεν ὑπὸ ὄρνιθος. Ὁ δὲ ὄρνις ὑφ' ἓν τῶν μηχανημάτων καθίσας ἔλαθεν ἐνσχεθεὶς τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιστροφὰς τῶν σχοινίων ἐχρῶντο. Καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριστάνδρου πρόρρησιν· ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἔλαβε δὲ τὴν πόλιν. Ἀποστέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ καὶ τοῖς φίλοις κατέπεμψε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ τάλαντα λιβανωτοῦ πεντακόσια καὶ σμύρνης ἑκατὸν ἀναμνησθεὶς παιδικῆς ἐλπίδος. Ὁ γὰρ Λεωνίδης, ὡς ἔοικεν, ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶ καὶ καθαγίσαντα τοῦ θυμιάματος „Ὅταν" ἔφη „τῆς ἀρωματοφόρου κρατήσῃς, Ἀλέξανδρε, πλουσίως οὕτως ἐπιθυμιάσεις· νῦν δὲ φειδόμενος χρῶ τοῖς παροῦσι." Τότε οὖν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτόν. „Ἀπεστάλκαμέν σοι λιβανωτὸν ἄφθονον καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τοὺς θεοὺς μικρολογούμενος."

XXVI. Κιβωτίου δέ τινος αὐτῷ προσενεχθέντος, οὗ πολυτελέστερον οὐδὲν ἐφάνη τοῖς τὰ Δαρείου χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνουσιν, ἠρώτα τοὺς φίλους, ὅ τι δοκοίη μάλιστα τῶν ἀξίων σπουδῆς εἰς αὐτὸ καταθέσθαι. Πολλὰ δὲ πολλῶν λεγόντων αὐτὸς ἔφη τὴν Ἰλιάδα φρουρήσειν ἐνταῦθα καταθέμενος. Καὶ ταῦτα μὲν οὐκ ὀλίγοι τῶν ἀξιοπίστων μεμαρτυρήκασιν. Εἰ δ', ὅπερ Ἀλεξανδρεῖς λέγουσιν Ἡρακλείδῃ πιστεύοντες, ἀληθές ἐστιν, οὔκουν ἀργὸς οὐδὲ ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοικεν Ὅμηρος. Λέγουσι

4, 287—88 H.

---

14. βοηθούντων M. 15. εἶλον C. 17. ἀφεθεῖσα Reiskii ne probes cf. Lobeckium ad Phryn. p. 54. 18. ἐφ' Coraes. 19. καὶ κρυφάλοις P. 24. κλεωνίδῃ τῷ δημαγωγῷ V. 26. ποτὲ] τινι C. ποτε μὲν P. 27. καθ' ἁγιάσαντα P, καθαγιάσαντα M. 29. ἐπιθυμιάσης P. φειδόμενος P: φειδομένως v. 30. ὁ ἀλέξανδρος C.

XXVI. 3. λαμβάνουσιν C. 4. μάλιστα τῶν ἀξίων om M. 5. φρουρήσει M. 8. οὔκουν Corais C: οὖκουν οὐκ v. fortasse praestat οὔκουν οὔτ' — οὔτε. 9. ἀσύμβολος x: ἀσυμβόλως P, ἀσύμβουλος v. αὐτῷ om P. ὅμηρος ἔοικε M. λέγεται M.

γὰρ, ὅτι τῆς Αἰγύπτου κρατήσας ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον Ἑλληνίδα συνοικίσας ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν, καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον οὐδέπω διεμετρεῖτο καὶ περιέβαλλεν. Εἶτα νύκτωρ κοιμώμενος ὄψιν εἶδε θαυμαστήν· ἀνὴρ πολιὸς εὖ μάλα τὴν κόμην καὶ γεραρὸς τὸ εἶδος ἔδοξεν αὐτῷ παραστὰς λέγειν τὰ ἔπη τάδε·

Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτου προπάροιθε· Φάρον δέ ἑ κικλήσκουσιν.

Εὐθὺς οὖν ἐξαναστὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω στόματος, νῦν δὲ διὰ χώματος ἀνείληπται πρὸς τὴν ἤπειρον. Ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα (ταινία γάρ ἐστιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς διείργουσα λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν), εἰπών, ὡς Ὅμηρος ἦν ἄρα τά τε ἄλλα θαυμαστὸς καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως τῷ τόπῳ συναρμόττοντας. Καὶ γῆ μὲν οὐ παρῆν λευκὴ, τῶν δὲ ἀλφίτων λαμβάνοντες ἐν πεδίῳ μελαγγείῳ κυκλοτερῆ κόλπον ἦγον, οὗ τὴν ἐντὸς περιφέρειαν εὐθεῖαι βάσεις ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλαμύδος ὑπελάμβανον ἐξ ἴσου συνάγουσαι τὸ μέ-
680 γεθος. Ἡσθέντος δὲ τῇ διαθέσει τοῦ βασιλέως αἰφνίδιον ὄρνιθες ἀπὸ τοῦ ποταμοῦ καὶ τῆς λίμνης πλήθει τε ἄπειροι καὶ κατὰ γένος παντοδαποὶ καὶ μεγάλοι ἐπὶ τὸν τόπον καταίροντες νέφεσιν ἐοικότες οὐδὲ μικρὸν ὑπελείποντο τῶν ἀλφίτων, ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. Οὐ μὴν ἀλλὰ τῶν μάντεων θαῤῥεῖν παραινούντων (πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτοῦ καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφὸν) ἔργου κελεύσας ἔχεσθαι τοὺς ἐπιμελητὰς αὐτὸς ὥρμησεν εἰς Ἄμμωνος ὁδὸν μακρὰν

4, 288—89 H.

---

10. *εὐβούλετο* ia ex *ἐβουλεύετο* depravatum videbatur Stephano. 11. *συνοικήσας* CM. 13. *νυκτὸς* C. 14. *τὴν γνώμην* M. 15. *γεραρὸν* P. 16. Homeri Od. 4, v. 354 s. *ἔπειτα* om CM. 17. *προπάροιθε* Stephanus: *προπάροιθεν* libri. 18. *ἐπὶ τὸν* P. 19. *ἔτι* om CM. 20. *χώματος*] *πταίματος* V. 22. *διείργουσαν* PM. 24. *ἄρα* om M. 25. *συναρμόττοντας* P[CM]qux: *συναρμόττοντα* v. 29. *συνάγουσα* M. 31. *ἀπείρῳ* P. 32. immo *μέγεθος* cum Emperio. 33. *ὑπελείποντο* PC: *ὑπελίποντο* v, *ὑπέλιπον* Bryanus. 35. *ἀλλὰ* Corais PCM: *ἀλλὰ καὶ* v. 37. *ἔργων* M. 38. *τοῖς ἐπιμεληταῖς* Aia.

καὶ πολλὰ μὲν ἔχουσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνους δὲ δύο, τὸν μὲν ἀνυδρίας, δι' ἣν ἔρημός ἐστιν οὐκ ὀλίγων ἡμερῶν, τὸν δέ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις ἐπιπέσοι νότος, ὥς που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατὸν, ἀναστήσας θῖνα μεγάλην καὶ κυματώσας τὸ πεδίον μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. Ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο, χαλεπὸν δὲ ἦν Ἀλέξανδρον ἀποτρέψαι πρὸς ὁτιοῦν ὡρμημένον. Ἥ τε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκουσα τὴν γνώμην ἰσχυρὰν ἐποίει καὶ τὸ θυμοειδὲς ἄχρι τῶν πραγμάτων ὑπεξέφερε τὴν φιλονεικίαν ἀήττητον οὐ μόνον πολεμίους, ἀλλὰ καὶ τόπους καὶ καιροὺς καταβιαζομένην.

XXVII. Ἐν γοῦν τῇ τότε πορείᾳ τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ θεοῦ βοηθήματα τῶν ὑστέρων χρησμῶν ἐπιστεύθη μᾶλλον· τρόπον δέ τινα καὶ τοῖς χρησμοῖς ἡ πίστις ἐκ τούτων ὑπῆρξε. Πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενόμενοι τόν τε τῆς δίψης φόβον ἔλυσαν καὶ τὴν ξηρότητα κατασβέσαντες τῆς ἄμμου, νοτερᾶς γενομένης καὶ πρὸς αὑτὴν ξυμπεσούσης, εὔπνουν τὸν ἀέρα καὶ καθαρώτερον παρέσχον. Ἔπειτα τῶν ὅρων, οἵπερ ἦσαν τοῖς ὁδηγοῖς, συγχυθέντων καὶ πλάνης οὔσης καὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες· ὃ δὲ ἦν θαυμασιώτατον, ὡς Καλλισθένης φησὶ, ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους νύκτωρ καὶ κλάζοντες εἰς ἴχνος καθίστασαν τῆς πορείας. Ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἦκεν εἰς τὸν τόπον, ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος ἀπὸ τοῦ θεοῦ χαίρειν, ὡς ἀπὸ πατρὸς, προσεῖπεν· ὁ δὲ ἐπήρετο, μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς

4, 289—90 H.

---

42. ὡς] ὅς Reiskii [C]. 46. ἀποτρέψαι PCMu: ἀποστρέψαι v. 48. τραυμάτων C. Schaefero post τῶν excidisse videbatur adiectivum quale παραβολωτάτων. ὑπεξέφερε Reiskii CM: ἐπεξέφερε v. 50. καταβιαζομένων V.

XXVII. 4. ὑπῆρξε PCM: ὑπῆρξεν v. 6. ἄμμεως V. 8. παρέσχεν A. 10. num ἐπιφανέντες? 11. τῆς πορείας] τοῖς παροῦσιν M. 12. βρυδύνοντας P. 16. τὸν τόπον] τὴν πόλιν Stephaniana, τὸν νεὼν x.

φονέων. Εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, οὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυνθάνετο, τοὺς Φιλίππου φονεῖς εἰ πάντας εἴη τετιμωρημένος· εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ διδωσιν ἀνθρώπων κυρίῳ γενέσθαι. Χρήσαντος δὲ τοῦ θεοῦ καὶ τοῦτο διδόναι καὶ Φιλίππου ἀπέχειν ἔκπλεω τὴν δίκην, ἐδωρεῖτο τὸν θεὸν ἀναθήμασι λαμπροῖς καὶ χρήμασι τοὺς ἀνθρώπους. Ταῦτα περὶ τῶν χρησμῶν οἱ πλεῖστοι γράφουσιν· αὐτὸς δὲ Ἀλέξανδρος ἐν ἐπιστολῇ πρὸς τὴν μητέρα φησὶ γεγονέναι τινὰς αὐτῷ μαντείας ἀπορρήτους, ἃς αὐτὸς ἐπανελθὼν φράσει πρὸς μόνην ἐκείνην. Ἔνιοι δέ φασι τὸν μὲν προφήτην Ἑλληνιστὶ βουλόμενον προσειπεῖν μετά τινος φιλοφροσύνης „Ὦ παιδίον“ ἐν τῷ τελευταίῳ τῶν φθόγγων ὑπὸ βαρβαρισμοῦ πρὸς τὸ σίγμα ἐξενεχθῆναι καὶ εἰπεῖν „Ὦ παιδίον“ ἀντὶ τοῦ ν τῷ σ χρησάμενον, ἀσμένῳ δὲ τῷ Ἀλεξάνδρῳ τὸ σφάλμα τῆς φωνῆς γενέσθαι καὶ διαδοθῆναι λόγον, ὡς παῖδα Διὸς αὐτὸν τοῦ θεοῦ προσειπόντος. Λέγεται δὲ καὶ Ψάμμωνος ἐν Αἰγύπτῳ τοῦ φιλοσόφου διακούσας ἀποδέξασθαι μάλιστα τῶν λεχθέντων, ὅτι πάντες οἱ ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ· τὸ γαρ
681 ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν θεῖόν ἐστιν· ἔτι δὲ μᾶλλον αὐτὸς περὶ τούτων φιλοσοφώτερον δοξάζειν καὶ λέγειν, ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα τὸν θεὸν, ἰδίους δὲ ποιούμενον ἑαυτοῦ τοὺς ἀρίστους.

XXVIII. Καθόλου δὲ πρὸς μὲν τοὺς βαρβάρους σοβαρὸς ἦν καὶ σφόδρα πεπεισμένῳ περὶ τῆς ἐκ θεοῦ γενέσεως καὶ τεκνώσεως ὅμοιος, τοῖς δὲ Ἕλλησι μετρίως καὶ ὑποφειδόμενος ἑαυτὸν ἐξεθείαζε· πλὴν περὶ Σάμου γράφων Ἀθηναίοις „Ἐγὼ μὲν οὐκ ἂν“ φησὶν „ὑμῖν ἐλευθέραν πόλιν ἔδωκα καὶ ἔνδοξον· ἔχετε δὲ αὐτὴν λαβόντες παρὰ τοῦ τότε κυρίου καὶ πατρὸς ἐμοῦ προσαγορευομένου,“ λέγων τὸν Φίλιππον. Ὕστερον δὲ πληγῇ περιπεσὼν ὑπὸ τοξεύματος καὶ

4, 290—92 H.

---

19. γονέων C. 20. μεταλαβὼν A. 21. εἰ πάντας om P. 26. ὁ ἀλέξανδρος C. 29. φασὶν P. 31. τὸν φθόγγον M. 32. νῦ τῷ σίγμα P. 37. οἱ addiderunt PC. τοῦ θεοῦ C. 38. καὶ κρατοῦν ἐν ἑκάστῳ CM.

XXVIII. 2. πεπεισμένος C. 3. ὁμοίως Ai. ὑποφειδομένως Stephani (‚rectius fortasse —‘) corr. C. 8. ὑπὸ] περὶ M.

περιαλγὴς γενόμενος· „Τοῦτο μὲν“ εἶπεν „ὦ φίλοι, τὸ ῥέον αἷμα καὶ οὐκ

„ἰχὼρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.“

Ἐπεὶ δὲ μεγάλης ποτὲ βροντῆς γενομένης καὶ πάντων ἐκπλαγέντων Ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη πρὸς αὐτὸν „Μή τι σὺ τοιοῦτον ὁ τοῦ Διός;“ γελάσας ἐκεῖνος „Οὐ βούλομαι γὰρ“ εἶπε „φοβερὸς εἶναι τοῖς φίλοις, ὥσπερ σύ με κελεύεις ὁ καταφαυλίζων μου τὸ δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθύας ὁρᾷς ἐπικειμένους, οὐ σατραπῶν κεφαλάς.“ Τῷ γὰρ ὄντι λέγεται τὸν Ἀνάξαρχον ἰχθυδίων Ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βασιλέως τὸν προειρημένον ἐπιφθέγξασθαι λόγον, οἷον ἐξευτελίζοντα καὶ κατειρωνευόμενον τοὺς τὰ περίβλεπτα μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας, ὡς οὐδὲν ἢ μικρὸν ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι πλέον ἔχοντας τῶν ἄλλων. Ὁ γοῦν Ἀλέξανδρος καὶ ἀπὸ τῶν εἰρημένων δῆλός ἐστιν αὐτὸς οὐδὲν πεπονθὼς οὐδὲ τετυφωμένος, ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειότητος.

XXIX. Εἰς δὲ Φοινίκην ἐπανελθὼν ἐξ Αἰγύπτου θυσίας τοῖς θεοῖς καὶ πομπὰς ἐπετέλει καὶ χορῶν ἐγκυκλίων καὶ τραγικῶν ἀγῶνας οὐ μόνον ταῖς παρασκευαῖς, ἀλλὰ καὶ ταῖς ἀμίλλαις λαμπροὺς γενομένους. Ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν Κυπρίων, ὥσπερ Ἀθήνῃσιν οἱ κληρούμενοι τὰς φυλάς, καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. Μάλιστα δὲ Νικοκρέων ὁ Σαλαμίνιος καὶ Πασικράτης ὁ Σόλιος διεφιλονείκησαν. Οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν, Πασικράτης μὲν Ἀθηνοδώρῳ, Νικοκρέων δὲ Θεσσαλῷ, περὶ ὃν ἐσπουδάκει καὶ αὐτὸς Ἀλέξανδρος. Οὐ μὴν διέφηνε τὴν σπουδὴν πρότερον ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν Ἀθηνόδωρον. Τότε δὲ, ὡς ἔοικεν, ἀπιὼν ἔφη τοὺς μὲν κριτὰς ἐπαινεῖν, αὐτὸς μέντοι μέρος ἂν ἡδέως προέσθαι τῆς βασιλείας ἐπὶ τῷ μὴ Θεσσαλὸν ἰδεῖν νενικημέ-

4, 292—93 H.

---

9. ὦ φίλοι om P. 10. αἱμά τε καὶ M. 11. Homeri Iliad. 5, 340. μακάρεσι Mia. 13. μή τοι A. 14. σοι τοιοῦτον τῷ τοῦ CM, σοι τοιοῦτον ὁ τοῦ A. 17. ὄντι] ὅτι C. 22. ὁ γοῦν] οὐκοῦν V. 25. δεινότητος PAVi.

XXIX. 2. ἐξετέλει CM. χόρων Stephani [C]: χόρον ceteri. immo κυκλίων cum Corae. 5. ὡς παρ' A. 6. θαυμαστὴν φιλοτιμίαν C. 8. ἐνδοξοτάταις M. 9. διαχορηγεῖν CM. 13. ἰδίως C. 14. ἐπὶ τὸ ia.

νον. Ἐπεὶ δὲ Ἀθηνόδωρος ὑπὸ τῶν Ἀθηναίων ζημιωθεὶς, ὅτι πρὸς τὸν ἀγῶνα τῶν Διονυσίων οὐκ ἀπήντησεν, ἠξίου γράψαι περὶ αὐτοῦ τὸν βασιλέα, τοῦτο μὲν οὐκ ἐποίησε, τὴν δὲ ζημίαν ἀπέστειλε παρ' ἑαυτοῦ. Λύκωνος δὲ τοῦ Σκαρφέως εὐημεροῦντος ἐν τῷ θεάτρῳ καὶ στίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας ἔδωκε. Δαρείου δὲ πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν καὶ φίλους δεομένους μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δὲ ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα καὶ γήμαντα μίαν τῶν θυγατέρων φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος „Ἐγὼ μέν, εἰ Ἀλέξανδρος ἦμην, ἔλαβον ἂν ταῦτα“ „Κἀγώ, νὴ Δία“ εἶπεν ὁ Ἀλέξανδρος „εἰ Παρμενίων.“ Πρὸς δὲ τὸν Δαρεῖον ἔγραψεν, ὡς οὐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτὸν, εἰ δὲ μή, αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι.

XXX. Ταχὺ μέντοι μετεμελήθη τῆς Δαρείου γυναικὸς
682 ἀποθανούσης ἐν ὠδῖσι· καὶ φανερὸς ἦν ἀνιώμενος ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. Ἔθαψεν οὖν τὴν ἄνθρωπον οὐδεμιᾶς πολυτελείας φειδόμενος. Τῶν δὲ θαλαμηπόλων τις εὐνούχων, οἳ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τείρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. Ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας „Φεῦ τοῦ Περσῶν“ ἔφη „δαίμονος, εἰ τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς“ ὑπολαβὼν ὁ θαλαμηπόλος „Ἀλλὰ ταφῆς γε χάριν“ εἶπεν „ὦ βασιλεῦ, καὶ τιμῆς ἁπάσης καὶ τοῦ πρέποντος οὐδὲν ἔχεις αἰτιάσασθαι τὸν πονηρὸν δαίμονα Περσῶν. Οὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ καὶ μητρὶ σῇ καὶ τέκνοις ἐνέδει τῶν πρόσθεν ἀγαθῶν καὶ καλῶν ἢ τὸ σὺν ὁρᾶν φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὡρομάσδης, οὔτε ἀποθανοῦσα κόσμου τινὸς ἄμοι-
4, 293—94 H.

---

22. μυρία C. 23. τὴν] τοῦ P. 26. ὁ ἀλέξανδρος εἶπεν CM.

XXX. 1. τῆς τοῦ Stephaniana. 7. τείρεως P: Τίρεως v. 9. εἰ delet Schaeferus, δεῖ vel ἔδει post γενέσθαι excidisse suspicabatur Reiskius. 11. κεῖσθαι] γενέσθαι κειμένην CM. 15. ἐν ἔδει ia. 16. τὸ σὸν] τοσοῦτον PCMuqV. ἀναλάμψοι V.

ρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. Οὕτω γὰρ ἔστι χρηστὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος." Ταῦτα ἀκούσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερε πρὸς ὑποψίας ἀτόπους· καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγών „Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν" ἔφη „τύχης μακεδονίζεις, ἀλλ' ἔτι σοι δεσπότης ἐγὼ Δαρεῖος, εἰπέ μοι σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν καὶ μᾶλλον ἂν κατ' ἀξίαν ἐδυστυχοῦμεν ὠμῷ καὶ σκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα καὶ μέχρι τιμῆς τοσαύτης συμβόλαιον;" Ἔτι λέγοντος αὐτοῦ καταβαλὼν ἐπὶ τοὺς πόδας Τείρεως αὐτὸν ἱκέτευεν εὐφημεῖν καὶ μήτε Ἀλέξανδρον ἀδικεῖν μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχύνειν μήτε αὐτοῦ τὴν μεγίστην ὧν ἔπταικεν ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν, ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶ σωφροσύνην ἢ Πέρσαις ἀνδρείαν ἐπιδεδειγμένον. Ἅμα δὲ ὅρκους τε φρικώδεις τοῦ θαλαμηπόλου κινοῦντος ὑπὲρ τούτων καὶ περὶ τῆς ἄλλης ἐγκρατείας καὶ μεγαλοψυχίας τῆς Ἀλεξάνδρου λέγοντος ἐξελθὼν πρὸς τοὺς ἑταίρους ὁ Δαρεῖος καὶ χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν ἐπεύξατο· „Θεοὶ γενέθλιοι καὶ βασίλειοι, μάλιστα μὲν ἐμοὶ διδοίητε τὴν Περσῶν τύχην εἰς ὀρθὸν αὖθις σταθεῖσαν ἐφ' οἷς ἐδεξάμην ἀγαθοῖς ἀπολιπεῖν, ἵνα κρατήσας ἀμείψωμαι τὰς Ἀλεξάνδρου χάριτας, ὧν εἰς τὰ φίλτατα παίσας ἔτυχον· εἰ δ' ἄρα τις οὗτος εἱμαρτὸς ἦκει χρόνος ὀφειλόμενος νεμέσει καὶ μεταβολῇ παύσασθαι τὰ Περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν Κύρου

4, 294—95 H.

---

21. ἐξέφερον Stephaniana. 23. σοι Pia: σοὶ v. 25. τῶν στατείρας τὰ μικρότατα C. 28. καὶ μέχρι PC cl. c. 31, 9: μέχρι v. 30. τίρεως CM. 32. καταισχύνειν Corais C. 33. τῷ δοκεῖν PCM. 36. ἀνδρίαν CM. 39. coniicerem τὰς χεῖρας nisi etiam mor. 866 e οἱ Θηβαῖοι χεῖράς τε προέτειναν —, nam Agid. 17 articulus ex codice addendus, alia autem ratio est Cat. mai. 2, 26 vel Pyrrh. 14, 22 et Pomp. 66, 25. 40. ἠπηύξατο C. 41. ἐμοὶ om C. τύχην] ἀρχὴν C, βασιλείαν M. εἰς ὀρθὸν] ὀρθῶς CM. 43. τῆς — χάριτος M. 46. καθήσειεν P.

θρόνον πλὴν Ἀλεξάνδρου.“ Ταῦτα μὲν οὕτω γενέσθαι τε καὶ λεχθῆναι φασὶν οἱ πλεῖστοι τῶν συγγραφέων.

XXXI. Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος ἤλαυνεν ἐπὶ Δαρεῖον ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. Καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας εἰς δύο μέρη διῃρηκέναι σφᾶς αὐτούς, ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον, τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς καὶ δυσ-
683 καταπαύστους γεγονότας. Ταῦτα ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας· καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. Ἐθεᾶτο δὲ ὁ στρατὸς ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. Ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας καὶ στολὴν Περσικὴν χρῆσθαι. Ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱστόρηκε. Τὴν δὲ μεγάλην μάχην πρὸς Δαρεῖον οὐκ ἐν Ἀρβήλοις, ὥσπερ οἱ πολλοὶ γράφουσιν, ἀλλὰ ἐν Γαυγαμήλοις γενέσθαι συνέπεσε. Σημαίνειν δέ φασιν οἶκον καμήλου τὴν διάλεκτον, ἐπεὶ τῶν πάλαι τις βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος ἐνταῦθα καθίδρυσεν αὐτὴν ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν. Ἡ μὲν οὖν σελήνη τοῦ Βοηδρομιῶνος ἐξέλιπε περὶ τὴν τῶν μυστηρίων τῶν Ἀθήνησιν ἀρχήν. Ἐνδεκάτῃ δὲ ἀπὸ τῆς ἐκλείψεως νυκτὶ τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, Δαρεῖος μὲν ἐν ὅπλοις συνεῖχε τὴν δύναμιν ὑπὸ λαμπάδων ἐπιπορευόμενος τὰς τάξεις, Ἀλέξανδρος δὲ, τῶν Μακεδόνων ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς μετὰ

4, 295—97 H.

---

47. τε om C.

XXXI. 2. ὑφ' om M. 5. διῃρηκέναι Reiskii [CM]: διῃρημένα PAi, διῃρημένους a et v. ὧν om P. 7. ἀρξαμένοις P. 9. δυσκατασπάστους P. voluit fortasse δυσκαταστάτους. 12. φιλότας C. 13. γινόμενον C. 16. μείστην C. 17. ἀρβίλοις Aia. 18. Γαυγαμήλοις Guarinus Xylander x: γαυσαμήλοις P, γαυσαμήλοις ceteri et v cum Zonara. γενέσθαι συνέπεσε] συνέβη γενέσθαι C. 23. ἐν ἀθήνησιν M, ἀθηναίων C. 25. μὲν ἐν Stephanianae [MA] cl. Solon. 22, 13 mor. 193 e: legebatur μὲν.

τοῦ μάντεως Ἀριστάνδρου διέτριβεν ἱερουργίας τινὰς ἀπορρήτους ἱερουργούμενος καὶ τῷ Φόβῳ σφαγιαζόμενος. Οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων καὶ μάλιστα Παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυναίων ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβαρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη καὶ θόρυβος ἐκ τοῦ στρατοπέδου καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυμάσαντες τὸ πλῆθος καὶ πρὸς ἀλλήλους διαλεχθέντες, ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γενομένῳ τῷ βασιλεῖ προσελθόντες ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. Ὁ δὲ τὸ μνημονευόμενον εἰπών, „Οὐ κλέπτω τὴν νίκην“ ἐνίοις μὲν ἔδοξε μειρακιώδη καὶ κενὴν ἀπόκρισιν πεποιῆσθαι παίζων πρὸς τοσοῦτον κίνδυνον, ἐνίοις δὲ καὶ τῷ παρόντι θαρρεῖν καὶ στοχάζεσθαι τοῦ μέλλοντος ὀρθῶς μὴ διδοὺς πρόφασιν ἡττηθέντι Δαρείῳ πρὸς ἄλλην αὖθις ἀναθαρρῆσαι πεῖραν αἰτιωμένῳ τούτων νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν τῶν προτέρων. Οὐ γὰρ ὅπλων οὐδὲ σωμάτων ἀπορίᾳ παύσεσθαι πολεμοῦντα Δαρεῖον ἀπὸ τηλικαύτης δυνάμεως καὶ χώρας τοσαύτης, ἀλλ' ὅταν ἀφῇ τὸ φρόνημα καὶ τὴν ἐλπίδα δι' ἐμφανοῦς ἥττης κατὰ κράτος ἐξελεγχθείς.

XXXII. Ἀπελθόντων δὲ τούτων κατακλιθεὶς ὑπὸ σκηνὴν λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς ὕπνῳ βαθεῖ κρατηθῆναι παρὰ τὸ εἰωθός, ὥστε θαυμάζειν ἐπελθόντας ὅρ-

4, 297—98 H.

---

29. φόβῳ margo Amioti (‚les autres exemplaires mettent à la Peur‘) cl. Thes. 27, 12: φοίβῳ libri. 31. ‚ἴσως Γορδιάκων‘ Muretus, γορδάκων x, Γορδυαίων Bryani nuperi convenienter Straboni 16 p. 746. cf. Reimarum in Dionis 68, 26. 33. φωνὴ καὶ C. θόρυβος] θροῦς C. post θόρυβος v addita καὶ φόβος delevi cum PC, in καὶ ψόφος cum Schmiedero correcta ab nuperis cl. c. 60. ego suspicor ex margine huc illata esse ascripta olim ad praecedens φοίβῳ. 34. προσήκει P. 45. τούτων om C, τούτῳ A, νύκτα τούτῳ P. 46. τῶν πρωτέρων] τὸ πρότερον C, πρότερον P. 47. παύσασθαι PCM.

XXXII. 2. λεῖπον C. μέρος om C. ὕπνῳ βαθεῖ κρατηθῆναι τῆς νυκτὸς M. 3. ἀπελθόντας Mi, ἀπελθόντος PCA.

θρου τοὺς ἡγεμόνας καὶ παρ' αὐτῶν ἐξενεγκεῖν παράγγελμα πρῶτον ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα τοῦ καιροῦ κατεπείγοντος εἰσελθόντα Παρμενίωνα καὶ παραστάντα τῇ κλίνῃ δὶς ἢ τρὶς αὐτοῦ φθέγξασθαι τοὔνομα· καὶ διεγερθέντος οὕτως ἐρωτᾶν, ὅ τι δὴ πεπονθὼς ὕπνον καθεύδοι νενικηκότος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. Τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα· „Τί γάρ; οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ φυγομαχοῦντα χώρᾳ Δαρεῖον;“ Οὐ μόνον δὲ πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρ' αὐτὸν τὸν κίνδυνον ἐπεδείξατο μέγαν καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαρρεῖν ἑαυτόν. Ἔσχε γὰρ ὁ ἀγὼν ὑποτροπὴν καὶ σάλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥόθῳ πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας, Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσ-
684 βαλοῦντας. Διὸ καὶ θορυβούμενος ὑπ' ἀμφοτέρων ὁ Παρμενίων ἀπέστειλε πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρακα καὶ τὰς ἀποσκευάς, εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειε τοῖς ὄπισθεν. Ἔτυχε μὲν οὖν κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν ἐφόδου διδοὺς σημεῖον· ὡς δὲ ἤκουσε τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτὸν οὐδὲ ἐντὸς εἶναι τῶν λογισμῶν, ἀλλ' ἐπιλελῆσθαι ταραττόμενον, ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων, ἡττωμένοις δὲ φροντιστέον οὐ χρημάτων οὐδὲ ἀνδραπόδων, ἀλλ' ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι. Ταῦτα ἐπιστείλας Παρμενίωνι τὸ κράνος περιέθετο, τὸν δὲ ἄλλον ὁπλισμὸν εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπένδυμα τῶν Σικελικῶν ζωστόν, ἐπὶ δὲ τούτῳ θώρακα διπλοῦν λινοῦν ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. Τὸ δὲ

4, 298–99 H.

οι

8. καθεύδει A. 10. malim δ' οὖν vel οὖν. 11. σοὶ Stephaniana. 13. δαρεῖον χώρα C. 14. παρ' αὐτὸν τὸν κίνδυνον PCM: παρὰ τὸν κίνδυνον αὐτὸν v. μέγα Aia. 15. τῷ om P. 16. ὑποτροπὴν Corais PCA cl. Lucull. 7, 32. de S. N. V. c. 22: οὔπω τροπὴν M, ἀποτροπὴν v. 18. παραπέμψαντος CM. 19. προσβαλόντας Francofurtana. 22. ὑποσκευὰς PM. 25. τοῦ om P. 26. τῶν om C. 28. ἡττημένοις C. οὐχὶ χρημάτων C. 32. ὑπένδυμα Coraes. δικελικῶν V. τούτων CMAiqV. 33. διπλοῦν om CP.

κράνος ἦν μὲν σιδηροῦν, ἔστιλβε δὲ ὥσπερ ἄργυρος καθαρός, ἔργον Θεοφίλου, συνήρμοστο δὲ αὐτῷ περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον· μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι, δορησαμένου τοῦ Κιτιέων βασιλέως, εἶχεν ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας. Ἐπιπόρπωμα δὲ ἐφόρει τῇ μὲν ἐργασίᾳ σοβαρώτερον ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν· ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ' ἧς ἐδόθη δῶρον· ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. Ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος ἢ παρακελευόμενος ἢ διδάσκων ἢ ἐφορῶν παρεξήλαυνεν ἄλλον ἵππον εἶχε, τοῦ Βουκεφάλα φειδόμενος ἤδη παρήλικος ὄντος· χωροῦντι δὲ πρὸς ἔργον ἐκεῖνος προσήγετο καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου.

XXXIII. Τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέῤῥωσαν αὐτὸν βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν τῇ δεξιᾷ παρεκάλει τοὺς θεούς, ὡς Καλλισθένης φησίν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶ γεγονὼς, ἀμῦναι καὶ συνεπιῤῥῶσαι τοὺς Ἕλληνας. Ὁ δὲ μάντις Ἀρίστανδρος χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον ἐπεδείκνυτο παριππεύων ἀετὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἐπὶ τοὺς πολεμίους, ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαῤῥεῖν καὶ παρακαλεῖν ἀλλήλους δρόμῳ τοῖς ἱππεῦσιν ἱεμένοις ἐπὶ τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. Πρὶν δὲ συμμῖξαι τοὺς πρώτους ἐξέκλιναν οἱ βάρβαροι καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. Πόῤῥωθεν γὰρ αὐτὸν κατεῖδε διὰ τῶν προτεταγμένων ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα, καλὸν ἄνδρα καὶ μέγαν ἐφ' ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς

4, 299—300 H.

37. κιττιέων C, κιττιαίων P, κτιέως M. εἶχεν Schaeferus: ἦν εἶχεν libri. 38. ἐπιπόρπωμα qM: ἐπιπόρπομα P, ἐπιπόρμωμα C, πόρπωμα V, ἐπιπόρπαμα v. 41. δὲ καὶ] καὶ C. 44. βουκεφάλου CMV, cf. ad c. 6. 46. εὐθὺς om C.

XXXIII. 3. μεταλαβὼν Coraes, indicem ad Homeri Odyss. p. 151 confert Schaeferus. 9. scribam τὴν πτῆσιν cum Benselero de hiatu p. 365. 10. θράσος C. 11. θαῤῥεῖν καὶ παρακαλεῖν] παρακαλεῖν καὶ παραθαῤῥύνειν C. 14. τοῦ ἀλεξάνδρου M. 16. εἴλης Ai.

ἱππεῦσι καὶ λαμπροῖς καταπεφραγμένον εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα καὶ παρατεταγμένοις δέχεσθαι τοὺς πολεμίους. Ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας ἐξέπληξε καὶ διεσκέδασε τὸ πλεῖστον. Οἱ δὲ ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι καὶ κατ' ἀλλήλων πίπτοντες ἐμποδὼν τῆς διώξεως ἦσαν ἐμπλεκόμενοι καὶ περισπαίροντες αὐτοῖς ἵπποις. Δαρεῖος δὲ, τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων καὶ τῶν προτεταγμένων δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς οὐκ ἦν ἀποστρέψαι τὸ ἅρμα καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ' οἵ τε τροχοὶ συνείχοντο πτώμασι πεφυρμένοι τοσούτοις οἵ τε ἵπποι καταλαμβανόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπολείπει μὲν τὸ
685 ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δὲ, ὥς φασι, νεοτόκον ἵππον περιβὰς ἔφυγεν. Οὐ μὴν τότε ἂν ἐδόκει διαφυγεῖν, εἰ μὴ πάλιν ἦκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. Ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ' ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον, εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησὶ, τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. Τότε δ' οὖν ὁ βασιλεὺς ἀνιαθεὶς τῇ μεταπέμψει τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τὸ ἀληθὲς, ἀλλ' ὡς ἀνέχων τοῦ φονεύειν καὶ σκότους ὄντος ἀνάκλησιν ἐσήμανεν· ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος ἤκουσε καθ' ὁδὸν ἡττῆσθαι παντάπασι καὶ φεύγειν τοὺς πολεμίους.

XXXIV. Τοῦτο τῆς μάχης ἐκείνης λαβούσης τὸ πέρας, ἡ μὲν ἀρχὴ παντάπασιν ἡ Περσῶν ἐδόκει καταλελύσθαι, βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος ἔθυε τοῖς θεοῖς μεγαλοπρεπῶς καὶ τοῖς φίλοις ἐδωρεῖτο πλούτους καὶ
4, 300—1 H.

19. *τοῖς πολεμίοις* A. 21. ‚invenitur scriptum et *μέλλοντας*' Stephanus. 24. *αὐτοῖς ἵπποις* PMuV: *τοῖς ἵπποις* C, *αὐτοῖς καὶ ἵπποις* v, *αὐτοῖς τε καὶ τοῖς ἵπποις* x. 26. *ἐρειπομένων* P. 27. *ἀποτρέψαι* P. *διελάσαι* C. 30. *ἀπολιπεῖν* M. 32. *ἂν* PCM: *γ' ἂν* v. *διαφυγεῖν* Corais C: *διαφεύγειν* v. 39. *προσφθονοῦντα*] Camill. 36, 7. Dion. 2. confert Schaeferus. 40. *δ'* om P. 42. *ἐσήμαινεν* CA. 43. *παντάπασι* CM: *παντάπασιν* v.

XXXIV. 4. *τοὺς φίλους* M.

οἴκους καὶ ἡγεμονίας. Φιλοτιμούμενος δὲ πρὸς τοὺς Ἕλληνας ἔγραψε τὰς τυραννίδας πάσας καταλυθῆναι καὶ πολιτεύειν αὐτονόμους, ἰδίᾳ δὲ Πλαταιεῦσι τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. Ἔπεμψε δὲ καὶ Κροτωνιάταις εἰς Ἰταλίαν μέρος τῶν λαφύρων τὴν Φαύλλου τοῦ ἀθλητοῦ τιμῶν προθυμίαν καὶ ἀρετήν, ὃς περὶ τὰ Μηδικὰ τῶν ἄλλων Ἰταλιωτῶν ἀπεγνωκότων τοὺς Ἕλληνας ἰδιόστολον ἔχων ναῦν ἔπλευσεν εἰς Σαλαμῖνα τοῦ κινδύνου τι μεθέξων. Οὕτω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετὴν καὶ καλῶν ἔργων φύλαξ καὶ οἰκεῖος.

XXXV. Ἐπιὼν δὲ τὴν Βαβυλωνίαν ἅπασαν εὐθὺς ἐπ' αὐτῷ γενομένην ἐθαύμασε μάλιστα τό τε χάσμα τοῦ πυρὸς [ἐν Ἐκβατάνοις,] ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου καὶ τὸ ῥεῦμα τοῦ νάφθα λιμνάζοντος διὰ τὸ πλῆθος οὐ πόρρω τοῦ χάσματος, ὃς τἆλλα μὲν ἀσφάλτῳ προσέοικεν, οὕτω δὲ εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε πρὶν ἢ θιγεῖν τὴν φλόγα δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτόμενος αὐγῆς τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίειν. Ἐπιδεικνύμενοι δὲ τὴν φύσιν αὐτοῦ καὶ δύναμιν οἱ βάρβαροι τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τοῦ βασιλέως στενωπὸν ἐλαφρῷ τῷ φαρμάκῳ κατεψέκασαν· εἶτα στάντες ἐπ' ἄκρῳ τοὺς λαμπτῆρας τοῖς

4, 301—2 H.

---

10. *Φαύλλου* Reiskii M cl. Herodoti 8, 47 ubi tamen eadem discrepantia: *Φαύλου* v. *τοῦ ἄυλου προθυμίαν τιμῶν* M. 14. *πᾶσαν* C.

XXXV. 1. *Βαβυλωνίαν* Corais PC: *Βαβυλωνίων* v. *ὑπ'* tacito Coraes. *μάλιστα* om Aia. 2. *τότε μάλιστα χάσμα* M. 3. *ἐν ἐκβατάνων* V. de Ecbatanis Babylonicis nihil constat. hinc suspecta vox Scaligero *ἐν Ἀρακτηνῇ* corrigenti secundum Strabonis 16 p. 1072 (737 d) cui *Ἀρτακηνή* est, cf. Reimarum in Dionis 68, 27 p. 1141. *Μηδίαν* pro *Βαβυλωνίαν* suspicabatur Coraes, *χάσμα τοῦ πυρὸς ὅμοιον τῷ ἐν Ἐκβατάνοις* Reiskius. sed omnes miro errore *τὸ χάσμα* de fontibus naphthae acceperunt. ego non dubito quin *τὰ πυρὰ* intelligenda sint Strabonis (*περὶ Ἄρβηλα δὲ ἔστι καὶ Δημητριὰς πόλις, εἶθ' ἡ τοῦ Νάφθα πηγὴ καὶ τὰ πυρὰ* —) 16 p. 738. hinc *ἐν Ἐκβατάνοις* deleo. 6. *θιγεῖν* Coraes et alibi: *θίγειν* v. 7. *αὐτῆς* om C. *ἐξαπτόμενος* Reiskius: *ἐξαπτομένης* libri. 8. *συνεκκαίειν* CM: *συνεκκαίει* Corais PA, *συνεκκαίοι* v. 9. *φύσιν αὐτοῦ καὶ δύναμιν* PM: *δύναμιν αὐτοῦ καὶ φύσιν* v. 10. *ἐλαφρῶς* Reiskius.

βεβρεγμένοις προσέθηκαν· ἤδη γὰρ συνεσκόταζε. Τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων οὐκ ἔσχεν ἡ νομὴ χρόνον αἰσθητόν, ἀλλ' ἅμα νοήματι διῆκτο πρὸς θάτερον πέρας καὶ πῦρ ἐγεγόνει συνεχὲς ὁ στενωπός. Ἦν δέ τις Ἀθηνοφάνης Ἀθηναῖος τῶν περὶ ἄλειμμα καὶ λουτρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τοῦ βασιλέως καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἐπὶ τὸ ῥᾴθυμον. Οὗτος ἐν τῷ λουτρῶνι τότε παιδαρίου τῷ Ἀλεξάνδρῳ παρεστῶτος εὐτελοῦς σφόδρα καὶ γελοίου τὴν ὄψιν, ᾄδοντος δὲ χαριέντως, Στέφανος ἐκαλεῖτο, „Βούλει" φησὶν „ὦ βασιλεῦ, διάπειραν ἐν Στεφάνῳ τοῦ φαρμάκου λάβωμεν; ἂν γὰρ ἅψηται τούτου καὶ μὴ κατασβεσθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτοῦ τὴν δύναμιν εἶναι." Προθύμως δέ πως καὶ τοῦ παιδαρίου διδόντος ἑαυτὸν πρὸς τὴν πεῖραν ἅμα τῷ περιαλεῖψαι καὶ θιγεῖν ἐξήνθησε φλόγα τοσαύτην τὸ σῶμα καὶ πυρὶ κατεσχέθη το πᾶν, ὥστε τὸν Ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέους ἐλθεῖν· εἰ δὲ μὴ κατὰ τύχην πολλοὶ παρῆσαν ἀγγεῖα πρὸς τὸ λουτρὸν ὕδατος διὰ
686 χειρῶν ἔχοντες, οὐκ ἂν ἔφθασεν ἡ βοήθεια τὴν ἐπινομήν. Ἀλλὰ καὶ τότε μόγις κατέσβεσαν τὸ σῶμα τοῦ παιδὸς δι' ὅλου πῦρ γενόμενον καὶ μετὰ ταῦτα χαλεπῶς ἔσχεν. Εἰκότως οὖν ἔνιοι τὸν μῦθον ἀνασώζοντες πρὸς τὴν ἀλήθειαν τοῦτο φασὶν εἶναι τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν. Οὐ γὰρ ἐξ αὐτῶν ἐκείνων οὐδὲ ἀπ' αὐτομάτου λάμψαι τὸ πῦρ, ἀλλὰ φλογὸς ἐγγύθεν παρατεθείσης ὀξεῖαν ὁλκὴν καὶ συναφὴν ἄδηλον

4, 302—4 H.

---

14. *διῆκτο* PMA: *διῃκτο* v. 15. *συνεχὺς* ia, *συνεχὴς* Stephaniana. num forte *Ἀριστοφάνης*, cl. c. 51.? quamquam vide ibi. 16. *ἄλειμα* P. 18. *λουτρῶν* A, *λουτρῷ* C. · 19. *εὐτελοῦς σφόδρα*] ,verba haec in praecedentibus editionibus desiderantur: sed particula *καὶ*, quam eaedem ante *γελοίου* habent, omissionis verborum, sive horum, sive aliorum est index. Uterque interpres particulam illam merito omisit, quum ea, quae coniungit, verba non haberet —' Stephanus. tam ambigue haec dicta sunt, ut de fide horum verborum dubitarem, nisi in CM ea haberi eorum qui eos inspexerunt testaretur silentium. 20. *Στέφανος ἐκαλεῖτο* om M. *στέφανος* PCA cf. Heldium in Aemil. p. 178: *ὃς Στέφανος* v. 23. *τὴν δύναμιν αὐτοῦ εἶναι* V. 24. *δόντος* M. 26. *τὸ πᾶν* PM: *πᾶν* v. 28. *πολλὰ* ia et v. 30. *δι' ὅλου* Schaeferus: *διόλου* v. 32. *βοήθειαν* P. 33. *μηδίας* P. 36. *ἐγγύθεν* Bryanus: *ἐκεῖθεν* libri.

αἰσθήσει γενέσθαι. Τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς ἄποθεν ἐπερχόμενα τοῖς μὲν ἄλλοις σώμασι φῶς καὶ θερμότητα προσβάλλειν μόνον, ἐν δὲ τοῖς ξηρότητα πνευματικὴν ἢ νοτίδα λιπαρὰν καὶ διαρκῆ κεκτημένοις ἀθροιζόμενα καὶ πυριμανοῦντα μεταβάλλειν ὀξέως τὴν ὕλην. Παρεῖχε δὲ ἀπορίαν ἡ γένεσις... εἴτε μᾶλλον ὑπέκκαυμα τῆς φλογὸς ὑπορρεῖ τὸ ὑγρὸν ἐκ τῆς γῆς φύσιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης. Καὶ γάρ ἐστιν ἡ Βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ὑπὸ φλεγμονῆς τῶν τόπων σφυγμοὺς ἐχόντων, τοὺς δὲ ἀνθρώπους ἐν τοῖς καύμασιν ἐπ' ἀσκῶν πεπληρωμένων ὕδατος καθεύδειν. Ἅρπαλος δὲ τῆς χώρας ἀπολειφθεὶς ἐπιμελητὴς καὶ φιλοκαλῶν Ἑλληνικαῖς φυτείαις διακοσμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους τῶν μὲν ἄλλων ἐκράτησε, τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ μόνον, ἀλλ' ἀεὶ διέφθειρεν οὐ φέροντα τὴν κρᾶσιν· ἡ μὲν γὰρ πυρώδης, ὁ δὲ φιλόψυχρος. Τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέτρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγορήσουσιν.

XXXVI. Ἀλέξανδρος δὲ Σούσων κυριεύσας παρέλαβεν ἐν τοῖς βασιλείοις τετρακισμύρια τάλαντα νομίσματος, τὴν δὲ ἄλλην κατασκευὴν καὶ πολυτέλειαν ἀδιήγητον. Ὅπου φησὶ καὶ πορφύρας Ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντακισχίλια, συγκειμένης μὲν ἐξ ἐτῶν δέκα δεόντων διακοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλαττούσης. Αἴτιον δὲ τούτου φασὶν εἶναι τὸ τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι τῶν ἁλουργῶν, δι' ἐλαίου δὲ λευκοῦ τῶν λευκῶν· καὶ γὰρ

4, 304—5 H.

---

38. ἄποθεν PCM: ἄπωθεν v. 39. προσβάλλει CM. δὲ τοῖς Reiskius: δὲ τοῖς ἄλλοις (ἄλλως M) libri. 40. ἢ PCAuSV: καὶ v. 41. πυριμανοῦντα] παραμένοντα Solanus probatum Schneidero in lexico, πυρούμενα Lobeckius Aglaoph. 2 p. 1013. Toupium emendat. in Suidam 2 p. 416 laudat Schaeferus. 42. γένεσις] ‚en c'est endroit defaillent quelques lignes en l'original Grec. D'où et comment s'en gendre la Naphthe' margo Amioti. ‚εἴτε μᾶλλον. ante haec multa desiderantur' x. 46. οἷον ἀπὸ M. 48. Ἅρπαλος] cf. mor. 648 c propter Schmiederum. 51. τῶν δὲ κιττῶν PA. 54. κατηγορήσουσιν Corais C cl. Timol. 15. Thes. 1: κατηγοροῦσιν v.

XXXVI. 4. φασὶ Corais C, sed cf. 37. 6. ἔτι τὸ ἄνθος M. 7. βαφικὴν V. γενέσθαι M. 8. λευκοῦ om C.

τούτων τὸν ἴσον χρόνον ἐχόντων τὴν λαμπρότητα καθαρὰν καὶ στίλβουσαν ὁρᾶσθαι. Δείνων δέ φησι καὶ ὕδωρ ἀπό τε τοῦ Νείλου καὶ τοῦ Ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους εἰς τὴν γάζαν ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιουμένους τὸ μέγεθος τῆς ἀρχῆς καὶ τὸ κυριεύειν ἁπάντων.

XXXVII. Τῆς δὲ Περσίδος οὔσης διὰ τραχύτητα δυσεμβόλου καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων Περσῶν (Δαρεῖος μὲν γὰρ ἐπεφεύγει) γίγνεταί τινος περιόδου κύκλον ἐχούσης οὐ πολὺν ἡγεμὼν αὐτῷ δίγλωσσος ἄνθρωπος ἐκ πατρὸς Λυκίου, μητρὸς δὲ Περσίδος γεγονώς· ὃν φασιν, ἔτι παιδὸς ὄντος Ἀλεξάνδρου, τὴν Πυθίαν προειπεῖν, ὡς λύκος ἔσται καθηγεμὼν Ἀλεξάνδρῳ τῆς ἐπὶ Πέρσας πορείας. Φόνον μὲν οὖν ἐνταῦθα πολὺν τῶν ἁλισκομένων γενέσθαι συνέπεσε· γράφει γὰρ αὐτὸς, ὡς νομίζων αὐτῷ τοῦτο λυσιτελεῖν ἐκέλευεν ἀποσφάττεσθαι τοὺς ἀνθρώπους· νομίσματος δὲ εὑρεῖν πλῆθος ὅσον ἐν Σούσοις, τὴν δὲ ἄλλην κατασκευὴν καὶ τὸν πλοῦτον ἐκκομισθῆναί φασι μυρίοις ὁρικοῖς ζεύγεσι καὶ πεντακισχιλίαις καμήλοις. Ξέρξου δὲ ἀνδριάντα μέγαν θεασάμενος ὑπὸ πλήθους τῶν ὠθουμένων εἰς τὰ βασίλεια πλημμελῶς ἀνατετραμμένον ἐπέστη καὶ καθάπερ ἔμψυχον προσαγορεύσας· „Πότερόν σε“ εἶπε „διὰ τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν κείμενον παρέλθωμεν ἢ διὰ τὴν ἄλλην μεγαλοφροσύνην καὶ ἀρετὴν ἐγείρωμεν;“ Τέλος δὲ πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος καὶ σιωπήσας παρῆλθε. Βουλόμενος δὲ τοὺς στρατιώτας ἀναλαβεῖν (καὶ γὰρ ἦν χειμῶνος ὥρα) τέσσαρας
687 μῆνας αὐτόθι διήγαγε. Λέγεται δὲ, καθίσαντος αὐτοῦ τὸ πρῶτον ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν Κορίνθιον Δημάρατον εὔνουν ὄντα ἄνδρα καὶ πατρῷον φίλον Ἀλεξάνδρου πρεσβυτικῶς ἐπιδακρῦσαι καὶ εἰπεῖν, ὡς

---

9. τοῦτον P. 10. δείνων PCM: Δίνων v. τε addiderunt PCM.
XXXVII. 3. μὲν om C cum Corae. γίνεται C. διά τινος C. 5. δι' ὃν M. 6. λύκος Schaeferus: Λύκος Coraes cl. Polyaeni 4, 3, 27, λύκιος libri. 7. καθ' ἡμῶν P. 9. γραφῶν V. γὰρ] δὲ P. 12. φησὶ Bryani nuperi cum M qui post κατασκευὴν ponit, sed cf. c. 36. Zonaras p. 135 ἱστοροῦσιν. ὁρεικοῖς C. 14. ἡγουμένων P. 16. εἶπε MA: εἶπεν v. 18. ἀρετὴν καὶ μεγαλοφροσύνην M. πρὸς] ἐν P. 21. ἦγαγε V. 22. θρανίσκον M. 24. ἀλεξάνδρῳ C. ἐπιδακρῦσαι CAia: ἐπιδακρύσαι v.

μεγάλης ἡδονῆς στεροῖντο τῶν Ἑλλήνων οἱ τεθνηκότες πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον.

XXXVIII. Ἐκ τούτου μέλλων ἐξελαύνειν ἐπὶ Δαρεῖον ἔτυχε μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑταίροις ἑαυτὸν δεδωκώς, ὥστε καὶ γύναια συμπίνειν ἐπὶ κῶμον ἥκοντα πρὸς τοὺς ἑραστάς. Ἐν δὲ τούτοις εὐδοκιμοῦσα μάλιστα Θαῒς ἡ Πτολεμαίου τοῦ βασιλεύσαντος ὕστερον ἑταίρα, γένος Ἀττικὴ, τὰ μὲν ἐμμελῶς ἐπαινοῦσα, τὰ δὲ παίζουσα πρὸς τὸν Ἀλέξανδρον, ἅμα τῇ μέθῃ λόγον εἰπεῖν προήχθη τῷ μὲν τῆς πατρίδος ἥδιστον καὶ πρέποντα, μείζονα δὲ ἢ κατ' αὐτήν. Ἔφη γὰρ ὧν πεπόνηκε πεπλανημένη τὴν Ἀσίαν ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας ἐντρυφῶσα τοῖς ὑπερηφάνοις Περσῶν βασιλείοις· ἔτι δ' ἂν ἥδιον ὑποπρῆσαι κωμάσασα τὸν Ξέρξου τοῦ κατακαύσαντος τὰς Ἀθήνας οἶκον αὐτὴ τὸ πῦρ ἅψασα τοῦ βασιλέως ὁρῶντος, ὡς ἂν λόγος ἔχῃ πρὸς ἀνθρώπους, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων στρατηγῶν τὰ μετὰ Ἀλεξάνδρου γύναια μείζονα δίκην ἐπέθηκε Πέρσαις ὑπὲρ τῆς Ἑλλάδος. Ἅμα δὲ τῷ λόγῳ τούτῳ κρότου καὶ θορύβου γενομένου καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας ἐπισπασθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας ἔχων στέφανον καὶ λαμπάδα προῆγεν· οἱ δὲ ἑπόμενοι κώμῳ καὶ βοῇ περιίσταντο τὰ βασίλεια, καὶ τῶν ἄλλων Μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων χαίροντες. Ἤλπιζον γὰρ, ὅτι τοῖς οἴκοι προσέχοντός ἐστι τὸν νοῦν καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. Οἱ μὲν οὕτω ταῦτα γενέσθαι φασὶν, οἱ δὲ ἀπὸ γνώμης· ὅτι δ' οὖν μετενόησε ταχὺ καὶ κατασβέσαι προσέταξεν ὁμολογεῖται.

XXXIX. Φύσει δὲ ὢν μεγαλοδωρότατος ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο τῶν πραγμάτων αὐξομένων· καὶ προσῆν

4, 306—7 H.

---

25. ἡδονῆς τε M.

XXXVIII. 2. ἑτέροις P. 4. εὐδοκιμοῦσα om P. 8. καθ' αὐτὴν CM. 9. περὶ τὴν CqV ac nuperi, sed cf. Lucull. 34, 16. ἀπολαβεῖν Cq, ἀπολαβὼν V. 10. βασιλείας P. 11. ἔτι] ἔστι V. 12. αὕτη P. 19. δὲ om P. ἐφεπόμενοι C. 20. οἱ] καὶ P. 23. τῷ πιμπράναι PC. 24. φησιν P.

XXXIX. 2. ἐπέδωκε πρὸς C, ἐπεδίδου πρὸς Zonaras. αὐξομένων C: αὐξουμένων P, αὐξανομένων v. cf. ad c. 23. προσῆνεῖ φιλοφροσύνη CM.

ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. Μνησθήσομαι δὲ ὀλίγων. Ἀρίστων ὁ τῶν Παιόνων ἡγούμενος ἀποκτείνας πολέμιον ἄνδρα καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ „Τοῦτο" εἶπεν „ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον." Ὁ δὲ Ἀλέξανδρος γελάσας „Κενοῦ γε" εἶπεν „ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι." Τῶν δὲ πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. Ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα καὶ πυθόμενος τὸ πρᾶγμα, μέλλοντος κατατίθεσθαι „Μὴ κάμῃς" εἶπεν „ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδὸν ἐπὶ τὴν σκηνὴν ἑαυτῷ τοῦτο κομίσας." Ὅλως δὲ ἥχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον ἢ τοῖς αἰτοῦσι. Καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολὴν ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπόν, εἰ διωθοῖτο τὰς χάριτας. Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων οὐδὲν ἐδίδου διὰ τὸ μηδὲν αἰτεῖν. Ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος ὁ Σεραπίων ἄλλοις ἔβαλλε τὴν σφαῖραν, εἰπόντος δὲ τοῦ βασιλέως „Ἐμοὶ δὲ οὐ δίδως;" „Οὐ γὰρ αἰτεῖς," εἶπε, τούτῳ μὲν δὴ γελάσας πολλὰ ἔδωκε. Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων ἔδοξε δι' ὀργῆς γεγονέναι· τῶν δὲ φίλων δεομένων κἀκείνου δακρύοντος ἔφη διαλλάττεσθαι· κἀκεῖνος „Οὐκοῦν" εἶπεν „ὦ βασιλεῦ, δός τί μοι πιστὸν πρῶτον." Ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. Περὶ δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχον ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς Ὀλυμπιάδι, ἣν ἔγραψε πρὸς αὐτόν. „Ἄλλως" φησὶν „εὖ ποίει τοὺς φίλους καὶ ἐνδόξους ἄγε· νῦν δ' ἰσοβασιλέας πάντας ποιεῖς καὶ πολυφιλίας

688

4, 307—8 H.

3. οἱ διδόντες χαρίζονται ὡς ἀληθῶς C. 4. ὀλίγων. Ἀρίστων Reiskius: ὀλίγων ἀρίστων v. 8. καινοῦ P. προπίωμαι CqMV. 12. αὐτὸν post οὖν ponunt CM. 14. ἑαυτῷ PCM cl. ad Lys. 23, 54: σεαυτῷ v. 18. νεανίσκῳ C. 19. ὁ addiderunt PCM. 20. ἄλλους P. ἔβαλλε Corais PCM: ἔβαλε v. 21. δὲ ante τοῦ om C cum Corae. οὐ — εἶπε om M. 22. ἔδωκε Schaeferi M sed praestat πόλλ' ἔδωκε: δέδωκε CA. δέδωκεν v. πρωτέα δέ τινα P. τὸν περὶ Ai. 23. ἄμουσον P, ἀμούσῳ C. 26. οὖν om C. 27. πλοῦτον P. 28. εἶχον Corais PC: εἶχεν v. 29. οὐ ποίει Stephaniana. ἐνδόξους qV: ἐνδόξως ceteri, ἔνδοξος Stephaniana. 30. εἰσοβασιλείας a, εἰς βασιλείας i.

παρασκευάζεις αὐτοῖς, ἑαυτὸν δὲ ἐρημοῖς.“ Πολλάκις δὲ τοιαῦτα τῆς Ὀλυμπιάδος γραφούσης ἐφύλαττεν ἀπόρρητα τὰ γράμματα, πλὴν ἅπαξ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὑτοῦ προσέθηκε τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. Μαζαίου δὲ τοῦ μεγίστου παρὰ Δαρείῳ γενομένου παιδὶ σατραπείαν ἔχοντι δευτέραν προσετίθει μείζονα. Παραιτούμενος δὲ ἐκεῖνος εἶπεν· „Ὦ βασιλεῦ, τότε μὲν ἦν εἷς Δαρεῖος, νῦν δὲ σὺ πολλοὺς πεποίηκας Ἀλεξάνδρους.“ Παρμενίωνι μὲν οὖν τὸν Βαγώου ἔδωκεν οἶκον, ἐν ᾧ λέγεται τῶν περὶ Σούσων χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. Πρὸς δ' Ἀντίπατρον ἔγραψε κελεύων ἔχειν φύλακας τοῦ σώματος ὡς ἐπιβουλευόμενον. Τῇ δὲ μητρὶ πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, οὐκ εἴα δὲ πολυπραγμονεῖν οὐδὲ παραστρατηγεῖν· ἐγκαλούσης δὲ πρᾴως ἔφερε τὴν χαλεπότητα. Πλὴν ἅπαξ ποτὲ Ἀντιπάτρου μακρὰν κατ' αὐτῆς γράψαντος ἐπιστολὴν ἀναγνοὺς ἀγνοεῖν εἶπεν Ἀντίπατρον, ὅτι μυρίας ἐπιστολὰς ἓν δάκρυον ἀπαλείφει μητρός.

XL. Ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ὥστε Ἄγνωνα μὲν τὸν Τήϊον ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν, Λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' Αἰγύπτου κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι, Φιλώτᾳ δὲ πρὸς θήρας σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χρωμένους ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν ὅσους οὐδὲ ἐλαίῳ, τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένους, ἐπετίμησε πρᾴως καὶ φιλοσόφως θαυμάζειν φάμενος, εἰ τοσούτους ἠγωνισμέ-

4, 308—9 H.

---

31. ἑαυτὸν PCM: σεαυτὸν v. cf. ad vers. 14. 32. τῆς ὀλυμπιάδος τοιαῦτα C. 37. γενομένῳ PCM. σατραπίαν P. 39. ἦν om pr. A. 40. μαγώου M. 41. περὶ σοῦσα CqV, περισσῶν x, οἶκον τὸν περὶ Σοῦσα, ἐν ᾧ λέγεται χιλίων Schmiederi nuperi, iusto audacius. mihi nihil medelae in promptu est, quo et sententiae consulatur et duplex removeatur hiatus. 42. φύλακα M. 43. ἐπιβουλευόμενος V. 46. ἀντιπάτρου μακρὰν PCM: μακρὰν Ἀντιπάτρου v.

XL. 1. ἑαυτὸν C. ἐκτετραφυκότας V. 3. ἄγνωνα M: ἄγνων P, Ἄγνωνα v. 4. λεονάτῳ A. 7. ἄλειμα P. οὐκ ἐλαίῳ Schaeferus, προτοῦ aut πρότερον post ἐλαίῳ excidisse videbatur Reiskio. 8. κατεραστὰς P.

νοι καὶ τηλικούτους ἀγῶνας οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν, οὐδὲ ὁρῶσι τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. „Καίτοι πῶς ἄν τις“ ἔφη „δι' ἑαυτοῦ θεραπεύσειεν ἵππον ἢ λόγχην ἀσκήσειεν ἢ κράνος ἀπειθικῶς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας;“ „Οὐκ ἴστε“ εἶπεν „ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις;“ Ἐπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ τοῖς κυνηγεσίοις κακοπαθῶν καὶ παραβαλλόμενος, ὥστε καὶ Λάκωνα πρεσβευτὴν παραγενόμενον αὐτῷ λέοντα καταβάλλοντι μέγαν εἰπεῖν· „Καλῶς γε, Ἀλέξανδρε, πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τὰς βασιλείας.“ Τοῦτο τὸ κυνήγιον Κράτερος εἰς Δελφοὺς ἀνέθηκεν εἰκόνας χαλκᾶς ποιησάμενος τοῦ λέοντος καὶ τῶν κυνῶν καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος καὶ αὐτοῦ προσβοηθοῦντος, ὧν τὰ μὲν Λύσιππος ἔπλασε, τὰ δὲ Λεωχάρης.

XLI. Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παροξύνων πρὸς ἀρετὴν ἐκινδύνευεν· οἱ δὲ φίλοι διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς λέγειν αὐτόν. Ὁ δὲ καὶ πάνυ πρᾴως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο φάσκων βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὖ ποιοῦντα. Καίτοι τὰ μικρότατα τῶν γενομένων τοῖς συνήθεσι παρ' αὐτοῦ σημεῖα μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς· ὧν ὀλίγα παραθήσομαι. Πευκέστᾳ μὲν ἔγραψε μεμφόμενος, ὅτι δηχθεὶς ὑπ' ἄρκτου τοῖς μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δὲ οὐκ ἐδήλωσεν. „Ἀλλὰ νῦν
689 γε“ φησὶ „γράψον πῶς ἔχεις καὶ μή τινές σε τῶν συγκυνη-

4, 309—11 H.

---

10. τῶν καταπονουμένων Aia. 12. ὅτι τοῖς V. 13. τὸ] καὶ τὸ V. 14. θεραπεύειεν P. 17. ἡμῖν om i. μὴ καταποιεῖν τοὺς κεκρατημένους P. 19. τοῖς κυνηγεσίοις PC: ταῖς κυνηγεσίαις v, cf. ad c. 72. 20. παραγενέσθαι M. 21. καταβαλόντι C. 22. παρὰ τὰς V, περὶ τὰς P, περὶ τῆς C. 23. scribebatur Κρατερὸς et deinceps.

XLI. 2. πρὸς] εἰς M. 7. τὰ Corais B: τὰ μὲν v. 8. σημεῖα om C. 10. πευκέτᾳ C. ἔγραψε] ἔπεμψε V. 12. πῶς M: τὸ πῶς ceteri, τε πῶς x, θ' ὅπως Coraes.

γετούντων ἐγκατέλιπον, ἵνα δίκην δῶσι.“ Τοῖς δὲ περὶ Ἡφαιστίωνα διὰ πράξεις τινὰς ἀποῦσιν ἔγραψεν, ὅτι παιζόντων αὐτῶν πρὸς ἰχνεύμονα τῷ Περδίκκου δορατίῳ περιπεσὼν Κράτερος τοὺς μηροὺς ἐτρώθη. Πευκέστα δὲ σωθέντος ἔκ τινος ἀσθενείας ἔγραψε πρὸς Ἀλέξιππον τὸν ἰατρὸν εὐχαριστῶν. Κρατέρου δὲ νοσοῦντος ὄψιν ἰδὼν καθ' ὕπνον αὐτός τε τινὰς θυσίας ἔθυσεν ὑπὲρ αὐτοῦ κἀκείνῳ θῦσαι ἐκέλευσεν. Ἔγραψε δὲ καὶ Παυσανίᾳ τῷ ἰατρῷ βουλομένῳ τὸν Κράτερον ἐλλεβορίσαι τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν, ὅπως χρήσεται τῇ φαρμακείᾳ. Τοὺς δὲ πρώτους τὴν Ἀρπάλου φυγὴν καὶ ἀπόδρασιν ἀπαγγείλαντας ἔδησεν, Ἐφιάλτην καὶ Κίσσον, ὡς καταψευδομένους τοῦ ἀνδρός. Ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ καὶ γέροντας εἰς οἶκον ἀποστέλλοντος Εὐρύλοχος Αἰγαῖος ἐνέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας, εἶτα φωραθεὶς ἔχων οὐδὲν κακὸν ὡμολόγησε Τελεσίππας ἐρᾶν καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης, ἠρώτησε τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. Ἀκούσας δὲ ὅτι τῶν ἐλευθέρων ἑταιρῶν. „Ἡμᾶς μὲν“ εἶπεν „ὦ Εὐρύλοχε, συνερῶντας ἔχεις· ὅρα δὲ ὅπως πείθωμεν ἢ λόγοις ἢ δώροις τὴν Τελεσίππαν, ἐπειδήπερ ἐξ ἐλευθέρας ἐστί.“

XLII. Θαυμάσαι δὲ αὐτόν ἐστιν, ὅτι καὶ μέχρι τοιούτων ἐπιστολῶν τοῖς φίλοις ἐσχόλαζεν, οἷα γράφει παῖδα Σελεύκου εἰς Κιλικίαν ἀποδεδρακότα κελεύων ἀναζητῆσαι, καὶ Πευκέσταν ἐπαινῶν, ὅτι Νίκωνα, Κρατέρου δοῦλον, συνέλαβε, καὶ Μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν, ἂν δύνηται, συλλαβεῖν, ἔξω τοῦ ἱεροῦ προκαλεσάμενος, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. Λέγεται δὲ καὶ τὰς δίκας διακρίνων ἐν ἀρχῇ τὰς θανατικὰς

4, 311—12 H.

---

16. *τοὺς* om C. 19. *ἔθυσεν* Schaeferi PCM: *ἔθυεν* v. 19. *θύειν ἐκέλευσεν* Benseler de hiatu p. 366. poterat etiam *κἀκεῖνον ἐκέλευσεν*. 20. *δὲ* om A. 21. *καρτερὸν* C. *ἑλεβορίσαι* P. 22. *χρήσεται* Coraes: *χρήσηται* libri. 26. *ὁ αἰγαῖος* C. ‚scriptum est etiam *ἐγχαῖος*‘ Stephanus. V. *Ἀντιγένης ὁ Πελληναῖος* dicitur mor. 339 b. 26. *ἐνέγραψεν* PCM: *ἀνέγραψεν* v. 27. *οὐδὲν ἔχων* C. *τελεσίππος* M. 28. *ἐπὶ*] *εἰς* C. 30. *μὲν* om C. 31. *λόγοις ἢ δώροις* PCM cod. Stephani (‚legitur etiam‘) cl. mor. 339 d: *δώροις ἢ λόγοις* v, *ἔργοις ἢ λόχοις* V. 32. *ἐλευθέρων* x editores.

XLII. 1. *τοσούτων* C. 2. immo *Σέλευκον*. 7. *προκαλεσάμενος* C, *προκαλεσάμενον* syntaxis postulare videbatur Schaefero.

τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. Ἀλλ' ὕστερόν γε αὐτὸν ἐξετράχυναν αἱ πολλαὶ διαβολαὶ διὰ τῶν ἀληθῶν παρόδων πίστιν ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. Καὶ μάλιστα κακῶς ἀκούων ἐξίστατο τοῦ φρονεῖν καὶ χαλεπὸς ἦν καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. Τότε δὲ ἐξήλαυνεν ἐπὶ Δαρεῖον ὡς πάλιν μαχούμενος· ἀκούσας δὲ τὴν ὑπὸ Βήσσου γενομένην αὐτοῦ σύλληψιν ἀπέλυσε τοὺς Θεσσαλοὺς οἴκαδε δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. Πρὸς δὲ τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γινομένην (ἔνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους) ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν ἀνυδρίαν. Ἔνθα δὴ Μακεδόνες ἀπήντησαν αὐτῷ τινες ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τοῦ ποταμοῦ· καὶ θεασάμενοι τὸν Ἀλέξανδρον ἤδη μεσημβρίας οὔσης κακῶς ὑπὸ δίψους ἔχοντα ταχὺ πλησάμενοι κράνος προσήνεγκαν. Πυθομένου δὲ αὐτοῦ, τίσι κομίζοιεν, „Υἱοῖς" ἔφασαν „ἰδίοις· ἀλλὰ σοῦ ζῶντος ἑτέρους ποιησόμεθα, κἂν ἐκείνους ἀπολέσωμεν." Ταῦτα ἀκούσας ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος· περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς ἅπαντας ἐγκεκλικότας ταῖς κεφαλαῖς καὶ πρὸς τὸ ποτὸν βλέποντας ἀπέδωκεν οὐ πιών, ἀλλ' ἐπαινέσας τοὺς ἀνθρώπους „Ἂν γὰρ αὐτὸς" ἔφη „πίω μόνος, ἀθυμήσουσιν οὗτοι." Θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς ἄγειν ἀνέκραγον θαρροῦντα καὶ τοὺς ἵππους ἐμάστιζον· οὔτε γὰρ κάμνειν οὔτε διψᾶν οὐθ' ὅλως θνητοὺς εἶναι νομίζειν αὐτούς, ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον.

4, 312—13 H.

---

10. καθαρὸν] τὸ ἕτερον καθαρὸν C. 12. scribam *πάροδον* deleto *πίστιν* cum Reiskio cl. Agid. 2 mor. 345 c. 703 d. 821 c. *πάροδον πιστὴν* Emperius. 15. *τότε δὲ* Schaeferi C: *τότε δὴ* v. 18. *μισθοφορίαις* C. 19. *γενομένην* error Bryanceae. 20. *ἡμέραις* C. 21. *ἄνυδρον* Schmiederi C, *διά τε τὴν χαλεπότητα τῆς ὁδοῦ καὶ τὴν ἀνυδρίαν* Zonaras p. 136. 22. *ἀπήντησαν αὐτῷ τινες* C: *τινὲς ἀπήντησαν αὐτῷ* v. 27. *σοῦ σώζοντος* P. *ποιησώμεθα* P. 29. *περιβλεψάμενος* C. 30. post *κεφαλαῖς* nonnulla erasa in P. *τὸ ποτὸν* Schaeferi C: *ποτὸν* v. 31. *ἀπέδωκεν* P[CMA]uSiVx: *ἐπέδωκεν* v et Zonaras.

XLIII. Ἡ μὲν οὖν προθυμία πάντων ἦν ὁμοία· μόνους 690
δὲ φασιν ἑξήκοντα συνεκπεσεῖν εἰς τὰ στρατόπεδα τῶν πολεμίων. Ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐῤῥιμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας παρερχόμενοι τοὺς πρώτους ἐδίωκον, ὡς ἐν ἐκείνοις Δαρεῖον ὄντα. Μόλις δὲ εὑρίσκεται πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾶν. Ὅμως δὲ καὶ πιεῖν ᾔτησε καὶ πιὼν ὕδωρ ψυχρὸν εἶπε πρὸς τὸν δόντα Πολύστρατον· „Ὦ ἄνθρωπε, τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης, εὖ παθεῖν ἀμείψασθαι μὴ δυνάμενον· ἀλλ' Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν· Ἀλεξάνδρῳ δὲ οἱ θεοὶ τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας, ᾗ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σοῦ.“ Ταῦτα εἰπὼν καὶ λαβόμενος τῆς τοῦ Πολυστράτου χειρὸς ἐξέλιπεν. Ἀλέξανδρος δὲ ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας ἐπέβαλε τῷ σώματι καὶ περιέστειλε. Καὶ Βῆσσον μὲν ὕστερον εὑρὼν διεσφενδόνησεν ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων ἑκατέρῳ μέρος προσαρτήσας τοῦ σώματος, εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον τὸ προσῆκον αὐτῷ μέρος νείμασθαι. Τότε δὲ τοῦ Δαρείου τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέστειλε, τὸν δὲ ἀδελφὸν Ἐξάθρην εἰς τοὺς ἑταίρους ἀνέλαβεν.

XLIV. Αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε· καὶ πελάγους ἰδὼν κόλπον οὐκ ἐλάττονα μὲν τοῦ Πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔσχε πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δὲ εἴκασε τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. Καίτοι τούς γε φυσικοὺς ἄνδρας οὐκ ἔλαθε τἀληθές, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκα-

4, 313—14 H.

XLIII. 2. *συνεκπεσεῖν* Schaeferus. *τὰ στρατόπεδα* PCM cl. Poplic. 22, 22: *τὸ στρατόπεδον* v. 4. *ὑπερβαίνοντες ἐῤῥιμμένον* C. 5. *παραφερομένας παρερχόμενοι* M, *παραφερομένας διερχόμενοι* C. 6. *ἐν* om P, in ras. habet C. 8. *ἀπολιπὼν* C. 9. *ἤπειγε* V. 19. *τὸ αὐτὸ* C. 21. *μέρει* CV. 23. *ἑξάθραν* C.

XLIV. 2. *κατέλαβε* libri (*κατέλαβεν* i) praeter a. 5. *μαιότιδος* P. 7. *ἔμπροσθε* P. *στρατείας* Stephanus: *στρατιᾶς* libri.

σιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης βορειότατος οὗτός ἐστι, τὸ Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον. Ἐνταῦθα τῶν βαρβάρων τινὲς ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ τὸν Βουκεφάλαν λαμβάνουσιν. Ὁ δὲ ἤνεγκεν οὐ μετρίως, ἀλλὰ κήρυκα πέμψας ἠπείλησε πάντας ἀποκτενεῖν μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. Ἐπεὶ δὲ καὶ τὸν ἵππον [αὐτῷ] ἄγοντες ἦκον καὶ τὰς πόλεις ἐγχειρίζοντες ἐχρήσατο φιλανθρώπως πᾶσι καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν.

XLV. Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας καὶ σχολάζων πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολήν, εἴτε βουλόμενος αὐτὸν συνοικειοῦν τοῖς ἐπιχωρίοις νόμοις, ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ σύνηθες καὶ ὁμόφυλον, εἴτ' ἀπόπειρά τις ὑφεῖτο τῆς προσκυνήσεως αὕτη τοῖς Μακεδόσι κατὰ μικρὸν ἀνασχέσθαι τὴν ἐκδιαίτησιν αὐτοῦ καὶ μεταβολὴν ἐθιζομένοις. Οὐ μὴν τήν γε Μηδικὴν ἐκείνην προσήκατο παντάπασι βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν οὐδὲ ἀναξυρίδας οὐδὲ κάνδυν οὐδὲ τιάραν ἔλαβεν, ἀλλὰ ἐν μέσῳ τινὰ τῆς Περσικῆς καὶ τῆς Μηδικῆς μιξάμενος εὖ πως ἀτυφοτέραν μὲν ἐκείνης, ταύτης δὲ σοβαρωτέραν οὖσαν. Ἐχρῆτο δὲ τὸ μὲν πρῶτον ἐντυγχάνων τοῖς βαρβάροις καὶ τοῖς ἑταίροις κατ' οἶκον, εἶτα τοῖς πολλοῖς οὕτως ἐξελαύνων καὶ χρη-

4, 314—15 H.

---

8. ἔξωθεν C. 9. *βορειότατον πέλαγος οὗτός ἐστι τὸ ὑρκάνιον καὶ* C. 11. *τυχόντες* M. 12. *βουκέφαλον* PCM, cf. ad c. 6. 15. *καὶ τὸν*] *τὸν* P. *αὐτῷ* ante *ἄγοντες* ex praegressis repetitum esse hiatus arguit.

XLV. 3. *συνοικειοῦν αὐτὸν* M. *συνοικεῖν* qV. 4. *ὁμόφυλον ὄν* Schaeferus, cf. praef. Themist. p. 50. 5. *μακεδόσιν ἀναμικρὸν διασχέσθαι* M. 6. *ἀνέχεσθαι* C. *ἐκδιαίτησιν*] *αἴτησιν* M. 7. *ἐκείνην* addiderunt PCM. *παντάπασι* PC: *παντάπασιν* v. 9. *ἀνέλαβεν* C. 10. *Μηδικῆς* recte etiam Zonaras, *Μακεδονικῆς* Schmiederi Coraes cl. mor. 330 a: *ἐκ τοῦ Περσικοῦ καὶ Μακεδονικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει*, sed quum ibidem praecedant haec: *οὐ τὴν ἐσθῆτα προσήκατο τὴν Μηδικὴν, ἀλλὰ τὴν Περσικὴν, πολλῷ τῆς Μηδικῆς εὐτελεστέραν οὖσαν* cl. Arriani 4, 7, 4: *ἐσθῆτά τε — Μηδικὴν ἀντὶ τῆς Μακεδονικῆς τε καὶ πατρίου — καὶ τὴν κίδαριν τὴν Περσικὴν* — multo probabilius illo loco *Μηδικοῦ* pro *Μακεδονικοῦ* reponit Schaeferus. *πηξάμενος* M. *ἀτυφοτέραν* P.

ματίζων ἐωρᾶτο. Καὶ λυπηρὸν μὲν ἦν τοῖς Μακεδόσι τὸ θέαμα, τὴν δὲ ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετὴν ᾤοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν· ὅς γε πρὸς ἅπασι τοῖς ἄλλοις ἔναγχος τόξευμα μὲν εἰς τὴν κνήμην λαβὼν, ὑφ' οὗ τὸ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσε, λίθῳ δὲ πληγεὶς πάλιν εἰς τὸν τράχηλον, ὥστε καὶ ταῖς ὄψεσιν 691 ἀχλὺν ὑποδραμεῖν παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως οὐκ ἐπαύετο χρώμενος ἑαυτῷ πρὸς τοὺς κινδύνους ἀφειδῶς, ἀλλὰ καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμὸν, ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι, καὶ τοὺς Σκύθας τρεψάμενος ἐδίωξεν ἐπὶ σταδίους ἑκατὸν ἐνοχλούμενος ὑπὸ διαῤῥοίας.

XLVI. Ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι καὶ Πολύκλειτος καὶ Ὀνησίκριτος καὶ Ἀντιγένης καὶ Ἴστρος· Ἀριστόβουλος δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς καὶ Πτολεμαῖος καὶ Ἀντικλείδης καὶ Φίλων ὁ Θηβαῖος καὶ Φίλιππος ὁ Θεαγγελεὺς, πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς καὶ Φίλιππος ὁ Χαλκιδεὺς καὶ Δοῦρις ὁ Σάμιος πλάσμα φασὶ γεγονέναι τοῦτο. Καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς τὸν μὲν Σκύθην αὐτῷ φησι διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δὲ οὐ μνημονεύει. Λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα „Καὶ ποῦ“ φάναι „τότε ἤμην ἐγώ;“ Ταῦτα μὲν οὖν ἄν τις οὔτε ἀπιστῶν ἧττον οὔτε πιστεύων μᾶλλον Ἀλέξανδρον θαυμάσειε.

4, 315—16 H.

18. τὸ addidit C cl. mor. 341 b. 23. ἐπὶ] malim ἵππῳ cl. mor. 341 c: ἐδίωξεν ἵππῳ πεντήκοντα καὶ ἑκατὸν σταδίους ὑπὸ διαῤῥοίας ἐνοχλούμενος.

XLVI. 1. δὲ om P. 3. Πολύκλειτος Coraes t. 6, p. 484 cl. Strabonis 11, p. 510. 15, p. 728. Athenaei 12 p. 539 a: πολύκριτος libri. 4. καὶ χάρης ὁ εἰσαγγελεὺς, πρὸς δὲ τούτοις ἑκαταῖος ὁ ἐρετριεὺς καὶ πτολεμαῖος καὶ ἀντικλείδης καὶ φίλων ὁ θηβαῖος καὶ φίλιππος ὁ εἰσαγγελεὺς καὶ φίλιππος ὁ χαλκιδεὺς καὶ δοῦρις C. 5. Φίλιππος ὁ Θεαγγελεὺς Th. Reinesius var. lect. 1, 25 cl. Athenaei 6 p. 271 b. Strabonis 14 p. 662: φίλιππος ὁ εἰσαγγελεὺς libri. 6. ὁ Ἐρετριεὺς] cf. Schweighaeuserum ann. Athen. t. 1 p. 468. 9. αὐτῷ φησὶ PCM: φησὶν αὐτῷ v. 13. μὲν οὖν P. 14. τότε om P, ἤμην τότε sed punctis notata A.

XLVII. Φοβούμενος δὲ τοὺς Μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς στρατείας ἀπαγορεύσωσι, τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν, τοὺς δὲ ἀρίστους ἔχων ἐν Ὑρκανίᾳ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, προσέβαλε λέγων, ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὀρώντων, ἂν δὲ μόνον ταράξαντες τὴν Ἀσίαν ἀπίωσιν, ἐπιθησομένων εὐθὺς ὥσπερ γυναιξίν. Οὐ μὴν ἀλλ' ἀπιέναι γε τοὺς βουλομένους ἐφῆκε μαρτυράμενος, ὅτι τὴν οἰκουμένην τοῖς Μακεδόσι κτώμενος ἐγκαταλέλειπται μετὰ τῶν φίλων καὶ τῶν ἐθελόντων στρατεύειν. Ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ γέγραπται, καὶ ὅτι ταῦτα εἰπόντος αὐτοῦ πάντες ἐξέκραγον ὅποι βούλεται τῆς οἰκουμένης ἄγειν. Δεξαμένων δὲ τούτων τὴν πεῖραν οὐκέτι ἦν χαλεπὸν προαχθῆναι τὸ πλῆθος, ἀλλὰ ῥᾳδίως ἐπηκολούθησεν. Οὕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὡμοιοῦτο τοῖς ἐπιχωρίοις ἑαυτὸν ἐκεῖνά τε προσῆγε τοῖς Μακεδονικοῖς ἔθεσιν, ἀνακράσει καὶ κοινωνίᾳ μᾶλλον δι' εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτοῦ. Διὸ καὶ τρισμυρίους παῖδας ἐπιλεξάμενος ἐκέλευσε γράμματά τε μανθάνειν Ἑλληνικὰ καὶ Μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι πολλοὺς ἐπιστάτας καταστήσας. Καὶ τὰ περὶ Ῥωξάνην ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν ἔν τινι χόρῳ παρὰ πότον ὀφθεῖσαν, ἔδοξε δὲ οὐκ ἀνάρμοστα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. Ἐθάρρησαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τοῦ γάμου καὶ τὸν Ἀλέξανδρον ὑπερηγάπησαν, ὅτι σωφρονέστατος περὶ ταῦτα γεγονὼς οὐδὲ ἧς μόνης ἡττήθη γυναικὸς ἄνευ νόμου θιγεῖν ὑπέμεινεν. Ἐπεὶ δὲ καὶ τῶν

4, 316—18 H.

XLVII. 1. μακεδόνας ἀλέξανδρος C. 4. ἱππεῖς ἐν προσέλαβε (sic) A, προσέλαβε x, ἔλαβε i. num ἐνέβαλε λόγον? προσέβαλε λόγον Solanus. 7. ἀφεῖναί γε τοὺς βουλομένους ἐπιμαρτυράμενος x. γε] τε qV. 8. ἐφῆκε Coraes qui et τοῖς βουλομένοις: ἔφη καὶ libri. 12. ὅποι M: ὅπη C, ὅπου v. 13. ἄγειν om M. 15. ὡμοίου τε Reiskii nuperi. 16. ἐκεῖναι V. ἔθεσι omisso ἀνακράσει P. 18. ἀπαίροντας M. 19. ἐπιδεξάμενος ia. 20. ἐνστρέφεσθαι P. 21. καταστήσας om i. τὰ μὲν C. 22. χόρῳ Coraes t. 6 p. 485 et prior Wyttenbachius animadv. t. 3 p. 119 cl. mor. 332 e: Ῥωξάνης ἐρασθεὶς τῆς Ὀξυάρτου θυγατρὸς ἐν ταῖς αἰχμαλώτισι χορευούσης: χρόνῳ libri, ἐν Χορτάνου x secundum Curtii 8, 4, 21.

φίλων ἐώρα τῶν μεγίστων Ἡφαιστίωνα μὲν ἐπαινοῦντα καὶ συμμετακοσμούμενον αὐτῷ, Κράτερον δὲ τοῖς πατρίοις ἐμμένοντα, δι' ἐκείνου μὲν ἐχρημάτιζε τοῖς βαρβάροις, διὰ τούτου δὲ τοῖς Ἕλλησι καὶ τοῖς Μακεδόσι· καὶ ὅλως τὸν μὲν ἐφίλει μάλιστα, τὸν δὲ ἐτίμα, νομίζων καὶ λέγων ἀεὶ τὸν μὲν Ἡφαιστίωνα φιλαλέξανδρον εἶναι, τὸν δὲ Κράτερον φιλοβασιλέα. Διὸ καὶ πρὸς ἀλλήλους ὑπούλως ἔχοντες συνέκρουον πολλάκις. Ἅπαξ δὲ περὶ τὴν Ἰνδικὴν καὶ εἰς χεῖρας ἦλθον σπασάμενοι τὰ ξίφη· καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθούντων προσελάσας Ἀλέξανδρος ἐλοιδόρει τὸν Ἡφαιστίωνα φανερῶς ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν, ὡς, ἐάν τις αὐτοῦ τὸν Ἀλέξανδρον ἀφέληται, μηδέν 692
ἐστιν· ἰδίᾳ δὲ καὶ τοῦ Κρατέρου πικρῶς καθήψατο. Καὶ συναγαγὼν αὐτοὺς καὶ διαλλάξας ἐπώμοσε τὸν Ἄμμωνα καὶ τοὺς ἄλλους θεούς, ἢ μὴν μάλιστα φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνους· ἂν δὲ πάλιν αἴσθηται διαφερομένους ἀποκτενεῖν ἀμφοτέρους ἢ τὸν ἀρξάμενον. Ὅθεν ὕστερον οὐδὲ παίζοντες εἰπεῖν τι οὐδὲ πρᾶξαι πρὸς ἀλλήλους λέγονται.

XLVIII. Φιλώτας δὲ ὁ Παρμενίωνος ἀξίωμα μὲν εἶχεν ἐν τοῖς Μακεδόσι μέγα· καὶ γὰρ ἀνδρεῖος ἐδόκει καὶ καρτερικὸς εἶναι, φιλόδωρος δὲ οὕτω καὶ φιλέταιρος μετ' αὐτὸν Ἀλέξανδρον οὐδείς. Λέγεται γοῦν, ὅτι τῶν συνήθων τινὸς αἰτοῦντος ἀργύριον ἐκέλευσε δοῦναι· φήσαντος δὲ τοῦ διοικητοῦ μὴ ἔχειν „Τί λέγεις;“ εἶπεν „οὐδὲ ποτήριον ἔχεις οὐδὲ ἱμάτιον;“ Ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον ἢ κατ' ἰδιώτην καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν οὐκ ἐμμελῶς, ἀλλ' ἄνευ χαρίτων τῷ σολοίκῳ καὶ παρασήμῳ μιμούμενος ὑποψίαν καὶ φθόνον ἔσχεν, ὥστε καὶ Παρμενίωνα ποτε
4, 318—20 H.

---

28. τὸν μέγιστον C. 35. καὶ περὶ τὴν ἰνδικὴν εἰς M. 36. ἑκατέρῳ om P. 37. βοηθούντων C. ὁ ἀλέξανδρος C. 42. ἁπάντων ἀνθρώπων C. 44. παίζοντα C.

XLVIII. 3. οὕτω om libri praeter a, unde Reiskius post φιλέταιρος excidisse ὡς suspicabatur, quod praestat C ante οὐδείς. quamquam cf. ad vers. 11. μετὰ τὸν M. 4. γοῦν Coraes: δ' οὖν libri. 6. μηδὲν C. 8. διαίτῃ καὶ θεραπείᾳ M. 9. τότε] τοῦτο Coraes secundum Amiotum. εὐμελῶς M. 10. ἀλλ' εὖ χαρίτων P. 11. ὑποψία καὶ φθόνῳ M. ὑποψίαν εἶχε καὶ φθόνον C. ἔσχεν om libri praeter a, cf. ad vers. 4.

εἰπεῖν πρὸς αὐτόν· „Ὦ παῖ, χείρων μοι γίνου.“ Πρὸς δὲ αὐτὸν Ἀλέξανδρον ἐκ πάνυ πολλῶν χρόνων ἐτύγχανε διαβεβλημένος. Ὅτε γὰρ τὰ περὶ Δαμασκὸν ἑάλω χρήματα Δαρείου νικηθέντος ἐν Κιλικίᾳ, πολλῶν σωμάτων κομισθέντων εἰς τὸ στρατόπεδον εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις, τῷ μὲν γένει Πυδναῖον, εὐπρεπὲς δὲ τὴν ὄψιν· ἐκαλεῖτο δὲ Ἀντιγόνη. Τοῦτο ἔσχεν ὁ Φιλώτας· οἷα δὲ νέος πρὸς ἐρωμένην καὶ σὺν οἴνῳ πολλὰ φιλότιμα καὶ στρατιωτικὰ παῤῥησιαζόμενος ἑαυτοῦ τὰ μέγιστα τῶν ἔργων ἀπέφαινε καὶ τοῦ πατρὸς, Ἀλέξανδρον δὲ μειράκιον ἀπεκάλει δι' αὐτοὺς τὸ τῆς ἀρχῆς ὄνομα καρπούμενον. Ταῦτα τῆς γυναικὸς ἐκφερούσης πρός τινα τῶν συνήθων, ἐκείνου δὲ, ὡς εἰκὸς, πρὸς ἕτερον, περιῆλθεν εἰς Κράτερον ὁ λόγος· καὶ λαβὼν τὸ γύναιον εἰσήγαγε κρύφα πρὸς Ἀλέξανδρον. Ἀκούσας δὲ ἐκεῖνος ἐκέλευσε φοιτᾶν εἰς ταὐτὸ τῷ Φιλώτᾳ καὶ πᾶν, ὅ τι ἂν ἐκπύθηται, τοῦτο πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζουσαν.

XLIX. Ὁ μὲν οὖν Φιλώτας ἐπιβουλευόμενος οὕτως ἠγνόει καὶ συνῆν τῇ Ἀντιγόνῃ πολλὰ καὶ πρὸς ὀργὴν καὶ μεγαλαυχίαν ῥήματα καὶ λόγους κατὰ τοῦ βασιλέως ἀνεπιτηδείους προϊέμενος. Ὁ δὲ Ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τοῦ Φιλώτου προσπεσούσης, ἐκαρτέρησε σιωπῇ καὶ κατέσχεν, εἴτε θαῤῥῶν τῇ Παρμενίωνος εὐνοίᾳ πρὸς αὐτὸν, εἴτε δεδιὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν. Ἐν δὲ τῷ τότε χρόνῳ Μακεδὼν ὄνομα Λίμνος ἐκ Χαλαίστρας [χαλεπῶς] ἐπιβουλεύων Ἀλεξάνδρῳ Νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. Τοῦ δὲ μὴ δεξαμένου, φράσαντος δὲ τἀδελφῷ

4, 319—20 H.

---

16. τὸ μὲν γένος C. 17. Ἀντιγόνα — Πελλαῖον γύναιον mor. 339 e. 26. nonne τούτου? 27. ἀπαγγέλλει ἐκβαδίζουσαν M.

XLIX. 2. καὶ ante πρὸς Reiskio suspectum delent nuperi. 3. ῥήματα καὶ λόγους κατὰ τοῦ βασιλέως ἀνεπιτηδείους PM: ῥήματα καὶ λόγους ἀνεπιτηδείους κατὰ τοῦ βασιλέως C, κατὰ τοῦ βασιλέως ῥήματα καὶ λόγους ἀνεπιτηδείους v. 6. εὐνοίᾳ om P. 8. Λίμνος Diodori 17, 79 cl. Curtii 6, 7. ἐκ] ἀπὸ C. παλέστρας V, voluit Χαλέστρας, hoc aut Χαλάστρας probabat Wesselingius Diodori t. 2 p. 578. sed cf. vers. 26. χαλεπῶς] ‚vitiosa iteratio verae lectionis Χαλαίστρας (Χαλέστρας)‘ Reiskius. quamquam vereor ne quid exciderit quod caussam irae hominis contineret Diodoro 17, 79 non praetermissam.

Βαλείνῳ τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς Φιλώταν ἐκέλευσεν εἰσάγειν αὐτοὺς πρὸς Ἀλέξανδρον ὡς περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων. Ὁ δὲ Φιλώτας, ὅ τι δὴ παθὼν (ἄδηλον γάρ ἐστιν) οὐ παρῆγεν αὐτούς, ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένου τοῦ βασιλέως. Καὶ τοῦτο δὶς ἐποίησεν. Οἱ δὲ καθ' ὑπεροψίαν ἤδη τοῦ Φιλώτου τραπόμενοι πρὸς ἕτερον καὶ δι' ἐκείνου τῷ Ἀλεξάνδρῳ προσαχθέντες πρῶτον μὲν τὰ τοῦ Λίμνου κατεῖπον, ἔπειτα παρεδήλωσαν ἡσυχῇ τὸν Φιλώταν, ὡς ἀμελήσειεν αὐτῶν δὶς ἐντυχόντων. Καὶ τοῦτο δὴ σφόδρα παρώξυνε τὸν Ἀλέξανδρον· καὶ τοῦ πεμφθέντος ἐπὶ τὸν Λίμνον, ὡς ἠμύνετο συλλαμβανόμενος, ἀποκτείναντος αὐτόν, ἔτι μᾶλλον διεταράχθη τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβουλῆς νομίζων. Καὶ πικρῶς ἔχων πρὸς τὸν Φιλώταν 693
ἐπεσπάσατο τοὺς πάλαι μισοῦντας αὐτὸν ἤδη φανερῶς λέγοντας, ὡς ῥᾳθυμία τοῦ βασιλέως εἴη Λίμνον οἰομένου, Χαλαιστραῖον ἄνθρωπον, ἐπιχειρῆσαι τολμήματι τοσούτῳ καθ' αὑτόν· ἀλλὰ τοῦτον μὲν ὑπηρέτην εἶναι, μᾶλλον δὲ ὄργανον ἀπὸ μείζονος ἀρχῆς ἀφιέμενον, ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον, οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερε. Τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντος τὰ ὦτα τοῦ βασιλέως ἐπῆγον ἤδη μυρίας κατὰ τοῦ Φιλώτου διαβολάς. Ἐκ τούτου δὲ συλληφθεὶς ἀνεκρίνετο τῶν ἑταίρων ἐφεστώτων ταῖς βασάνοις, Ἀλεξάνδρου δὲ κατακούοντος ἔξωθεν αὐλαίας

4, 320—21 H.

---

12. *βαλίνῳ* CM. praestare videtur *Κεβαλίνῳ* cum x secundum Diodori 17, 79. Curtii 6, 7. 13. *πρὸς — μεγάλων* om Ai, *εἰσάγειν καὶ φιλώτας* (sic) m. sec *αὐτους ὅτι δὴ παθὼν ἄδηλον γάρ ἐστι πρὸς ἀλέξανδρον περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων. ὁ δὲ φιλώτας οὐ παρῆγεν αὐτοὺς* P. 14. *φιλώτας* addiderunt PCMqV. 16. *γενομένου* C. *ἐποίησαν* libri, correxit Stephanus. 17. *ὑποψίαν* Bryani nuperi convenienter Curtio 6, 7, 22: ‚coeperat Cebalino esse suspectus, itaque non ultra interpellandum ratus nobili iuveni, Metron erat ei nomen, — indicat.' sed vulgatam tueri videtur Diodorus l. l.: *Κεβαλῖνος εὐλαβηθεὶς μὴ δι' ἑτέρων μηνύσεως γενομένης αὐτὸς κινδυνεύσῃ τὸν μὲν Φιλώταν παρέπεμψε, τῶν δὲ βασιλικῶν τινι παίδων προσελθὼν —.* *ἕτερον*] *μέτριον* V, *Μέτρωνα* x, uterque haud dubie ex Curtio. 22. *ἠμύνατο* CqV. 25. *τοὺς*] *πρὸς τοὺς* V. 29. *ἀφιέμενον* CuqV cod. Stephani (‚est et alia lectio'): *ἀφικόμενον* v. 31. *ἀναπετάσαντος* x: *ἀναπετάσαντες* libri. 33. *τῶν δὲ* P. *ἑταιρῶν*] *ἐχθρῶν* x.

παρατεταμένης· ὅτε δὴ καί φασιν αὐτὸν εἰπεῖν οἰκτρὰς καὶ ταπεινὰς τοῦ Φιλώτου φωνὰς καὶ δεήσεις τοῖς περὶ τὸν Ἡφαιστίωνα προσφέροντος· „Οὕτω δὴ μαλακὸς ὢν, ὦ Φιλώτα, καὶ ἄνανδρος ἐπεχείρεις πράγμασι τηλικούτοις;“ Ἀποθανόντος δὲ τοῦ Φιλώτου καὶ Παρμενίωνα πέμψας εὐθὺς εἰς Μηδίαν ἀνεῖλεν, ἄνδρα πολλὰ μὲν Φιλίππῳ συγκατεργασάμενον, μόνον δὲ ἢ μάλιστα τῶν πρεσβυτέρων φίλων Ἀλέξανδρον εἰς Ἀσίαν ἐξορμήσαντα διαβῆναι, τριῶν δὲ υἱῶν, οὓς ἔσχεν, ἐπὶ τῆς στρατιᾶς δύο μὲν ἐπιδόντα πρότερον ἀποθανόντας, τῷ δὲ τρίτῳ συναναιρεθέντα. Ταῦτα πραχθέντα πολλοῖς τῶν φίλων φοβερὸν ἐποίησε τὸν Ἀλέξανδρον, μάλιστα δὲ Ἀντιπάτρῳ· καὶ πρὸς Αἰτωλοὺς ἔπεμψε κρύφα πίστεις διδοὺς καὶ λαμβάνων. Ἐφοβοῦντο γὰρ Ἀλέξανδρον Αἰτωλοὶ διὰ τὴν Οἰνιαδῶν ἀνάστασιν, ἣν πυθόμενος οὐκ Οἰνιαδῶν ἔφη παῖδας, ἀλλ' αὐτὸν ἐπιθήσειν δίκην Αἰτωλοῖς.

L. Οὐ πολλῷ δὲ ὕστερον συνηνέχθη καὶ τὰ περὶ Κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις, τῶν κατὰ Φιλώταν ἀγριώτερα· λόγῳ μέντοι συντιθέντες ἅμα τὴν αἰτίαν καὶ τὸν καιρὸν, οὐκ ἀπὸ γνώμης, ἀλλὰ δυστυχίᾳ τινὶ ταῦτα εὑρίσκομεν πεπραγμένα τοῦ βασιλέως, ὀργὴν καὶ μέθην πρόφασιν τῷ Κλείτου δαίμονι παρασχόντος. Ἐπράχθη δὲ οὕτως. Ἥκόν τινες ὀπώραν Ἑλληνικὴν ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. Ὁ δὲ θαυμάσας τὴν ἀκμὴν καὶ τὸ κάλλος ἐκάλει τὸν Κλεῖτον ἐπιδεῖξαι καὶ μεταδοῦναι βουλόμενος. Ὁ δὲ θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ τὴν θυσίαν ἐβάδιζε· καὶ τρία τῶν κατεσπεισμένων προβάτων ἐπηκολούθησεν αὐτῷ. Πυθόμενος δὲ ὁ βασιλεὺς ἀνεκοινοῦτο τοῖς μάντεσιν Ἀριστάνδρῳ καὶ Κλεομάντει τῷ Λάκωνι. Φησάντων δὲ πονηρὸν εἶναι τὸ σημεῖον, ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τοῦ Κλείτου. Καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τοὺς ὕπνους εἶδεν ὄψιν ἄτοπον· δόξαι γὰρ αὐτῷ τὸν Κλεῖτον μετὰ τῶν Παρ-

4, 321—22 H.

---

36. φιλώτα M. 39. φιλώτου PM: Φιλώτα v. 40. μήδειαν P. 44. συναναιρεθέντας M. 48. Οἰνιαδῶν Schaeferi C et postea: Οἰνιάδων v.

L. 2. Φιλώταν Corais PCA: Φιλώτα v. 3. ἅμα PCM: ἅμα καὶ v. 4. εὑρίσκομεν x: εὑρίσκοντες libri. 6. δαίμονι] θανάτῳ δαίμονος x. 11. καταπεπεισμένων pr. P. 13. Κλεομένει Wyttenbachius mor. p. 931.

μενίωνος υἱῶν ἐν μέλασιν ἱματίοις καθέζεσθαι, τεθνηκότων ἁπάντων. Οὐ μὴν ἔφθασεν ὁ Κλεῖτος ἐκθυσάμενος, ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἦκε, τεθυκότος τοῦ βασιλέως Διοσκόροις. Πότου δὲ νεανικοῦ συρράγεντος ᾄδετο ποιήματα Πρανίχου τινός, ὡς δέ φασιν ἔνιοι, Πιερίωνος, εἰς τοὺς στρατηγοὺς ποποιημένα τοὺς ἔναγχος ἡττημένους ὑπὸ τῶν βαρβάρων ἐπ' αἰσχύνῃ καὶ γέλωτι. Τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων καὶ λοιδορούντων τόν τε ποιητὴν καὶ τὸν ᾄδοντα, τοῦ δὲ Ἀλεξάνδρου καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων καὶ λέγειν κελευόντων, ὁ Κλεῖτος ἤδη μεθύων καὶ φύσει τραχὺς ὢν ὀργὴν καὶ αὐθάδης ἠγανάκτει μάλιστα φάσκων, οὐ καλῶς ἐν βαρβάροις καὶ πολεμίοις ὑβρίζεσθαι Μακεδόνας πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου τὸν Κλεῖτον αὐτῷ συνηγορεῖν δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος „Αὖτη μέντοι σε" εἶπεν „ἡ δειλία τὸν ἐκ θεῶν ἤδη τῷ Σπιθριδάτου ξίφει τὸν νῶτον ἐκτρέποντα περιεποίησε, καὶ τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τούτοις ἐγένου τηλι- 694
κοῦτος, ὥστε Ἄμμωνι σαυτὸν εἰσποιεῖν ἀπειπάμενος Φίλιππον."

LI. Παροξυνθεὶς οὖν ὁ Ἀλέξανδρος „Ἦ ταῦτα" εἶπεν „ὦ κακὴ κεφαλή, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων καὶ διασταιάζων Μακεδόνας χαιρήσειν νομίζεις;" „Ἀλλ' οὐδὲ νῦν" ἔφη „χαίρομεν, Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι, μακαρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις ξαινομένους Μακεδόνας καὶ Περσῶν δεομένους, ἵνα τῷ βασιλεῖ προσέλθωμεν." Τοιαῦτα τοῦ Κλείτου παῤῥησιαζομένου καὶ τῶν περὶ Ἀλέξανδρον ἀντανισταμένων καὶ λοιδορούντων αὐτόν, οἱ πρεσβύτεροι κατέχειν ἐπειρῶντο τὸν θόρυβον. Ὁ δὲ Ἀλέξανδρος ἀποστραφεὶς πρὸς Ξενόδοχον τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον· „Οὐ δοκοῦσιν" εἶπεν „ὑμῖν οἱ Ἕλληνες ἐν τοῖς Μακεδόσιν ὥσπερ ἐν
4, 322—23 H.

---

19. διοσκούροις C. 20. παρανίχου M, παντίχου P, Πανίχου suspicabatur Bekkerus. 25. τοῦ δὲ] καὶ τοῦ P. καὶ τῶν] τῶν P. 27. ὀργὴν addiderunt CMV cl. Poplic. 3, 6: εἰς ὀργὴν addit P. 32. σὲ M. τῷ μιθριδάτου M, τοῦ μιθριδάτου PCAia. 33. τὸν νῶτον CMA cl. Mar. 33, 22: τὸ νῶτον v. 34. τοιοῦτος C.

LI. 5. ἰδεῖν C. 10. ξενοδόχον PA. 12. ἡμῖν M.

θηρίοις ἡμίθεοι περιπατεῖν;“ Τοῦ δὲ Κλείτου μὴ εἴκοντος, ἀλλὰ εἰς μέσον ἃ βούλεται λέγειν τὸν Ἀλέξανδρον κελεύοντος ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῇν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκέτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος μήλων παρακειμένων ἐνὶ βαλὼν ἔπαισεν αὐτὸν καὶ τὸ ἐγχειρίδιον ἐζήτει. Τῶν δὲ σωματοφυλάκων ἑνὸς Ἀριστοφάνους φθάσαντος ὑφελέσθαι καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα Μακεδονιστὶ καλῶν τοὺς ὑπασπιστὰς (τοῦτο δὲ ἦν σύμβολον θορύβου μεγάλου) καὶ τὸν σαλπιγκτὴν ἐκέλευσε σημαίνειν καὶ πὺξ ἔπαισεν ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. Οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν ὡς τοῦ μὴ συνταραχθῆναι τὸ στρατόπεδον αἰτιώτατος γενόμενος. Τὸν δὲ Κλεῖτον οὐχ ὑφιέμενον οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. Ὁ δὲ κατ' ἄλλας θύρας αὖθις εἰσῄει μάλα ὀλιγώρως καὶ θρασέως Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων·

Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται.

Οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμὴν ἀπαντῶντα τὸν Κλεῖτον αὐτῷ καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα διελαύνει. Πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. Καὶ γενόμενος παρ' ἑαυτῷ καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑστῶτας ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασε, παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον ἐπεσχέθη, τῶν σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον.

LII. Ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκε καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἤδη τῷ βοᾷν καὶ θρηνεῖν ἀπειρηκὼς

4, 323—24 H.

---

15. μὴ λαλεῖν C. οὕτως ἐλευθέρους παρρησίαν ἄγοντας C. 17. περσικὴν αὐτοῦ C. διάλεκτον P. 18. ὁ ἀλέξανδρος C. 19. βαλλὼν (sic) M. 20. Ἀριστοφάνους φθάσαντος] Ἀριστόνου φθάσαντος Palmerius secundum Arrianum et Curtium. 21. περιεχομένων C. 23. σιλπικτὴν M. ἐκέλευσε PCM: ἐκέλευε v. 25. τὸ μὴ M. 28. αὖθις θύρας C. 29. θάρσεως M. vers. 693. 31. Ἑλλάδ' Stephanus: Ἑλλάδα libri. 34. ἀποκάλυμμα M. πεσόντα CM. 36. ἀφώνους ἰδὼν C. 40. περιενεγκόντων C.

ἄναυδος ἔκειτο βαρεῖς ἀναφέρων στεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν εἰσῆλθον βίᾳ. Καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους, Ἀριστάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος αὐτὸν τήν τε ὄψιν, ἣν εἶδε περὶ τοῦ Κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. Διὸ Καλλισθένην τε τὸν φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλους οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. Ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πράως ὑποδυόμενος τῷ λόγῳ καὶ περιιὼν ἀλύπως λαβέσθαι τοῦ πάθους, ὁ δὲ Ἀνάξαρχος ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων εὐθὺς εἰσελθὼν ἀνεβόησεν· „Οὗτός ἐστιν Ἀλέξανδρος, εἰς ὃν ἡ οἰκουμένη νῦν ἀποβλέπει· ὁ δὲ ἔρριπται κλαίων ὥσπερ ἀνδράποδον ἀνθρώπων νόμον καὶ ψόγον δεδοικώς, οἷς αὐτὸν προσήκει νόμον εἶναι καὶ ὅρον τῶν δικαίων, ἐπεί- 695
περ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον.“ „Οὐκ οἶσθα“ εἶπεν „ὅτι τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς καὶ τὴν Θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ δίκαιον;“ Τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δὲ ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν, αὐτὸν δὲ δαιμονίως ἐνήρμοσε καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδὲ ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλε. Λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὡρῶν καὶ κράσεως τοῦ περιέχοντος λόγων ὄντων τὸν Καλλισθένην μετέχοντα δόξης τοῖς λέγουσι, τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιουμένου τοῦ Ἀναξάρχου καὶ φιλονεικοῦντος, εἰπεῖν· „Ἀλλὰ μὴν ἀνάγκη σοι ταῦτα ἐκείνων ὁμολογεῖν ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατάκεισαι.“ Τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνε.

4, 324—26 H.

LII. 8. καλλισθένην PCMA: Καλλισθένη v. 11. πάθους PCMq[A] cod. Stephani (‚legitur etiam‘) V: πένθους v. 14. ἐβόησεν CM. 15. νῦν ἡ οἰκουμένη M. 19. οἶδας P. 23. εἰς τἄλλα Emperius. 25. καλλικλέους M. 26. προσδιέβαλλε P. 28. τὸν καλλισθένην PCM: τὸν Καλλισθένη v, τὸν καλλισθένους V. τοῖς Solanus: τοῖς δὲ libri. 32. ὑποβεβλημένος C, ἐνδεδυμένος M. 33. τάπητας P.

LIII. *Τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν, ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον. Φθονούμενος δὲ διὰ τὴν δόξαν ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχε τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος ἔν τε τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις, ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ·*

Μισῶ σοφιστὴν, ὅστις οὐδ' αὑτῷ σοφός.

Λέγεται δέ ποτε πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι, κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων

Καλὰς ἀφορμὰς οὐ μέγ' ἔργον εὖ λέγειν·

„Ἀλλ' ἔνδειξαι" φάναι „τὴν αὑτοῦ δύναμιν ἡμῖν κατηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν." Οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον πολλὰ παῤῥησιάσασθαι κατὰ τῶν Μακεδόνων καὶ τὴν Ἑλληνικὴν στάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως εἰπεῖν·

Ἐν δὲ διχοστασίᾳ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς·

ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι, καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπόδειξιν δέδωκε.

4, 326—27 H.

LIII. 6. κατοικῆσαι P. 7. δὲ] οὖν C. 8. desiderem καὶ αὐτὸς καθ' αὑτοῦ. 9. ἔν τε PC: ἐν δὲ v. 10. γινομένοις] βουλομένοις PMV. 11. πρὸς αὐτὸν C. 12. Euripidis fr. inc. CXI. οὐχ Plutarchus mor. 1128 a Lucianus pro merc. cond. 5. 13. παρακεκλιμένων P. 17. Bacch. v. 263. 19. μέγ' Stephanus: μέγα libri. εὖ λέγειν CMA ‚quidam' Stephani cum Euripide: εὐλογεῖν v. 20. αὑτοῦ P: σαυτοῦ v, cf. ad c. 39. 26. ἐν δὲ] cf. Nic. 11, 17. διχοστασίους qV. ἔλαχε PC. 27. πικρῶς M, μικρὸν P. βαρὺν A. corrigo γενέσθαι. καὶ — Μακεδόσιν om pr. A.

LIV. *Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι τὸν ἀναγνώστην τοῦ Καλλισθένους Στρόϊβον Ἀριστοτέλει διηγεῖσθαι, τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν·*

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

Οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης, ὅτι Καλλισθένης λόγῳ μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δὲ οὐκ εἶχεν. Ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμενος καὶ φιλοσόφως καὶ μόνος ἐν φανερῷ διελθὼν ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης καὶ μείζονος Ἀλέξανδρον ἀποτρέψας τὴν προσκύνησιν, αὐτὸν δὲ ἀπώλεσεν ἐκβιάσασθαι 696
δοκῶν μᾶλλον ἢ πεῖσαι τὸν βασιλέα. Χάρης δὲ ὁ Μιτυληναῖός φησι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναί τινι τῶν φίλων· τὸν δὲ δεξάμενον πρὸς ἑστίαν ἀναστῆναι καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον [ἐν τῷ συμποσίῳ] καὶ κατακλιθῆναι. Πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς τὸν Καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλὰ Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα, Δημητρίου δὲ τοῦ προσονομαζομένου Φείδωνος εἰπόντος „Ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσεκύνησε,“ διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον, τὸν δὲ Καλλισθένη μέγα φθεγξάμενον εἰπεῖν „Φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι.“

LV. *Τοιαύτης ὑπογενομένης ἀλλοτριότητος πρῶτον μὲν Ἡφαιστίων ἐπιστεύετο λέγων, ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἄγνωνες ἐπεφύοντο φάσκοντες περιϊέναι τὸν*

4, 327—28 H.

LIV. 2. *τρόϊβον* M, *Στροῖβον* Schaeferus. 4. *ἀπιόντα* PCM: *ἐπανιόντα* v. 5. Homeri Il. 21, 107. *ὅσπερ* C, 6. *ὁ* om C. 7. *λόγῳ* PCMq[A]V, nonnulli Stephani: *λέγων* v, *λέγειν* x. *δυνατὸς*] *καλὸς* C. *νοῦν*] *νῦν* V. 11. *ἀποστρέψας* C. 13. *μυτιληναῖος* Aia. 15. *πρὸς τὴν* C. 17. *ἐν τῷ συμποσίῳ* ut ex vers. 14 repetita deleo. 21. *φείδονος* P. 22. *σε* om P. *προσεκύνησε* PCMV: *προσκεκύνηκε* v. 24. *ἐλάσσων* P.

LV. 1. *ὑπογενομένης* Coraes: *ὑπογινομένης* libri. 3. *ψεύσετο* P. 4. *ἄγνωνες* M: *Ἄγνωνες* v.

σοφιστὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια καὶ περιέπειν ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. Διὸ καὶ τῶν περὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ καὶ φανερῶν γενομένων ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβαλόντι, πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος, εἶπεν, „Ἂν ἀποκτείνῃ τὸν ἐνδοξότατον,“ τὸν δὲ Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν, ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ πρόσεισιν ἀνθρώπῳ. Καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης τοῦ Καλλισθένους κατεῖπεν. Ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατέρῳ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλκέτᾳ φησὶ τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν, ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δὲ οὐδεὶς συνειδείη. Ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον καὶ τὸν Καλλισθένην συνεπαιτιασάμενος „Οἱ μὲν παῖδες“ φησὶν „ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν, τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω καὶ τοὺς ἐκπέμψαντας αὐτὸν καὶ τοὺς ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας,“ ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλην· καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἠροῦς γεγονὼς, ἀνεψιᾶς Ἀριστοτέλους. Ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δὲ ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα, Χάρης δὲ μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη παρόντος Ἀριστοτέλους, ἐν αἷς δὲ ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐτρώθη περὶ τὴν Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

4, 328—29 H.

---

7. ἐλεύθερα M. μυριάσιν P. 8. γινομένων P. 10. προβαλόντι Reiskius: προβάλλοντι libri. 11. εἶπεν Reiskius: εἰπεῖν libri. 12. ἐκέλευσε Schaeferi C. 15. οὐδὲ om M. 17. ἀλκέστα M. 19. καὶ τὸν om Aia. καλλισθένην P: Καλλισθένη v. 25. τὴν om PM. 31. ἐν Μαλλοῖς (μαλοῖς P) Ὀξυδράκαις (ὀξυδράκοις M) delet Schaeferus, solum Ὀξυδράκαις Coraes. illud probabilius puto, ut ad verba περὶ τὴν Ἰνδίαν pro diversa rei fama, de qua cf. Arriani 6, 11, 6 Diodori 16, 98 Pausaniae 1, 6 Strabonis 15 p. 701 Plutarchi c. 63 mor. 327 b 341 d 343 e Curtii 9, 4 et 5 alius ascripserit ἐν Μαλλοῖς

LVI. *Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη. Δημάρατος δὲ ὁ Κορίνθιος ἤδη πρεσβύτερος ὢν ἐφιλοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι· καὶ θεασάμενος αὐτὸν εἶπε μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας, ὅσοι τεθνήκασι πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. Οὐ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν, ἀλλ' ἐξ ἀῤῥωστίας ἀποθανὼν ἐκηδεύθη μεγαλοπρεπῶς καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκοντα· τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε.*

LVII. *Μέλλων δὲ ὑπερβάλλειν εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ δυσκίνητον οὖσαν, ἅμ' ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησε τὰς αὐτοῦ καὶ τῶν ἑταίρων, μετὰ δὲ ταύ-* 697
τας ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. Καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφάνη καὶ δεινότερον ἢ τὸ ἔργον. Ὀλίγους μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖστοι βοῇ καὶ ἀλαλαγμῷ μετὰ ἐνθουσιασμοῦ τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας αὐτοῦ κατακαίοντες καὶ διαφθείροντες ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. Ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. Καὶ γὰρ Μένανδρόν τινα τῶν ἑταίρων ἄρχοντα φρουρίου καταστήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινε, καὶ τῶν ἀποστάντων βαρβάρων Ὀρσοδάτην αὐτὸς κατετόξευσε. Προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ χρῶμα τιάρας ἔχοντα καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ

4, 329—30 H.

---

alius *Ὀξυδράκαις*. minus probabiliter corrigas *καὶ Ὀξυδρ.* vel *ἢ Ὀξυδρ.*

LVI. 3. *καὶ* — 5 *καθήμενον* vereor ne delenda sint repetita ex c. 37. 6. *ἀπήλαυσεν* C, *ἀπέλαβεν* M. 7. *ἐκηδεύθη γὰρ* M. 8. *μέγαν* om P. 10. *λαμπρῶς*] *μεγαλοπρεπῶς* CM.

LVII. 6. *ἤ*] *ἦν* Aia et v. 7. *μὲν* om C. 9. *αὐτοὶ* Solani nuperi. 14. *τῶν* PM[CA]SuVx: *τὸν* v. *βασιλέα* vel *φύλαρχον* post *βαρβάρων* desiderabat Reiskius, ego *σατράπην* vel *δυνάστην*. 15. *ὀρσοδάστην* P. 16. *τὴν κεφαλὴν* Photius Bekkeri p. 396. *ἔχοντα τιάρας* Photius. 17. *αὐτῆς* Coraes. ego haec non intelligo. 18. *ἐπείγετο* P.

τοιαῦτα, διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον ἐκλιπόντος αὐτοῦ περιστήσῃ τὸ δαιμόνιον. Οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν. Ὁ γὰρ ἐπὶ τῶν στρωματοφυλάκων τεταγμένος ἀνὴρ Μακεδὼν ὄνομα Πρόξενος τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποταμὸν ἀνεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους· ἀπαντλουμένου δὲ τοῦ πρώτου καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε γεύσει ἐλαίου διαφέρειν στιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον, καὶ ταῦτα τῆς χώρας μηδὲ ἐλαίας φερούσης. Λέγεται μὲν οὖν καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοῖς λουομένοις ἐπιλιπαίνειν. Οὐ μὴν ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ τιθέμενος. Οἱ δὲ μάντεις ἐνδόξου μὲν στρατείας, ἐπιπόνου δὲ καὶ χαλεπῆς τὸ σημεῖον ἐποιοῦντο· πόνων γὰρ ἀρωγὴν ἔλαιον ἀνθρώποις ὑπὸ θεοῦ δεδόσθαι.

LVIII. Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον καὶ τραύμασι νεανικοῖς ἀπήντησε, τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. Αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι καὶ τὴν δύναμιν ἀρετῇ φιλοτιμούμενος οὐδὲν ᾤετο τοῖς θαῤῥοῦσιν ἀνάλωτον οὐδὲ ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις. Λέγεται δὲ τὴν Σισιμίθρου πολιορκῶν πέτραν ἄβατον οὖσαν καὶ ἀπρόσβατον ἀθυμούντων τῶν στρατιωτῶν

4, 330—31 H.

---

19. διελέχθη M. 20. ἀγενῆ P. 21. ἐκλείποντος P. 23. τῶν σωμάτων Photius. 24. Μακεδὼν om Photius. χώραν ὀρύττων τῇ βασιλικῇ σκηνῇ Photius. 25. ὄξῳ Photius et postea. ἀπεκάλυψε Photius. 28. γεύσει ἐλαίου Plutarchum scripsisse incredibile est. deleam ἐλαίου vel transponam. στιλβότητι τε καὶ λιπαρότητι Photius praeter codicem unum. στιλπνότητα Reiskii C. 30. εἶναι om Photius. 31. τοὺς λουομένους ia Photius et v. ἐπιλεαίνειν C. 33. πρὸς τὸν C. 34. τιθέμενοι V. 35. στρατείας Bryanus: στρατιᾶς v. 36. ἀπὸ M. θεοῦ om P.

LVIII. 4. ἀπειργάσατο P. 5. ἀρετὴν V. 7. εὐτόλμοις Aia et v. Σισιμίθρου Corais PCM et postea: Σισιμήθρου v. 8. ἀπρόσβατον] ἀπρόσμαχον Schaeferus, ἀπότομον Coraes.

ἐρωτῆσαι τὸν Ὀξυάρτην, ποῖός τις αὐτὸς εἴη τὴν ψυχήν ὁ Σισιμίθρης. Φήσαντος δὲ τοῦ Ὀξυάρτου δειλότατον ἀνθρώπων, „Λέγεις σύ γε“ φάναι „τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι· τὸ γὰρ ἄρχον αὐτῆς οὐκ ὀχυρόν ἐστι.“ Ταύτην μὲν οὖν ἐκφοβήσας τὸν Σισιμίθρην ἔλαβεν. Ἑτέρᾳ δὲ ὁμοίως ἀποτόμῳ προσβαλὼν τοὺς νεωτέρους τῶν Μακεδόνων Ἀλέξανδρον τινὰ καλούμενον προσαγορεύσας „Ἀλλὰ σοί γε“ εἶπεν „ἀνδραγαθεῖν προσήκει καὶ διὰ τὴν ἐπωνυμίαν.“ Ἐπεὶ δὲ λαμπρῶς ὁ νεανίας ἀγωνιζόμενος ἔπεσεν, οὐ μετρίως ἐδήχθη. Τῇ δὲ καλουμένῃ Νύσῃ τῶν Μακεδόνων ὀκνούντων προσάγειν (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ βαθὺς) ἐπιστάς „Τί γὰρ“ εἶπεν „ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον;“ καὶ ἤδη ἔχων τὴν ἀσπίδα περᾶν ἠθέλησεν. Ἐπεὶ δὲ καταπαύσαντος τὴν μάχην αὐτοῦ παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις ἐξέπληξεν αὐτούς· ἔπειτα προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον· Ἄκουφις ἐκαλεῖτο. Θαυμάσας οὖν τὴν λαμπρότητα καὶ 698
φιλανθρωπίαν ὁ Ἄκουφις ἠρώτα, τί βούλεται ποιοῦντας αὐτοὺς ἔχειν φίλους. Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου „Σὲ μὲν ἄρχοντα καταστήσαντας αὐτῶν, πρὸς δὲ ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρίστους·“ γελάσας ὁ Ἄκουφις „Ἀλλὰ βέλτιον“ εἶπεν „ἄρξω, βασιλεῦ, τοὺς κακίστους πρὸς σὲ πέμψας μᾶλλον ἢ τοὺς ἀρίστους.“

LIX. Ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν οὐκ ἀποδέουσαν Αἰγύπτου τὸ μέγεθος, εὔβοτον δὲ καὶ καλλίκαρπον ἐν τοῖς μάλιστα, σοφὸς δέ τις ἀνὴρ εἶναι καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος „Τί δεῖ πολέμων“ φάναι „καὶ μάχης ἡμῖν, Ἀλέξανδρε, πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαι-

4, 331—32 H.

---

9. αὐτὸς om C. 11. ἡμῖν ἁλώσιμον C. 12. ἐστι M: ἐστιν v. 14. παρώρμα καὶ post Μακεδόνων addit C, speciose magis quam vere, puto. cf. Pelopid. 15, 15. 15. σύ γε i. 17. ὁ νεανίας ἀγωνιζόμενος PMC: ἀγωνιζόμενος ὁ νεανίας v. 18. νύσῃ PCqV. 19. αὐτὴν CMV. 22. ἀπὸ] ἐπὶ M. πόλεων contra Schmiederi suspicionem (cl. Arriani 5, 1) tuetur Schaeferus. cf. etiam Zonarae p. 137. 25. πρεσβύτερον ‚quidam codices‘ Stephani V. 27. τὴν φιλανθρωπίαν C. 28. μὲν PC Zonaras: μὲν αὐτὸν v. 29. καταστήσας M. 31. πρὸς σὲ Cia: πρός σε v.

LIX. 3. ταῖς P.

ρησόμενος ἡμῶν ἀφῖξαι μήτε τροφὴν ἀναγκαίαν, ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι νοῦν ἔχουσιν ἀνθρώποις; Τοῖς δὲ ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις, εἰ μέν εἰμι κρειττων, ἕτοιμος εὖ ποιεῖν, εἰ δὲ ἥττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών.“ Ἠσθεὶς οὖν ὁ Ἀλέξανδρος καὶ δεξιωσάμενος αὐτόν „Ἦ που νομίζεις“ ἔφη „δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ φιλοφροσύνης; Ἀλλ᾽ οὐδέν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρὸς σὲ καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὥς μου χρηστὸς ὢν μὴ περιγένῃ.“ Λαβὼν δὲ δῶρα πολλὰ καὶ δοὺς πλείονα τέλος χίλια τάλαντα νομίσματος αὐτῷ προέπιεν. Ἐφ᾽ οἷς τοὺς μὲν φίλους ἰσχυρῶς ἐλύπησε, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡμερωτέρως ἔχειν πρὸς αὐτόν. Ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχιμώτατοι μισθοφοροῦντες ἐπεφοίτων ταῖς πόλεσιν ἐῤῥωμένως ἀμύνοντες καὶ πολλὰ τὸν Ἀλέξανδρον ἐκάκοποίουν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐτοὺς ἀπιόντας ἐν ὁδῷ λαβὼν ἅπαντας ἀπέκτεινε. Καὶ τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ τὰ ἄλλα νομίμως καὶ βασιλικῶς πολεμήσαντος ὥσπερ κηλὶς πρόσεστιν. Οὐκ ἐλάσσονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρέσχον αὐτῷ τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες καὶ τοὺς ἐλευθέρους δήμους ἀφιστάντες. Διὸ καὶ τούτων πολλοὺς ἐκρέμασε.

LX. Τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη γέγραφε. Φησὶ γὰρ ἐν μέσῳ τῶν στρατοπέδων τοῦ Ὑδάσπου ῥέοντος ἀντιπόρους ἱστάντα τοὺς ἐλέφαντας ἀεὶ τὸν Πῶρον ἐπιτηρεῖν τὴν διάβασιν. Αὐτὸν μὲν οὖν καθ᾽ ἡμέραν ἑκάστην ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ πολὺν ἐθίζοντα τοὺς βαρβάρους μὴ φοβεῖσθαι· νυκτὸς δὲ χειμερίου καὶ ἀσελήνου λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς

---

6. ἡμῶν ἀφαιρησόμενος C. 8. κτήμασι καὶ χρήμασι CM. 9. ἕτοιμός εἰμι x cum Zonara. ἔχειν om M. 11. διὰ μάχης P. 13. πρὸς σὲ Pia: πρός σε v. 16. προέπεμπεν P. 20. πολλὰ PCM: κατὰ πολλὰ v. 22. αὐτοῦ ἔργοις PCM. τἄλλα Stephaniana. 23. ὥςπερ PCM: ὡς v. 24. ἔσχον PM. 25. προτιθεμένους M. 27. ἐκρέμασε PCMA: ἐκρέμασεν v.

LX. 2. μέσῳ τῷ στρατοπέδῳ libri praeter a. 3. ἀντιπόρους P: ἀντιπώρους v. ἱστῶντα sc C, ἑστεότας M. 4. τῶν πόρων M.

δὲ τοὺς κρατίστους καὶ προελθόντα πόρρω τῶν πολεμίων διαπερᾶσαι πρὸς νῆσον οὐ μεγάλην. Ἐνταῦθα δὲ ῥαγδαίου μὲν ἐκχυθέντος ὄμβρου, πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ στρατόπεδον φερομένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγομένους ὑπὸ τῶν κεραυνῶν ἀπὸ τῆς νησῖδος ἄρας προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. Τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον ἔκρηγμα ποιῆσαι μέγα καὶ πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος· αὐτὸς δὲ δέξασθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ συνολισθάνον καὶ περιῤῥηγνύμενον. Ἐνταῦθα δὲ εἰπεῖν φασιν αὐτόν· „Ὦ Ἀθηναῖοι, ἆρά γε πιστεύσετε ἂν, ἡλίκους ὑπομένω κινδύνους ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας;“ Ἀλλὰ τοῦτο μὲν Ὀνησίκριτος εἴρηκεν, αὐτὸς δέ φησι τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους, διαβὰς δὲ τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλοιεν, πολὺ κρατήσειν, εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι τοὺς πεζοὺς αὐτῷ προσγενομένους· θάτερον δὲ συμ- 699
βῆναι. Τῶν γὰρ ἱππέων χιλίους καὶ τῶν ἁρμάτων ἑξήκοντα συμπεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν δ' ἱππέων ἀνελεῖν τετρακοσίους. Οὕτω δὴ συμφρονήσαντα τὸν Πῶρον, ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξανδρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν Μακεδόνων ἀπέλιπε, φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, Κοῖνον δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. Γενομένης δὲ τροπῆς ἑκατέρωθεν ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐκβιαζομένους, ὅθεν ἤδη τὴν μάχην ἀναμεμιγμένην εἶναι καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους. Ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς

4, 334–35 H.

8. *προελθόντα* P. 9. *δὲ*] *μὲν* M. 10. *μὲν* om M. 11. *ὠμῶς* pr. C. 12. *νησῖδος* Schaeferus: *νησίδος* v. 13. *ἀντιπέραν* CM. 14. *ἀπὸ* M. 16. immo *αὐτοὺς* cum Schaefero. *ἅτε δὲ* M. 17. *συνολισθάνον* CA: *συνωλίσθανον* P, *συνολισθαῖνον* v. 18. *ἆρά γε πιστεύσετε ἂν* PqV et in rasura A: *πιστεύσετε ἄρα γε ἂν* M, *ἄρα γε πιστεύσετε* C, *ἆρά γε πιστεύσαιτε ἂν* v. 24. *προβάλοιεν* C. 30. *τῆς* om C. 31. *ἀπέλειπε* M. 33. *Κοῖνον* vel *Κοίνῳ* Blancardus ad Arriani 5, 17: *κοινῇ* libri, *περδίκκαν* x. 37. *οὖν* om M. *ἐν ταῖς ἐπιστολαῖς αὐτὸς* M.

ἐπιστολαῖς εἴρηκεν. Οἱ δὲ πλεῖστοι τῶν συγγραφέων ὁμολογοῦσι τὸν Πῶρον ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ τὸ μῆκος ἱππότου μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμμετρίᾳ διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος. Καίτοι μέγιστος ἦν ὁ ἐλέφας· σύνεσιν δὲ θαυμαστὴν ἐπεδείξατο καὶ κηδεμονίαν τοῦ βασιλέως, ἐρρωμένου μὲν ἔτι θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων, ὡς δὲ ἤσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας, μὴ περιῤῥυῇ, τοῖς μὲν γόνασιν εἰς γῆν ὑφῆκε πρᾴως ἑαυτὸν, τῇ δὲ προνομαίᾳ λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκαστον ἐξῄρει τοῦ σώματος. Ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα, πῶς αὐτῷ χρήσηται, „Βασιλικῶς“ εἶπε· προσπυθομένου δὲ, μή τι ἄλλο λέγει, „Πάντα“ εἶπεν „ἐστὶν ἐν τῷ βασιλικῶς.“ Οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν ὧν ἐβασίλευε σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν καὶ τοὺς αὐτονόμους καταστρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δὲ παμπόλλας εἶναι φασίν· ἄλλης δὲ τρὶς τοσαύτης Φίλιππον τινὰ τῶν ἑταίρων σατράπην ἀπέδειξεν.

LXI. Ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκεφάλας ἐτελεύτησεν, οὐκ εὐθὺς, ἀλλ' ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν ὑπὸ τραυμάτων θεραπευόμενος, ὡς δὲ Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. Ἐδήχθη δ' ἰσχυρῶς Ἀλέξανδρος οὐδὲν ἄλλο ἢ συνήθη καὶ φίλον ἀποβεβληκέναι νομίζων· καὶ πόλιν οἰκίσας ἐπ' αὐτῷ παρὰ τὸν Ὑδάσπην Βουκεφαλίαν προσηγόρευσε. Λέ-

4, 335—36 H.

---

39. σπιθαμῶν V. 43. προσμαχομένους Bryani P[CM]: προμαχομένους v, προμάχους V. 46. εἰς γῆν om C. ἀφῆκε M. 47. ἐξῄρει Coraes cl. mor. 970 c: ἐξῆρε v. 49. χρήσεται Corais M. cf. mor. 181 e 332 e. 50. λέγῃ M. βασιλικῶ M. 51. ὧν ἐβασίλευε om C. 54. πεντακισχιλίους ἀξίους M. numeros quidam nimios habuerunt, fortasse iure, quamquam cf. Strabonis 15 p. 686 (1006. 1026) vel Plinii h. n. 6, 21 ‚non tamen est diligentiae locus, adeo diversa et incredibilia traduntur.‘ εἶναι] εἶχε M. 55. ἄλλης δὲ τρὶς τοσαύτης Solanus: ἄλλην δὲ τρὶς τοσαύτην ἧς libri, quod cum Reiskio tuetur Schaeferus.

LXI. 1. βουκέφαλος CV, cf. ad c. 6. 5. ἀλέξανδρος ἅτε δὴ συνήθη C, ἀλέξανδρος ἅτε δὴ οὐδὲν ἄλλο ἢ συνήθη M. 6. ἀποβεβλημένοι q, ἀποβεβλημένον V. οἰκήσας PA.

γεται δὲ καὶ κύνα Περίταν ὄνομα τεθραμμένον ὑπ᾽ αὐτοῦ καὶ στεργόμενον ἀποβαλὼν κτίσαι πόλιν ἐπώνυμον. Τοῦτο δὲ Σωτίων φησὶ Ποτάμωνος ἀκοῦσαι τοῦ Λεσβίου.

LXII. Τοὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρους ἐποίησε καὶ τοῦ πρόσω τῆς Ἰνδικῆς ἔτι προελθεῖν ἐπέσχε. Μόλις γὰρ ἐκεῖνον ὡσάμενοι δισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἱππεῦσι παραταξάμενον ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περᾶσαι ποταμὸν, εὖρος μὲν αὐτοῦ δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι καὶ βάθος ὀργυιὰς ἑκατόν, ἀντιπέρας δὲ τὰς ὄχθας ἀποκεκρύφθαι πλήθεσιν ὅπλων καὶ ἵππων καὶ ἐλεφάντων. Ἐλέγοντο γὰρ ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δὲ ὀκτακισχίλια καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν καὶ Πραισίων βασιλεῖς ὑπομένειν. Καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. Τὸ μὲν οὖν πρῶτον ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὐτὸν εἰς τὴν σκηνὴν καθείρξας ἔκειτο χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειε τὸν 700
Γάγγην, ἀλλ᾽ ἐξομολόγησιν ἤττης τιθέμενος τὴν ἀναχώρησιν. Ὡς δὲ οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυε πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. Καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινοὺς βαρυτέρους κατασκευάσας ἀπέλιπέ τε καὶ διέῤῥιψεν. Ἱδρύσατο δὲ βωμοὺς θεῶν, οὓς μέχρι νῦν οἱ Πραισίων βασιλεῖς διαβαίνοντες σέβονται καὶ θύουσιν

4, 336—38 H.

8. δὲ om M. 10. τοῦ τελεσαίου P.

LXII. 2. τοῦ C corr. Ax: τῷ P, τὸ v. πόρσω C, προσώπου A. προελθεῖν [CMA] volebatque Stephanus: προςελθεῖν v. 4. ἀντέστησεν a. 5. τὸν] πρὸς M. 7. ὀργυὰς C. 9. γὰρ] μὲν P. μυριάδες CA. 10. ἑξακισχιλίους] ὀκτακισχιλίους, in quibusdam‘ Stephani. 11. γανδαριτοῦν V, Γανδρίδαι mor. 327 b. cf. Wesselingium in Diodori 2, 37 Bernhardyum in Dionysii v. 1144. πραισῶν M, πραιτοσίων V, cf. Wesselingium in Diodori 17, 93. 12. Ἀνδρόκοττος] Σανδράκοττος est Straboni 15 p. 724 Arriano 5, 6, 2 aliis. cf. Vossium in Justini 1, 6, 2. 15, 4, 13. 16. ἑαυτὸν CM. σκηνὴν] γάλην V. 20. προιστάμενοι P. 25. Πραισίων Corais C: πρασιαίων M, Πραισιαίων v. σέβουσι M.

Ἑλληνικὰς θυσίας. Ἀνδρόκοττος δὲ μειράκιον ὢν αὐτὸν Ἀλέξανδρον εἶδε καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθε τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως διὰ μοχθηρίαν καὶ δυσγένειαν.

LXIII. Ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος τὴν ἔξω θάλασσαν ἐπιδεῖν καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος ἐκομίζετο τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. Ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν οὐδὲ ἀπόλεμος, προσβάλλων δὲ ταῖς πόλεσι καὶ ἀποβαίνων ἐχειροῦτο πάντα. Πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς, οὕς φασιν Ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησε κατακοπῆναι. Τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασε, πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη καὶ τῶν βαρβάρων ὑφισταμένων παρὰ τὸ τεῖχος ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοστὸς ὢν συστρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκε τοὺς πολεμίους καὶ κατὰ τύχην ὀρθὸς ἔστη. Τιναξαμένου δὲ τοῖς ὅπλοις ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. Διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δὲ εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον, εἷς δὲ μικρὸν ἀπωτέρω στὰς ἐφῆκεν ἀπὸ τόξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μασθὸν ὀστέοις. Πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ τὸ σῶμα καὶ κάμψαντος, ὁ μὲν βαλὼν ἐπέδραμε βαρβαρικὴν μάχαιραν σπασάμενος, Πευκέστας δὲ καὶ Λιμναῖος προέστησαν· ὧν πληγέντων ἑκατέρων ὁ μὲν ἀπέθανε, Πευκέστας δὲ ἀντεῖχε, τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν. Αὐτὸς δὲ

4, 338—39 H.

---

26. δὲ] γὰρ CMV. 28. ἀλέξανδρον C.

LXIII. 3. ἐκομίζετο [PCM]qV Zonaras p. 138: ἐκόμιζε v. 8. ἀπεσκέδαζον C, ἐσκέδασε M. 10. παρὰ] ἐπὶ M. 15. δυοῖν C. 16. ἐκ χειρὸς om C. 20. μαστὸν C. αὐτοῦ καὶ τὸ σῶμα κάμψαντος Reiskii nuperi. 21. βαρβαρικὴν μάχαιραν σπασάμενος PCM: σπασάμενος βαρβαρικὴν μάχαιραν v. 22. Λιμναῖος] sic mor. 327 c. sed 334 d et Zonarae p. 138 Λημναῖος. Curtio 9, 5, 15 Timaeus. προέστησαν Bryanus cl. mor. 344 e: προεστησαν libri. 23. ἑκατέρων, πευκέτας μὲν ἀντεῖχε, θάτερος δὲ ἀπέθανε C.

τραύματα πολλὰ λαβών, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου προσήρεισε τῷ τείχει τὸ σῶμα βλέπων πρὸς τοὺς πολεμίους. Ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων ἁρπασθεὶς ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ σκηνῆς ἐκομίζετο. Καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν ὀϊστὸν ἐκπρισάντων ξύλινον ὄντα καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος περὶ τὴν ἐκκοπὴν ἐγίνοντο τῆς ἀκίδος ἐνδεδυκυίας [ἐν] ἑνὶ τῶν ὀστέων. Λέγεται δὲ τὸ μὲν πλάτος τριῶν δακτύλων εἶναι, τὸ δὲ μῆκος τεσσάρων. Διὸ ταῖς λιποθυμίαις ἔγγιστα θανάτου συνελαυνόμενος ἐξαιρουμένης αὐτῆς ὅμως ἀνέλαβε. Καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δὲ ἀσθενὴς ὢν καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὑτόν, ἕως θορυβοῦντας ὡς ᾔσθετο ποθοῦντας αὐτὸν ἰδεῖν τοὺς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθε. Καὶ θύσας τοῖς θεοῖς αὖθις ἀνήχθη καὶ παρεκομίζετο χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταστρεφόμενος.

LXIV. Τῶν δὲ Γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν Σάββαν ἀναπείσαντας ἀποστῆναι καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας λαβὼν δέκα δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα φήσας ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινάμενον πρῶτον, εἶτα ἐφεξῆς οὕτω τοὺς ἄλλους· ἕνα δὲ τὸν 701
πρεσβύτατον ἐκέλευσε κρίνειν. Ὁ μὲν οὖν πρῶτος ἐρωτηθείς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶντας· οὐκέτι γὰρ εἶναι τοὺς τεθνηκότας. Ὁ δὲ δεύτερος, πότερον τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία, τὴν γῆν· ταύτης γὰρ μέρος εἶναι τὴν θάλατταν. Ὁ

4, 339—40 H.

---

25. λαβὼν PCMV: λαμβάνων v. τοῦ om P. 26. προεείρησε P. 27. ἀναρπασθεὶς C ut Lucull. 4, 16. cf. mor. 344 f. 28. σκηνὴν Solanus. 30. ἐκπρησάντων Cq. 32. ἐγένοντο M. [ἐν] delet Reiskius. 34. λιποθυμίαις P: λειποθυμίαις v. 36. καὶ ante διαφυγὼν om C. 37. αὐτὸν] αὐτῶν P. 39. ἀνήχθη Reiskius: ἀνῆλθε libri.

LXIV. 1. Σάββαν] cf. Raderum in Curtii 9, 8, 13. 3. εἶναι δοκοῦντας C. 4. ‚legitur etiam προὔφερεν' Stephanus, προὔβαλεν C. 5. ἀποκρινάμενον Corais C: ἀποκρινόμενον v. 6. πρῶτον om M. 8. πλείους C, πλείονας εἶναι M. 11. γὰρ PC: γὰρ ἔφη v.

δὲ τρίτος, ποῖόν ἐστι ζῶον πανουργότατον, ὃ μέχρι νῦν, εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. Ὁ δὲ τέταρτος ἀνακρινόμενος, τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν, ἀπεκρίνατο, καλῶς ζῆν βουλόμενος αὐτὸν ἢ καλῶς ἀποθανεῖν. Ὁ δὲ πέμπτος ἐρωτηθεὶς, πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέραν γεγονέναι, τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ· καὶ προσεπεῖπεν οὗτος, θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. Μεταβαλὼν οὖν τὸν ἕκτον ἠρώτα, πῶς ἄν τις φιληθείη μάλιστα· ἂν κράτιστος ὤν, ἔφη, μὴ φοβερὸς ᾖ. Τῶν δὲ λοιπῶν τριῶν ὁ μὲν ἐρωτηθεὶς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός, εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν· ὁ δὲ περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο τὴν ζωὴν τοσαῦτα κακὰ φέρουσαν. Ὁ δὲ τελευταῖος, μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχον ζῆν, μέχρι οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. Οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν ἐκέλευσεν ἀποφαίνεσθαι. Τοῦ δὲ ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος „Οὐκοῦν“ ἔφη „σὺ πρῶτος ἀποθανῇ τοιαῦτα κρίνων.“ „Οὐκ ἄν γε“ εἶπεν „ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ φήσας πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινάμενον κάκιστα.“

LXV. Τούτους μὲν οὖν ἀφῆκε δωρησάμενος· πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ' αὑτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. Ὁ δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχο-

4, 340—41 H.

---

12. μέχρις P. νῦν PCM: τοῦ νῦν v. 15. βουλόμενος Bryanus: βουλόμενον libri. αὐτὸν ζῆν βουλόμενον C. κακῶς ἀποθανεῖν codex Dacerii nescio quis: καλῶς ἀποθανεῖν ceteri et v. 16. τὴν νύκτα ἢ τὴν ἡμέραν CM. 17. τὴν — μιᾷ om M. προσεπεῖπεν PC: προσεῖπεν v. 18. οὗτος x: οὕτως v, οὕτω CMSuA. 19. μεταλαβὼν a et v. 20. τὸν om P. ἠρώτησε C. 21. τριῶν addiderunt PCMAqSuV. 22. nonne ἀνθρώπου? γένηται C. 25. κακὰ] κατὰ a, καὶ i. 26. ἀνθρώπῳ Corais P: ἄνθρωπον v. ἔχων P, ἔχει Cx, ἔχοι Bryani nuperi. cf. mor. 214 b 215 b c 699 b 798 a. μέχρι P pr. A: μέχρις v. οὗ μὴ] οὐ CM. νομίσῃ C. 28. ἐκέλευεν C. 29. σὺ C: καὶ σὺ v. 30. ψεύδῃ om M. 31. πρῶτος Ai. ἀποθανεῖν C. ἀποκρινάμενον Reiskii C: ἀποκρινόμενον v.

LXV. 1. οὖν om CM. 2. αὐτοὺς PCM: ἑαυτοὺς v. 3. ἑαυτὸν M.

λακότων. Καί φησι τὸν μὲν Καλανὸν ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν ἀποδύντα τὸν χιτῶνα γυμνὸν ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δὲ οὐ διαλέξεσθαι πρὸς αὐτὸν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Ἀνδαμιν πρᾴοτερον εἶναι καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους εἰπεῖν, ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. Ἄλλοι δέ φασι τὸν Ἀνδαμιν οὐδὲν εἰπεῖν ἀλλ' ἢ τοσοῦτον μόνον „Τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ' ἦλθε;“ Τὸν μέντοι Καλανὸν ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. Ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ Καλὲ προσαγορεύων ἀντὶ τοῦ Χαίρειν τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. Τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι. Καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν ἐπάτησε τὸ ἄκρον· ἡ δὲ εἰς ἓν πιεσθεῖσα τοῖς ἄλλοις ἐπήρθη μέρεσι. Καὶ τοῦτο περιϊὼν ἐν κύκλῳ καὶ πιέζων καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρι οὗ τὸ μέσον ἐπιστὰς κατέσχε καὶ πάντα οὕτως ἠρέμησεν. Ἐβούλετο δὲ ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.

LXVI. Ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνάλωσεν. Ἐμβαλὼν δὲ ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν ἀνέπλευσε πρὸς νῆσον, ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. Ἐνταῦθα δὲ ἀποβὰς ἔθυε τοῖς θεοῖς καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ τῆς παραλίας ὅσον ἐφικτὸν ἦν. Εἶτα ἐπευξάμενος μηδένα μετ' αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας ἀνέστρεφε. Καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν ἐν 702
δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας,

4, 341—43 H.

---

5. φασὶ C. *Κάλανον* nuperi cum C et postea. 7. τὸν λόγον P. 8. εἶναι addiderunt PCM. 11. λίαν καὶ τοὺς C. 12. φασιν εἰπεῖν οὐδὲν τὸν δάνδαμιν C. 13. δεῦρ' ἦλθε] διῆλθε P. 15. σφῖνες CM, σφίνος P. κᾶλὲ P. 22. γινόμενον CM. ἄχρι P: ἄχρις v. 25. μὴ] μηδὲ PCM.

LXVI. 1. θάλασσαν M. 2. ἀνάλωσεν PCM: ἀνήλωσεν v. 3. ἀνέπλευσεν εἰς τὴν νῆσον C. σκιλλοῦσκιν M. 6. καὶ τῆς θαλάσσης post πελάγους addit C.

ἀρχικυβερνήτην δὲ Ὀνησίκριτον· αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος εἰς ἐσχάτην ἀπορίαν προήχθη καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. Καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοί, τὸ δ' ἱππικὸν εἰς μυρίους καὶ πεντακισχιλίους. Ἀλλὰ καὶ νόσοι χαλεπαὶ καὶ δίαιται πονηραὶ καὶ καύματα ξηρὰ καὶ πλείστους ὁ λιμὸς διέφθειρεν ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθῦς εἰθισμένα προσφέρεσθαι σάρκα μοχθηρὰν εἶχε καὶ δυσώδη. Μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν καὶ τῆς Γεδρωσίας ἀψάμενος εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσι, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων.

LXVII. Ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν ἐξώρμησε κώμῳ χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. Αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός· ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἀλουργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις εἵποντο τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. Εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισσαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες ἐκ πίθων μεγάλων καὶ κρατήρων ἀλλήλοις προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. Πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε πάντα τόπον. Τῷ δὲ ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας παρείπετο [ταῖς φιάλαις] καὶ παιδιὰ βακχικῆς ὕβρεως,

4, 343—44 H.

---

13. ἐξ ἰνδικῆς C. 14. οἱ πεζοὶ om C. 17. ἀγενῆ P. 18. ἰχθῦς PCMV: ἰχθύας v. 20. γεδροσίας P. 22. παρασκευασμάτων V.

LXVII. 4. θεμέλης P. 5. παμπληθεῖς om C. 6. ἁλουργεῖς M. ὕλης] ἄλλης P. 9. σάρισαν P. 15. πάντα τὸν τόπον C, πάντα πότον MA. 16. ταῖς φιάλαις ab Amioto omissa delent nuperi, ante συμπαραπέμποντος transponebat Reiskius. phalli mentionem (παρείπετο ὁ Φάλης) Tan. Faber in Anacr. p. 247 Fischeri consentiente Schaefero, sed ut is non a Plutarcho sed ab interprete in margine ad παιδιὰ βακχικῆς ὕβρεως ascripta indeque corrupta in textum illata esse existimaret.

ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ καὶ συμπαραπέμποντος τὸν κῶμον. Ἐπεὶ δὲ ἦκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. Λέγεται δὲ μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δὲ ἐρώμενον Βαγώαν χορεύοντα νικῆσαι καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας κροτεῖν καὶ βοᾶν φιλῆσαι κελεύοντας, ἄχρι οὗ περιβαλὼν κατεφίλησεν.

LXVIII. Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς διὰ στηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. Καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. Ἡ δὲ ἄνω στρατεία χαλεπὴ γενομένη καὶ τὸ περὶ Μαλλοὺς τραῦμα καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρε καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐποίησε· καὶ ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. Ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι διείλοντο τὴν ἀρχήν, Ὀλυμπιὰς μὲν Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. Καὶ τοῦτο ἀκούσας Ἀλέξανδρος βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. Διὰ ταῦτα Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν ἐμπλῆσαι πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν, αὐτὸς δὲ καταβαίνων ἐκό- 703

4, 344—46 H.

---

18. τῆς γεδρωσίας] cf. Schmiederum. γεδροσίας P. 20. βαγώαν M: βαγῶαν PC, Βαγόαν v. 21. χορεύοντα P: χωροῦντα M, χορηγοῦντα v. καὶ om P. 23. κρατεῖν P.

LXVIII. 3. πλεῦσαι M. 6. ἐπήγοντο V. 7. στρατεία Stephanus: στρατιὰ libri. 8. παρὰ πολλοὺς V. τραῦμα Reiskii (cf. c. 55) praestat Zonaras p. 139: στράτευμα libri. 9. ἀπιστείᾳ P. 11. ἀκηδίαν M. ἐνεποίησε Coraes, sed cf. mor. 143 b ‚εὐνοίαν τῷ ἀνδρὶ ποιεῖν πρὸς ἑαυτήν', comp. Cim. 1, 41 ad Fab. Max. 4, 21. 13. διαστασιάσασαι C. 15. παραλαβοῦσα om M. 17. ἂν] ἔτι M. 18. πολεμίων PCMAiV, πόλεων Reiskius, πλοίων Wyttenbachius indic. voc. πόλεμος. 19. ἐκόλασε error Bryaneae.

λαζε τοὺς πονηροὺς τῶν στρατηγῶν. Τῶν δὲ Ἀβουλήτου παίδων ἕνα μὲν Ὀξυάρτην αὐτὸς ἀπέκτεινε σαρίσσῃ διελάσας, Ἀβουλήτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον παραβαλεῖν. Ὡς δ' οὐκ ἐγεύοντο, φήσας „Τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς;" καθεῖρξε τὸν Ἀβουλήτην.

LXIX. Ἐν δὲ Πέρσαις πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξίν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ. Καὶ διὰ τοῦτό φασιν ἐνίους μὴ πολλάκις, Ὤχον δὲ μηδὲ ἅπαξ εἰς Πέρσας παραγενέσθαι διὰ μικρολογίαν ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. Ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. Τὴν δὲ ἐπιγραφὴν ἀναγνοὺς ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. Εἶχε δὲ οὕτως· „Ὦ ἄνθρωπε, ὅστις εἶ καὶ ὅθεν ἥκεις, ὅτι μὲν γὰρ ἥξεις, οἶδα, ἐγὼ Κῦρος εἰμὶ ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. Μὴ οὖν τῆς ὀλίγης μοι ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει." Ταῦτα μὲν οἶν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ μεταβολήν. Ὁ δὲ Καλανὸς ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς ᾐτήσατο πυρὰν αὐτῷ γενέσθαι. Καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ καὶ τῶν τριχῶν ἀπαρξάμενος ἀναβαίνων ἐδεξιοῦτο τοὺς παρόντας τῶν Μακεδόνων καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως, αὐτὸν δὲ ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Ba-

4, 346—47 H.

---

20. ἀβουλήτου PM cod. Zonarae Ctesias Photii p. 44 et deinceps: Ἀβουλίτου v. cf. Diodori 17, 65 et v. l. Arriani 3, 8, 8. 21. σαρίσι P. 26. ἀβούλιτον C.

LXIX. 3. ἀφίκοντο A. χρυσὸν V. 4. εἰς Πέρσας om C. 5. διὰ μικρολογίαν] μικρολογίᾳ PCM. 7. παλαιὸς q, παλαῖος V. 8. πουλαμάχος P, πολέμαρχος M. 9. γράμμασιν ὑποχαράξαι PCM. 10. ὅθεν CMqV: πόθεν v et Zonaras. 12. κτησάμενος om P. μοι ab Corae desideratum praebuit Zonaras. cf. et Arriani 6, 29, 8 Strabonis 15 p. 730 Eustathium in Dionysii v. 1069. 15. μεταβολὴν PCM: τὴν μεταβολὴν v. 18. ἐπαρξάμενος M. 20. ἡδέως γενέσθαι] cf. Wyttenbachium in mor. 127 a.

βυλῶνι ὄψεσθαι. Ταῦτα δ' εἰπὼν κατακλιθεὶς καὶ συγκαλυψάμενος οὐκ ἐκινήθη τοῦ πυρὸς πλησιάζοντος, ἀλλ', ἐν ᾧ κατεκλίθη σχήματι, τοῦτο διατηρῶν ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. Τοῦτο πολλοῖς ἔτεσιν ὕστερον ἄλλος Ἰνδὸς ἐν Ἀθήναις Καίσαρι συνὼν ἐποίησε· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον Ἰνδοῦ προσαγορευόμενον.

LXX. Ὁ δὲ Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον ἀγῶνα προὔθηκε καὶ στέφανον ἀκρατοποσίας. Ὁ μὲν οὖν πλεῖστον πιὼν Πρόμαχος ἄχρι χοῶν τεσσάρων προῆλθε· καὶ λαβὼν τὸν νικητήριον στέφανον τάλαντον ἡμέρας τρεῖς ἐπέζησε. Τῶν δὲ ἄλλων, ὡς Χάρης φησί, τετταράκοντα καὶ εἷς ἀπέθανον πιόντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. Τῶν δὲ ἑταίρων γάμον ἐν Σούσοις ἐπιτελῶν καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα τὴν Δαρείου θυγατέρα Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον καλὸν ἑστιάσας, ἐν ᾧ φασιν ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι, τά τε ἄλλα θαυμαστῶς ἐλαμπρύνατο καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας, τοῦ παντὸς ἀναλώματος ἐλάσσονος μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γενομένου. Ἐπεὶ δὲ Ἀντιγένης ὁ ἑτερόφθαλμος ὡς ὀφείλων

---

27. τοῦ νῦν CM.

LXX. 2. ἐπὶ τὸ C. 5. τὸν νικητήριον στέφανον x: τὸν νικητήριον στέφανον καὶ τάλαντον vel τὸ νικητήριον, στέφανον καὶ τάλαντον Stephanus, στέφανον τ' ταλάντων Reiskius, στέφανον ν' ταλάντων Schaeferus, quos refellit Chares Athenaei 10 p. 437 a ‚ἦν ἆθλον τῷ μὲν πρώτῳ τάλαντον' et mox ‚ὁ δὲ πλεῖστον πιὼν καὶ νικήσας ἔπιε μὲν ἀκράτου χόας τέσσαρας καὶ τὸ τάλαντον ἔλαβεν' cl. Aeliani v. h. 2, 41 ‚οἰνοποσίας γοῦν ἀγωνίαν προὔθηκε καὶ ἦν τῷ μὲν τὰ πρῶτα φερομένῳ τάλαντον τὸ γέρας'. Bryaneum τὸ νικητήριον, στέφανον ταλάντου etiam propter hiatum ferri non potest. mihi vel στέφανον delendum videtur vel νικητήριον ut τὸν στέφανον scribatur. interim recepi correctionem x. 6. φησὶ PCM: φησὶν v. τεσσαράκοντα CM. 7. πιόντες PCM: πίοντες v. ἐπιγινομένου P. 8. σούσαις P. 9. στατήραν P constanter, στατείραν AM. 11. καλὸν] ἄλλον Corais Schaeferus, sed cf. mor. 329 e ‚ἡδέως ἄν μοι δοκῶ γενέσθαι τῆς καλῆς καὶ ἱερᾶς νυμφαγωγίας θεατής'. 15. διέλυσε x. 17. aliter mor. 339 b c.

ἀπεγράψατο ψευδῶς καὶ παραγαγών τινα φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν ἀπέτισε τὸ ἀργύριον, εἶτα ἐφωράθη ψευδόμενος, ὀργισθεὶς ὁ βασιλεὺς ἀπήλασε τῆς αὐλῆς αὐτὸν καὶ παρείλετο τὴν ἡγεμονίαν. Ἦν δὲ λαμπρὸς ἐν τοῖς
704 πολεμικοῖς ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὢν, Φιλίππου πολιορκοῦντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχε βουλομένοις ἐξελεῖν τὸ βέλος οὐδὲ ὑφήκατο πρὶν ὥσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. Οὐ μετρίως οὖν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. Καὶ τοῦτο δείσας ὁ βασιλεὺς ἀνῆκε τὴν ὀργὴν καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν.

LXXI. Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων καὶ τοῖς εἴδεσιν εὐπρεπῶν, ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη, τοῖς δὲ Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, ὡς ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. Διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμὸν ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ καὶ προσρίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν οὐ τοιούτους παραλαβόντα. Πάντας οὖν ἐκέλευον ἀφιέναι καὶ πάντας ἀχρήστους νομίζειν Μακεδόνας ἔχοντα τοὺς νέους τούτους πυρριχιστὰς, σὺν οἷς ἐπιὼν κατακτήσεται τὴν οἰκουμένην. Πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχε· καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργὴν, ἀπελάσας δὲ τὰς φυλακὰς παρέδωκε Πέρσαις καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους, ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δὲ ἀπειργομένους καὶ προπηλακιζομένους ἐταπεινοῦντο· καὶ διδόντες λόγον εὕρισκον αὐτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. Τέλος δὲ συμφρονήσαντες ἐβάδιζον
4, 348—50 H.

---

18. καὶ om P. 23. αὐτοῦ P. 28. ῥαθυμίας PMAi.

LXXI. 3. εἴδεσιν] σώμασιν V. 5. δὲ om P. 7. πεπληρωμένους αὐτοῦ κατεπέμποντο εἰς τὴν θάλατταν V. 9. ἀποχρησόμενον P. πρὸς αἰσχύνην M. 10. προσριπτεῖν CM. 15. τὰς φυλὰς V. 17. καὶ ῥαβδοφόρους om P. 19. διδόντος M, διαδόντες x, διδόντες ἑαυτοῖς λόγον Reiskius.

ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτοὺς καὶ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις. Ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. Οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προσεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες ἐκαρτέρησαν. Τῇ δὲ τρίτῃ προελθὼν καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους ἐδάκρυε πολὺν χρόνον· εἶτα μεμψάμενος μέτρια καὶ προσαγορεύσας φιλανθρώπως ἀπέλυσε τοὺς ἀχρήστους δωρησάμενος μεγαλοπρεπῶς καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες ἐστεφανωμένοι καθέζοιντο. Τῶν δὲ τεθνηκότων τοὺς παῖδας ὀρφανοὺς ὄντας ἐμμίσθους ἐποίησεν.

LXXII. Ὡς δὲ ἦκεν εἰς Ἐκβάτανα τῆς Μηδίας καὶ διώκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικὸς οὐ φέρων ἀκριβῆ δίαιταν, ἅμα τῷ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον περὶ ἄριστον γενόμενος καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθὸν καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου κακῶς ἔσχε καὶ μικρὸν διαλιπὼν ἀπέθανε. Τοῦτο οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσε καὶ τῶν πέριξ πόλεων ἀφεῖλε τὰς ἐπάλξεις, τὸν δὲ ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν, αὐλοὺς δὲ κατέπαυσε καὶ μουσικὴν πᾶσαν ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεία τιμᾶν Ἡφαιστίωνα καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. Τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος ὥσπερ ἐπὶ θήραν καὶ κυνηγέσιον ἀνθρώπων ἐξῆλθε καὶ τὸ Κουσσαῖον ἔθνος κατεστρέ-

4, 350—51 H.

---

21. *τῆς σκηνῆς* P. 22. *αὐτοὺς* C. 25. *προσεστῶτες* Corais C: *προεστῶτες* v. *κύρανον* P, *κάρανον* Coraes cl. c. 2 Xenophontis h. gr. 1, 4, 3. 27. *καὶ δεδακρυμένους* ante *ἐδάκρυε* addit C. *ἐδάκρυσε* SV.

LXXII. 1. *μηδείας* P. 6. *ἅμα* ego: *ἀλλὰ* libri, *ἀλλ' ἅμα* x et nuperi. 8. *μέγα* P. 10. *μὲν* om P. 12. *ἀφῆκε* P. 13. *πᾶσαν* addiderunt PC. 16. *κυνηγέσιον* P cl. c. 40 Pomp. 51 interpr. Xenophontis Ven. 1, 2: *κυνηγεσίαν* v. 17. *Κοσσαίων* Coraes secundum Arrianum Strabonem Stephanum Byz.

φετο πάντας ἠβηδὸν ἀποσφάττων. Τοῦτο δὲ Ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. Τύμβον δὲ καὶ ταφὴν αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησε μάλιστα τῶν τεχνιτῶν Στασικράτην μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. Οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν ἔφη τῶν ὀρῶν μάλιστα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περιφανέστατον ἐξεργάσασθαι τὸν Ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ περιλαμβάνοντα μυριάνδρου πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς εἰς τὴν θάλασσαν ἀπορρέοντος. Ταῦτα μὲν οὖν παρῃτήσατο, πολλῷ δὲ ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν.

LXXIII. Εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ Νέαρχος (ἀφίκετο γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης θαλάσσης) ἔφη τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον. Ὁ δὲ οὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος ὁρᾷ κόρακας πολλοὺς διαφερομένους καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ' αὐτόν. Ἔπειτα μηνύσεως γενομένης κατὰ Ἀπολλοδώρου τοῦ στρατηγοῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει Πυθαγόραν τὸν μάντιν. Οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. Φήσαντος δέ, ὅτι τὸ ἧπαρ ἦν ἄλοβον „Παπαὶ" εἶπεν „ἰσχυρὸν τὸ σημεῖον." Καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν, ἤχθετο δὲ μὴ πεισθεὶς τῷ Νεάρχῳ καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος ἔξω κατασκηνῶν καὶ περιπλέων τὸν Εὐφρά-

4, 351—52 H.

---

19. ταφὴν PCMuV: τάφον v. 21. δὲ καὶ τῷ C. 23. Στασικράτην] cf. mor. 335 c. 24. ἐπαγγελόμενον P. 25. ἄθω sed postea ἄθων A. 26. ἀνδροείκελον P. 28. ἐξεργάσεσθαι Bryani nuperi. 29. πόλιν μυριάνδρον C. 32. μηχανώμενος ἐν τοῖς C.

LXXIII. 6. ὁρᾷ κόρακας PCM: κόρακας εἶδε v, ὁρᾷ πολλοὺς διαφθειρομένους V. 7. αὐτῶν P. 8. τῆς om P. 9. Πειθαγόρας Arrianus 7, 18. 14. τὸν Εὐφράτην om M.

την διέτριβεν. Ἠνώχλει δ' αὐτὸν σημεῖα πολλά. Καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. Ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα καὶ σφαῖραν αὐτοῦ παιζοντος οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. Οὗτος ἀνακρινόμενος, ὅστις εἴη, πολὺν χρόνον ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δὲ εἶναι τὸ γένος· ἐκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς· ἄρτι δὲ αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι καὶ προαγαγεῖν δεῦρο καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾷν.

LXXIV. Ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν· αὐτὸς δὲ ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη καὶ πρὸς τοὺς φίλους ὕποπτος. Μάλιστα δὲ Ἀντίπατρον ἐφοβεῖτο καὶ τοὺς παῖδας, ὧν Ἴόλαος μὲν ἀρχιοινοχόος ἦν, ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωστί, θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακώς, ἐγέλασε προπετέστερον. Ὁ δὲ Ἀλέξανδρος ὠργίσθη καὶ δραξάμενος αὐτοῦ τῶν τριχῶν σφόδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον. Αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν Κάσανδρον ἐκκρούων „Τί λέγεις;“ ἔφη „τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ συκοφαντοῦντας ἐλθεῖν;“ Φήσαντος δὲ τοῦ Κασάνδρου τοῦτο

4, 352—53 H.

---

16. τῶν τρεφομένων] τρεφόμενον P. 17. λακτήσας P. 18. νεανίσκοι οἱ vitii convincit hiatus. συσφαιρίζοντες Reiskius. alterum etiam Zonaras p. 140. 22. ὅστις — πολὺν χρόνον om C. πολὺν χρόνον PM: χρόνον πολὺν v. 23. μεσήνιος C. 25. corrigo γεγονέναι χρόνον cum Benselero de hiatu p. 367. 26. αὐτὸν M. προαγαγεῖν Schaeferi C: προάγειν v. 27. τὴν στολὴν λαβόντα C.

LXXIV. 1. ὁ om C. 2. οἱ μάντεις ἐκέλευον C. 5. scribam vel Ἰόλα cl. c. 77 mor. 849 e. vel Ἰόλλα cl. Arriani 7, 27 Diodori 19, 11 Curtii 10, 10 Justini 12, 14. ἀρχοινοχόος C. κάσανδρος C. 10. πρὸς τοῖχον A, πρὸς τοῖχος ia. 14. τοῦ om C.

αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος „Ταῦτα ἐκεῖνα“ ἔφη
706 „σοφίσματα τῶν Ἀριστοτέλους εἰς ἑκάτερον τὸν λόγον, οἰμωξομένων, ἂν καὶ μικρὸν ἀδικοῦντες τοὺς ἀνθρώπους φανῆτε.“ Τὸ δὲ ὅλον οὕτω φασὶ δεινὸν ἐνδῦναι καὶ δυσποιὸν ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ δέος, ὥστε ὕστερον χρόνοις πολλοῖς ἤδη Μακεδόνων βασιλεύοντα καὶ κρατοῦντα τῆς Ἑλλάδος ἐν Δελφοῖς περιπατοῦντα καὶ θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα φρῖξαι καὶ κραδανθῆναι τὸ σῶμα καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν.

LXXV. Ὁ δ' οὖν Ἀλέξανδρος ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, οὐδὲν ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ ἀτόπων, ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον· ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευόντων μεστὸν ἦν τὸ βασίλειον. Οὕτως ἄρα δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα καὶ καταφρόνησις αὐτῶν, δεινὴ δὲ αὖθις ἡ δεισιδαιμονία δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον . . . καὶ ἀναπληροῦν ἀβελτηρίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον. Οὐ μὴν ἀλλὰ καὶ χρησμῶν γε τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ κομισθέντων ἀποθέμενος τὸ πένθος αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. Ἑστιάσας δὲ λαμπρῶς τοὺς
4, 353—55 H.

---

16. ἔφη post ἀναγελάσας ponit P. 17. τὸν λόγον PqSuA: τῶν λόγων M, τῶν λόγων v. οἰμωξομένων PCMqSuAiV: οἰμωξόμενοι a et v, οἰμώξει μὲν οὖν x. 18. καὶ addiderunt PCM. τοὺς ἀνθρώπους φανῆτε P: φανῆτε τοὺς ἀνθρώπους v, τοὺς ἀνθρώπους om Cq, τοῖς ἀνθρώποις M. φανεῖτε ia. 19. οὕτω Vx: αὐτῷ libri. 24. φρῖξαι M: φρίξαι v. κρασθῆναι V. 25. εἰλιγγιάσαντα P.

LXXV. 3. οὕτως μικρὸν C. 6. καταφρόνησιν αὐτῷ M. περιφρόνησις Ai. 8. locus mancus ab aliis aliter suppletus. quorum quum nihil praestari possit satis habeo Corais et Schaeferi sententias attulisse. sic igitur Coraes: ἡ δεισιδαιμονία, ᾗ, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον καταῤῥέοντος, ἀνεπλήρου ἀβελτερίας κατάφοβον τὸν Ἀλέξανδρον γενόμενον, cui rationi obstat hiatus. Schaeferus post ταπεινούμενον excidisse infinitivum putat delendaque τὸν Ἀλέξανδρον ut locus sententiam complectatur generalem. 8. ἀβελτερίας Reiskianae nuperi. 9. καὶ PCMV: καὶ περὶ Ai, καίπερ v. γε delet Schaeferus.

περὶ Νέαρχον, εἶτα λουσάμενος, ὥσπερ εἰώθει μέλλων καθεύδειν, Μηδίου δεηθέντος ᾤχετο κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν οὔτε ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον ὥσπερ λύγχῃ πεπληγώς, ἀλλὰ ταῦτά τινες ᾠοντο δεῖν γράφειν ὥσπερ δράματος μεγάλου τραγικὸν ἔξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα πιεῖν οἶνον· ἐκ τούτου δὲ φρενιτιᾶσαι καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός.

LXXVI. Ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ λουτρῶνι διὰ τὸ πυρέξαι. Τῇ δὲ ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. Εἶτ' ὀψὲ λουσάμενος καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς ἐμφαγὼν διὰ νυκτὸς ἐπύρεξε. Τῇ εἰκάδι λουσάμενος πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν· καὶ κατακείμενος ἐν τῷ λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. Τῇ δεκάτῃ φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη καὶ τὴν νύκτα βαρέως ἔσχε καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε σφόδρα. Καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν, ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. Ἑβδόμῃ σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά· τῶν δὲ ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. Εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς τῇ ἕκτῃ μικρὸν ὕπνωσεν, ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. Ἐπελθόντων δὲ τῶν ἡγεμόνων ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην, διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς

4, 355–56 H.

---

13. μειδίου P. 14. ὅλην om M. 15. οὔτε ante ἄφνω om C. διαλγεὶς V, διαλλαγὴς P, διαυγὴς M. 16. τινες] δεινῶς M. 18. πλάσαντος M. 20. φρενιτιάσαι Reiskiana [cum C]: φρενητιᾶσαι v.

LXXVI. 1. scribam τὰ περὶ τὴν νόσον cum Corae. 3. λουτρῷ M. πυρέττειν C. 4. προῆλθε C. πρὸς τὸν C. μείδιον P. 9. ταῦτα PMA. 13. διηλέχθη C, διειλέχθη MA. 15. ἐκέλευσε Schaeferi C. 16. δὲ om P. 18. μικρὸν PC: σμικρὸν v. 20. τὴν ἑβδομὴν C. 21. διηπείλουν M.

ἑταίροις, ἕως ἐβιάσαντο· καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. Ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποσταλέντες ἠρώτων, εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε. Τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε.

LXXVII. Τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. Φαρμακείας δὲ ὑποψίαν παραυτίκα
707 μὲν οὐδεὶς ἔσχεν, ἕκτῳ δὲ ἔτει φασὶ μηνύσεως γενομένης τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρῖψαι δὲ τὰ λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. Οἱ δὲ Ἀριστοτέλην φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γεγενῆσθαι τῆς πράξεως καὶ ὅλως δι' ἐκείνου πορισθῆναι τὸ φάρμακον Ἀγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα· τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνάκριδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν γὰρ ἄλλων οὐδὲν ἀγγεῖον στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. Οἱ δὲ πλεῖστοι τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· καὶ τεκμήριον αὐτοῖς ἐστιν οὐ μικρόν, ὅτι τῶν ἡγεμόνων στασιασάντων ἐφ' ἡμέρας πολλὰς ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν οὐδὲν ἔσχε τοιαύτης φθορᾶς σημεῖον, ἀλλ' ἔμεινε καθαρὸν καὶ πρόσφατον. Ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι,

4, 356—57 H.

---

22. ἕως ἐβιάσαντο om C. 24. ταύτης] ‚ἴσως τετάρτης' marg. Mureti V. 25. σεραπεῖον P, cf. Siebelis in Pausaniae 2, 34, 10. κομίσωσιν PM: κομίσουσιν v. 26. ἀνῆκε P.

LXXVII. 2. οὕτως M. παραυτίκα PCM: αὐτίκα v. 3. μὲν om P. μηνύσεως] ζητήσεως V. 4. ἐκρῖψαι Schaeferus: ἐκρίψαι v. 5. ἰολάου C, cf. ad c. 74. ἐγχέαντος C. 6. ἀριστοτέλην CM: ἀριστοτέλη P, Ἀριστοτέλη v. 7. πορισθῆναι CM: κομισθῆναι v. 9. ἀκούσαντος V. 10. Νωνάκριδι Coraes: νωνακρίδι PCMA, Νονακρίδι v. sed latere hic aliquid vitii cum hiatus indicat tum ipsa videtur sententia prodere, satis illa mira ac fortasse non integra. ego tale quid hic dici exspectabam, quale de eadem re est apud Pausaniam 8, 18, 4 τὸ δὲ ὕδωρ τὸ ἀπὸ τοῦ κρημνοῦ τοῦ παρὰ τὴν Νώνακριν στάζον etc. 12. ἀγγεῖον PM: ἀγγείων v. 15. ἐστιν addiderunt PCM.

δυσζήλως δὲ ἔχουσα πρὸς τὴν Στάτειραν ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. Ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ τὸν Ἀρριδαῖον ὥσπερ δορυφόρημα τῆς βασιλείας ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς Φιλίννης, ἀτελῆ δὲ τὸ φρονεῖν ὄντα διὰ σώματος νόσον οὐ φύσει προσπεσοῦσαν οὐδὲ αὐτομάτως, ἀλλὰ καὶ πάνυ φασὶ παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι χάριεν ἦθος καὶ οὐκ ἀγεννὲς, εἶτα μέντοι φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

4, 257 H.

25. ἀριδαῖον C. τῆς om P. 26. Φιλίννης Photius Bekkeri p. 396. 27. τὸ PA: τῷ v, τῷ σωφρονεῖν Photius. οὐ μὴν φύσει Photius. 28. φασὶ PC: φασὶν v. 29. ἀγενὲς P.

Γ. ΚΑΙΣΑΡ.

707 1. Τὴν Κίννα τοῦ μοναρχήσαντος θυγατέρα Κορνηλίαν, ὡς ἐπεκράτησε Σύλλας, οὔτε ἐλπίσιν οὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι Καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. Αἰτία δὲ Καίσαρι τῆς πρὸς Σύλλαν ἀπεχθείας ἡ πρὸς Μάριον οἰκειότης ἦν. Ἰουλίᾳ γὰρ, πατρὸς ἀδελφῇ Καίσαρος, ὁ πρεσβύτερος συνῴκει Μάριος, ἐξ ἧς ἐγεγόνει Μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν Καίσαρος. Ὡς δὲ ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ καὶ δι' ἀσχολίας ὑπὸ Σύλλα παρορώμενος οὐκ ἠγάπησεν, ἀλλὰ μετιὼν ἱερωσύνην εἰς τὸν δῆμον προῆλθεν οὔπω πάνυ μειράκιον ὤν, ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς Σύλλας παρεσκεύασε, περὶ δὲ ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων, ὡς οὐκ ἔχοι λόγον ἀποκτιννύναι παῖδα τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ Μαρίους ἐνορῶσι. Ταύτης τῆς φωνῆς ἀνενεχθείσης πρὸς Καίσαρα συχνὸν μέν τινα χρόνον πλανώμενος

4, 357–58 H.

---

ad Caesarem libris usus sum iisdem quibus ad Alexandrum. speciminis ergo scripturas addidi codicum Parisinorum cum Reiskiana collatorum 1678 (H) 1672 (B) 1674 (D) paucis quibusdam locis olim a Dacerio consultorum. abieci tamen quae plane viderentur inutilia esse. accedunt excerptae Mureti lectiones ex STuq.

Γ. ΚΑΙΣΑΡ ABD: *καίσαρ* P, *ΚΑΙΣΑΡ* ia, *Γ. ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ* v, de ceteris libris tacetur.

I. 9. *προῆλθεν* Solani PCA: *προσῆλθεν* v. 10. *ὄν* C. 11. *σύλλα* P. 13. *οὐκ ἔχειν νοῦν ἔφη* PCM. *αὐτοῖς* P, *τούτους* C. 14. *ἀνενεχθείσης* PCM: *ἐνεχθείσης* v.

ἐν Σαβίνοις ἔκλεπτεν ἑαυτόν· ἔπειτα δι' ἀρρωστίαν εἰς οἰκίαν ἑτέραν μετακομιζόμενος κατὰ νύκτα περιπίπτει στρατιώταις τοῦ Σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. Ὧν τὸν ἡγεμόνα Κορνήλιον πείσας δυσὶ ταλάντοις ἀφείθη, καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν ἐξέπλευσεν εἰς Βιθυνίαν πρὸς Νικομήδην τὸν βασιλέα. Παρ' ᾧ διατρίψας χρόνον οὐ πολὺν, εἶτα ἀποπλέων ἁλίσκεται περὶ τὴν Φαρμακοῦσαν νῆσον ὑπὸ πειρατῶν ἤδη τότε στόλοις μεγάλοις καὶ σκάφεσιν ἁπλέτοις κατεχόντων τὴν θάλατταν. 708

II. Πρῶτον μὲν οὖν αἰτηθεὶς ὑπ' αὐτῶν λύτρα εἴκοσι τάλαντα κατεγέλασεν ὡς οὐκ εἰδότων, ὃν ἠρήκοιεν, αὐτὸς δὲ ὡμολόγησε πεντήκοντα δώσειν· ἔπειτα τῶν περὶ αὐτὸν ἄλλον εἰς ἄλλην διαπέμψας πόλιν ἐπὶ τῶν χρημάτων πορισμὸν ἐν ἀνθρώποις φονικωτάτοις Κίλιξι μεθ' ἑνὸς φίλου καὶ δυοῖν ἀκολούθοιν ἀπολελειμμένος οὕτω καταφρονητικῶς εἶχεν, ὥστε πέμπων ὁσάκις ἀναπαύοιτο προσέταττεν αὐτοῖς σιωπᾷν. Ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεούσαις, ὥσπερ οὐ φρουρούμενος, ἀλλὰ δορυφορούμενος ὑπ' αὐτῶν, ἐπὶ πολλῆς ἀδείας συνέπαιζε καὶ συνεγυμνάζετο. Καὶ ποιήματα γράφων καὶ λόγους τινὰς ἀκροαταῖς ἐκείνοις ἐχρῆτο καὶ τοὺς μὴ θαυμάζοντας ἄντικρυς ἀπαιδεύτους καὶ βαρβάρους ἀπεκάλει καὶ σὺν γέλωτι πολλάκις ἠπείλησε κρεμᾶν αὐτούς. Οἱ δὲ ἔχαιρον ἀφελείᾳ τινὶ καὶ παιδιᾷ τὴν παρρησίαν ταύτην νέμοντες. Ὡς δὲ ἦκον ἐκ Μιλήτου τὰ λύτρα καὶ δοὺς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τοῦ Μιλησίων λιμένος ἐπὶ τοὺς λῃστὰς ἀνήγετο· καὶ καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλοχοῦντας ἐκράτησε τῶν πλείστων. Καὶ τὰ μὲν χρήματα λείαν ἐποιήσατο, τοὺς δὲ ἄνδρας ἐν Περγάμῳ καταθέμενος εἰς τὸ δεσμωτήριον αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν Ἀσίαν Ἰούνιον, ὡς ἐκείνῳ προσῆκον ὄντι στρατηγῷ κολάσαι τοὺς ἁλωκότας. Ἐκείνου δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος

4, 358–59 H.

16. *σαλαμινίοις* V. 17. *διὰ νύκτα* M. 18. *τῷ σύλλα* P. 21. *νικομήδην* P: *Νικομήδῃ* v. 23. *Φαρμακοῦσσαν* Coraes cum Stephano Byzantio.

II. 2. *εἰρήκειν* P. 4. *ἐπὶ τὸν τῶν* Reiskii [CMA]. 6. *οὕτως* M. 8. praestatne *ἡμέρας — δεούσας*? *δυοῖν* CM. 20. *ἐπορεύετο* C. 21. *Ἰούνιον* Stephanus post Amiotum Xylandrum cl. Vellei Pat. 2, 42: *ἴουγκον* libri (*ἴουγγον* C). 22. *καὶ τοῖς*] *τοῖς* M.

(ἦν γὰρ οὐκ ὀλίγα) καὶ περὶ τῶν αἰχμαλώτων σκέψεσθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ Καῖσαρ εἰς Πέργαμον ᾤχετο καὶ προαγαγὼν τοὺς λῃστὰς ἅπαντας ἀνεσταύρωσεν, ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις.

III. Ἐκ δὲ τούτου τῆς Σύλλα δυνάμεως ἤδη μαραινομένης καὶ τῶν οἴκοι καλούντων αὐτὸν ἔπλευσεν εἰς Ῥόδον ἐπὶ σχολὴν πρὸς Ἀπολλώνιον τὸν τοῦ Μόλωνος, οὗ καὶ Κικέρων ἠκροᾶτο, σοφιστεύοντος ἐπιφανῶς καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. Λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ Καῖσαρ ἄριστα καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν ἀδηρίτως ἔχειν, τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον [ἀλλ'] ἀσχοληθεὶς ἀφεῖναι, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο τῆς ἐν τῷ λέγειν δεινότητος ὑπὸ στρατειῶν καὶ πολιτείας, ἧ κατεκτήσατο τὴν ἡγεμονίαν, οὐκ ἐξικόμενος. Αὐτὸς δ' οὖν ὕστερον ἐν τῇ πρὸς Κικέρωνα περὶ Κάτωνος ἀντιγραφῇ παραιτεῖται μὴ στρατιωτικοῦ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυοῦς καὶ σχολὴν ἐπὶ τοῦτο πολλὴν ἄγοντος.

IV. Ἐπανελθὼν δ' εἰς Ῥώμην Δολοβέλλαν ἔκρινε κακώσεως ἐπαρχίας, καὶ πολλαὶ ἀπὸ τῆς Ἑλλάδος τῶν πόλεων μαρτυρίας αὐτῷ παρέσχον. Ὁ μὲν οὖν Δολοβέλλας ἀπέφυγε τὴν δίκην. Ὁ δὲ Καῖσαρ ἀμειβόμενος τὴν Ἑλλάδα τῆς προθυμίας συνηγόρευσεν αὐτῇ Πόπλιον Ἀντώνιον διωκούσῃ δω-

4, 359—61 H.

---

25. προαγαγὼν C. ἐσταύρωσεν M. 26. προειρήκει P.

III. 3. ἐπὶ σχολὴν praeter ceteros libros etiam Su: ἐπιστολὴν ia, quod quum non intelligeret omisit editor basileensis male probantibus quibusdam. mor. 86 e ἐπὶ σχολὴν Ἀθήναζε καταπλεῖν. Ἀπολλώνιον τὸν τοῦ Μόλωνος] sic etiam Cicer. 4. cf. Rualdum observat. 28. Spaldingium in Quinctil. 3, 1, 16. 4. ἐπιφανοῦς C. 7. ‚legitur etiam ἀκρίτως' Stephanus. 9. [ἀλλ'] delet Stephanus (‚repetitis a librario per imprudentiam primis litteris vocis μᾶλλον'), ἄλλοις Bryanus. ἀφεῖναι PCMqu: ἀπεῖναι V, ὑφεῖναι v. ἠγεῖτο M. πρὸς ὅπερ — δεινότητος cohaerere vidit Stephanus. 12. ὕστερον om C. ἐπιγραφῇ M. 13. ἐξετάζειν PM.

IV. 2. scribam τῶν ἀπὸ τῆς Ἑλλάδως πόλεων cum Reiskio. ἀπὸ τῆς Ἑλλάδος post Ῥώμην collocata malebat Schaeferus.

ροδοκίας ἐπὶ Λευκούλλου τοῦ Μάρκου Μακεδονίας στρατηγοῦ. Καὶ τοσοῦτον ἴσχυσεν, ὥστε τὸν Ἀντώνιον ἐπικαλέσασθαι τοὺς δημάρχους σκηψάμενον οὐκ ἔχειν τὸ ἴσον ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας. Ἐν δὲ Ῥώμῃ πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτοῦ χάρις ἐξέλαμπε, πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια παρὰ τῶν δημοτῶν ἁπάντα, θεραπευτικοῦ παρ' ἡλικίαν ὄντος. Ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τραπέζης καὶ ὅλως τῆς περὶ 709
τὴν δίαιταν λαμπρότητος αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. Ἦν τὸ πρῶτον οἱ φθονοῦντες οἰόμενοι ταχὺ τῶν ἀναλωμάτων ἐπιλιπόντων ἐξίτηλον ἔσεσθαι περιεώρων ἀνθοῦσαν ἐν τοῖς πολλοῖς· ὀψὲ δὲ ᾔσθοντο, μεγάλης καὶ δυσανατρέπτου γενομένης καὶ βαδιζούσης ἄντικρυς ἐπὶ τὴν τῶν ὅλων μεταβολήν, ὡς οὐδεμίαν ἀρχὴν πράγματος [οὕτω] ἡγητέον μικρὰν, ἣν οὐ ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχὲς ἐκ τοῦ καταφρονηθῆναι τὸ μὴ κωλυθῆναι λαβοῦσαν. Ὁ γοῦν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ καὶ φοβηθῆναι τῆς πολιτείας ὥσπερ θαλάττης τὰ διαγελῶντα καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους καταμαθὼν Κικέρων ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασι τυραννικὴν ἐνορᾶν διάνοιαν, „Ἀλλ' ὅταν" ἔφη „τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω κἀκεῖνον ἐνὶ δακτύλῳ κνώμενον, οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος εἰς νοῦν ἂν ἐμβαλέσθαι τηλικοῦτον κακὸν, ἀναίρεσιν τῆς Ῥωμαίων πολιτείας." Ταῦτα μὲν οὖν ὕστερον.

V. Τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς αὐτὸν εὐνοίας ἔλαβεν ὅτε πρὸς Γάϊον Ποπίλιον ἐρίσας ὑπὲρ χιλιαρχίας πρότερος ἀνηγορεύθη· δευτέραν δὲ καὶ καταφανεστέραν ὅτε, τῆς Μαρίου γυναικὸς Ἰουλίας ἀπαθανούσης, ἀδελφιδοῦς

4, 361—62 H.

6. *Μάρκου*] *μάρτυρος* V. 10. *τῆς* om P. 11. *διώξεις* CM. *παρὰ τῶν δημοτῶν φιλοφροσύνης εὔνοια ἀπήντα* CM. 16. *ἀναλώτων* M. *ἐπιλειπόντων* PM. 20. *οὕτω* ab Stephano x secundum Amiotum Xylandrum post *ἡγητέον* additum inserui post *πράγματος*. 23. *θαλάσσης* M. 29. *τηλικοῦτον* PC: *τηλικοῦτο* v.

V. 2. *πόπλιον* libri, quod propter ceteros locos Plutarchum scripsisse non puto, *Ποπλίλιον* x, Popilius Xylander aliique, ac *Ποπίλιος* Brut. 15. 16. sed praestat fortasse *Ποπίλλιον* cl. C. Gracch. 4. Cicer. 48. Schweighaeuseri an. crit. in Appiani hisp. 79. mithridat. 17. *χιλιάρχας* P.

ὧν αὐτῆς ἐγκώμιόν τε λαμπρὸν ἐν ἀγορᾷ διῆλθε καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας Μαρίου προθέσθαι τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ Σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. Ἐπὶ τούτῳ γὰρ ἐνίων καταβοησάντων τοῦ Καίσαρος ὁ δῆμος ἀντήχησε λαμπρῶς δεξάμενος κρότῳ καὶ θαυμάσας ὥσπερ ἐξ ᾅδου διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς Μαρίου τιμὰς εἰς τὴν πόλιν. Τὸ μὲν οὖν ἐπὶ γυναιξὶ πρεσβυτέραις λόγους ἐπιταφίους διεξιέναι πάτριον ἦν Ῥωμαίοις, νέαις δὲ οὐκ ὂν ἐν ἔθει πρῶτος εἶπε Καῖσαρ ἐπὶ τῇ ἑαυτοῦ γυναικὸς ἀποθανούσης· καὶ τοῦτο ἤνεγκεν αὐτῷ χάριν τινὰ καὶ συνεδημαγώγησε τῷ πάθει τοὺς πολλοὺς ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθους ἀγαπᾷν. Θάψας δὲ τὴν γυναῖκα ταμίας εἰς Ἰβηρίαν ἐνὶ τῶν στρατηγῶν Βαίτωρι συνεξῆλθεν, ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσε καὶ τὸν υἱὸν πάλιν αὐτὸς ἄρχων ταμίαν ἐποίησε. Γενόμενος δὲ ἀπὸ τῆς ἀρχῆς ἐκείνης τρίτην ἠγάγετο γυναῖκα Πομπηΐαν ἔχων ἐκ Κορνηλίας θυγατέρα τὴν ὕστερον Πομπηΐῳ Μάγνῳ γαμηθεῖσαν. Χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι μεγάλων ἀναλωμάτων δόξαν, ὠνούμενος δὲ ταῖς ἀληθείαις τὰ μέγιστα μικρῶν, λέγεται πρὶν εἰς ἀρχήν τινα καθίστασθαι χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. Ἐπεὶ δὲ τοῦτο μὲν ὁδοῦ τῆς Ἀππίας ἀποδειχθεὶς ἐπιμελητὴς πάμπολλα χρήματα προσανάλωσε τῶν ἑαυτοῦ, τοῦτο δὲ ἀγορανομῶν ζεύγη μονομάχων τριακόσια καὶ εἴκοσι παρέσχε καὶ ταῖς ἄλλαις περὶ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις καὶ πολυτελείαις τὰς πρὸ αὐτοῦ κατέκλυσε φιλοτιμίας, οὕτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχάς, καινὰς δὲ τιμὰς ζητεῖν ἕκαστον, αἷς αὐτὸν ἀμείψαιντο.

VI. Δυεῖν δὲ οὐσῶν ἐν τῇ πόλει στάσεων, τῆς μὲν ἀπὸ Σύλλα μέγα δυναμένης, τῆς δὲ Μαριανῆς, ἣ τότε κατεπτήχει καὶ διέσπαστο κομιδῇ ταπεινὰ πράττουσα, ταύτην ἀναῤῥῶσαι

4, 362—64 H.

---

9. ἀντήχισε P. 13. ὧν P. 17. immo *Βέτερι* (*βέτωρι* C) cum Xylandro cl. Vellei 2. 43. x. 19. *πάλιν αὐτὸς* PCMuq: *αὐτοῦ πάλιν αὐτὸς* AV, *αὐτοῦ πάλιν* v. 26. *ὀφειλέτης* M. 29. *μοναχῶν* M. 30. *περὶ* PCM: *περὶ τὰ* v. 31. *κατέλυσε* C.

VI. 1. *δυοῖν* C. 3. *διέσπαστο* Reiskii P[CM]: *διεσπᾶτο* v.

καὶ προσαγαγέσθαι βουλόμενος ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχούσαις εἰκόνας ἐποιήσατο Μαρίου κρύφα καὶ Νίκας τροπαιοφόρους, ἃς φέρων νυκτὸς εἰς τὸ Καπιτώλιον 710
ἀνέστησεν. Ἅμα δὲ ἡμέρᾳ τοὺς θεασαμένους μαρμαίροντα πάντα χρυσῷ καὶ τέχνῃ κατεσκευασμένα περιττῶς (διεδήλου δὲ γράμμασι τὰ Κιμβρικὰ κατορθώματα) θάμβος ἔσχε τῆς τόλμης τοῦ ἀναθέντος (οὐ γὰρ ἦν ἄδηλος), ταχὺ δὲ περιὼν ὁ λόγος ἤθροιζε πάντας ἀνθρώπους πρὸς τὴν ὄψιν. Ἀλλ' οἱ μὲν ἐβόων τυραννίδα πολιτεύεσθαι Καίσαρα νόμοις καὶ δόγμασι κατορωρυγμένας ἐπανιστάντα τιμὰς καὶ τοῦτο πεῖραν ἐπὶ τὸν δῆμον εἶναι προμαλαττόμενον, εἰ τετιθάσσευται ταῖς φιλοτιμίαις ὑπ' αὐτοῦ καὶ δίδωσι παίζειν τοιαῦτα καὶ καινοτομεῖν, οἱ δὲ Μαριανοὶ παραθαρρύνοντες ἀλλήλους πλήθει τε θαυμαστοὶ ὅσοι διεφάνησαν ἐξαίφνης καὶ κρότῳ κατεῖχον τὸ Καπιτώλιον· πολλοῖς δὲ καὶ δάκρυα τὴν Μαρίου θεωμένοις ὄψιν ὑφ' ἡδονῆς ἐχώρει, καὶ μέγας ἦν ὁ Καῖσαρ ἐγκωμίοις αἰρόμενος, ὡς ἀντὶ πάντων ἄξιος εἴη ὁ ἀνὴρ τῆς Μαρίου συγγενείας. Συναχθείσης δὲ περὶ τούτων τῆς βουλῆς Κάτλος Λουτάτιος, ἀνὴρ εὐδοκιμῶν τότε μάλιστα Ῥωμαίων, ἀναστὰς καὶ κατηγορήσας Καίσαρος ἐπεφθέγξατο τὸ μνημονευόμενον· „Οὐκέτι γὰρ ὑπονόμοις" ἔφη „Καῖσαρ, ἀλλ' ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν." Ἐπεὶ δὲ ἀπολογησάμενος πρὸς ταῦτα Καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν καὶ παρεκελεύοντο μηδενὶ τοῦ φρονήματος ὑφίεσθαι· πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν.

VII. Ἐν δὲ τούτῳ καὶ Μετέλλου τοῦ ἀρχιερέως τελευτήσαντος καὶ τὴν ἱερωσύνην περιμάχητον οὖσαν Ἰσαυρικοῦ καὶ Κάτλου μετιόντων, ἐπιφανεστάτων ἀνδρῶν καὶ μέγιστον ἐν βουλῇ δυναμένων, οὐχ ὑπεῖξεν αὐτοῖς ὁ Καῖσαρ, ἀλλὰ

4, 364—65 H

4. προαγαγέσθαι Reiskii nuperi. 6. scribebatur νίκας. καπετώλιον P et infra, καπητώλιον i. in hac quidem vita formae Καπιτώλιον maior fides. 8. χρυσᾶ C. 10. ἄδηλος Reiskius: ἄδηλον libri. προϊὼν C. 14. εἰ τετιθάσσευται Reiskius: εἴτε τιθασσεύεται v, εἴ τι τιθασσεύεται C. 15. προδίδωσι P. 16. καινοτομεῖν PCM[A]qVx: κενοτομεῖν v. παραθαρρύνοντες P. ἀλλήλους PCMH: αὐτοὺς v. 17. ὅσοι om C, sed hic quidem hiatus videtur legitimus. 20. εἴη delet Benseler de hiatu p. 368. 27. ἐπερρώσθησαν H.

VII. 3. ἑπιόντων M.

καταβὰς εἰς τὸν δῆμον ἀντιπαρήγγελλεν. Ἀγχωμάλου δὲ τῆς σπουδῆς φαινομένης ὁ Κάτλος ἀπὸ μείζονος ἀξίας μᾶλλον ὀρρωδῶν τὴν ἀδηλότητα προσέπεμψε πείθων ἀποστῆναι τὸν Καίσαρα τῆς φιλοτιμίας ἐπὶ πολλοῖς χρήμασιν. Ὁ δὲ καὶ πλείω προσδανεισάμενος ἔφη διαγωνιεῖσθαι. Τῆς δ' ἡμέρας ἐνστάσης καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν οὐκ ἀδακρυτὶ προπεμπούσης ἀσπασάμενος αὐτήν „Ὦ μῆτερ" εἶπε „τήμερον ἢ ἀρχιερέα τὸν υἱὸν ἢ φυγάδα ὄψει." Διενεχθείσης δὲ τῆς ψήφου καὶ γενομένης ἀμίλλης ἐκράτησε καὶ παρέσχε τῇ βουλῇ καὶ τοῖς ἀρίστοις φόβον ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. Ὅθεν οἱ περὶ Πείσωνα καὶ Κάτλον ἠτιῶντο Κικέρωνα φεισάμενον Καίσαρος ἐν τοῖς περὶ Κατιλίναν λαβὴν παρασχόντος. Ὁ γὰρ δὴ Κατιλίνας οὐ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ' ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθεὶς αὐτὸς μὲν ἐξέπεσε περιπταίσας ἐλάττοσιν ἐλέγχοις πρὸ τοῦ τὰς ἐσχάτας αὐτοῦ βουλὰς ἀποκαλυφθῆναι, Λέντλον δὲ καὶ Κέθηγον ἐν τῇ πόλει διαδόχους ἀπέλιπε τῆς συνωμοσίας, οἷς εἰ μὲν κρύφα παρεῖχέ τι θάρσους καὶ δυνάμεως ὁ Καῖσαρ ἄδηλόν ἐστιν, ἐν δὲ τῇ βουλῇ κατὰ κράτος ἐξελεγχθέντων καὶ Κικέρωνος τοῦ ὑπάτου γνώμας ἐρωτῶντος περὶ κολάσεως ἕκαστον, οἱ μὲν ἄλλοι μέχρι Καίσαρος θανατοῦν ἐκέλευον, ὁ δὲ Καῖσαρ ἀναστὰς λόγον διῆλθε πεφροντισμένον, ὡς ἀποκτεῖναι μὲν ἀκρίτους ἄνδρας ἀξιώματι καὶ γένει λαμπροὺς οὐ δοκεῖ πάτριον οὐδὲ δίκαιον εἶναι, μὴ μετὰ τῆς ἐσχάτης ἀνάγκης, εἰ δὲ φρουροῖντο δεδέντες ἐν πόλεσι τῆς Ἰταλίας, ἃς ἂν αὐτὸς ἕληται Κικέρων, μέχρι οὗ καταπολεμηθῇ Κατιλίνας, ὕστερον ἐν εἰρήνῃ καὶ καθ' ἡσυχίαν περὶ ἑκάστου τῇ βουλῇ γνῶναι παρέξει.

711 VIII. Οὕτω δὲ τῆς γνώμης φιλανθρώπου φανείσης καὶ τοῦ λόγου δυνατῶς ἐπ' αὐτῇ ῥηθέντος οὐ μόνον οἱ μετὰ

4, 365—66 H.

5. ἀντιπαρήγγειλεν C, ἀντιπαρήγγελεν M. ἀγχιμαλώτου δὲ τῆς μάχης γενομένης C. 7. προέπεμψε M. 8. ἐπὶ πλείοσι M. 9. προσδανεισάμενος Stephani PCMH: προσδανεισόμενος v. 11. εἶπε CMA: εἶπεν v. 14. προάξων τὸν δῆμον θρασύτητος C. 15. πίσωνα PH. 17. δὴ om M. 22. τῆς συνωμοσίας ἀπέλιπεν C. 23. ἄδηλον PCMHuSV: ἄδηλος v. 28. δίκαιον οὐδὲ πάτριον A. 31. μέχρι P pr. A: μέχρις v. 32. παρέξει Corais corr. A: πράξει ceteri et v, ‚ἴσως ὑπάρξει' Muretus Vx. cf. ad Alcibiad. 34. 39.

VIII. 2. ῥηθέντα M.

τοῦτον ἀνιστάμενοι προσετίθεντο, πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτοῦ τὰς εἰρημένας γνώμας ἀπειπάμενοι πρὸς τὴν ἐκείνου μετέστησαν, ἕως ἐπὶ Κάτωνα τὸ πρᾶγμα καὶ Κάτλον περιῆλθε. Τούτων δὲ νεανικῶς ἐναντιωθέντων, Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος αὐτῷ καὶ συγκατεξαναστάντος ἐρρωμένως, οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν, Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. Ἀλλὰ Κουρίων τε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι φοβηθεὶς τὸν δῆμον ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθὲς, ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δὲ εἶχεν ὕστερον ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας τὸν δῆμον ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος, ὅς γε καὶ μετ' ὀλίγας ἡμέρας εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου καὶ περιπίπτοντος θορύβοις πονηροῖς, ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθε μετὰ κραυγῆς καὶ περιέστη τὴν σύγκλητον ἀπαιτῶν τὸν ἄνδρα καὶ κελεύων ἀφεῖναι. Διὸ καὶ Κάτων φοβηθεὶς μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμὸν, οἳ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν ἐν τῷ Καίσαρι τὰς ἐλπίδας ἔχοντες, ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον, ἐξ οὗ δαπάνης μὲν ἑπτακόσιαι πεντήκοντα μυριάδες ἐνιαύσιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασι, τὸν μέντοι μέγαν ἐν τῷ παρόντι φόβον ἔσβεσε περιφανῶς τὸ πολίτευμα τοῦτο καὶ τὸ πλεῖστον ἀπέῤῥηξε τῆς Καίσαρος δυνάμεως καὶ διεσκέδασεν

4, 366—68 H.

---

3. post *προσετίθεντο* vacuum spatium fere integrae lineae in P. 6. *τούτων — ἐναντιωθέντων* om C. 7. *αὐτοῖς* C. 8. *συγκατεξαναστάντος* PCM: *συνεξαναστάντος* v. 9. *τὸν κικέρωνα φρονούντων* M. 11. *τε λέγεται* PM: *τότε λέγεται* v. *τιβέρνῳ* vel *τιβάρνῳ* P, *τηβέρνω* M. 14. *οὖν* om C. 15. *εἴπερ*] *εἰ* syllaba erasa P. 17. *τότε τῷ καιρῷ* C. 18. *πρὸς τὸν* Schaeferus Emperius. 21. *πλεῖον* P. 22. *ἐγίνετο* M. 23. *ἀπαιτῶν*] *ζητῶν* V. 25. *ὑπεκκαύματα* V. 28. *ἑπτακόσιαι* Xylandri PCHquV, in quibusdam Stephani cl. Cat. min. 26: *ἑξακόσιοι* (sic) M, *πεντακόσιαι* v. 28. *προσεγένοντο* CMH. 30. *καὶ τὸ*] *καὶ* M.

ἐν καιρῷ στρατηγεῖν μέλλοντος καὶ φοβερωτέρου διὰ τὴν ἀρχὴν ὄντος.

IX. Οὐ μὴν ἀπέβη τι ταραχῶδες ἀπ' αὐτῆς, ἀλλὰ καὶ τύχη τις ἄχαρις τῷ Καίσαρι συνηνέχθη περὶ τὸν οἶκον. Πόπλιος Κλώδιος ἦν ἀνὴρ γένει μὲν εὐπατρίδης καὶ πλούτῳ καὶ λόγῳ λαμπρός, ὕβρει δὲ καὶ θρασύτητι τῶν ἐπὶ βδελυρίᾳ περιβοήτων οὐδενὸς δεύτερος. Οὗτος ἦρα Πομπηΐας τῆς Καίσαρος γυναικὸς οὐδὲ αὐτῆς ἀκούσης. Ἀλλὰ φυλακαί τε τῆς γυναικωνίτιδος ἀκριβεῖς ἦσαν ἥ τε μήτηρ τοῦ Καίσαρος Αὐρηλία, γυνὴ σώφρων, περιέπουσα τὴν νύμφην ἀεὶ χαλεπὴν καὶ παρακεκινδυνευμένην αὐτοῖς ἐποίει τὴν ἔντευξιν. Ἔστι δὲ Ῥωμαίοις θεὸς, ἣν Ἀγαθὴν ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. Καὶ Φρύγες μὲν οἰκειούμενοι Μίδα μητέρα τοῦ βασιλέως γενέσθαι φασὶ, Ῥωμαῖοι δὲ νύμφην Δρυάδα Φαύνῳ συνοικήσασαν, Ἕλληνες δὲ τῶν Διονύσου μητέρων τὴν ἀρρήτον. Ὅθεν ἀμπελίνοις τε τὰς σκηνὰς κλήμασιν ἑορτάζουσαι κατερέφουσι καὶ δράκων ἱερὸς παρακαθίδρυται τῇ θεῷ κατὰ τὸν μῦθον. Ἄνδρα δὲ προσελθεῖν οὐ θέμις οὐδ' ἐπὶ τῆς οἰκίας γενέσθαι τῶν ἱερῶν ὀργιαζομένων· αὐταὶ δὲ καθ' ἑαυτὰς αἱ γυναῖκες πολλὰ τοῖς Ὀρφικοῖς ὁμολογοῦντα δρᾶν λέγονται περὶ τὴν ἱερουργίαν. Ὅταν οὖν ὁ τῆς ἑορτῆς καθήκῃ χρόνος, ὑπατεύοντος ἢ στρατηγοῦντος ἀνδρὸς, αὐτὸς μὲν ἐξίσταται καὶ πᾶν τὸ ἄρρεν· ἡ δὲ γυνὴ τὴν οἰκίαν παραλαβοῦσα διακοσμεῖ καὶ τὰ μέγιστα νύκτωρ τελεῖται παιδιᾶς ἀναμεμιγμένης ταῖς παννυχίσι καὶ μουσικῆς ἅμα πολλῆς παρούσης.

X. Ταύτην τότε τὴν ἑορτὴν τῆς Πομπηΐας ἐπιτελούσης, ὁ Κλώδιος οὔπω γενειῶν καὶ διὰ τοῦτο λήσειν οἰόμενος
712 ἐσθῆτα καὶ σκευὴν ψαλτρίας ἀναλαβὼν ἐχώρει νέᾳ γυναικὶ τὴν ὄψιν ἐοικώς. Καὶ ταῖς θύραις ἐπιτυχὼν ἀνεῳγμέναις εἰσήχθη μὲν ἀδεῶς ὑπὸ τῆς συνειδυίας θεραπαινίδος, ἐκείνης δὲ προδραμούσης, ὡς τῇ Πομπηΐᾳ φράσειε, καὶ γενομένης διατριβῆς, περιμένειν μὲν ὅπου κατελείφθη τῷ Κλωδίῳ μὴ καρτεροῦντι, πλανωμένῳ δ' ἐν οἰκίᾳ μεγάλῃ καὶ περιφεύγοντι

4, 368—69 H.

IX. 2. συνηνέχθη περὶ τὸν οἶκον τῷ καίσαρι C. 10. Ἀγαθὴν Schaeferus cl. Cicer. 19. mor. 268 d: Ἀγάθην v. 11. μίδαν M. 16. οὐδ' ἐκτὸς οὐδ' ἐπὶ C. 17. αὗται C. 18. αὐτῆς C. ὁμολογοῦντα om C.

X. 6. προδραμούσης C.

τὰ φῶτα προσπεσοῦσα τῆς Αὐρηλίας ἀκόλουθος ὡς δὴ γυνὴ γυναῖκα παίζειν προὐκαλεῖτο καὶ μὴ βουλόμενον εἰς τὸ μέσον εἶλκε καὶ τίς ἐστι καὶ πόθεν ἐπυνθάνετο. Τοῦ δὲ Κλωδίου φήσαντος ἄβραν περιμένειν Πομπηΐας, αὐτὸ τοῦτο καλουμένην, καὶ τῇ φωνῇ γενομένου καταφανοῦς, ἡ μὲν ἀκόλουθος εὐθὺς ἀπεπήδησε κραυγῇ πρὸς τὰ φῶτα καὶ τὸν ὄχλον ἄνδρα πεφωρακέναι βοῶσα. Τῶν δὲ γυναικῶν διαπτοηθεισῶν ἡ Αὐρηλία τὰ μὲν ὄργια τῆς θεοῦ κατέπαυσε καὶ συνεκάλυψεν, αὐτὴ δὲ τὰς θύρας ἀποκλεῖσαι κελεύσασα περιῆει τὴν οἰκίαν ὑπὸ λαμπάδων ζητοῦσα τὸν Κλώδιον. Εὑρίσκεται δ' εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγώς· καὶ γενόμενος φανερὸς ὑπὸ τῶν γυναικῶν ἐξελαύνεται διὰ τῶν θυρῶν. Τὸ δὲ πρᾶγμα καὶ νυκτὸς εὐθὺς αἱ γυναῖκες ἀπιοῦσαι τοῖς αὑτῶν ἔφραζον ἀνδράσι, καὶ μεθ' ἡμέραν ἐχώρει διὰ τῆς πόλεως λόγος, ὡς ἀθέσμοις ἐπικεχειρηκότος τοῦ Κλωδίου καὶ δίκην οὐ τοῖς ὑβρισμένοις μόνον, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς θεοῖς ὀφείλοντος. Ἐγράψατο μὲν οὖν τὸν Κλώδιον εἷς τῶν δημάρχων ἀσεβείας καὶ συνέστησαν ἐπ' αὐτὸν οἱ δυνατώτατοι τῶν ἀπὸ τῆς βουλῆς ἄλλας τε δεινὰς ἀσελγείας καταμαρτυροῦντες καὶ μοιχείαν ἀδελφῆς, ἣ Λευκούλλῳ συνῴκηκει. Πρὸς δὲ τὰς τούτων σπουδὰς ὁ δῆμος ἀντιτάξας ἑαυτὸν ἤμυνε τῷ Κλωδίῳ καὶ μέγα πρὸς τοὺς δικαστὰς ὄφελος ἦν ἐκπεπληγμένους καὶ δεδοικότας τὸ πλῆθος. Ὁ δὲ Καῖσαρ ἀπεπέμψατο μὲν εὐθὺς τὴν Πομπηΐαν, μάρτυς δὲ πρὸς τὴν δίκην κληθεὶς οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ Κλωδίου γιγνώσκειν. Ὡς δὲ τοῦ λόγου παραδόξου φανέντος ὁ κατήγορος ἠρώτησε „Πῶς οὖν ἀπεπέμψω τὴν γυναῖκα;“ „Ὅτι“ ἔφη „τὴν ἐμὴν ἠξίουν μηδὲ ὑπονοηθῆναι.“ Ταῦτα οἱ μὲν οὕτω φρονοῦντα τὸν Καίσαρα λέγουσιν εἰπεῖν, οἱ δὲ τῷ δήμῳ χαριζόμενον ὡρμημένῳ σώζειν τὸν Κλώδιον. Ἀποφεύ-

4, 369—70 H.

9. δὴ Bryani P[CMA]: δὲ v. 12. ἄβραν P, αὐραν M, cf. Cicer. 28. 14. ἀνεπήδησε C. 15. ἡ om Aia. 16. κατεκάλυψε P. 17. ἐπικλεῖσαι C. 18. ὑπὸ λαμπάδων] λαμπάσι C. 19. ᾗ συνῴκει C. 21. καὶ νυκτὸς| νυκτὸς P. ἀπιοῦσαι αἱ γυναῖκες C. 23. λόγος PCM: ὁ λόγος v. 27. μαρτυροῦντες C. 28. λευκόλλῳ pr. Ai, λεύκολλος M, λουκούλλω C, λουκόλλῳ corr. A. 30. μέγα om P. 34. γινώσκειν CH. 35. ἀπεπέμψατο a. 37. λέγουσι τὸν καίσαρα M.

γει δ' οὖν τὸ ἔγκλημα τῶν πλείστων δικαστῶν συγκεχυμένας τοῖς γράμμασι τὰς γνώμας ἀποδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι μήτε ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις.

XI. Ὁ δὲ Καῖσαρ εὐθὺς ἀπὸ τῆς στρατηγίας τῶν ἐπαρχιῶν τὴν Ἰβηρίαν λαβών, ὡς ἦν δυσδιάθετον αὐτῷ τὸ περὶ τοὺς δανειστὰς ἐνοχλοῦντας ἐξιόντι καὶ καταβοῶντας, ἐπὶ Κράσσον κατέφυγε πλουσιώτατον ὄντα Ῥωμαίων, δεόμενον δὲ τῆς Καίσαρος ἀκμῆς καὶ θερμότητος ἐπὶ τὴν πρὸς Πομπήϊον ἀντιπολιτείαν. Ἀναδεξαμένου δὲ τοῦ Κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους τῶν δανειστῶν καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα ταλάντων, οὕτως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. Λέγεται δὲ, τὰς Ἄλπεις ὑπερβάλλοντος αὐτοῦ καὶ πολίχνιόν τι βαρβαρικὸν οἰκούμενον ὑπὸ ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρὸν παρερχομένου, τοὺς ἑταίρους ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς „Ἦπου“ φάναι „κἀνταῦθά τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλοτιμίαι καὶ περὶ πρωτείων ἅμιλλαι καὶ φθόνοι τῶν δυνατῶν πρὸς ἀλλήλους;“ τὸν δὲ Καίσαρα σπουδάσαντα πρὸς αὐτοὺς εἰπεῖν „Ἐγὼ μὲν ἐβουλόμην παρὰ τούτοις εἶναι μᾶλλον πρῶτος ἢ παρὰ Ῥωμαίοις δεύτερος.“ Ὁμοίως δὲ πάλιν ἐν Ἰβηρίᾳ σχολῆς οὔσης ἀναγινώσκοντά τι τῶν περὶ Ἀλεξάνδρου γεγραμμένων σφόδρα γε-
713 νέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον, εἶτα καὶ δακρῦσαι· τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν εἰπεῖν· „Οὐ δοκεῖ ὑμῖν ἄξιον εἶναι λύπης, εἰ τηλικοῦτος μὲν ὢν Ἀλέξανδρος ἤδη τοσούτων ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν οὐδὲν οὔπω πέπρακται;“
4, 370—71 H.

39. *συγκεχυμένοις* Cicer. 29 B^{c} probatum nuperis. 40. *γράμμασι* Corais PMH cl. Cicer. l. l.: *πράγμασι* v. *ἀποδόντων* Corais PCMH: *ἀποδιδόντων* v. *ὅπως μὴ* M. 42. *ἀδοξήσωσιν ἐν τοῖς φρονίμοις* C.

XI. 2. *παραλαβὼν* M. cf. Cat. mai. 6, 5. Mar. 6, 2. 7. *ἐγγυήσαντος* P. 9. *ὑπερβάλλοντος* Schaeferi C: *ὑπερβαλόντος* v. 11. *λυπρὸν* Coraes cl. mor. 206 b. 151 c: *λυπρῶν* v, *λυπηρῶν* PuV. *παρερχομένου* Reiskius: *περιερχομένου* mor. 206 b, *παρερχομένους* libri. 12. *κἂν ἐνταῦθα* PM. 13. *περὶ τῶν* M. 16. *τούτους* C. *μᾶλλον εἶναι* C, *μᾶλλον* om M. 18. *ἀλέξανδρον* C. 20. *αἰτίαν*] *λύπην* M. *ὑμῖν εἶναι λύπης ἄξια* M. 21. ‚pro *ἤδη* in quibusdam legitur *ἐθνῶν*‘ Stephanus V. Amiotus: ‚tant de peuples et de pays.‘ 22. *ἐβασίλευσεν* C. *οὐδὲν* om M. *οὔτω* P.

XII. Τῆς γοῦν Ἰβηρίας ἐπιβὰς εὐθὺς ἦν ἐνεργός, ὥσθ' ἡμέραις ὀλίγαις δέκα σπείρας συναγαγεῖν πρὸς ταῖς πρότερον οὔσαις εἴκοσι καὶ στρατεύσας ἐπὶ Καλαϊκοὺς καὶ Λυσιτανοὺς κρατῆσαι καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης τὰ μὴ πρότερον ὑπακούοντα Ῥωμαίοις ἔθνη καταστρεφόμενος. Θεμενος δὲ τὰ τοῦ πολέμου καλῶς οὐ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης ὁμόνοιάν τε ταῖς πόλεσι καθιστὰς καὶ μάλιστα τὰς τῶν χρεωφειλετῶν καὶ δανειστῶν ἰώμενος διαφοράς. Ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλουσι καθ' ἕκαστον ἐνιαυτὸν δύο μὲν μέρη τὸν δανειστὴν ἀναιρεῖσθαι, τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην, ἄχρι ἂν οὕτως ἐκλυθῇ τὸ δάνειον. Ἐπὶ τούτοις εὐδοκιμῶν ἀπηλλάγη τῆς ἐπαρχίας αὐτός τε πλούσιος γεγονὼς καὶ τοὺς στρατιώτας ὠφεληκως ἀπὸ τῶν στρατηγιῶν καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν.

XIII. Ἐπεὶ δὲ τοὺς μὲν μνωμένους θρίαμβον ἔξω διατρίβειν ἔδει, τοὺς δὲ μετιόντας ὑπατείαν παρόντας ἐν τῇ πόλει τοῦτο πράττειν, ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας ἔπεμψε πρὸς τὴν σύγκλητον αἰτούμενος αὐτῷ δοθῆναι παραγγέλλειν εἰς ὑπατείαν ἀπόντι διὰ τῶν φίλων. Κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένου τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα, ὡς ἑώρα πολλοὺς τεθεραπευμένους ὑπὸ τοῦ Καίσαρος, ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ Καῖσαρ ἔχεσθαι τῆς ὑπατείας· καὶ παρελθὼν εὐθὺς ὑποδύεται πολιτευμά τι πάντας ἀνθρώπους ἐξαπατῆσαν πλὴν Κάτωνος. Ἦν δὲ τοῦτο διαλλαγὴ Πομπηΐου καὶ Κράσσου τῶν μέγιστον ἐν τῇ πόλει δυναμένων· οὓς συναγαγὼν ὁ Καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς καὶ τὴν ἀπ' ἀμφοῖν συνενεγκάμενος ἰσχὺν εἰς ἑαυτὸν ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν ἔλαθε μεταστήσας τὴν πολιτείαν.

4, 371—72 H.

XII. 1. malim δ' οὖν. 3. *καλαίκους* PCMH Zonaras p. 125: *Καλλαϊκοὺς* v. *λυσιτανοὺς* PCMAH: *Λουσιτανοὺς* v. 4. *περιελθεῖν* C. 8. *συμφορὰς* M. 10. *μὲν* om C. 11. *ἄχρι* P pr. A: *ἄχρις* v. 12. *τούτους* a, *τοῖς* V. 13. *τοὺς* om P. *ὑπὸ τῶν στρατηγικῶν* V. *στρατειῶν* Schaeferus. cf. v. l. Cimon. 6, 4.

XIII. 11. *πολιτεύματι — ἐξαπατήσαντι* H. 14. *ἐκ φιλίας εἰς διαφορὰν* M. 15. *ἀπ'* Reiskius: *ὑπ'* libri. *συνειςενεγκάμενος* CH fueratque in M qui nunc *εἰςενεγκάμενος*.

Οὐ γάρ, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἡ Καίσαρος καὶ Πομπηΐου διαφορὰ τοὺς ἐμφυλίους ἀπειργάσατο πολέμους, ἀλλὰ μᾶλλον ἡ φιλία, συστάντων ἐπὶ καταλύσει τῆς ἀριστοκρατίας τὸ πρῶτον, εἶτα οὕτως καὶ πρὸς ἀλλήλους διαστάντων. Κάτωνι δὲ πολλάκις τὰ μέλλοντα προθεσπίζοντι περιῆν δυσκόλου τότε μὲν ἀνθρώπου καὶ πολυπράγμονος, ὕστερον δὲ φρονίμου μέν, οὐκ εὐτυχοῦς δὲ συμβούλου λαβεῖν δόξαν.

XIV. Οὐ μὴν ἀλλ' ὁ Καῖσαρ ἐν μέσῳ τῆς Κράσσου καὶ Πομπηΐου φιλίας δορυφορούμενος ἐπὶ τὴν ὑπατείαν κατήχθη· καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ Καλπουρνίου Βύβλου καὶ καταστὰς εἰς τὴν ἀρχὴν εὐθὺς εἰσέφερε νόμους οὐχ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ, πρὸς ἡδονὴν τῶν πολλῶν κληρουχίας τινὰς χώρας καὶ διανομὰς εἰσηγούμενος. Ἐν δὲ τῇ βουλῇ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀντικρουσάντων πάλαι δεύμενος προφάσεως ἀνακραγὼν καὶ μαρτυράμενος, ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο θεραπεύσων ἐκεῖνον ἐξ ἀνάγκης ὕβρει καὶ χαλεπότητι τῆς βουλῆς, πρὸς αὐτὸν ἐξεπήδησε· καὶ περιστησάμενος ἔνθεν μὲν Κράσσον, ἔνθεν δὲ Πομπήϊον, ἠρώτησεν, εἰ τοὺς νόμους ἐπαινοῖεν. Ἐπαινεῖν δὲ φασκόντων παρεκάλει βοηθεῖν ἐπὶ τοὺς ἐνίστασθαι μετὰ ξιφῶν ἀπειλοῦντας. Ἐκεῖνοι δὲ ὑπισχνοῦντο· Πομπήϊος δὲ καὶ προσεπεῖπεν, ὡς ἀφιξοιτο πρὸς τὰ ξίφη μετὰ τοῦ ξίφους καὶ θυρεὸν κομίζων. Ἐπὶ τούτῳ τοὺς μὲν ἀριστοκρατικοὺς ἠνίασεν οὐκ ἀξίαν τῆς περὶ αὐτὸν αἰδοῦς, οὐδὲ τῆς πρὸς τὴν σύγκλητον εὐλαβείας πρέπουσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκούσαντας, ὁ δὲ δῆμος ἥσθη.

714 Καῖσαρ δὲ μειζόνως ἔτι τῆς Πομπηΐου δυνάμεως ὑποδραττόμενος (ἦν γὰρ αὐτῷ Ἰουλία θυγάτηρ ἐγγεγυημένη Σερουϊ-

4, 372–73 H.

---

19. ἀριστοκρατείας PM. 20. οὕτως PM: οὕτω v. 22. τότε μὲν ἀνθρώπου C: μὲν τότε ἀνθρώπου M, μὲν ἀνθρώπου τότε v.

XIV. 2. κατήχθη PCMH cl. Aem. P. 38. Cat. mai. 16. C. Gracch. 8: προήχθη v. 3. βύβλου PCMA: Βίβλου v, cf. ad Pomp. 47. 7. συγκρουσάντων C. 10. τῆς om P. 13. ἐπὶ PCH cl. v. l. c. 2: πρὸς v. 16. μὲν om M. 18. τῇ — εὐλαβείᾳ Stephanus. τὴν om M. 20. ἐπιδραττόμενος Coraes. 21. ἐγγυημένη C. secundum Lobeckium Phryn. p. 155 praestabit ἠγγυημένη, sed cf. Pomp. 47.

λίῳ Καπίωνι), ταύτην ἐνεγγύησε Πομπηΐῳ, τὴν δὲ Πομπηΐου τῷ Σερουιλίῳ δώσειν ἔφησεν, οὐδὲ αὐτὴν ἀνέγγυον οὖσαν, ἀλλὰ Φαύστῳ τῷ Σύλλα παιδὶ καθωμολογημένην. Ὀλίγῳ δὲ ὕστερον Καῖσαρ ἠγάγετο Καλπουρνίαν θυγατέρα Πείσωνος, τὸν δὲ Πείσωνα κατέστησεν ὕπατον εἰς τὸ μέλλον, ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρομένου Κάτωνος καὶ βοῶντος οὐκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας καὶ διὰ γυναίων εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις ἀλλήλους ἀντεισαγόντων. Ὁ μὲν οὖν συνάρχων τοῦ Καίσαρος Βύβλος, ἐπεὶ κωλύων τοὺς νόμους οὐδὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευε μετὰ Κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι τὸν τῆς ἀρχῆς χρόνον διετέλεσε. Πομπήϊος δὲ γήμας εὐθὺς ἐνέπλησε τὴν ἀγορὰν ὅπλων καὶ συνεπεκύρου τῷ δήμῳ τοὺς νόμους, Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικὴν προσθεὶς τὸ Ἰλλυρικὸν μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν. Κάτωνα μὲν οὖν ἐπιχειρήσαντα τούτοις ἀντιλέγειν ἀπῆγεν εἰς φυλακὴν ὁ Καῖσαρ οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι τοὺς δημάρχους· ἐκείνου δὲ ἀφώνου βαδίζοντος ὁρῶν ὁ Καῖσαρ οὐ μόνον τοὺς κρατίστους δυσφοροῦντας, ἀλλὰ καὶ τὸ δημοτικὸν αἰδοῖ τῆς Κάτωνος ἀρετῆς σιωπῇ καὶ μετὰ κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς ἀφελέσθαι τὸν Κάτωνα. Τῶν δὲ ἄλλων συγκλητικῶν ὀλίγοι παντάπασιν αὐτῷ συνῆεσαν εἰς βουλήν, οἱ δὲ λοιποὶ δυσχεραίνοντες ἐκποδὼν ἦσαν. Εἰπόντος δὲ Κονσιδίου τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβούμενοι τὰ ὅπλα καὶ τοὺς στρατιώτας οὐ συνέρχοιντο „Τί οὖν“ ἔφη ὁ Καῖσαρ „οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς;“ καὶ ὁ Κονσίδιος εἶπεν· „Ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας· ὁ γὰρ ἔτι λειπόμενος βίος οὐ πολλῆς ὀλίγος ὢν δεῖται προνοίας.“ Ἥσχιστον δὲ τῶν τότε

4, 373—74 H.

---

22. *Καπίωνι* Stephaniana: *σκηπίωνι* vel *σκιπίωνι* libri, *σκηπίωνι σερουιλίῳ* C, cf. ad Cat. min. 1. *ἐγγύησε* M, *ἐγύησε* pr. A., cf. v. l. Cat. min. 25. 31. Artax. 27. 25. *ἠγάγετο καῖσαρ* C. 26. *πίσωνος* et *πίσωνα* P. *μέσον* CM. 27. *μαρτυρουμένου* PCMH. 28. *γάμους* P, *γάμος* a. 30. *οὖν* om H. 31. *βύβλος* praeter PMAH hic etiam i. 37. *εἰς* om PC. 39. *ἐπικαλέσασθαι* AHia. 41. *κρατοῦντας* P. 48. *συνέχοιντο* V. 50. *οὐ πολὺς* P.

πολιτευμάτων ἔδοξεν ἐν τῇ Καίσαρος ὑπατείᾳ δήμαρχον αἱρεθῆναι Κλώδιον ἐκεῖνον, ὑφ' οὗ τὰ περὶ τὸν γάμον καὶ τὰς ἀποῤῥήτους παρενομήθη παννυχίδας. Ἠρέθη δὲ ἐπὶ τῇ Κικέρωνος καταλύσει· καὶ Καῖσαρ οὐ πρότερον ἐξῆλθεν ἐπὶ τὴν στρατιὰν ἢ καταστασιάσαι Κικέρωνα μετὰ Κλωδίου καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

XV. Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν Γαλατικῶν. Ὁ δὲ τῶν πολέμων, οὓς ἐπολέμησε μετὰ ταῦτα, καὶ τῶν στρατειῶν, αἷς ἡμερώσατο τὴν Κελτικήν, χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινῶν ὁδόν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ στρατηλάτην ἀπέδειξεν αὐτὸν, ἀλλ' εἴτε Φαβίους καὶ Σκηπίωνας καὶ Μετέλλους καὶ τοὺς κατ' αὐτὸν ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ, Σύλλαν καὶ Μάριον ἀμφοτέρους τε Λευκούλλους ἢ καὶ Πομπήϊον αὐτὸν, οὗ κλέος ὑπουράνιον ἤνθει τότε παντοίας περὶ πόλεμον ἀρετῆς, παραβάλοι τις, αἱ Καίσαρος ὑπερβάλλουσι πράξεις τὸν μὲν χαλεπότητι τόπων, ἐν οἷς ἐπολέμησε, τὸν δὲ μεγέθει χώρας, ἣν προσεκτήσατο, τὸν δὴ πλήθει καὶ βίᾳ πολεμίων, οὓς ἐνίκησε, τὸν δὲ ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν, ἃ καθωμίλησε, τὸν δὲ ἐπιεικείᾳ καὶ πραότητι πρὸς τοὺς ἁλισκομένους, τὸν δὲ δώροις καὶ χάρισι πρὸς τοὺς συστρατευομένους, πάντας δὲ τῷ πλείστας μεμαχῆσθαι μάχας καὶ πλείστους ἀνῃρηκέναι τῶν ἀντιταχθέντων. Ἔτη γὰρ οὐδὲ δέκα
715 πολεμήσας περὶ Γαλατίαν πόλεις μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν, ἔθνη δὲ ἐχειρώσατο τριακόσια, μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις ἑκατὸν μὲν ἐν χερσὶ διέφθειρεν, ἄλλας δὲ τοσαύτας ἐζώγρησεν.

4, 374—75 H.

---

52. πολιτευομένων M. 53. παρὰ V. 54. διενομήθη M. τῇ τοῦ M. 56. στρατιὰν PCMH: στρατείαν v.

XV. 1. πρὸς τῶν γαλατικὸν M. 3. στρατιῶν P. 5. βίων M. 7. ἀπολιπόντα corr. A. 8. εἴτε] εἰ PCM, ἢ A. σκιπίωνα a et v. 11. κλέος ὑπουράνιον] Homeri Odyss. 10, 20. 264 confert Coraes. τότε om Aia. 15. ἐθνῶν C. 16. καθωμίλησε Wyttenbachii in indice M: καθωμήλισε V, καθωμάλισε v. 17. στρατευομένους C. 19. ἔτι P. 21. ἀνεῖλεν M. 23. ἄλλας δὲ τοσαύτας] cf. Pomp. 67.

XVI. Εὐνοίᾳ δὲ καὶ προθυμίᾳ στρατιωτῶν ἐχρήσατο τοσαύτῃ περὶ αὐτὸν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις στρατείαις διαφέροντας ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν δεινὸν ὑπὲρ τῆς Καίσαρος δόξης. Οἷος ἦν τοῦτο μὲν Ἀχίλιος, ὃς ἐν τῇ περὶ Μασσαλίαν ναυμαχίᾳ νεὼς πολεμίας ἐπιβεβηκὼς τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δὲ ἑτέρᾳ τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ πρόσωπα τοὺς πολεμίους ἀπέστρεψε πάντας καὶ τοῦ σκάφους ἐπεκράτησε· τοῦτο δὲ Κάσσιος Σκεύας, ὃς ἐν τῇ περὶ Δυρράχιον μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δὲ ὦμον ὑσσῷ καὶ τὸν μηρὸν ἑτέρῳ διελήλαμένος, τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους ὡς παραδώσων ἑαυτόν. Δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε τὸν ὦμον τῇ μαχαίρᾳ, τὸν δὲ κατὰ τοῦ προσώπου πατάξας ἀπέστρεψεν, αὐτὸς δὲ διεσώθη τῶν οἰκείων περισχόντων. Ἐν δὲ Βρεττανίᾳ τῶν πολεμίων εἰς τόπον ἑλώδη καὶ μεστὸν ὑδάτων ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχοις ἐπιθεμένων στρατιώτης, Καίσαρος αὐτοῦ τὴν μάχην ἐφορῶντος, ὠσάμενος εἰς μέσους καὶ πολλὰ καὶ περίοπτα τόλμης ἀποδειξάμενος ἔργα τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν βαρβάρων φυγόντων, αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων ἐρείψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη καὶ μόλις ἄνευ τοῦ θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων, διεπέρασε. Θαυμαζόντων δὲ τῶν περὶ τὸν Καίσαρα καὶ μετὰ χαρᾶς καὶ κραυγῆς ἀπαντώντων, αὐτὸς εὖ μάλα κατηφὴς καὶ δεδακρυμένος προσέπεσε τῷ Καίσαρι συγγνώμην αἰτούμενος ἐπὶ τῷ προέσθαι τὸν θυρεόν. Ἐν δὲ Λιβύῃ ναῦν ἑλόντες οἱ περὶ Σκηπίωνα Καίσαρος, ἐν ᾗ Γράνιος Πέτρων ἐπέπλει ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο λείαν, τῷ δὲ ταμίᾳ διδόναι τὴν σωτηρίαν ἔφασαν. Ὁ δὲ

4, 376—77 H.

XVI. 2. τοσαύτῃ om M. περὶ αὐτὸν Λ. 3. στρατιαῖς P. φέρεσθαι om M. 7. ἑτέρᾳ V: ἀριστερᾷ v. οὐ παρῆκεν PCMV. 9. Σκεύας Amiotus Xylander x: σκεύαξ libri, Σκευᾶς Appianus b. c. 2, 60. περὶ [PCMH]qV: ἐπὶ v. 13. δυοῖν C. 15. ἀπέστρεψεν] ἀπέκτεινεν C. 17. ὑλώδη M. ὑδάτων PCM: ὕδατος v. ταξιάρχοις PMC cl. ad Pomp. 32: ταξιάρχαις v. 22. τέλματα ῥευματώδη C. 25. ἁπάντων V. 28. ἑλόντες ego cl. auctore de b. Afric. 44 Valerio Max. 3, 8, 7: ἔχοντες libri. σκηπίωνα P: Σκιπίωνα v.

εἰπὼν, ὅτι τοῖς Καίσαρος στρατιώταις οὐ λαμβάνειν, ἀλλὰ διδόναι σωτηρίαν ἔθος ἐστὶν, ἑαυτὸν τῷ ξίφει πατάξας ἀνεῖλε.

XVII. Τὰ δὲ τοιαῦτα λήματα καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψε καὶ κατεσκεύασε Καῖσαρ, πρῶτον μὲν τῷ χαρίζεσθαι καὶ τιμᾶν ἀφειδῶς ἐνδεικνύμενος, ὅτι τὸν πλοῦτον οὐκ εἰς τρυφὴν ἰδίαν οὐδέ τινας ἡδυπαθείας ἐκ τῶν πολέμων ἀθροίζει, κοινὰ δὲ ἆθλα τῆς ἀνδραγαθίας παρ' αὐτῷ φυλασσόμενα ἀπόκειται καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δίδωσιν· ἔπειτα τῷ πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ τῶν πόνων ἀπαγορεύειν. Τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν· ἡ δὲ τῶν πόνων ὑπομονὴ παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν δοκοῦντος ἐξέπληττεν, ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνὸς καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλὸς καὶ τὴν κεφαλὴν νοσώδης καὶ τοῖς ἐπὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, ἐν Κορδύβῃ πρῶτον αὐτῷ τοῦ πάθους, ὡς λέγεται, τούτου προσπεσόντος, οὐ μαλακίας ἐποιήσατο τὴν ἀῤῥωστίαν πρόφασιν, ἀλλὰ θεραπείαν τῆς ἀῤῥωστίας τὴν στρατείαν ταῖς ἀτρύτοις ὁδοιπορίαις καὶ ταῖς εὐτελέσι διαίταις καὶ τῷ θυραυλεῖν ἐνδελεχῶς καὶ ταλαιπωρεῖν ἀπομαχόμενος τῷ πάθει καὶ τὸ σῶμα τηρῶν δυσάλωτον. Ἐκοιμᾶτο μέν γε τοὺς πλείστους ὕπνους ἐν ὀχήμασιν ἢ φορείοις εἰς πρᾶξιν τὴν ἀνάπαυσιν κατατιθέμενος, ὠχεῖτο δὲ μεθ' ἡμέραν ἐπὶ τὰ φρούρια καὶ τὰς πόλεις καὶ τοὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένου παιδὸς τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων, ἑνὸς δ' ἐξόπισθεν ἐφεστηκότος στρατιώτου ξίφος ἔχοντος.

716 Συντόνως δὲ ἤλαυνεν οὕτως, ὥστε τὴν πρώτην ἔξοδον ἀπὸ

4, 377—78 H.

---

31. τοῖς — στρατιώταις C: τοὺς — στρατιώτας v. 32. ἀνεῖλε PCMA: ἀνεῖλεν v.

XVII. 1. λήματα Reiskii P: λήμματα v. 4. τρυφὰς ἰδίας C. πολεμίων C. 5. κοινὰ δὲ καὶ ἆθλα C. 6. ἀπολεῖται M. τῷ πλουτεῖν M. 8. τῶν om C. 9. ἐθαύμαζεν M. 10. πόνων] φερεπόνων M, unde τὸ δὲ φερέπονον παρὰ Schaeferus. 13. τὴν κεφαλὴν PCM: περὶ τὴν κεφαλὴν v. ἐπὶ τοῖς addiderunt PMV. 16. τὴν στρατείαν τῆς ἀῤῥωστίας C. 17. ἀπρύτοις V. 18. ἐνδελεχῶς καὶ ταλαιπωρεῖν addiderunt PCMV. Stephanus: ‚adverbium ἐνδελεχῶς quaedam exempl. habent ante ἀπομαχόμενος.' 19. τηρῶν PCM: φρουρῶν v. 22. τὰς πόλεις καὶ τὰ φρούρια C.

Ῥώμης ποιησάμενος ὀγδοαῖος ἐπὶ τὸν Ῥοδανὸν ἐλθεῖν. Τὸ μὲν οὖν ἱππεύειν ἐκ παιδὸς ἦν αὐτῷ ῥᾴδιον· εἴθιστο γὰρ εἰς τοὐπίσω τὰς χεῖρας ἀπάγων καὶ τῷ νώτῳ περιπλέκων ἀνὰ κράτος ἐλαύνειν τὸν ἵππον. Ἐν ἐκείνῃ δὲ τῇ στρατείᾳ προσεξήσκησεν ἱππαζόμενος τὰς ἐπιστολὰς ὑπαγορεύειν καὶ δυσὶν ὁμοῦ γράφουσιν ἐξαρκεῖν, ὡς δὲ Ὄππιός φησι, καὶ πλείοσι. Λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν Καίσαρα πρῶτον μηχανήσασθαι, τὴν κατὰ πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων τοῦ καιροῦ διά τε πλῆθος ἀσχολιῶν καὶ τῆς πόλεως τὸ μέγεθος μὴ περιμένοντος. Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας κἀκεῖνο ποιοῦνται σημεῖον, ὅτι, τοῦ δειπνίζοντος αὐτὸν ἐν Μεδιολάνῳ ξένου Οὐαλλερίου Λέοντος παραθέντος ἀσπάραγον καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος, αὐτὸς μὲν ἀφελῶς ἔφαγε, τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. „Ἤρκει γάρ" ἔφη „τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν· ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων αὐτός ἐστιν ἄγροικος." Ἐν ὁδῷ δέ ποτε συνελασθεὶς ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν εὗρε πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι δυναμένου, πρὸς τοὺς φίλους εἶπεν, ὡς τῶν μὲν ἐντίμων παραχωρητέον εἴη τοῖς κρατίστοις, τῶν δὲ ἀναγκαίων τοῖς ἀσθενεστάτοις, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι· αὐτὸς δὲ μετὰ τῶν ἄλλων ὑπὸ τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.

XVIII. Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν Κελτικῶν πολέμων πρὸς Ἑλβηττίους συνέστη καὶ Τιγυρινούς, οἳ τὰς αὐτῶν δώδεκα πόλεις καὶ κώμας τετρακοσίας ἐμπρήσαντες ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ Ῥωμαίους Γαλατίας, ὥσπερ πά-

4, 378—79 H.

---

27. εἴθιστο — ἵππον] ‚haec verba in meo Graeco non sunt itaque omisi. omisit etiam Amiotus' Xylander. 28. ἀναπλέκων M. 29. ἐξελαύνειν C. προσήσκησεν CM. 31. ἔξασκεῖν V. Ἄππιος C. 34. τε τὸ πλῆθος V. 37. οὐαλλερίου C cl. ad Cat. mai. 3, 4: οὐαλληρίου M, Οὐαλερίου v. 38. ἀσπάραγον αὐτῷ CqV. 40. τῷ μὴ libri praeter a. 42. συνελαθεὶς CM. 47. αὐτὸς δὲ μετὰ τῶν ἄλλων ὑπὸ PCM: μετὰ δὲ τῶν ἄλλων αὐτὸς ἐν v.

XVIII. 2. ἑλβητίους CA, ἑλκητίους M, Ἑλβητίους nuperi. Τιγυρινοὺς Schaeferus: τηγιριννοὺς M, τηγυρίνους PC, τυρηνοὺς V, Τιγυρίνους hic quidem v. 3. δέκα M. 4. Ῥωμαίοις Stephanianae nuperi. cf. Sertor. 11, 23.

λαι Κίμβροι καὶ Τεύτονες, οὔτε τόλμαν ἐκείνων ὑποδεέστεροι δοκοῦντες εἶναι καὶ πλῆθος ὁμαλῶς τριάκοντα μὲν αἱ πᾶσαι μυριάδες ὄντες, εἴκοσι δὲ αἱ μαχόμεναι μιᾶς δέουσαι. Τούτων Τιγυρινοὺς μὲν οὐκ αὐτὸς, ἀλλὰ Λαβιηνὸς πεμφθεὶς ὑπ' αὐτοῦ περὶ τὸν Ἄραρα ποταμὸν συνέτριψεν, Ἑλβητίων δὲ αὐτῷ πρός τινα πόλιν φίλην ἄγοντι τὴν στρατιὰν καθ' ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων φθάσας ἐπὶ χωρίον καρτερὸν κατέφυγε. Κἀκεῖ συναγαγὼν καὶ παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη „Τούτῳ μὲν“ ἔφη „νικήσας χρήσομαι πρὸς τὴν δίωξιν, νῦν δὲ ἴωμεν ἐπὶ τοὺς πολεμίους·“ καὶ πεζὸς ὁρμήσας ἐνέβαλε. Χρόνῳ δὲ καὶ χαλεπῶς ὡσάμενος τὸ μάχιμον περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχε πόνον, οὐκ αὐτῶν μόνων ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμενοι μέχρι θανάτου συγκατεκόπησαν, ὥστε τὴν μάχην μόλις εἰς μέσας νύκτας τελευτῆσαι. Καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ κρεῖττον ἐπέθηκε τὸ συνοικίσαι τοὺς διαφυγόντας ἐκ τῆς μάχης τῶν [παρόντων] βαρβάρων καὶ καταναγκάσαι τὴν χώραν ἀναλαβεῖν, ἣν ἀπέλιπον, καὶ τὰς πόλεις, ἃς διέφθειραν, ὄντας ὑπὲρ δέκα μυριάδας. Ἔπραξε δὲ τοῦτο δεδιὼς, μὴ τὴν χώραν ἔρημον γενομένην οἱ Γερμανοὶ διαβάντες κατάσχωσι.

XIX. Δεύτερον δὲ πρὸς Γερμανοὺς ἄντικρυς ὑπὲρ Κελτῶν ἐπολέμησε, καίτοι τὸν βασιλέα πρότερον αὐτῶν Ἀριόβυστον ἐν Ῥώμῃ σύμμαχον πεποιημένος· ἀλλ' ἦσαν ἀφόρητοι τοῖς ὑπηκόοις αὐτοῦ γείτονες καὶ καιροῦ παραδόντος οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, ἀλλ' ἐπινεμήσεσθαι καὶ καθέξειν τὴν Γαλατίαν. Ὁρῶν δὲ τοὺς ἡγεμόνας ἀπο-

4, 379—80 H.

---

5. τεύτωνες PM. οὔτ' ἐτόλμων Ai, οὔτ' ἐκείνων (om τόλμαν) D et in marg. οὔτ' ἀρετῇ οὔτε τόλμῃ. 6. ὁμαλεῖς Reiskius. 8. τηγυρινοὺς PC, τηγυριννοὺς M. λαβίκυος M. 9. ἑλβητίων C. 12. κἀκεῖσε C. 13. νικήσας om C. 15. πεζὸν M. 17. μόνον Stephanianae ceteri. 18. ἀμυνόμενοι PCM: ἀμυνόμεναι v. 22. παρόντων om C cum Reiskio, περιόντων Bryani Schaeferus. 23. καταλαβεῖν C. 24. οὖσας M.

XIX. 1. γερμανοῖς M. 2. ἀριοῦστον P et Zonaras 2 p. 125. 4. παραδραμόντος P, παραχόντος A. 5. ἐπινεμήσεσθαι Bryani P[MA]: ἐπινεμήσεται i, ἐπινεμηθήσεσθαι C, ἐπινομήσεσθαι v. 6. γαλατείαν P.

δειλιῶντας καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν καὶ νέων αὐτῷ συνεξῆλθον ὡς δὴ τρυφῇ χρησόμενοι καὶ χρηματισμῷ τῇ μετὰ Καίσαρος στρατείᾳ, συναγαγὼν εἰς ἐκκλησίαν ἐκέλευ- 717
σεν ἀπιέναι καὶ μὴ κινδυνεύειν παρὰ γνώμην οὕτως ἀνάνδρως καὶ μαλακῶς ἔχοντας, αὐτὸς δὲ ἕφη τὸ δέκατον τάγμα μόνον παραλαβὼν ἐπὶ τοὺς βαρβάρους πορεύεσθαι μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι πολεμίοις μήτε αὐτὸς ὢν Μαρίου χείρων στρατηγός. Ἐκ τούτου τὸ μὲν δέκατον τάγμα πρεσβευτὰς ἔπεμψε πρὸς αὐτὸν χάριν ἔχειν ὁμολογοῦντες, τὰ δὲ ἄλλα τοὺς ἑαυτῶν ἐκάκιζον ἡγεμόνας, ὁρμῆς δὲ καὶ προθυμίας γενόμενοι πλήρεις ἅπαντες ἠκολούθουν ὁδὸν ἡμερῶν πολλῶν, ἕως ἐν διακοσίοις τῶν πολεμίων σταδίοις κατεστρατοπέδευσαν. Ἦν μὲν οὖν ὅ τι καὶ πρὸς τὴν ἔφοδον αὐτὴν ἐτέθραυστο τῆς γνώμης τοῦ Ἀριοβύστου. Γερμανοῖς γὰρ ἐπιθήσεσθαι Ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποστῆναι, μὴ προσδοκήσας ἐθαύμαζε τὴν Καίσαρος τόλμαν καὶ τὸν στρατὸν ἑώρα τεταραγμένον. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἳ ποταμῶν δίναις προσβλέπουσαι καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον οὐκ ἐῶσαι μάχην τίθεσθαι πρὶν ἐπιλάμψαι νέαν σελήνην. Ταῦτα τῷ Καίσαρι πυνθανομένῳ καὶ τοὺς Γερμανοὺς ἡσυχάζοντας ὁρῶντι καλῶς ἔχειν ἔδοξεν ἀπροθύμοις οὖσιν αὐτοῖς συμβαλεῖν μᾶλλον ἢ τὸν ἐκείνων ἀναμένοντα καιρὸν καθῆσθαι. Καὶ προσβολὰς ποιούμενος τοῖς ἐρύμασι καὶ λόφοις, ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαινε καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι. Γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν ἐπὶ σταδίους τετρακοσίους ἄχρι τοῦ Ῥήνου διώξας κατέπλησε τοῦτο πᾶν νεκρῶν τὸ πε-

4, 380–81 H.

8. τρυφᾶσαι q V. 10. παρὰ γνώμην κινδυνεύειν C. 11. χαλεπῶς P. μόνον om C. 12. βαρβάρους] πολεμίους C. πορεύεσθαι Coraes. 14. χεῖρα (sic) V. 15. πρὸς] παρ' M. 17. ἠκολούθουν PCM Zonaras: ἠκολούθησαν v. ὁδῶν P. 18. πολεμίων] Strabonis 10, 5, 5 confert Schaeferus. 20. γνώμης u V: τόλμης v. ἀριβύστου PCM. 22. μὴ Bryanus: ὁ μὴ οὐ μὴ libri, ὁ μὴ x. illud ortum videtur ex μὴ vel οὐ, nisi forte excidit Ariovisti nomen. ἐθαύμασε C. 29. συμβαλεῖν Corais CM: συμβάλλειν v. 33. τετρακοσίους PCAH ‚quidam cod.' Stephani: τριακοσίους v, cf. Schneiderum in Caesaris b. g. 1, 53. 34. διακόψας M.

δίον καὶ λαφύρων. Ἀριόβυστος δὲ φθάσας μετ' ὀλίγων διεπέρασε τὸν Ῥῆνον· ἀριθμὸν δὲ νεκρῶν μυριάδας ὀκτὼ γενέσθαι λέγουσι.

XX. Ταῦτα διαπραξάμενος τὴν μὲν δύναμιν ἐν Σικουανοῖς ἀπέλιπε διαχειμάσουσαν, αὐτὸς δὲ τοῖς ἐν Ῥώμῃ προσέχειν βουλόμενος εἰς τὴν περὶ Πάδον Γαλατίαν κατέβη, τῆς αὐτῷ δεδομένης ἐπαρχίας οὖσαν. Ὁ γὰρ καλούμενος Ῥουβίκων ποταμὸς ἀπὸ τῆς ὑπὸ ταῖς Ἄλπεσι Κελτικῆς ὁρίζει τὴν ἄλλην Ἰταλίαν. Ἐνταῦθα καθήμενος ἐδημαγώγει, πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, διδοὺς ὧν ἕκαστος δεηθείη καὶ πάντας ἀποπέμπων τὰ μὲν ἔχοντας ἤδη παρ' αὐτοῦ, τὰ δὲ ἐλπίζοντας. Καὶ παρὰ τὸν ἄλλον δὲ πάντα τῆς στρατείας χρόνον ἐλάνθανε τὸν Πομπήϊον ἐν μέρει νῦν μὲν τοὺς πολεμίους τοῖς τῶν πολιτῶν ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων χρήμασιν αἱρῶν τοὺς πολίτας καὶ χειρούμενος. Ἐπεὶ δὲ Βέλγας ἤκουσε δυνατωτάτους Κελτῶν καὶ τὴν τρίτην ἀπάσης τῆς Κελτικῆς νεμομένους ἀφεστάναι πολλὰς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας, ἐπιστρέψας εὐθὺς ἐχώρει τάχει πολλῷ· καὶ πορθοῦσι τοὺς συμμάχους Γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις τοὺς μὲν ἀθρουστάτους καὶ πλείστους αἰσχρῶς ἀγωνισαμένους τρεψάμενος διέφθειρεν, ὥστε καὶ λίμνας καὶ ποταμοὺς βαθεῖς τοῖς Ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι. Τῶν δ' ἀποστάντων οἱ μὲν παρωκεάνιοι πάντες ἀμαχεὶ προσεχώρησαν· ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους τῶν τῇδε, Νερβίους, ἐστράτευσεν, οἵπερ εἰς συμμιγεῖς δρυμοὺς κατῳκημένοι, γενεὰς δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς ὕλης ἀπωτάτω θέμενοι τῶν πολεμίων αὐτοὶ τῷ Καίσαρι ποιουμένῳ χάρακα καὶ μὴ προσδεχομένῳ τηνικαῦτα τὴν μάχην ἐξακισμύριοι τὸ πλῆθος ὄντες αἰφνιδίως προσέπεσον καὶ τοὺς μὲν ἵππεῖς ἐτρέψαντο,

4, 381—83 H.

---

35. ἀριοῦστος P.

XX. 1. σικονάνοις (sic) PC cl. c. 26 Mar. 24, 27: σηκονάνοις ceteri et v, Σηκουανοῖς Reiskiana. 2. ἀπέλιπε Corais PCM[A]: ἀπέλειπε v. 3. γαλατείαν P. 11. τῶν πολιτῶν] πολιτῶν ia et v. 12. αἴρων PMA, αἶρον ia. 13. βέλτας PCMHV. 14. ἐφεστάναι M. 18. τρεψάμενος om C. 19. καὶ λίμνας] λίμνας P. 21. προεχώρησαν P. 23. γενεὰς] νεάς P, cf. ad Themist. p. 72. 24. κτίσεις P.

τῶν δὲ ταγμάτων τὸ δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες ἅπαντας ἀπέκτειναν τοὺς ταξιάρχους. Εἰ δὲ μὴ Καῖσαρ ἁρπάσας τὸν θυρεὸν καὶ διασχὼν τοὺς πρὸ αὐτοῦ μαχομένους ἐνέβαλε τοῖς βαρβάροις καὶ ἀπὸ τῶν ἄκρων τὸ δέκατον 718
κινδυνεύοντος αὐτοῦ κατέδραμε καὶ διέκοψε τὰς τάξεις τῶν πολεμίων, οὐδεὶς ἂν δοκεῖ περιγενέσθαι· νῦν δὲ τῇ Καίσαρος τόλμῃ τὴν λεγομένην ὑπὲρ δύναμιν μάχην ἀγωνισάμενοι τρέπονται μὲν οὐδ' ὡς τοὺς Νερβίους, κατακόπτουσι δὲ ἀμυνομένους· πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἐξ σωθῆναι λέγονται, βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.

XXI. Ταῦτα ἡ σύγκλητος πυθομένη πεντεκαίδεκα ἡμέρας ἐψηφίσατο θύειν τοῖς θεοῖς καὶ σχολάζειν ἑορτάζοντας, ὅσας ἐπ' οὐδεμιᾷ νίκῃ πρότερον. Καὶ γὰρ ὁ κίνδυνος ἐφάνη μέγας, ἐθνῶν ἅμα τοσούτων ἀναῤῥαγέντων, καὶ τὸ νίκημα λαμπρότερον, ὅτι Καῖσαρ ἦν ὁ νικῶν, ἡ πρὸς ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει. Καὶ γὰρ αὐτὸς εὖ θέμενος τὰ κατὰ τὴν Γαλατίαν πάλιν ἐν τοῖς περὶ Πάδον χωρίοις διεχείμαζε συσκευαζόμενος τὴν πόλιν. Οὐ γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες ἐκείνῳ χρώμενοι χορηγῷ καὶ τοῖς παρ' ἐκείνου χρήμασι διαφθείροντες τὸν δῆμον ἀνηγορεύοντο καὶ πᾶν ἔπραττον, ὃ τὴν ἐκείνου δύναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεστάτων ἀνδρῶν καὶ μεγίστων οἱ πλεῖστοι συνῆλθον πρὸς αὐτὸν εἰς Λοῦκαν, Πομπήϊός τε καὶ Κράσσος καὶ Ἄππιος ὁ τῆς Σαρδῶνος ἡγεμὼν καὶ Νέπως ὁ τῆς Ἰβηρίας ἀνθύπατος, ὥστε ῥαβδούχους μὲν ἑκατὸν εἴκοσι γενέσθαι, συγκλητικοὺς δὲ πλείονας ἢ διακοσίους. Βουλὴν δὲ θέμενοι διεκρίθησαν ἐπὶ τούτοις· ἔδει Πομπήϊον μὲν καὶ Κράσσον ὑπάτους ἀποδειχθῆναι, Καίσαρι δὲ χρήματα καὶ

4, 383—84 H.

---

30. *πρὸ αὐτῶν* V. *μαχομένους* ABD. 31. *τοὺς βαρβάρους* M. *τὸ δέκατον* P[CMA]: *τὸ δωδέκατον* v. 33. *ἂν δοκεῖ* om C. *δοκεῖ* Stephanus: *δοκῇ* libri. 37. *ἀπὸ τῶν τετρακοσίων* C. *τετρακοσίων*] aliter Caesar b. g. 2, 28.

XXI. 2. *ἡμέραις* CA. 4. *ἐθνῶν μέγα ἀναῤῥαγέντων* P, *ἐθνῶν τοσούτων ἀναῤῥαγέντων* M, *ἐθνῶν ἀναῤῥαγέντων τοσούτων* C. 5. *ὡς ἡ* M. 7. *περὶ* om M. 9. *περὶ ἐκεῖνον* CM. 10. *διαφθείροντες* Corais PCMAH: *διαφθείραντες* v. 13. *τε καὶ*] *τε* CMi. 14. *σαρδῶνος* P cl. Pomp. 16. 50. 66. fluctuant libri Anton. 32. C. Gracch. 2. comp. 3: *Σαρδόνος* v, *σαρδίνιος* V. 17. *μὲν*] *τε* P.

πενταετίαν ἄλλην ἐπιμετρηθῆναι τῆς στρατηγίας, ὃ καὶ παραλογώτατον ἐφαίνετο τοῖς νοῦν ἔχουσιν. Οἱ γὰρ τοσαῦτα χρήματα παρὰ Καίσαρος λαμβάνοντες ὡς οὐκ ἔχοντι διδόναι τὴν βουλὴν ἔπειθον, μᾶλλον δὲ ἠνάγκαζον ἐπιστένουσαν οἷς ἐψηφίζοντο, Κάτωνος μὲν οὐ παρόντος· ἐπίτηδες γὰρ αὐτὸν εἰς Κύπρον ἀπεδιοπομπήσαντο· Φαωνίου δέ, ὃς ἦν ζηλωτὴς Κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων, ἐξαλλομένου διὰ θυρῶν καὶ βοῶντος εἰς τὸ πλῆθος. Ἀλλὰ προσεῖχεν οὐδείς, τῶν μὲν Πομπήϊον αἰδουμένων καὶ Κράσσον, οἱ δὲ πλεῖστοι Καίσαρι χαριζόμενοι καὶ πρὸς τὰς ἀπ' ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον.

XXII. Τραπόμενος δὲ αὖθις ὁ Καῖσαρ ἐπὶ τὰς ἐν τῇ Κελτικῇ δυνάμεις πολὺν καταλαμβάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο Γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι τὸν Ῥῆνον διαβεβηκότων· Οὐσίπας καλοῦσι τοὺς ἑτέρους, τοὺς δὲ Τεντερίτας. Περὶ δὲ τῆς πρὸς τούτους γενομένης μάχης ὁ μὲν Καῖσαρ ἐν ταῖς ἐφημερίσι γέγραφεν, ὡς οἱ βάρβαροι διαπρεσβευόμενοι πρὸς αὐτὸν ἐν σπονδαῖς ἐπιθοῖντο καθ' ὁδὸν καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ πεντακισχιλίους ὄντας ἱππεῖς ὀκτακοσίοις τοῖς ἐκείνων μὴ προσδοκῶντας· εἶτα πέμψειαν ἑτέρους πρὸς αὐτὸν αὖθις ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοι τοῖς βαρβάροις τὸ στράτευμα τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους πίστιν εὐήθειαν ἡγούμενος. Τανύσιος δὲ λέγει Κάτωνα, τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ θυσίας, ἀποφήνασθαι γνώμην, ὡς ἐκδοτέον ἐστὶ τὸν Καίσαρα τοῖς βαρβάροις ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ τῆς πόλεως καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας. Τῶν δὲ διαβάντων αἱ μὲν κατακοπεῖσαι τεσσαρά-

4, 384—85 H.

---

19. *πεντετίαν* M. 28. *χαρίζοντες* P. *ἀπ'* om CM.

XXII. 2. *χώρᾳ*] *πόλει* P. 3. *μεγάλων ἐθνῶν* C. 4. *Οὐσίπας* post Xylandrum x: *οὖς εἵπας* P, *οὓς εἶπας* H, *οὖς ἵπας* vel *οὓς ἵπας* ceteri et v. 5. *τεντερίτας* PCAH: *τερτερίτας* M, *τεντηρίδας* V, *Τεντερίδας* v, cf. Schneiderum in Caesaris b. g. 4, 1. 7. *ἐνσπόνδοις* x. 10. *αὖθις πρὸς αὐτὸν ἑτέρους* C. 11. *ἐπαγάγοιτο* a et v. *βαρβάροις*] *πολεμίοις* C. 12. *τανύσιος* PCMAHV cl. Casaubono in Suetonii Caes. 9. Schweighaeusero ad Appiani 3 p. 184: *Γανύσιος* v, *Κανίσιος* cum Cruserio x. 14. *καὶ σπονδὰς* post *ἑορτὰς* addunt AH. 15. *ἐστι*] *ἐπὶ* V. *ἀφοσιουμένοις* P.

κοντα μυριάδες ἦσαν, ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις ὑπεδέξαντο Σούγαμβροι, Γερμανικὸν ἔθνος. Καὶ ταύτην λαβὼν αἰτίαν ἐπ' αὐτοὺς ὁ Καῖσαρ, ἄλλως δὲ δόξης ἐφιέμενος καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ διαβῆναι τὸν Ῥῆνον ἐγεφύρου πλάτος τε πολὺν ὄντα καὶ κατ' ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα καὶ τραχὺν καὶ ῥοώδη καὶ τοῖς καταφερομένοις στελέχεσι καὶ ξύλοις πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα κατὰ τῶν ἐρειδόντων τὴν γέφυραν. Ἀλλὰ ταῦτα 719
προβόλοις ξύλων μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος καὶ χαλινώσας τὸ προσπῖπτον ῥεῦμα τῷ ζεύγματι πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο τὴν γέφυραν ἡμέραις δέκα συντελεσθεῖσαν.

XXIII. Περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντῆσαι τολμήσαντος, ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ Γερμανικοῦ Σουήβων εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων, θαῤῥύνας δὲ τοὺς ἀεὶ τὰ Ῥωμαίων ἀσπαζομένους ἀνεχώρησεν αὖθις εἰς τὴν Γαλατίαν εἴκοσι δυεῖν δεούσας ἡμέρας ἐν τῇ Γερμανικῇ διατετριφώς. Ἡ δὲ ἐπὶ τοὺς Βρεττανοὺς στρατεία τὴν μὲν τόλμαν εἶχεν ὀνομαστήν· πρῶτος γὰρ εἰς τὸν ἑσπέριον Ὠκεανὸν ἐπέβη στόλῳ καὶ διὰ τῆς Ἀτλαντικῆς θαλάττης στρατὸν ἐπὶ πόλεμον κομίζων ἔπλευσε· καὶ νῆσον ἀπιστουμένην ὑπὸ μεγέθους καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος οὐ γενομένης οὐδὲ οὔσης πέπλασται, κατασχεῖν ἐπιθέμενος προήγαγεν ἔξω τῆς οἰκουμένης τὴν Ῥωμαίων ἡγεμονίαν. Ἀὶς δὲ διαπλεύσας εἰς τὴν νῆσον ἐκ τῆς ἀντιπέ-

4, 385—86 H.

---

19. *Σίκαμβροι* x secundum Amiotum Xylandrum, sed cf. Schneiderum in Caesaris b. g. 4, 16. 20. *ἐπ'* PCMAHSuV: *πρὸς* v. 21. *καὶ* deleam. *στρατῷ* om C. 22. *τε πλάτος* C. *τε*] *δὲ* P. 24. *ἐνδιδόντος* V. 25. *ἐρειδόντων*] *ἐνδιδόντων* M. 26. *πεπηγότων* M. 27. *χαλινώσας* MCuSVx cl. Caesaris b. g. 4, 17: *γαλινώσας* A, *γαληνώσας* v. *προσπῖπτον* Schaeferus: *προσπίπτον* v.

XXIII. 1. *ὑπαντῆσαι* PCMV: *ὑπαντιάσαι* v. 4. *τοὺς* om M. 5. *ἀσπαζομένους Οὐβίους* Emperius. 6. *δυοῖν* C. 7. *βρεττανοὺς* MA cl. Pomp. 51 mor. 911 b Eustathio in Dionysii v. 284: *Βρετανοὺς* v. 8. *εἰς — ἐπέβη*] cf. Diodori 14, 84. *ἐπέστη* M. 9. *ἀτλαντικῆς* PH cl. Sertor. 8, 5: *ἀντλατικῆς* A, *Ἀτλαντίδος* v. 12. *οὔσης*] *ἴσως* M. *πέπλασται* post *λόγος* collocat C. 13. *προσήγαγεν* ia et v. 14. *ἀντιπέραν* M.

ρας Γαλατίας καὶ μάχαις πολλαῖς κακώσας τοὺς πολεμίους μᾶλλον ἢ τοὺς ἰδίους ὠφελήσας, οὐδὲν γὰρ ὅ τι καὶ λαβεῖν ἦν ἄξιον ἀπ' ἀνθρώπων κακοβίων καὶ πενήτων, οὐχ οἷον ἐβούλετο τῷ πολέμῳ τέλος ἐπέθηκεν, ἀλλ' ὁμήρους λαβὼν παρὰ τοῦ βασιλέως καὶ ταξάμενος φόρους ἀπῆρεν ἐκ τῆς νήσου. Καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν ἀπὸ τῶν ἐν Ῥώμῃ φίλων δηλοῦντα τὴν τῆς θυγατρὸς αὐτοῦ τελευτήν· τελευτᾷ δὲ τίκτουσα παρὰ Πομπηΐῳ. Καὶ μέγα μὲν αὐτὸν ἔσχε Πομπήϊον, μέγα δὲ Καίσαρα πένθος, οἱ δὲ φίλοι συνεταράχθησαν, ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τἆλλα νοσοῦσαν τὴν πολιτείαν φυλαττούσης οἰκειότητος λελυμένης. Καὶ γὰρ τὸ βρέφος εὐθὺς οὐ πολλὰς ἡμέρας μετὰ τὴν μητέρα διαζῆσαν ἐτελεύτησε. Τὴν μὲν οὖν Ἰουλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος εἰς τὸ Ἄρειον ἤνεγκε πεδίον κἀκεῖ κηδευθεῖσα κεῖται.

XXIV. Τοῦ δὲ Καίσαρος μεγάλην ἤδη τὴν δύναμιν οὖσαν εἰς πολλὰ κατ' ἀνάγκην χειμάδια διελόντος, αὐτοῦ δὲ πρὸς τὴν Ἰταλίαν, ὥσπερ εἰώθει, τραπομένου, πάντα μὲν αὖθις ἀνερρήγνυτο τὰ τῶν Γαλατῶν καὶ στρατοὶ μεγάλοι περιιόντες ἐξέκοπτον τὰ χειμάδια καὶ προσεμάχοντο τοῖς χαρακώμασι τῶν Ῥωμαίων, οἱ δὲ πλεῖστοι καὶ κράτιστοι τῶν ἀποστάντων μετὰ Ἀβριόριγος Κότταν μὲν αὐτῷ στρατοπέδῳ καὶ Τιτύριον διέφθειραν, τὸ δὲ ὑπὸ Κικέρωνι τάγμα μυριάσιν ἓξ περισχόντες ἐπολιόρκουν καὶ μικρὸν ἀπέλιπον ἑρπηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάντων καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων. Ὡς δὲ ἠγγέλθη ταῦτα τῷ Καίσαρι μακρὰν ὄντι, ταχέως ἐπιστρέψας καὶ συναγαγὼν ἑπτα-

4, 386—88 H.

---

19. παρὰ] ἐκ C. καταταξάμενος M. ἀπῆρεν PCMAuSVx: ἀπῆλθεν v. 20. μέλλων P. 21. τῆς om C. 25. φυλαττούσης PCAH: φυλασσούσης v, μεσολαβούσης M. 27. οὖν addiderunt CAHV.

XXIV. 2. χειμαδεῖα M et postea, χειμαδία A. 4. τῶν δυνατῶν M. 6. τῶν ante Ῥωμαίων PCMAHuSV: τοῖς v. 7. ἀποστατῶν V. Ἀβριόριγος P: Ἀβριόργος v, Ἀμβιόριγος x nuperi. 8. Τιτύριον ego cl. Appiani b. c. 2, 29. 150: τιγύριον A, Τηγύριον ceteri, Τιτούριον x nuperi. 9. ἐπισχόντες M. ὑπέλιπον PCM. ἑρπημέναι P. 11. ἠγγέλθη PC: ἠγγέλη v quod alibi sine varietate legitur.

κισχιλίους τοὺς σύμπαντας ἠπείγετο τὸν Κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος. Τοὺς δὲ πολιορκοῦντας οὐκ ἔλαθεν, ἀλλ' ἀπήντων ὡς ἀναρπασόμενοι τῆς ὀλιγότητος καταφρονήσαντες. Κἀκεῖνος ἐξαπατῶν ὑπέφευγεν ἀεὶ καὶ χωρία λαβὼν ἐπιτηδείως ἔχοντα πρὸς πολλοὺς μαχομένῳ μετ' ὀλίγων φράγνυται στρατόπεδον καὶ μάχης ἔσχε τοὺς ἑαυτοῦ πάσης, ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τὰς πύλας ἀνοικοδομεῖν ὡς δεδοικότας ἠνάγκαζε καταφρονηθῆναι στρατηγῶν, μέχρι οὗ σποράδην ὑπὸ θράσους προσβάλλοντας ἐπεξελθὼν ἐτρέψατο καὶ πολλοὺς αὐτῶν διέφθειρε.

XXV. Τοῦτο τὰς πολλὰς ἀποστάσεις τῶν ἐνταῦθα Γαλατῶν κατεστόρεσε, καὶ τοῦ χειμῶνος αὐτὸς ἐπιφοιτῶν τε πανταχόσε καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. Καὶ γὰρ ἦκεν ἐξ Ἰταλίας ἀντὶ τῶν ἀπολωλότων αὐτῷ τρία τάγματα, 720
Πομπηίου μὲν ἐκ τῶν ὑφ' αὐτῷ δύο χρήσαντος, ἓν δὲ νεοσύλλεκτον ἐκ τῆς περὶ Πάδον Γαλατίας. Πόρρω δὲ τούτων αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις γένεσιν ἀρχαὶ τοῦ μεγίστου καὶ κινδυνωδεστάτου τῶν ἐκεῖ πολέμων ἀνεφαίνοντο, ῥωσθεῖσαι πολλῇ μὲν ἡλικίᾳ καὶ πανταχόθεν ὅπλοις ἀθροισθείσῃ, μεγάλοις δὲ πλούτοις εἰς ταὐτὸ συνενεχθεῖσιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις δὲ χώραις. Τότε δὲ καὶ χειμῶνος ὥρᾳ πάγοι ποταμῶν καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ καὶ πεδία χειμάῤῥοις ἐπιλελιμνασμένα καὶ πῇ μὲν ἀτέκμαρτοι βάθει χιόνος ἀτραποί, πῇ δὲ δι' ἑλῶν καὶ ῥευμάτων παρατρεπομένων ἀσάφεια πολλὴ τῆς πορείας παντάπασιν ἐδόκουν ἀνεπιχείρητα Καίσαρι τὰ τῶν ἀφισταμένων ποιεῖν. Ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα, πρόσχημα δὲ ἦσαν Ἀρβέννοι

4, 388—89 H.

17. ἐπιτηδείους M. ὀλίγον P. 18. πάσης ἐπέσχε τοὺς ἑαυτοῦ μάχης P. 19. ἐνοικοδομεῖν Coraes, cf. ad Cim. 1, 41. 20. μέχρι P pr. Ai: μέχρις v, ἄχρις M. 21. προσβάλλοντας PCMΠSuVx: βάλλοντας v. ἐξεπελθὼν P.

XXV. 5. ὑφ' ἑαυτῷ C, ὑφ' αὐτῷ (sic) Pia, ὑφ' αὐτῶν M, ὑφ' αὐτὸν A. 7. καταβεβληκέναι P. 10. ῥωσθεῖσαι] ἀσθεῖσαι V. 11. ἀθροισθείσῃ PCMAΠi: ἀθροισθεῖσι a et v. 12. δὲ καὶ PCMAΠ: δὲ v. 13. πάγοι Solanus: πάγοις libri. 14. ἐπιλελιμνασμένα — χιόνος om P. ἀπολελιμνασμένα C. 16. ἀσάφεια πολλὴ Bryanus: ἀσαφείᾳ πολλῇ libri. 18. Ἀρβέννοι Coraes. sane Arvernos dicit, sed iidem quum c. 26, 28 dicantur Ἀρυβηνοὶ correctio dubia.

καὶ Καρνουτῖνοι, τὸ δὲ σύμπαν αἱρεθεὶς κράτος εἶχε τοῦ πολέμου Οὐεργεντόριξ, οὗ τὸν πατέρα Γαλάται τυραννίδα δοκοῦντα πράττειν ἀπέκτειναν.

XXVI. Οὗτος οὖν εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη καὶ πολλοὺς ἐπιστήσας ἡγεμόνας ᾠκειοῦτο τὴν πέριξ ἅπασαν ἄχρι τῶν πρὸς τὸν Ἄραρα κεκλιμένων διανοούμενος, ἤδη τῶν ἐν Ῥώμῃ συνισταμένων ἐπὶ Καίσαρα, σύμπασαν ἐγείρειν τῷ πολέμῳ Γαλατίαν. Ὅπερ εἰ μικρὸν ὕστερον ἔπραξε, Καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον, οὐκ ἂν ἐλαφρότεροι τῶν Κιμβρικῶν ἐκείνων φόβοι τὴν Ἰταλίαν κατέσχον. Νυνὶ δὲ ὁ πᾶσι μὲν ἄριστα χρῆσθαι δοκῶν τοῖς πρὸς πόλεμον, μάλιστα δὲ καιρῷ πεφυκὼς Καῖσαρ ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν ἄρας ἐχώρει ταῖς αὐταῖς ὁδοῖς, ἃς διῆλθε, καὶ βίᾳ καὶ τάχει τῆς πορείας διὰ τοσούτου χειμῶνος ἐπιδειξάμενος τοῖς βαρβάροις, ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. Ὅπου γὰρ ἄγγελον ἢ γραμματοφόρον διαδῦναι τῶν παρ' αὐτοῦ χρόνῳ πολλῷ ἦν ἄπιστον, ἐνταῦθα μετὰ πάσης ἑωρᾶτο τῆς στρατιᾶς ἅμα χώρας λυμαινόμενος αὐτῶν καὶ ἐκκόπτων τὰ χωρία, καταστρεφόμενος πόλεις, ἀναλαμβάνων τοὺς μετατιθεμένους, μέχρι καὶ τὸ τῶν Ἐδούων ἔθνος ἐξεπολεμώθη πρὸς αὐτόν, οἳ τὸν ἄλλον χρόνον ἀδελφοὺς ἀναγορεύοντες αὐτοὺς Ῥωμαίων καὶ τιμώμενοι διαπρεπῶς, τότε δὲ τοῖς ἀποστάταις προσγενόμενοι πολλὴν τῇ Καίσαρος στρατιᾷ περιέστησαν ἀθυμίαν. Διόπερ καὶ κινήσας

4, 389—90 H.

---

19. καρβουτῖνοι M. εἶχε κράτος C. 20. οὐεργοντόριξ P, οὐεργεντόρηξ C. 21. πράττειν δοκοῦντα C.

XXVI. 2. τὴν] τὰ i. 3. Ἄραριν Guarinus margo Mureti (‚ἴσως ἄραριν') margo Amioti (‚les autres lisent en ce lieu pros ton Ararin') Vx: ἀνδρίαν PV, ἄδριαν ceteri et v. c. 18 fuit Ἄραρα et sic mor. 1151 b. deditque hoc loco Coraes. Ἄραρις Dio Cassius 38, 32. 44, 42. 46, 50. 4. ἐπὶ] πρὸς C. 8. ἄριστα] ἄχρηστα M. δοκῶν cum Reiskio delent nuperi. 9. δὲ καὶ C. 10. num ταῖς ὁδοῖς αὐταῖς? sic etiam Emperius. 11. χειμῶνος] τάχους i. 14. τῶν παρ' A: τὸν παρ' C, παρ' x. coniicio χρόνων πολλῶν. Emperius χρόνοις πολλοῖς praefert. πολλῷ om 1674. 17. αἰδούων Cx, ἀιδούων M, cf. Strabonis t. 2 p. 45 Tz. v. l. Dionis Cass. 38, 32. 19. ἀναγορεύοντες CMA: ἀναγορεύονται P, ἀναγορεύσαντες v. 21. περιέστησαν] ἐνεποίησαν V.

ἐκεῖθεν ὑπερέβαλε τὰ Λιγγονικὰ βουλόμενος ἅψασθαι τῆς Σικουανῶν φίλων ὄντων καὶ προκειμένων τῆς Ἰταλίας πρὸς τὴν ἄλλην Γαλατίαν. Ἐνταῦθα δὲ αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων καὶ περισχόντων μυριάσι πολλαῖς, ὁρμήσας διαγωνίσασθαι τοῖς μὲν ὅλοις καταπολεμῶν ἐκράτησε χρόνῳ πολλῷ καὶ φόνῳ καταβιασάμενος τοὺς βαρβάρους, ἔδοξε δὲ κατ' ἀρχάς τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν Ἀρουβηνοὶ ξιφίδιον πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ Καίσαρος λάφυρον. Ὁ θεασάμενος αὐτὸς ὕστερον ἐμειδίασε καὶ τῶν φίλων καθελεῖν κελευόντων οὐκ εἴασεν ἱερὸν ἡγούμενος.

XXVII. Οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι μετὰ τοῦ βασιλέως εἰς πόλιν Ἀλησίαν συνέφυγον. Καὶ πολιορκοῦντι ταύτην Καίσαρι δοκοῦσαν ἀνάλωτον εἶναι μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος ἔξωθεν. Ὁ γὰρ ἦν ἐν Γαλατίᾳ κράτιστον ἀπὸ τῶν ἐθνῶν ἀθροισθὲν ἐν ὅπλοις ἦκον ἐπὶ τὴν Ἀλησίαν, τριάκοντα μυριάδες· αἱ δ' ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν ἑπτακαίδεκα μυριάδων, ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν Καίσαρα κατειλημμένον καὶ πολιορκούμενον ἀναγκασθῆναι διττὰ τείχη προβαλέσθαι, τὸ μὲν πρὸς τὴν πόλιν, τὸ δὲ ἀπὸ τῶν ἐπεληλυθότων, ὡς, εἰ 721
συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ διαπεπραγμένων τῶν καθ' αὐτόν. Διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς Ἀλησίᾳ κίνδυνος ἔσχε δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος οἷα τῶν ἄλλων ἀγώνων οὐδεὶς παρασχόμενος, μάλιστα δὲ ἄν τις θαυμάσειε τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει Καίσαρα τοσαύταις μυριάσι ταῖς

4, 390—92 H.

---

22. ὑπερέβαλλε Ai. 23. Σικουανῶν Reiskiana: σικουάνων libri et v, σηκουανῶν V, cf. ad c. 20. 25. μυριᾶσιν ἄλλοις omissis ὁρμήσας — ὅλοις P. καταγωνίσασθαι M. τοῖς μὲν ὅλοις Reiskius: τοῖς μὲν ἄλλοις libri, ‚ἴσως τῶν μὲν ἄλλων' Muretus V. vereor ne aliud quid lateat. 26. καταπολεμῶν] ἔπειτα πολεμῶν P. 27. φόνῳ Reiskius: φόβῳ libri. 28. ἀρουβανοὶ M, ἀρουανοὶ V, Ἀρουέρνοι x. vulgatum fortasse ex ἀρβηνοὶ ortum. correctio dubia, cf. ad c. 25, 18. 29. ἱερὸν M.

XXVII. 1. τῶν] τούτων P. οἱ — συνέφυγον om P. 2. συνέφυγον MAHuSV: διέφυγον v. 3. πολιορκούντων P. 4. ἐμπίπτει C. 6. ἐν addiderunt P[CMA]uSx. 11. ἐπειληλυθότων P. 13. ἀλησίαν M.

ἔξω συμβαλόντα καὶ περιγενόμενον, μᾶλλον δὲ καὶ τῶν Ῥωμαίων τοὺς τὸ πρὸς τῇ πόλει τεῖχος φυλάττοντας. Οὐ γὰρ πρότερον ᾔσθοντο τὴν νίκην ἢ κλαυθμὸν ἐκ τῆς Ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν ἀκουσθῆναι θεασαμένων ἄρα κατὰ θάτερα μέρη πολλοὺς μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεούς, πολλοὺς δὲ αἵματι πεφυρμένους θώρακας, ἔτι δ' ἐκπώματα καὶ σκηνὰς Γαλατικὰς ὑπὸ τῶν Ῥωμαίων εἰς τὸ στρατόπεδον κομιζομένας. Οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ εἴδωλον ἢ ὄνειρον, ἠφάνιστο καὶ διεπεφόρητο, τῶν πλείστων ἐν τῇ μάχῃ πεσόντων. Οἱ δὲ τὴν Ἀλησίαν ἔχοντες οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ Καίσαρι τέλος παρέδοσαν ἑαυτούς. Ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν πολέμου Οὐεργεντόριξ ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα καὶ κοσμήσας τὸν ἵππον ἐξιππάσατο διὰ τῶν πυλῶν· καὶ κύκλῳ περὶ τὸν Καίσαρα καθεζόμενον ἐλάσας, εἶτα ἀφαλόμενος τοῦ ἵππου τὴν μὲν πανοπλίαν ἀπέῤῥιψεν, αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ Καίσαρος ἡσυχίαν ἦγεν, ἄχρι οὗ παρεδόθη φρουρησόμενος ἐπὶ τὸν θρίαμβον.

XXVIII. Καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν Πομπήϊον, ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον. Κράσσου γὰρ ἐν Πάρθοις ἀπολωλότος, ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο τῷ μὲν ὑπὲρ τοῦ γενέσθαι μεγίστῳ τὸν ὄντα καταλύειν, τῷ δὲ, ἵνα μὴ πάθῃ τοῦτο, προαναιρεῖν ὃν ἐδεδοίκει. Τοῦτο δὲ Πομπηΐῳ μὲν ἐξ ὀλίγου φοβεῖσθαι παρέστη τέως ὑπερορῶντι Καίσαρος, ὡς οὐ χαλεπὸν ἔργον ὃν αὐτὸς ηὔξησε καταλυθῆναι πάλιν ὑπ' αὐτοῦ, Καῖσαρ δὲ ἀπ' ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένος ἀπὸ τῶν ἀνταγωνιστῶν ὥσπερ ἀθλητὴς ἑαυτὸν ἀποστήσας μακρὰν καὶ τοῖς Κελτικοῖς ἐγγυμνασάμενος πολέ-

4, 392—93 H.

---

18. τὴν πόλιν V. 23. ‚num σκευάς'? Emperius. τῶν addi derunt PCMAH. 24. κομιζομένους M. 25. ἢ ὄνειρον ἢ εἴδωλον P. ἠφάνισται V. 27. παρασχόντες ἑαυτοὺς M. 29. οὐεργόντοριξ P, οὐεργεντόρηξ C. 31. ἀφαλόμενος Reiskius: ἀφαλλόμενος CMqVx, ἀφελόμενος ceteri et v. 33. ἄχρι P pr. Ai: ἄχρις v. 34. φρουρούμενος ia.

XXVIII. 1. δὲ om P. 3. παρθένοις P. 6. παρέστη φοβεῖσθαι M. 7. ἔργον ὄν, ὃν Solani nuperi. cf. praef. ad Themist. p. 49. 8. καίσαρι V. 9. ποιούμενος V. ἀπὸ Reiskius: ἐπὶ libri. ἐπὶ τῶν ἀνταγωνιστῶν A, ἐπὶ τὸν ἀνταγωνιστὴν Vx.

μοις ἐπήσκησε μὲν τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν ἀπὸ τῶν ἔργων εἰς ἀντίπαλον ἀρθεὶς τοῖς Πομπηίου κατορθώμασι, λαμβάνων προφάσεις τὰς μὲν αὐτοῦ Πομπηίου, τὰς δὲ τῶν καιρῶν ἐνδιδόντων καὶ τῆς ἐν Ῥώμῃ κακοπολιτείας, δι' ἣν οἱ μὲν ἀρχὰς μετιόντες ἐν μέσῳ θέμενοι τραπέζας ἐδέκαζον ἀναισχύντως τὰ πλήθη, κατῄει δὲ ὁ δῆμος ἔμμισθος οὐ ψήφοις ὑπὲρ τοῦ δεδωκότος, ἀλλὰ τόξοις καὶ ξίφεσι καὶ σφενδόναις ἀμιλλώμενος. Αἵματι δὲ καὶ νεκροῖς πολλάκις αἰσχύναντες τὸ βῆμα διεκρίθησαν ἀναρχίᾳ τὴν πόλιν ὥσπερ ἀκυβέρνητον ὑποφερομένην ἀπολιπόντες, ὥστε τοὺς νοῦν ἔχοντας ἀγαπᾶν, εἰ πρὸς μηδὲν αὐτοῖς χεῖρον, ἀλλὰ μοναρχίαν ἐκ τοιαύτης παραφροσύνης καὶ τοσούτου κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. Πολλοὶ δὲ ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη πλὴν ὑπὸ μοναρχίας ἀνήκεστον εἶναι τὴν πολιτείαν, καὶ τὸ φάρμακον τοῦτο χρῆναι τοῦ πραοτάτου τῶν ἰατρῶν ἀνασχέσθαι προσφέροντος, ὑποδηλοῦντες τὸν Πομπήϊον. Ἐπεὶ δὲ κἀκεῖνος λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν ἐξ ὧν ἀναδειχθήσοιτο δικτάτωρ, συμφρονήσαντες οἱ περὶ Κάτωνα πείθουσι τὴν γερουσίαν ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο δικτάτωρ γενέσθαι νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηθείς. Οἱ δὲ καὶ χρόνον ἐπεψηφίσαντο τῶν ἐπαρχιῶν· δύο δὲ εἶχεν, Ἰβηρίαν καὶ Λιβύην σύμπασαν, ἃς διῴκει πρεσβευτὰς ἀποστέλλων καὶ στρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ τοῦ δημοσίου ταμείου χίλια τάλαντα καθ' ἕκαστον ἐνιαυτόν.

XXIX. Ἐκ τούτου Καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων 722
καὶ χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. Τὸ μὲν οὖν πρῶτον Πομπηίου σιωπῶντος οἱ περὶ Μάρκελλον καὶ Λέντλον ἠναντιοῦντο μισοῦντες ἄλλως Καίσαρα καὶ τοῖς ἀναγκαίοις οὐκ ἀναγκαῖα προστιθέντες εἰς ἀτιμίαν αὐτοῦ καὶ προπηλακισμόν. Νεοκωμίτας γὰρ ἔναγχος ὑπὸ Καίσαρος ἐν Γαλατίᾳ κατ-

4, 393—94 H.

13. αὐτοῦ] ἀπὸ P. 14. ἐκδιδόντων P. 19. αἰσχύνοντες PMCAH. ἀναρχίᾳ PMCAH: ἐν ἀναρχίᾳ v. 20. ναῦν ἀκυβέρνητον Reiskii vel ἀκυβέρνητον ναῦν Corais non requiro. 20. τοὺς] τὸν C. 22. τοσαύτης Emperius. 24. τολμῶντες ἐν μέσῳ C. 26. προσφέροντα M. ὑποδηλοῦντος i. 31. παραδειχθεὶς M. 32. ἐπεψηφίσαντο CMAH: ἀπεψηφίσαντο P, ἐψηφίσαντο v.

XXIX. 1. ἐγενᾶτο a. 5. προτιθέντες PMA. 6. Νεοκωμίτας Stephaniana, cf. Strabonis 5 p. 105 Tz.: νεοκωμήτας Aia,

κισμένους ἀφῃροῦντο τῆς πολιτείας· καὶ Μάρκελλος ὑπατεύων ἕνα τῶν ἐκεῖ βουλευτῶν εἰς Ῥώμην ἀφικόμενον ἥκιστο ῥάβδοις ἐπιλέγων, ὡς ταῦτα τοῦ μὴ Ῥωμαῖον εἶναι παράσημα προστίθησιν αὐτῷ καὶ δεικνύειν ἀπιόντα Καίσαρι ἐκέλευε. Μετὰ δὲ Μάρκελλον, ἤδη Καίσαρος τὸν Γαλατικὸν πλοῦτον ἀρύεσθαι ῥᾴδην ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις καὶ Κουρίωνα μὲν δημαρχοῦντα πολλῶν ἐλευθερώσαντος δανείων, Παύλῳ δὲ ὑπάτῳ ὄντι χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ' ὧν καὶ τὴν βασιλικὴν ἐκεῖνος, ὀνομαστὸν ἀνάθημα, τῇ ἀγορᾷ προσεκόσμησεν ἀντὶ τῆς Φουλβίας οἰκοδομηθεῖσαν, οὕτω δὴ φοβηθεὶς τὴν σύστασιν ὁ Πομπήϊος ἀναφανδὸν ἤδη δι' ἑαυτοῦ καὶ τῶν φίλων ἔπραττεν ἀποδειχθῆναι διάδοχον Καίσαρι τῆς ἀρχῆς καὶ πέμπων ἀπῄτει τοὺς στρατιώτας, οὓς ἔχρησεν αὐτῷ πρὸς τοὺς Κελτικοὺς ἀγῶνας. Ὁ δὲ ἀποπέμπει δωρησάμενος ἕκαστον ἄνδρα πεντήκοντα καὶ διακοσίαις δραχμαῖς. Οἱ δὲ τούτους Πομπηΐῳ κομίσαντες εἰς μὲν τὸ πλῆθος οὐκ ἐπιεικεῖς οὐδὲ χρηστοὺς κατέσπειραν λόγους ὑπὲρ τοῦ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἐλπίσι κεναῖς διέφθειραν, ὡς ποθούμενον ὑπὸ τῆς Καίσαρος στρατιᾶς καὶ τὰ μὲν ἐνταῦθα διὰ φθόνον πολιτείας ὑπούλου μόλις ἔχοντα, τῆς δὲ ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχούσης αὐτῷ κἂν μόνον ὑπερβάλωσιν εἰς Ἰταλίαν εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον· οὕτως γεγονέναι τὸν Καίσαρα πλήθει στρατειῶν λυπηρὸν αὐτοῖς καὶ φόβῳ μοναρχίας ὕποπτον. Ἐπὶ τούτοις Πομπήϊος ἐχαυνοῦτο· καὶ παρασκευῆς μὲν ἠμέλει στρατιωτῶν,

4, 394—95 H.

νεοκομήτας M, νεωκομήτας PC. 8. ἐκείνου P. ἥκιστα PMiV, ἥκίσατο C. 10. ἀπιόντι P. κελεύει scribam, κελεύων Emperius ac Benseler de hiatu p. 368. 12. ἀῤῥύεσθαι ia. 14. scribam ὑπατεύοντι. 16. προσεκόσμησεν Solanus ac Wyttenbachius ad mor. p. 316 d cl. c. 66. addo c. 63 Brut. 13 Josephi antiq. iud. 15, 10, 3 p. 776: τοῦτον ἐπισημότατον ὄντα τὸν τόπον καὶ τῷ ναῷ προσεκόσμησεν, ὃν ἀφιέρωσι Καίσαρι: προσεκόμισεν libri praeter D qui προσεκομίσεν, προσωκοδόμησεν x nuperi. φολβίας P. οἰκονομηθεῖσαν M. 21. τριακοσίαις C, διακοσίας δραχμὰς P. 23. κατέσπειρον P. 24. αὐτὸς M. 25. διέφθειρεν MV. 26. φθόρου H. πολιτείας PC: καὶ πολιτείας v. ὑπούλου om P, ὑπούλους x nuperi. 27. δὲ om A. 28. ὑπερβάλλωσιν M. ἑπομένης PCMA. 29. οὕτως PM: οὕτω v. γενέσθαι C. 31. στρατιῶν P.

ὡς μὴ δεδοικὼς, λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο τῷ δοκεῖν Καίσαρα καταψηφιζόμενος ὧν ἐκεῖνος οὐδὲν ἐφρόντιζεν· ἀλλὰ καὶ λέγεται τινὰ τῶν ἀφιγμένων παρ' αὐτοῦ ταξιαρχῶν ἑστῶτα πρὸ τοῦ βουλευτηρίου καὶ πυθόμενον, ὡς οὐ δίδωσιν ἡ γερουσία Καίσαρι χρόνον τῆς ἀρχῆς· „Ἀλλ' αὕτη" φάναι „δώσει" κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.

XXX. Οὐ μὴν ἀλλ' ἥ γε παρὰ Καίσαρος ἀξίωσις τὸ πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. Ἠξίου γὰρ αὐτός τε καταθέσθαι τὰ ὅπλα καὶ Πομπηίου ταὐτὸ πράξαντος ἀμφοτέρους ἰδιώτας γενομένους εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθόν· ὡς τοὺς αὐτὸν μὲν ἀφαιρουμένους, ἐκείνῳ δὲ ἣν εἶχε βεβαιοῦντας δύναμιν ἕτερον διαβάλλοντας ἕτερον κατασκευάζειν τύραννον. Ταῦτα προκαλούμενος ἐν τῷ δήμῳ Κουρίων ὑπὲρ Καίσαρος ἐκροτεῖτο λαμπρῶς· οἱ δὲ καὶ στεφάνους ἐπ' αὐτὸν ὥσπερ ἀθλητὴν ἀνθοβολοῦντες ἠφίεσαν. Ἀντώνιος δὲ δημαρχῶν Καίσαρος ὑπὲρ τούτων ἐπιστολὴν κομισθεῖσαν εἰς τὸ πλῆθος ἐξήνεγκε καὶ ἀνέγνω βίᾳ τῶν ὑπάτων. Ἐν δὲ τῇ βουλῇ Σκηπίων μὲν ὁ Πομπηίου πενθερὸς εἰσηγήσατο γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ κατάθηται τὰ ὅπλα Καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν. Ἐρωτώντων δὲ τῶν ὑπάτων, εἰ δοκεῖ Πομπήϊον ἀφεῖναι τοὺς στρατιώτας, καὶ πάλιν, εἰ δοκεῖ Καίσαρα, τῇ μὲν ὀλίγοι παντάπασι, τῇ δὲ πάντες παρ' ὀλίγους προσέθεντο· τῶν δὲ περὶ Ἀντώνιον πάλιν ἀξιούντων ἀμφοτέρους τὴν ἀρχὴν ἀφεῖναι πάντες ὁμαλῶς προσεχώρησαν. Ἀλλὰ ἐκβιαζομένου Σκηπίωνος καὶ Λέντλου τοῦ ὑπάτου βοῶντος ὅπλων δεῖν πρὸς ἄνδρα λῃστὴν, οὐ ψήφων, τότε μὲν διελύθησαν καὶ μετεβάλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν στάσιν.

4, 395—96 H.

---

33. καταψηφιζόμενος PCqVx: ψηφιζόμενος v. καταψηφιζόμενος· ὧν distinguunt v. 34. καὶ accessit ex PCMAH. praestat ταξιάρχων, cf. ad Pomp. 32. 36. *Καίσαρι* om M.

XXX. 1. ἀλλὰ παρὰ M. περὶ V. 6. βεβαιοῦντας ἣν εἶχε C. 9. ὑπ' αὐτὸν M. 11. βίᾳ Muretus (‚ἴσως') Xylander Vx cl. Pomp. 59: διὰ libri. 12. σκηπίων Pia et mox: Σκιπίων v. 14. αὐτῶν C. 16. καίσαρι P. τῷ μὲν — τῷ δὲ corr. P. 19. ἀλλὰ καὶ P. 22. ἐπὶ μὲν πένθει διὰ τὴν σύστασιν V.

723 XXXI. Ἐπεὶ δὲ παρὰ Καίσαρος ἦκον ἐπιστολαὶ μετριάζειν δοκοῦντος, ἠξίου γὰρ ἀφεὶς τὰ ἄλλα πάντα τὴν ἐντὸς Ἄλπεων καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρι οὗ τὴν δευτέραν ὑπατείαν μέτεισι, καὶ Κικέρων ὁ ῥήτωρ ἄρτι παρὼν ἐκ Κιλικίας καὶ διαλλαγὰς πράττων ἐμάλαττε τὸν Πομπήϊον, ὁ δὲ τἆλλα συγχωρῶν τοὺς στρατιώτας ἀφῄρει, καὶ Κικέρων μὲν ἔπειθε τοὺς Καίσαρος φίλους συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις καὶ στρατιώταις μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις. Πομπηίου δὲ καμπτομένου καὶ διδόντος οἱ περὶ Λέντλον οὐκ εἴων ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βουλῆς Ἀντώνιον καὶ Κουρίωνα προπηλακίσαντες ἐξήλασαν ἀτίμως τὴν εὐπρεπεστάτην Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι καὶ δι' ἧς μάλιστα τοὺς στρατιώτας παρώξυνεν ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμους καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς. Οὕτω γὰρ ἀπὸ Ῥώμης σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῆλθον.

XXXII. Ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο στράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες. Ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο πραγμάτων καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην ἐν τῷ παρόντι μᾶλλον ἢ θάμβει τε τόλμης καὶ τάχει καιροῦ καταληπτέαν οὖσαν, ἐκπλῆξειν γὰρ ἀπιστούμενος ῥᾷον ἢ βιάσεσθαι μετὰ παρασκευῆς ἐπελθών, τοὺς μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων ὅπλων κατασχεῖν Ἀρίμινον τῆς Κελτικῆς μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιστα φεισαμένους φόνου καὶ ταραχῆς, Ὀρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν. Αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ μονο-

4, 396—98 H.

XXXI. 1. δὲ] δὲ καὶ C. παρὰ om P. 3. τὸν ἰλλυρικὸν M. δυοῖν ταγμάτοιν C. 4. μέχρι P pr. A: μέχρις v. καὶ delet Schaeferus, malim deletum versu 7. 5. ἀντὶ P. 8. ἐνδιδόντος x. 14. ἐπιδεικνύμενον C.

XXXII. 2. πεντακοσίων καὶ τρισχιλίων M. 6. Θάμβει τε τόλμης] θαυμάζει τόλμαν V. τε om M. τάχει καιροῦ] μάχῃ καίσαρ οὐ M. 7. βιάσεσθαι Stephaniana: βιάσασθαι libri. 9. ἄλλων om C. 10. Κελτικῆς] aliter Pomp. 60. comp. Pomp. 3. sed ut nullo loco quicquam sit mutandum. cf. Strabonis 5 p. 157 Casaub. φεισάμενος Pi.

μάχοις ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος· μικρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα καὶ συγγενόμενος βραχέα τοῖς παρακεκλημένοις ἐπὶ τὸ δεῖπνον ἤδη συσκοτάζοντος ἐξανέστη [καὶ] τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπανελευσόμενον, ὀλίγοις δὲ τῶν φίλων προείρητο μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δὲ ἄλλῃ διώκειν. Αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδὸν, εἶτα πρὸς τὸ Ἀρίμινον ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τον διορίζοντα τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμὸν (Ῥουβίκωνα καλεῖται) καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ καὶ περιφερόμενον τῷ μεγέθει τῶν τολμωμένων, ἔσχετο δρόμου· καὶ τὴν πορείαν ἐπιστήσας πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων καὶ τροπὰς ἔσχεν αὐτῷ τότε τὸ βούλευμα πλείστας· πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίννιος, συνδιεπόρησεν ἀναλογιζόμενος, ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις ὅσον τε λόγον αὐτῆς τοῖς αὖθις ἀπολείψουσι. Τέλος δὲ μετὰ θυμοῦ τινος ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπών· „Ἀνερρίφθω κύβος," ὥρμησε πρὸς τὴν διάβασιν· καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος εἰσέπεσε πρὸ ἡμέρας εἰς τὸ Ἀρίμινον καὶ κατέσχε. Λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μῖξιν.

XXXIII. Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις

4, 398—99 H.

---

13. πρὸς ἑσπέραν P. 15. παρακεκλημένοις PCMAHuV: κεκλημένοις v. 16. καὶ τοὺς] ‚καὶ videtur redundare aut pone ἐπανελευσόμενον deest ἐξῄει' Reiskius. 19. ἄλλην M. 20. πρὸς τὸν PC. 21. ἦλθον V. διορίζοντα PCMAHuqV: ὁρίζοντα v. 23. αὐτὸς P. 24. τετολμημένων M. 26. μεταλαγχάνων V. 27. τὸ om PCM. 29. ἀσίννιος MAH: Ἀσίνιος v. cf. ad Pomp. 72. συνηπόρησεν V. 31. αὖθις] ἄλλοις uV. 34. ἐπειπὼν C, ἀπειπὼν M. 36. προτεραίᾳ C. 38. μῖξιν Pia: μίξιν v.

XXXIII. 2. θύραις M. 3. τὴν θάλασσαν C.

τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾠήθη
καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν ἐκπλήξει διαφοιτᾶν τῆς
724 Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς ἀνισταμένας φυγῇ διαφέ-
ρεσθαι δι' ἀλλήλων, τὴν δὲ Ῥώμην ὥσπερ ὑπὸ ῥευμάτων
πιμπλαμένην φυγαῖς τῶν πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτε
ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν οὔτε λόγῳ καθεκτὴν, ἐν πολλῷ
κλύδωνι καὶ σάλῳ μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατε-
τράφθαι. Πάθη γὰρ ἀντίπαλα καὶ βίαια κατεῖχε κινήματα
πάντα τόπον. Οὔτε γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ
δεδοικότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπῖπτον ἐν μεγάλῃ
πόλει καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος δι' ἐρίδων ἦν,
αὐτόν τε Πομπήϊον ἐκπεπληγμένον ἄλλος ἀλλαχόθεν ἐτάρατ-
τε, τοῖς μὲν, ὡς ἠξίωσε Καίσαρα καθ' ἑαυτοῦ καὶ τῆς ἡγε-
μονίας, εὐθύνας ὑπέχοντα, τῶν δὲ, ὅτι παρείκοντα καὶ προ-
τεινόμενον εὐγνώμονας διαλύσεις ἐφῆκε τοῖς περὶ Λέντλον
ὑβρίσαι, κατηγορούντων. Φαώνιος δὲ αὐτὸν ἐκέλευε τῷ
ποδὶ κτυπεῖν τὴν γῆν, ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγ-
κλητον οὐδὲν εἶα πολυπραγμονεῖν οὐδὲ φροντίζειν ἐκείνους
τῆς ἐπὶ τὸν πόλεμον παρασκευῆς· αὐτὸς γὰρ, ὅταν ἐπίῃ,
κρούσας τὸ ἔδαφος τῷ ποδὶ στρατευμάτων ἐμπλήσειν τὴν
Ἰταλίαν. Οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλ-
λεν ὁ Πομπήϊος τὴν Καίσαρος· εἴασε δ' οὐδεὶς τὸν ἄνδρα
χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλὰ ὑπ' ἀγγελμάτων
πολλῶν καὶ ψευδῶν καὶ φόβων, ὡς ἐφεστῶτος ἤδη τοῦ πο-
λέμου καὶ πάντα κατέχοντος, εἴξας καὶ συνεκκρουσθεὶς τῇ
4, 399—400 H.

---

5. σὺν διεκπλήξει P. 8. ὥστε ἄρχοντι M. 11. κινήματα κατεῖχε C. 12. οὐδὲ γὰρ CA. 13. συμπῖπτον Schaeferus: συμπίπτον v. 15. ἐτάραττεν· οἱ μὲν γὰρ ἔφασκον ὡς ἠξίωσε καίσαρα καθ' ἑαυτοῦ καὶ τῆς ἡγεμονίας εὐθύνας ὑπέχει· οἱ δὲ ὡς παρείκοντα καὶ προτεινόμενον C. 17. παρείκοντα PCMAHSV: παραχωροῦντα v. 18. εὐγνωμόνως V. ἐφῆκε PCMAH: ἀφῆκε v. 19. κατηγορούντων qVx: κατηγοροῦντες C, κατηγοροῦντας v. ἐκέλευε CMAH: ἐκέλευσεν v. ἐκέλευσεν ἐν τῷ i. 20. κτυπεῖν PM: τυπεῖν C, τύπτειν v, quomodo Pomp. 60. sed ibidem 57 κρούειν, Appiani b. c. 2, 37 πατάξαι. 22. αὐτὸς γὰρ αὐτὸν MV. ὅταν] ὅποι ἄν Reiskii non requiro. ἐπίῃ PCMAHVx: ἐπίει Su, ἀπίῃ v. 23. ἐκπλήσειν M. 24. ὑπερέβαλλεν AH: ὑπερέβαλεν v. 26. ἀλλὰ ἀπαγγελμάτων P. 27. πολεμίου a et v, cf. Heldium in Aem. P. p. 202. 28. εἴξας συνεκρούσθη τῇ πάντων φορᾷ καὶ ψηφίζεται a et v.

πάντων φορᾷ ψηφίζεται ταραχὴν ὁρᾶν καὶ τὴν πόλιν ἐξέλιπε
30 κελεύσας ἔπεσθαι τὴν γερουσίαν καὶ μηδένα μένειν τῶν πρὸ
τῆς τυραννίδος ῥηθέντων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.

XXXIV. Οἱ μὲν οὖν ὕπατοι μηδὲ ἃ νόμος ἐστὶ πρὸ
ἐξόδου θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ
πλεῖστοι τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων ὅ τι τύχοιεν
ὥσπερ ἀλλοτρίων λαμβάνοντες. Εἰσὶ δὲ οἳ καὶ σφόδρα τὰ
5 Καίσαρος ῥηθέντα πρότερον ἐξέπεσον ὑπὸ θάμβους τότε
τῶν λογισμῶν καὶ συμπαρηνέχθησαν οὐδὲν δεόμενοι τῷ ῥεύ-
ματι τῆς φορᾶς ἐκείνης. Οἰκτρότατον δὲ τὸ θέαμα τῆς πό-
λεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος, ὥσπερ νεὼς ὑπὸ
κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ συντυχὸν ἐκπεσεῖν κομι-
10 ζομένης. Ἀλλά, καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης,
τὴν μὲν φυγὴν οἱ ἄνθρωποι πατρίδα διὰ Πομπήϊον ἡγοῦντο,
τὴν δὲ Ῥώμην ὡς Καίσαρος στρατόπεδον ἐξέλειπον· ὅπου καὶ
Λαβιηνὸς, ἀνὴρ ἐν τοῖς μάλιστα φίλοις Καίσαρος καὶ πρεσ-
βευτὴς γεγονὼς καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα
15 τοῖς Κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς ἀφίκετο πρὸς
Πομπήϊον. Ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀπο-
σκευὰς ἀπέπεμψεν ὁ Καῖσαρ· Δομετίῳ δὲ ἡγουμένῳ σπειρῶν
τριάκοντα καὶ κατέχοντι Κορφίνιον ἐπελθὼν παρεστρατοπέ-
δευσεν. Ὁ δὲ ἀπογνοὺς τὰ καθ' ἑαυτὸν ᾔτησε τὸν ἰατρὸν
20 οἰκέτην ὄντα φάρμακον· καὶ λαβὼν τὸ δοθὲν ἔπιεν ὡς τεθ-
νηξόμενος. Μετ' ὀλίγον δὲ ἀκούσας τὸν Καίσαρα θαυμαστῇ
τινι φιλανθρωπίᾳ χρῆσθαι πρὸς τοὺς ἑαλωκότας αὐτὸς αὑτὸν
ἀπεθρήνει καὶ τὴν ὀξύτητα τοῦ βουλεύματος ἠτιᾶτο. Τοῦ
δ' ἰατροῦ θαῤῥύναντος αὐτὸν, ὡς ὑπνωτικὸν, οὐ θανάσιμον,
25 πεπωκότα, περιχαρὴς ἀναστὰς ἀπῆει πρὸς Καίσαρα καὶ λα-

4, 400—2 H.

XXXIV. 4. *οἱ τὰ καίσαρος σφόδρα* C, *οἱ καὶ καίσαρος σφόδρα* M. 6. *παρηνέχθησαν* C. *οὐδὲν δεόμενοι*] *ὑποφερόμενοι* C. 7. *τῆς* om C. *τὸ θέαμα* CMAH: *θέαμα* v. 8. *νηὸς* CM. 9. *παρατυχὸν* C. *ἐμπεσεῖν* Stephaniana. *νομιζομένης* A. 10. *μεταβάσεως* corr. AH. 11. *διὰ*] *καὶ* C. *ἡγοῦντο*] *ἐποιοῦντο* CM. 12. *ἐξέλειπον* Coraes: *ἐξέλιπον* libri. 13. *λαβιῆνος* ia. *φίλοις* PCM: *φίλος* v. 15. *ἀφίκετο* PCMAHuSV Zonaras p. 127: *ᾤχετο* v. 17. *ἔπεμψεν* CM. *δομετίῳ* PCM cl. c. 35 Aem. P. 25 Sertor. 12: *Δομιτίῳ* v. 18. *παρέχοντι* M. *κατεστρατοπέδευσεν* M. 19. *κατειγνοὺς* CM. 22. *φιλανθρωπολ-νια* a. 24. *θαῤῥύναντος* PCMAH: *θαῤῥύνοντος* v. *ὑπνωτικὸν*] *ἰατρικὸν* CM. *ἀλλ' ὡς ὑπνωτικὸν* post *πεπωκότα* addunt CM.

βῶν δεξιὰν αὖθις διεξέπεσε πρὸς Πομπήϊον. Ταῦτα εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα τοὺς ἀνθρώπους ἡδίους ἐποίει καί τινες φυγόντες ἀνέστρεψαν.

XXXV. Ὁ δὲ Καῖσαρ τήν τε τοῦ Δομετίου στρατιὰν παρέλαβε καὶ τοὺς ἄλλους, ὅσους ἐν ταῖς πόλεσι Πομπηΐῳ στρατολογουμένους ἔφθασε καταλαβών. Πολὺς δὲ γεγονὼς ἤδη καὶ φοβερὸς ἐπ' αὐτὸν ἤλαυνε Πομπήϊον. Ὁ δὲ οὐκ ἐδέξατο τὴν ἔφοδον, ἀλλ' εἰς Βρεντέσιον φυγὼν τοὺς μὲν ὑπάτους πρότερον ἔστειλε μετὰ δυνάμεως εἰς Δυρράχιον, αὐτὸς δὲ ὀλίγον ὕστερον ἐπελθόντος Καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαστον δηλωθήσεται. Καίσαρι δὲ βουλομένῳ μὲν εὐθὺς διώκειν ἀπορία νεῶν ἦν· εἰς δὲ τὴν Ῥώμην ἀνέστρεψε γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς Ἰταλίας κύριος. Ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον ἢ προσεδόκα καθεστῶσαν καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνοὺς, τούτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη παρακαλῶν αὐτοὺς καὶ πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπούσαις· ὑπήκουσε δ' οὐδείς, εἴτε φοβούμενοι Πομπήϊον ἐγκαταλελειμμένον, εἴτε μὴ νομίζοντες οὕτω Καίσαρα φρονεῖν, ἀλλ' εὐπρεπείᾳ λόγων χρῆσθαι. Τοῦ δὲ δημάρχου Μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν καὶ νόμους τινὰς προφέροντος, οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· „Σὺ δὲ εἰ τοῖς πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι· παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος· ὅταν δὲ κατάθωμαι τὰ ὅπλα συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις.“ „Καὶ ταῦτα“ ἔφη „λέγω τῶν ἐμαυτοῦ δικαίων ὑφιε-

4, 402–3 H.

---

26. *διεξέπεμψε* x. 27. *καὶ — ἀνέστρεψαν* om C. 28. *ἐπέστρεψαν* V.

XXXV. 1. *δομετίου* PCMia: *Δομιτίου* v. 2. *ὅσαις* V. 3. *πολλοῖς* CM. *γέγονεν* M. 4. *καὶ* om CM. 5. *βρεντέσιον* P: *Βρεντήσιον* v, cf. ad Pomp. 62. 7. *μετ' ὀλίγον* C. *ἐπανελθόντος* CM. 8. *ἕκαστον* PCMH: *ἕκαστα* v. 10. *ἐφ' ἡμέραις* CM, *ἐφ' ἡμέρας* P. 14. *διηλέχθη* P, *διηλέχθη* C, *διελέχθη* A, *ἐλέχθη* M. *καὶ* deesse malit Schaeferus ac deest Zonarae p. 127. 15. *συμβιβάσεσι* C. 17. *μὴ νομίζοντες* PCMAHBD: *νομίζοντες οὐχ* v. 20. *εἶναι καιρὸν* C. 22. *κατάθωμαι* CMAi: *καταθῶμαι* v. 23. *συμβάσεως γενομένης* CM. 24. *λέγων* PMia.

μενος· ἐμὸς γὰρ εἶ καὶ σὺ καὶ πάντες, ὅσους εἵληφα τῶν πρὸς ἐμὲ στασιασάντων.“ Ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμείου. Μὴ φαινομένων δὲ τῶν κλειδῶν χαλκεῖς μεταπεμψάμενος ἐκκόπτειν ἐκέλευεν· αὖθις δὲ ἐνισταμένου τοῦ Μετέλλου καί τινων ἐπαινούντων, διατεινάμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο παρενοχλῶν. „Καὶ τοῦτο“ ἔφη „μειράκιον, οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ πρᾶξαι.“ Οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα καὶ τὰ ἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.

XXXVI. Ἐστράτευε δ' εἰς Ἰβηρίαν πρότερον ἐγνωκὼς τοὺς περὶ Ἀφράνιον καὶ Βάῤῥωνα Πομπηίου πρεσβευτὰς ἐκβαλεῖν καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὑτῷ ποιησάμενος οὕτως ἐπὶ Πομπήϊον ἐλαύνειν μηδένα κατὰ νώτου τῶν πολεμίων ὑπολειπόμενος. Κινδυνεύσας δὲ καὶ τῷ σώματι πολλάκις κατ' ἐνέδρας καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας ἢ κύριος βίᾳ γενέσθαι τῶν στρατοπέδων καὶ τῶν δυνάμεων. Οἱ δὲ ἡγεμόνες ᾤχοντο πρὸς Πομπήϊον φεύγοντες.

XXXVII. Ἐπανελθόντα δὲ εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ὑπὲρ διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος ἀντεῖπεν. Αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς φυγάδας τε κατήγαγε καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας, ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων οὐ

4, 403—4 H.

---

25. καὶ σὺ PMBD: σὺ v. 26. τὸν om CM. 27. ταμείου M Francofurtana. 29. ἀνισταμένου P. 30. διατεινάμενος PMAHquSV: διατεινόμενος v, ἀνατεινάμενος CV. 31. οὐκ om C Zonaras. 32. τότε om M.

XXXVI. 1. ἐστράτευσε C. 2. βάῤῥωνα PAH cl. Rom. 12. 16. mor. 267 b 285 d: Βάρωνα v, μάρωνα M. 3. ἐπ' αὐτῷ CM. 5. τῷ σώματι Corais PCMAH: σώματι v. 6. πολλάκις] πολλὰ CM. 8. κύριος PCMAH: κύριον v. στρατευμάτων PCM.

XXXVII. 3. περὶ διαλύσεως C. 4. δὲ καὶ A. 5. τε om P. σύλλᾳ P. 7. χρεοφειλέτας P. πολιτευμάτων· οὐ πολλὰς δὲ ἀλλ' ἡμέρας ἕνδεκα μοναρχήσας· εἶτα ἀπειπάμενος ὕπατόν τε ἀναδείξας C.

πολλῶν, ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δὲ ἀναδείξας ἑαυτὸν καὶ Σερουίλιον Ἰσαυρικὸν εἵχετο τῆς στρατείας. Καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν, ἱππεῖς δὲ ἔχων λογάδας ἑξακοσίους καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος, ἱσταμένου Ἰαννουαρίου μηνὸς (οὗτος δ' ἂν εἴη Ποσειδεὼν Ἀθηναίοις) ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαβαλὼν τὸν Ἰόνιον Ὡρικὸν καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς Βρεντέσιον ἐπὶ τοὺς ὑστερήσαντες τῇ πορείᾳ στρατιώτας. Οἱ δὲ ἄχρι μὲν καθ' ὁδὸν ἦσαν, ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι καὶ πρὸς τὰ πλήθη τῶν πολέμων ἀπειρηκότες, ἐν αἰτίαις εἶχον τὸν Καίσαρα· „Ποῖ δὴ καὶ πρὸς τί πέρας ἡμᾶς οὗτος ὁ ἀνὴρ καταθήσεται περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις καὶ ἀψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε
726 πληγαῖς καὶ θυρεοῦ τίς ἐστι φειδὼ ἐν χρόνῳ τοσούτῳ καὶ θώρακος. Οὐδὲ ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται Καῖσαρ, ὅτι θνητῶν μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν; ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ θεῷ βιάζεσθαι δυνατόν· ἀλλ' οὗτος παραβάλλεται καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων.“ Τοιαῦτα λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ Βρεντέσιον. Ὡς δὲ ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ μεταβαλόντες ἐκάκιζον ἑαυτοὺς προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος. Ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. Καθήμενοι δὲ ἐπὶ τῶν ἄκρων πρὸς τὸ πέλαγος καὶ τὴν Ἤπειρον ἀπεσκόπουν τὰς ναῦς, ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον.

4, 404—6 H.

---

8. *ἀλλ' ἡμέρας* M. 13. *Ἰανουαρίου* Stephaniana, illud restitui malim etiam Num. 18. 19. Mar. 12. 15. *ὡρικὸν* qVx: *νώρικον* ceteri et v, *Ὥρικον* nuperi. illo accentu etiam Polybius Dio. cf. ad Pomp. 65. 16. *βρεντέσιον* PCMAH et mox: *Βρεντήσιον* v, cf. ad c. 35. *ὑστερήσαντας* PCMA: *ὑστερίσαντας* v. 18. *πολέμων* Xylander x: *πολεμίων* libri. 19. *ποῖ* PCMAH: *πῇ* v. 20. *ἡμᾶς* om ia. *οὗτος ὁ ἀνὴρ* CMAH: *οὗτος ἀνὴρ* P, *ὁ ἀνὴρ* v. *λέγοντες* post *ἀνὴρ* addit C. 21. *ἀτρώτοις* H. *σίδηρος μὲν* P. 22. *ἐστι* om P. possis *καὶ θυρεοῦ φειδώ τις ἐν*, quamquam hic quidem non tentandus videtur hiatus. *φειδὼς* ia. 26. *οὕτω* C. 29. *ταχὺ μὲν αὖ πάλιν* CM. 34. *περαιοῦσθαι* om P.

XXXVIII. Ἐν δὲ Ἀπολλωνίᾳ Καῖσαρ οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν ἀπορούμενος καὶ περιπαθῶν δεινὸν ἐβούλευσε βούλευμα κρύφα πάντων εἰς πλοῖον ἐμβὰς τὸ μέγεθος δωδεκάσκαλμον ἀναχθῆναι πρὸς τὸ Βρεντέσιον, τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. Νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἐνέβη, καὶ καταβαλὼν ἑαυτὸν ὥς τινα τῶν παρημελημένων ἡσύχαζε. Τοῦ δὲ Ἀνίου ποταμοῦ τὴν ναῦν ὑποφέροντος εἰς τὴν θάλασσαν, τὴν μὲν ἐωθινὴν αὔραν, ἣ παρεῖχε τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην ἀπωθοῦσα πόρρω τὸ κῦμα, πολὺς πνεύσας πελάγιος διὰ νυκτὸς ἀπέσβεσε· πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάττης καὶ τὴν ἀντίβασιν τοῦ κλύδωνος ἀγριαίνων ὁ ποταμὸς καὶ τραχὺς ἅμα καὶ κτύπῳ μεγάλῳ καὶ σκληραῖς ἀνακοπτόμενος δίναις ἄπορος ἦν βιασθῆναι τῷ κυβερνήτῃ· καὶ μεταβαλεῖν ἐκέλευσε τοὺς ναύτας ὡς ἀποστρέψων τὸν πλοῦν. Αἰσθόμενος δὲ ὁ Καῖσαρ ἀναδείκνυσιν ἑαυτὸν, καὶ τοῦ κυβερνήτου λαβόμενος τῆς χειρὸς ἐκπεπληγμένου πρὸς τὴν ὄψιν· „Ἴθι“ ἔφη „γενναῖε, τόλμα καὶ δέδιθι μηδέν· Καίσαρα φέρεις καὶ τὴν Καίσαρος τύχην συμπλέουσαν.“ Ἐλάθοντο τοῦ χειμῶνος οἱ ναῦται καὶ ταῖς κώπαις ἐμφύντες ἐβιάζοντο πάσῃ προθυμίᾳ τὸν ποταμόν. Ὡς δὲ ἦν ἄπορα, δεξάμενος πολλὴν θάλατταν καὶ κινδυνεύσας ἐν τῷ στόματι συνεχώρησε μάλα ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν. Ἀνιόντι δὲ αὐτῷ κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται πολλὰ μεμφόμενοι καὶ δυσπαθοῦντες, εἰ μὴ πέπεισται καὶ σὺν αὐτοῖς μόνοις ἱκανὸς εἶναι νικᾶν, ἀλλ' ἄχθεται καὶ παραβάλλεται διὰ τοὺς ἀπόντας ὡς ἀπίστων τοῖς παροῦσιν.

4, 406—8 H.

XXXVIII. 3. *βούλημα* CM. 5. *βρεντέσιον* PCMAH: *Βρεντήσιον* v, cf. ad c. 35. 7. *ἐνέβη* PCMAH: *ἀνέβη* v, cf. v. l. Pomp. 24. 8. *παρειμένων* CM. Ἀνίου] *ἀννίου* PC, *αἰνίου* M. sed de flumine Aniene cogitari non potest. scribendum aut Ἀώου aut Ἄψου cl. Caesaris b. g. 3, 13. 19. Dionis Cassii 41, 47. cf. et interpretes Polybii 5, 110, 1. Appiani t. 3 p. 751. Livii 33, 4. 10. *αὖραν* Schaeferus: *αὐραν* v. 11. *πνεύσας* P[CMA]Su Vx: *πλεύσας* v. *πέλαγος* Vx. 12. *θαλάττης* PAH: *θαλάσσης* v. 16. *ἐκέλευε* C. *ἀποτρέψων* V. *τὸν πλοῦν*] *τὸ πλοῖον* Zonaras. 20. *ἐλάθοντο*] *οὖν* addebat Bryanus, *ταῦτ' ἀκούσαντες ἐπελάθοντο* desiderabat Reiskius. 22. *ἦν* om P. *δεδεξάμενος* M.

XXXIX. Ἐκ τούτου κατέπλευσε μὲν Ἀντώνιος ἀπὸ Βρεντεσίου τὰς δυνάμεις ἄγων· θαρρήσας δὲ Καῖσαρ προὐκαλεῖτο Πομπήϊον ἱδρυμένον ἐν καλῷ καὶ χορηγούμενον ἔκ τε γῆς καὶ θαλάττης ἀποχρώντως αὐτὸς ἐν οὐκ ἀφθόνοις διάγων κατ' ἀρχάς, ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ τῶν ἀναγκαίων, ἀλλὰ ῥίζαν τινὰ κόπτοντες οἱ στρατιῶται καὶ γάλακτι φυρῶντες προσεφέροντο. Καί ποτε καὶ διαπλάσαντες ἐξ αὐτῆς ἄρτους καὶ ταῖς προφυλακαῖς τῶν πολεμίων ἐπιδραμόντες ἔβαλλον εἴσω καὶ διερρίπτουν ἐπιλέγοντες, ὡς, ἄχρι ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίζας, οὐ παύσονται πολιορκοῦντες Πομπήϊον. Ὁ μέντοι Πομπήϊος οὔτε τοὺς ἄρτους οὔτε τοὺς λόγους εἴα τούτους ἐκφέρεσθαι πρὸς τὸ πλῆθος. Ἠθύμουν γὰρ οἱ στρατιῶται τὴν ἀγριότητα καὶ τὴν ἀπάθειαν τῶν πολεμίων ὥσπερ θηρίων ὁρῶσδοῦντες. Ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς Πομπηΐου μάχαι σποράδες ἐγίγνοντο· καὶ περιῆν πάσαις ὁ Καῖσαρ πλὴν μιᾶς, ἐν ᾗ τροπῆς μεγάλης γενομένης ἐκινδύνευσεν ἀπολέσαι τὸ στρατόπεδον.
727 Πομπηΐου γὰρ προσβάλλοντος οὐδεὶς ἔμεινεν, ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων καὶ περὶ τοῖς αὐτῶν χαρακώμασι καὶ περιτειχίσμασιν ἔπιπτον ἐλαυνόμενοι προτροπάδην. Καῖσαρ δὲ ὑπαντιάζων ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας, ἐπέραινε δὲ οὐδέν, ἀλλ' ἐπιλαμβανομένου τῶν σημείων ἀπερρίπτουν οἱ κομίζοντες, ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς πολεμίους, αὐτὸς δὲ παρὰ μικρὸν ἤλθεν ἀποθανεῖν. Ἀνδρὶ γὰρ μεγάλῳ καὶ ῥωμαλέῳ φεύγοντι παρ' αὐτὸν ἐπιβαλὼν τὴν χεῖρα μένειν ἐκέλευσε καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους· ὁ δὲ μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινὸν ἐπήρατο τὴν μάχαιραν ὡς καθιξόμενος, φθάνει δὲ ὁ τοῦ Καίσαρος ὑπασπιστὴς ἀποκόψας αὐτοῦ τὸν ὦμον. Οὕτω δὲ ἀπέγνω

4, 408—9 H.

XXXIX. 2. *βρεντεσίου* PCMAH: *Βρεντησίου* v. cf. ad c. 35. 5. *ἀφθονίᾳ τῶν* i. 10. *ἄχρι* P pr. Ai: *ἄχρις* v. 12. *εἴα τοὺς λόγους τούτους* P, *τοὺς λόγους τούτους εἴα* CM. 13. *ἀπείθειαν* i. 15. *σποράδην ἐγίνοντο* CM. 17. *ἐκινδύνευσεν* Reiskius: *ἐκινδύνευσε μὲν* libri. 18. *προσβάλλοντος* PM: *προσβαλόντος* v. *οὐδεὶς ἔμεινεν*] *οὐδὲν ἔμεινεν ἐνώπιον αὐτοῦ* C, *οὐδὲν ἔμεινεν ἐνώπιον αὐτοῖς* M. 22. *σημαίων* V. 23. *ἐπερρίπτουν* CM. 25. *ῥωμαλαίῳ* P. 27. *ἐπήρατο* Reiskius: *ἐπειρᾶτο* libri, *ἐπῆρε τὴν χεῖρα* Zonaras p. 128.

τὰ καθ' αὑτὸν, ὥστε, ἐπεὶ Πομπήϊος ὑπ' εὐλαβείας τινὸς ἢ τύχης ἔργῳ μεγάλῳ τέλος οὐκ ἐπέθηκεν, ἀλλὰ καθείρξας εἰς τὸν χάρακα τοὺς φεύγοντας ἀνεχώρησεν, εἶπεν ἄρα πρὸς τοὺς φίλους ἀπιὼν ὁ Καῖσαρ „Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον.“ Αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν καὶ κατακλιθεὶς νύκτα πασῶν ἐκείνην ἀνιαροτάτην διήγαγεν ἐν ἀπόροις λογισμοῖς, ὡς κακῶς ἐστρατηγηκὼς, ὅτι καὶ χώρας ἐπικειμένης βαθείας καὶ πόλεων εὐδαιμόνων τῶν Μακεδονικῶν καὶ Θετταλικῶν, ἐάσας ἐκεῖ περισπάσαι τὸν πόλεμον ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ, ναυκρατούντων τῶν πολεμίων πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον ἢ τοῖς ὅπλοις πολιορκῶν. Οὕτω δὴ ῥιπτασθεὶς καὶ ἀδημονήσας πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων ἀνίστη τὸν στρατὸν ἐπὶ Σκηπίωνα προάγειν εἰς Μακεδονίαν ἐγνωκώς· ἢ γὰρ ἐπισπάσεσθαι Πομπήϊον, ὅπου μαχεῖται μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι μεμονωμένου Σκηπίωνος.

XL. Τοῦτο τὴν Πομπηίου στρατιὰν ἐπῆρε καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας ὡς ἡττημένου καὶ φεύγοντος ἔχεσθαι Καίσαρος. Αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε Πομπήϊος ἀναῤῥῖψαι μάχην περὶ τηλικούτων καὶ παρεσκευασμένος ἄριστα πᾶσι πρὸς τὸν χρόνον ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. Τὸ γάρ τοι μαχιμώτατον τῆς Καίσαρος δυνάμεως ἐμπειρίαν μὲν εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, ἐν δὲ ταῖς πλάναις καὶ ταῖς στρατοπεδείαις καὶ τειχομαχοῦντες καὶ νυκτεγερτοῦντες

4, 409—10 H.

31. τέλος om M. ἀπέθηκεν a. 32. εἶπεν ἄρα] εἶπε PCM, sed cf. c. 46. 35. καὶ om P. ἀνιαροτάτην PAH: ἀνιαρωτάτην v. 37. ἐπικειμένας V. 39. πρὸς] τὸ πρὸς P. 41. δὴ PCM: δὲ v. ῥιπτασθεὶς καὶ ἀδημονήσας AHBD: περισπασθεὶς καὶ ἀνιαθεὶς v. 43. Σκιπίωνα Stephaniana et mox. προάγειν C. 44. ἐπισπάσεσθαι Stephaniana: ἐπισπάσασθαι libri. πομπήϊον PCMAH: τὸν Πομπήϊον v. 46. μεμονωμένον μετὰ P.

XL. 3. ἀναῤῥῖψαι Schaeferus: ἀναῤῥίψαι v. 4. μάχην PCMAH: τὴν μάχην v. παρασκευασμένος (sic) P. 5. πρὸς om C. 6. τοι om PCM. 9. καὶ post στρατοπεδείαις om C. μαχουν τειχοφυλακοῦντες marg. ABD, τειχοφυλακοῦντες H. mihi neutrum a Plutarcho profectum videtur, quem τειχοδομοῦντες scripsisse

ἐξέκαμον ὑπὸ γήρως καὶ βαρεῖς ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους δι' ἀσθένειαν ἐγκαταλιπόντες τὴν προθυμίαν. Τότε δὲ καί τι νόσημα λοιμῶδες ἐλέχθη τὴν ἀτοπίαν τῆς διαίτης ποιησάμενον ἀρχὴν ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ Καίσαρος. Καὶ, τὸ μέγιστον, οὔτε χρήμασιν ἐρρωμένος οὔτε τροφῆς εὐπορῶν χρόνου βραχέος ἐδόκει περὶ αὐτῷ καταλυθήσεσθαι.

XLI. Διὰ ταῦτα Πομπήϊον μάχεσθαι μὴ βουλόμενον μόνος ἐπῄνει Κάτων φειδοῖ τῶν πολιτῶν· ὅς γε καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων εἰς χιλίους τὸ πλῆθος γενομένους ἰδὼν ἀπῆλθεν ἐγκαλυψάμενος καὶ καταδακρύσας. Οἱ δ' ἄλλοι πάντες ἐκάκιζον τὸν Πομπήϊον φυγομαχοῦντα, καὶ παρώξυνον Ἀγαμέμνονα καὶ βασιλέα βασιλέων ἀποκαλοῦντες, ὡς δὴ μὴ βουλόμενον ἀποθέσθαι τὴν μοναρχίαν, ἀλλ' ἀγαλλόμενον ἡγεμόνων τοσούτων ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. Φαώνιος δὲ τὴν Κάτωνος παρρησίαν ὑποποιούμενος μανικῶς ἐσχετλίαζεν, εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ Τουσκλάνον ἀπολαῦσαι σύκων διὰ τὴν Πομπηίου φιλαρχίαν. Ἀφράνιος δὲ (νεωστὶ γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας) διαβαλλόμενος ἐπὶ χρήμασι προ-
728 δοῦναι τὸν στρατὸν ἠρώτα, διὰ τί πρὸς τὸν ἔμπορον οὐ μάχονται τὸν ἐωνημένον παρ' αὐτοῦ τὰς ἐπαρχίας. Ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων εἰς μάχην ὁ Πομπήϊος ἐχώρει τὸν Καίσαρα διώκων. Ὁ δὲ τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν, οὐδενὸς παρέχοντος ἀγοράν, ἀλλὰ πάντων καταφρονούντων διὰ τὴν ἔναγχος ἧτταν· ὡς δὲ εἶλε Γόμφους, Θεσσαλικὴν πόλιν, οὐ μόνον ἔθρεψε τὴν στρατιὰν, ἀλλὰ καὶ τοῦ νοσήματος ἀπήλλαξε παραλόγως. Ἀφθόνῳ γὰρ ἐνέτυχον

4, 410—11 H.

---

suspicor, cf. Pomp. 66: πρὸς τάφρων ὀρύξεις καὶ τειχῶν οἰκοδομίας ἀπαγορεύοντες. Appiani b. c. 2, 46: ἐς δὲ ταφρείας ἢ περιτειχίσεις ἢ σιτολογίας ἐπιπόνους ἀσθενέστεροι διὰ γῆρας. 10. ἐξέκαμον PCM: ἐξέκαμνον v. 11. ἐγκαταλείπουσι Emperius. 12. δὴ P. ἐτέχθη CM. 13. τοῦ καίσαρος C.

XLI. 1. Πομπήϊον — βουλόμενον Coraes: πομπηΐῳ — βουλομένῳ libri. videndum ne aliud quid lateat. 4. δακρύσας C. 6. παρώξυνον Corais PCMA: παρώξυναν v. 7. δὴ om C, δὲ M. 9. ἐπὶ τὴν σκηνὴν C. 11. τουσκλάνων PCHi, τοῦ σκλάνῳ M. 12. φιλαρχίαν PCMAHBD: μοναρχίαν v. ἀφράνιον a et v. 14. τὸν στρατηγὸν M. μάχεται a et v. 21. ἀφθόνως C.

οἴνῳ καὶ πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις καὶ βακχεύοντες ἀνὰ τὴν ὁδὸν ἐκ μέθης διεκρούσαντο καὶ παρήλλαξαν τὸ πάθος εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες.

XLII. Ὡς δὲ εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι κατεστρατοπέδευσαν, ὁ μὲν Πομπήϊος αὖθις εἰς τὸν ἀρχαῖον ἀνεκρούετο λογισμὸν τὴν γνώμην, ἔτι καὶ φασμάτων οὐκ αἰσίων προσγενομένων καὶ καθ' ὕπνον ὄψεως. [Ἐδόκει γὰρ ἑαυτὸν ὁρᾶν ἐν τῷ θεάτρῳ κροτούμενον ὑπὸ Ῥωμαίων.] Οἱ δὲ περὶ αὐτὸν οὕτω θρασεῖς ἦσαν καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες, ὥστε φιλονεικεῖν ὑπὲρ τῆς Καίσαρος ἀρχιερωσύνης Δομίτιον καὶ Σπινθῆρα καὶ Σκηπίωνα διαμιλλωμένους ἀλλήλοις, πέμπειν δὲ πολλοὺς εἰς Ῥώμην μισθουμένους καὶ προκαταλαμβάνοντας οἰκίας ὑπατεύουσι καὶ στρατηγοῦσιν ἐπιτηδείους, ὡς εὐθὺς ἄρξοντες μετὰ τὸν πόλεμον. Μάλιστα δὲ ἐσφάδαζον οἱ ἱππεῖς ἐπὶ τὴν μάχην ἠσκημένοι περιττῶς ὅπλων λαμπρότησι καὶ τροφαῖς ἵππων καὶ κάλλει σωμάτων μέγα φρονοῦντες καὶ διὰ τὸ πλῆθος, ἑπτακισχίλιοι πρὸς χιλίους τοὺς Καίσαρος ὄντες. Ἦν δὲ καὶ τὸ τῶν πεζῶν πλῆθος οὐκ ἀγχώμαλον, ἀλλὰ τετρακισμύριοι καὶ πεντακισχίλιοι παρετάττοντο δισμυρίοις καὶ δισχιλίοις.

XLIII. Ὁ δὲ Καῖσαρ τοὺς στρατιώτας συναγαγὼν καὶ προειπών, ὡς δύο μὲν αὐτῷ τάγματα Κορφίνιος ἄγων ἐγγύς ἐστιν, ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ Καλήνου κάθηνται περὶ Μέγαρα καὶ Ἀθήνας, ἠρώτησεν, εἴτε βούλονται

22. *ἀναίδην* P.

XLII. 4. *προσγινομένων* P. *καὶ — ὄψεως* om C. *ἐδόκει — Ῥωμαίων*] ‚non absolvit somnium: ideo videtur aliquid deesse. in Pompeio nihil deest. vid. p. 414 b' Muretus. ‚L'original Grec est defectueux en cest endroit, et le faut remplir de ce qui est ci-devant escrit en la vie de Pompeius' Amiotus in margine. ‚post haec verba desunt plurima quae e vita Pompeii p. 1197 colligi possunt' x. verius mihi videtur Solanus aliique ex margine haec illata esse iudicare quamvis lecta etiam Zonarae. 8. *δομίτιον* hic quidem et c. 44 omnes. *Σκιπίωνα* Stephaniana. 9. *μεμισθωμένους* CM. 12. *ἐθαύμαζον* V. 13. *τρυφαῖς* D. 15. *τοῦ καίσαρος* C. 16. *ἀγχύνη μᾶλλον* V. 17. *τρισχιλίοις* C.

XLIII. 2. Cornificii nomen hic et c. 51 desiderabat Xylander, recte, cf. belli Alexand. 42, annotavitque *Κορνιφίκιος* x, sed Plutarchus utrum scripserit incertum. 3. *καλλήνου* C, *καληνίνου* P. 4. *καὶ περὶ* P.

περιμένειν ἐκείνους, εἴτε αὐτοὶ διακινδυνεῦσαι καθ' ἑαυτούς. Οἱ δὲ ἀνεβόησαν δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον, ὅπως τάχιστα συνίασιν εἰς χεῖρας τοῖς πολεμίοις, τεχνάζεσθαι καὶ στρατηγεῖν. Ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ τῆς δυνάμεως καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον εὐθὺς ὁ μάντις ἔφραζε, τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς τοὺς πολεμίους. Ἐρομένου δὲ τοῦ Καίσαρος, εἰ καὶ περὶ τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱεροῖς εὔσημον „Αὐτὸς ἄν" ἔφη „σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. Μεγάλην γὰρ οἱ θεοὶ μεταβολὴν καὶ μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν καθεστώτων δηλοῦσιν, ὥστε, εἰ μὲν εὖ πράττειν ἡγῇ σεαυτὸν ἐπὶ τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην· εἰ δὲ κακῶς, τὴν ἀμείνονα." Τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ περὶ τὸ μεσονύκτιον ὤφθη λαμπὰς οὐρανίου πυρὸς, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος στρατόπεδον λαμπρὰν καὶ φλογώδη γενομένην ἔδοξεν εἰς τὸ Πομπηΐου καταπεσεῖν. Ἐωθινῆς δὲ φυλακῆς καὶ πανικὸν τάραχον ᾔσθοντο γιγνόμενον παρὰ τοῖς πολεμίοις. Οὐ μὴν μαχεῖσθαί γε κατ' ἐκείνην προσεδόκα τὴν ἡμέραν, ἀλλὰ ὡς ἐπὶ Σκοτούσσης ὁδεύων ἀνεζεύγνυεν.

XLIV. Ἐπεὶ δὲ τῶν σκηνῶν ἤδη καταλελυμένων οἱ σκοποὶ προσίππευσαν αὐτῷ τοὺς πολεμίους ἐπὶ μάχῃ καταβαίνειν ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος καὶ προσευξάμενος τοῖς θεοῖς παρέταττε τὴν φάλαγγα τὴν τάξιν τριπλῆν ποιῶν. Καὶ τοῖς μὲν μέσοις ἐπέστησε Καλβῖνον Δομίτιον, τῶν δὲ κεράτων τὸ μὲν εἶχεν Ἀντώνιος, αὐτὸς δὲ τὸ δεξιὸν ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. Κατὰ τοῦτο δὲ

---

5. κινδυνεῦσαι C. 7. συνίασιν PCM: συνίωσιν v. τοὺς πολεμίους P. 11. ἑορᾷ P. ἱεροῖς PCM: ἱερείοις v. 12. ἄσημον V. σὺ τοῦτο] τοῦτο σὺ C, σὺ τὸ P. ἀποκρίναιο C, cf. Schweighaeuserum Appiani t. 3 p. 176. 20. εἰς τὸν πομπήϊον P. ‚in Pompeii vita dicit εἰς τὸν Πομπήϊον' Stephanus. atqui Pomp. 68 legitur ἐπὶ Πομπηΐου. mire autem accidit quod quam scripturam Stephanus ex eo loco affert, ea hoc loco est in P. 23. σκοτούσσης corr. A: σκοτούσης PCMqV, σκότους ia et v, cf. Pomp. 68. ὁδεύων] βαδίζων C.

XLIV. 3. προσευξάμενος PCMAHqV: εὐξάμενος v. 5. τῆς μὲν μέσης M. Καλβῖνον Stephaniana: καλβίνιον libri.

τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαρατεταμένους ὁρῶν καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε περιελθεῖν πρὸς ἑαυτὸν ἐξ σπείρας καὶ κατόπιν ἔστησε τοῦ δεξιοῦ διδάξας ἃ χρὴ ποιεῖν, 729
ὅταν οἱ τῶν πολεμίων ἱππεῖς προσφέρωνται. Πομπήϊος δὲ τὸ μὲν αὐτὸς εἶχε τῶν κεράτων, τὸ δ' εὐώνυμον Δομίτιος, τοῦ δὲ μέσου Σκηπίων ἦρχεν ὁ πενθερός. Οἱ δὲ ἱππεῖς ἅπαντες ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν ὡς τὸ δεξιὸν κυκλωσόμενοι τῶν πολεμίων καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα ποιησόμενοι τροπήν· οὐδὲν γὰρ ἀνθέξειν βάθος ὁπλιτικῆς φάλαγγος, ἀλλὰ συντρίψεσθαι καὶ καταῤῥάξεσθαι πάντα τοῖς ἐναντίοις ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης. Ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον, Πομπήϊος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν ἐπιδρομὴν τῶν πολεμίων, μέχρι ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται. Καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησιν αὐτὸν ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φορᾶς ἐν ἀρχῇ γινομένην σύῤῥαξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι καὶ συνεκκαίει τὸν θυμὸν ἐκ πάντων ἀναῤῥιπιζόμενον. Αὐτὸς δὲ κινεῖν τὴν φάλαγγα μέλλων καὶ προϊὼν ἐπ' ἔργον ἤδη πρῶτον ὁρᾷ τῶν ταξιαρχῶν ἄνδρα πιστὸν αὐτῷ καὶ πολέμων ἔμπειρον ἐπιθαρσύνοντα τοὺς ὑφ' αὑτῷ καὶ προκαλούμενον εἰς ἄμυναν ἀλκῆς. Τοῦτον ὀνομαστὶ προσαγορεύσας „Τί ἐλπίζομεν" εἶπεν „ὦ Γάϊε Κρασσίνιε, καὶ πῶς τι θάρσους ἔχομεν;" Ὁ δὲ Κρασσίνιος ἐκτείνας τὴν δεξιὰν καὶ μέγα βοήσας „Νικήσομεν" ἔφη „λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ γὰρ ἢ

4, 414—15 H.

---

8. ἀντιπαρατεταμένους PMAH, ἀντιτεταγμένους C. 10. αὐτὸν M, αὐτὸν C. 14. τὸ δὲ μέσον σκιπίων εἶχεν V. ὑπῆρχεν CM. 16. ποιησάμενοι PM. 18. καταῤῥάξασθαι M. 19. προσβολῆς C. 22. μέχρι P pr. A: μέχρις v. 23. καὶ om CM satis commode cl. Pomp. 69 Caesaris b. c. 3, 92. sed non incommode referas ad Pomp. 76. 24. ἑαυτὸν i. φορᾶς PCMAHBD: φοβερὰν v. 25. τε om PCMABD, sed cf. Pomp. 69. Appiani b. c. 2, 79. 26. ἐκ πάντων] ἐπιόντων Emperius. 28. praestat ταξιάρχων, cf. ad c. 16. ἄνδρα PCMA: ἄνδρα τινὰ v. ἂν τῷ πιστὸν (sic) V. καὶ — αὐτῷ om P. 29. προκαλούμενον Reiskii PCMABD: προσκαλούμενον v. 30. ἄμυναν] immo ἄμιλλαν cum Emperio. 31. Κρασσίνιε] cf. ad Pomp. 71. πῶς τοῦ x, sed cf. Phoc. 23. θάρσους PCMABD: θράσους v. 33. νικήσωμεν PM. γὰρ] immo δὲ cl. Pomp. 71.

ζῶντα τήμερον ἢ τεθνηκότα ἐπαινέσεις.“ Ταῦτα εἰπὼν πρῶτος ἐμβάλλει τοῖς πολεμίοις δρόμῳ συνεπισπασάμενος τοὺς περὶ ἑαυτὸν ἑκατὸν καὶ εἴκοσι στρατιώτας. Διακόψας δὲ τοὺς πρώτους καὶ πρόσω χωρῶν φόνῳ πολλῷ καὶ βιαζόμενος ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ στόματος, ὥστε καὶ τὴν ἀκμὴν ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν.

XLV. Οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συρραγέντων καὶ μαχομένων ἀπὸ τοῦ κέρατος οἱ Πομπηίου ἱππεῖς σοβαρῶς ἐπήλαυνον εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀναχεόμενοι· καὶ πρὶν ἢ προσβαλεῖν αὐτοὺς ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ Καίσαρος, οὐχ, ὥσπερ εἰώθεσαν, ἀκοντίσμασι χρώμενοι τοῖς ὑσσοῖς οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς ἢ κνήμας τῶν πολεμίων, ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι καὶ τὰ πρόσωπα συντιτρώσκοντες, ὑπὸ Καίσαρος δεδιδαγμένοι τοῦτο ποιεῖν ἐλπίζοντος ἄνδρας οὐ πολλὰ πολέμοις οὐδὲ τραύμασιν ὠμιληκότας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ μάλιστα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι καὶ μὴ μενεῖν τὸν ἐν τῷ παρόντι κίνδυνον ἅμα καὶ τὴν αὖθις αἰσχύνην δεδοικότας. Ὃ δὴ καὶ συνέβαινεν· οὐ γὰρ ἠνείχοντο τῶν ὑσσῶν ἀναφερομένων οὐδὲ ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν σίδηρον ὁρῶντες, ἀλλ᾽ ἀπεστρέφοντο καὶ συνεκαλύπτοντο φειδόμενοι τῶν προσώπων· καὶ τέλος οὕτως ταράξαντας ἑαυτοὺς ἐτράποντο φεύγειν αἴσχιστα λυμηνάμενοι τὸ σύμπαν. Εὐθὺς γὰρ οἱ μὲν νενικηκότες τού-

4, 415–16 H.

---

34. σήμερον ἢ ζῶντα ἢ C. 35. τοὺς] τοὺς ἔτι M. 36. ἑαυτὸν PA: αὐτὸν v. καὶ εἴκοσι PCMAHBD: εἴκοσι v. 39. αἰχμὴν Stephanus (cuius quaedam exempla αἰμὴν, quod αἰχμὴν correxerunt Vx) ex Pomp. 71 ut verba eius arguunt: ‚αἰχμήν, hoc vocabulum — in alio etiam huius scriptoris loco exstat, ubi eadem res narratur, nimirum in Pompeio — —. Fortasse tamen alterum vocabulum ἀκμὴν recte servatum fuisset, quoniam ξίφει tribui videtur ἀκμῇ potius quam αἰχμῇ‘: ἀκμὴν libri.

XLV. 2. πομπηίου PCM corr. AH: τοῦ Πομπηίου v. sed vereor ne delendum sit nomen vel post ἱππεῖς collocandum, quod videbatur etiam Benselero de hiatu p. 369. 3. εἴλας BD, εἵλας A. ἀναχεόμενοι CASHuqBDVx: ἀνεχόμενοι v. 5. εἰώθεσαν APCMH: εἰώθασιν v. ἀκοντισμῷ u, ἀκοντισμοῦ V. 8. ἐλπίζοντες APMHi. 11. μένειν ACHia. τὸν om P. 14. ἀπεστρέφοντο Bryani [ACM]P: ἐπεστρέφοντο v. 16. οὕτως P: οὕτω v.

τους ἐκυκλοῦντο τοὺς πεζοὺς καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον. Πομπήϊος δὲ ὡς κατεῖδεν ἀπὸ θατέρου τους ἱππεῖς φυγῇ σκεδασθέντας οὐκέτι ἦν ὁ αὐτὸς οὐδ' ἐμέμνητο Πομπήϊος ὢν Μάγνος, ἀλλ' ὑπὸ θεοῦ μάλιστα βλαπτομένῳ τὴν γνώμην ἐοικὼς [ἢ διὰ θείας ἥττης τεθαμβημένος] ἄφθογγος ᾤχετο ἀπιὼν ἐπὶ σκηνὴν καὶ καθεζόμενος ἐκαραδόκει τὸ μέλλον, ἄχρι οὗ τροπῆς ἁπάντων γενομένης ἐπέβαινον οἱ πολέμιοι τοῦ χάρακος καὶ διεμάχοντο πρὸς τοὺς φυλάττοντας. Τότε δὲ ὥσπερ ἔννους γενόμενος καὶ ταύτην μόνην, ὥς φασι, φωνὴν ἀφεὶς „Οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν;“ ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ στρατηγικὴν ἐσθῆτα, φεύγοντι δὲ πρέπουσαν μεταλαβὼν ὑπεξῆλθεν. Ἀλλ' οὗτος μὲν οἵαις ὕστε- 730
ρον χρησάμενος τύχαις ὅπως τε παραδοὺς ἑαυτὸν τοῖς Αἰγυπτίοις ἀνδράσιν ἀνῃρέθη, δηλοῦμεν ἐν τοῖς περὶ ἐκείνου γράμμασιν.

XLVI. Ὁ δὲ Καῖσαρ, ὡς ἐν τῷ χάρακι τοῦ Πομπηΐου γενόμενος τούς τε κειμένους νεκροὺς ἤδη τῶν πολεμίων εἶδε καὶ τοὺς ἔτι κτεινομένους, εἶπεν ἄρα στενάξας „Τοῦτο ἐβουλήθησαν, εἰς τοῦτό με ἀνάγκης ὑπηγάγοντο, ἵνα Γάϊος Καῖσαρ ὁ μεγίστους πολέμους κατορθώσας, εἰ προηκάμην τὰ στρατεύματα, κἂν κατεδικάσθην.“ Ταῦτά φησι Πολλίων Ἀσίννιος τὰ ῥήματα Ῥωμαϊστὶ μὲν ἀναφθέγξασθαι τὸν Καίσαρα παρὰ τὸν τότε καιρὸν, Ἑλληνιστὶ δ' ὑπ' αὐτοῦ γεγρά- 4, 416—17 H.

---

19. ἔκοπτον] ἔτυπτον C. ἀπὸ θατέρου om CM. 20. σκεδασθέντας φυγῇ C. Πομπήϊος om P. 22. ὅττης Reiskii (non confirmatum M) nuperi. mihi inclusa spuria videntur. cf. et Zonaram p. 128: οὐκέτι ἦν ὁ αὐτὸς οὐδ' ἐμέμνητο Πομπήϊος ὢν Μάγνος, ἀλλ' ὡς ὑπὸ θεοῦ βλαπτόμενος ᾤχετο ἄφθογγος ἀπιὼν ἐπὶ σκηνήν. cl. Appiani b. c. 2, 81. 24. ἄχρι pr. APi: ἄχρις v. 29. μεταλαβὼν [APCM]uV: μεταβαλὼν v. οἵαις Reiskius: ταῖς libri, ὁποίαις Coraes. 30. τοῖς post ἑαυτὸν delet Emperius.

XLVI. 2. ἤδη om CM. 3. ἔτι κτεινομένους Hasius apud Schaeferum: ἐπεκτεινομένους CM, ἐπικτεινομένους v. ἄρα στενάξας] ἀναστενάξας C cum Orellio ad Isocrat. p. 462. sed cf. c. 39, 32. ἐβουλήθης i. 4. εἰς — ὑπηγάγοντο delet Casaubonus in Suetonii Caes. 30 (‚hoc voluerunt: tantis rebus gestis C. Caesar condemnatus essem, nisi ab exercitu auxilium petissem‘ Asinius Pollio apud Suetonium), probat Schaeferus, qui et ἵνα delet. ὑπηγάγοντο [APCM]SquV: ὑπηγάγου i, ὑπήγαγον a et v. 6. στρατεύματα] κατορθώματα M. φασι C. πωλίων ia. 7. ἀσίνιος C. cf. ad Pomp. 72.

φθαι. Τῶν δὲ ἀποθανόντων τοὺς πλείστους οἰκέτας γενέσθαι περὶ τὴν κατάληψιν τοῦ χάρακος ἀναιρεθέντας, στρατιώτας δὲ μὴ πλείους ἑξακισχιλίων πεσεῖν. Τῶν δὲ ζώντων ἁλόντων κατέμιξε τοὺς πλείστους ὁ Καῖσαρ εἰς τάγματα· πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν, ὧν καὶ Βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον, ἐφ' ᾧ λέγεται μὴ φαινομένῳ μὲν ἀγωνιᾶσαι, σωθέντος δὲ καὶ παραγενομένου πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως.

XLVII. Σημείων δὲ πολλῶν γενομένων τῆς νίκης ἐπιφανέστατον ἱστορεῖται τὸ περὶ Τράλλεις. Ἐν γὰρ ἱερῷ Νίκης ἀνδριὰς ἵστηκει Καίσαρος, καὶ τὸ περὶ αὐτῷ χωρίον αὐτό τε στερεὸν φύσει καὶ λίθῳ σκληρῷ κατεστρωμένον ἦν ἄνωθεν· ἐκ τούτου λέγουσιν ἀνατεῖλαι φοίνικα παρὰ τὴν βάσιν τοῦ ἀνδριάντος. Ἐν δὲ Παταβίῳ Γάϊος Κορνήλιος, ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, Λιβίου τοῦ συγγραφέως πολίτης καὶ γνώριμος, ἐτύγχανεν ἐπ' οἰωνοῖς καθήμενος ἐκείνην τὴν ἡμέραν. Καὶ πρῶτον μέν, ὡς Λίβιος φησί, τὸν καιρὸν ἔγνω τῆς μάχης καὶ πρὸς τοὺς παρόντας εἶπεν ὅτι καὶ δὴ περαίνεται τὸ χρῆμα καὶ συνίασιν εἰς ἔργον οἱ ἄνδρες. Αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος καὶ τὰ σημεῖα κατιδὼν ἀνήλατο μετ' ἐνθουσιασμοῦ βοῶν „Νικᾷς, ὦ Καῖσαρ." Ἐκπλαγέντων δὲ τῶν παρατυχόντων περιελὼν τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς ἐνωμότως ἔφη, μὴ πρὶν ἐπιθήσεσθαι πάλιν ἢ τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔργον. Ταῦτα μὲν οὖν ὁ Λίβιος οὕτως γενέσθαι καταβεβαιοῦται.

XLVIII. Καῖσαρ δὲ τῷ Θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς νικητήριον ἐδίωκε Πομπήϊον· ἁψάμενος δὲ τῆς Ἀσίας Κνιδίους τε Θεοπόμπῳ τῷ συναγαγόντι τοὺς μύθους χαριζόμενος ἠλευθέρωσε καὶ πᾶσι τοῖς τὴν Ἀσίαν κατοι-

4, 417—18 H.

---

11. ζώντων APCMBD cl. Zonara (ζωοὺς): πεζῶν τῶν v. 12. εἰς τὰ Coraes. 15. ἀγωνιᾶσαι CAia: ἀγωνιάσαι v.

XLVII. 1. τῆς δίκης εἶτα τῆς νίκης CM. 3. περὶ αὐτὸ Stephanianae ceteri. 6. ποταμῷ PCMV. 9. πρῶτος APM. 10. εἶπεν APCMH: ἔφη v. καὶ δὴ] δὴ καὶ M, δὴ CH, ἤδη παραίνεται x. 15. ἐνωμότης V. τῇ τέχνῃ CM: τῇδε τέχνῃ P, τῇδε τῇ τέχνῃ v. 16. οὕτως AP: οὕτω v.

XLVIII. 1. Θετταλῶ M. 2. νικητήρια CM. 3. τε APCMHuSVx: δὲ v. 4. οἰκοῦσι C.

κοῦσι τὸ τρίτον τῶν φύρων ἀνῆκεν. Εἰς δὲ Ἀλεξάνδρειαν ἐπὶ Πομπηΐῳ τεθνηκότι καταχθεὶς Θεόδοτον μὲν ἀπεστράφη τὴν Πομπηΐου κεφαλὴν προσφέροντα, τὴν δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρὸς κατεδάκρυσεν· ὅσοι δὲ τῶν ἑταίρων αὐτοῦ καὶ συνήθων πλανώμενοι κατὰ τὴν χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησε καὶ προσηγάγετο. Τοῖς δὲ φίλοις εἰς Ῥώμην ἔγραφεν, ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ σώζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ. Τὸν δὲ αὐτόθι πόλεμον οἱ μὲν οὐκ ἀναγκαῖον, ἀλλ' ἔρωτι Κλεοπάτρας ἄδοξον αὐτῷ καὶ κινδυνώδη γενέσθαι λέγουσιν, οἱ δὲ τοὺς βασιλικοὺς αἰτιῶνται καὶ μάλιστα τὸν εὐνοῦχον Ποθεινόν, ὃς πλεῖστον δυνάμενος καὶ Πομπηΐου μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβεβληκὼς δὲ Κλεοπάτραν, κρύφα μὲν ἐπεβούλευε τῷ Καίσαρι· καὶ διὰ τοῦτο φασὶν αὐτὸν ἀρξάμενον ἕκτοτε διανυκτερεύειν ἐν τοῖς πότοις ἕνεκα φυλακῆς τοῦ σώματος· φανερῶς δὲ οὐκ ἦν ἀνεκτὸς ἐπίφθονα πολλὰ καὶ πρὸς ὕβριν εἰς τὸν Καίσαρα λέγων καὶ πράττων. Τοὺς μὲν γὰρ στρατιώτας τὸν κάκιστον μετρουμένους καὶ παλαιότατον σῖτον ἐκέλευσεν ἀνέχεσθαι καὶ στέργειν ἐσθίοντας τὰ ἀλλότρια, πρὸς δὲ τὰ δεῖπνα σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς, ὡς τὰ χρυσᾶ καὶ ἀργυρᾶ πάντα Καίσαρος ἔχοντος εἴς τι χρέος. Ὤφειλε γὰρ 731
ὁ τοῦ βασιλεύοντος τότε πατὴρ Καίσαρι χιλίας ἑπτακοσίας πεντήκοντα μυριάδας, ὧν τὰς μὲν ἄλλας ἀνῆκε τοῖς παισὶν αὐτοῦ πρότερον ὁ Καῖσαρ, τὰς δὲ χιλίας ἠξίου τότε λαβὼν διαθρέψαι τὸ στράτευμα. Τοῦ δὲ Ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι καὶ τῶν μεγάλων ἔχεσθαι πραγμάτων κελεύοντος, ὕστερον δὲ κομιεῖσθαι μετὰ χάριτος, εἰπών, ὡς Αἰγυπτίων ἐλάχιστα δέοιτο συμβούλων, κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο.

XLIX. Κἀκείνη παραλαβοῦσα τῶν φίλων Ἀπολλόδωρον τὸν Σικελιώτην μόνον εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα τοῖς

4, 418—20 H.

6. κατενεχθεὶς V. 7. προσφέροντα ABD Zonaras p. 130: προφέροντα PCM, φέροντα v. 10. εὐηργέτησε C. 16. Φοτῖνον x, cf. ad Pomp. 79. πλεῖστον μὲν C. 17. μὲν om C. ἐμβεβληκὼς M. 19. ἀρξάμενον αὐτὸν ἔκτοτε C. ἔκ τε i. 22. τοῖς — στρατιώταις C. 23. μετρούμενος PCM, μετρούμενον V. 27. βασιλέως A.

XLIX. 2. ἐμβᾶσα Bryani [ACM]Pq: ἐκβᾶσα v.

μὲν βασιλείοις προσέσχεν ἤδη συσκοτάζοντος· ἀπόρου δὲ τοῦ λαθεῖν ὄντος ἄλλως, ἡ μὲν εἰς στρωματόδεσμον ἐνδῦσα προτείνει μακρὰν ἑαυτήν, ὁ δὲ Ἀπολλόδωρος ἱμάντι συνδήσας τὸν στρωματόδεσμον εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν Καίσαρα. Καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι τῆς Κλεοπάτρας ἁλῶναι, λαμυρᾶς φανείσης, καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος διαλλάξαι πρὸς τὸν ἀδελφὸν ὡς συμβασιλεύσουσαν. Ἔπειτα δ' ἐν ταῖς διαλλαγαῖς ἑστιωμένων ἁπάντων οἰκέτης Καίσαρος κουρεὺς διὰ δειλίαν, ᾗ πάντας ἀνθρώπους ὑπερέβαλεν, οὐδὲν ἐῶν ἀνεξέταστον, ἀλλ' ὠτακουστῶν καὶ πολυπραγμονῶν συνῆκεν ἐπιβουλὴν Καίσαρι πραττομένην ὑπ' Ἀχιλλᾶ τοῦ στρατηγοῦ καὶ Ποθεινοῦ τοῦ εὐνούχου. Φωράσας δὲ ὁ Καῖσαρ φρουρὰν μὲν περιέστησε τῷ ἀνδρῶνι, τὸν δὲ Ποθεινὸν ἀνεῖλεν· ὁ δὲ Ἀχιλλᾶς φυγὼν εἰς τὸ στρατόπεδον περιέστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον ὀλιγοστῷ τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. Ἐν ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς· αἱ γὰρ διώρυχες ἀπορροδομήθησαν ὑπὸ τῶν πολεμίων· δεύτερον δὲ περικοπτόμενος τὸν στόλον ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρε· τρίτον δὲ περὶ τῇ Φάρῳ μάχης συνεστώσης κατεπήδησε μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις, ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν ἀπενήξατο μόλις καὶ χαλεπῶς. Ὅτε καὶ λέγεται βιβλίδια κρατῶν πολλὰ μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος, ἀλλ' ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι· τὸ δὲ ἀκάτιον εὐθὺς ἐβυθίσθη. Τέλος 4, 420—21 H.

---

6. τὸ στρωματόδεσμον M Zonaras. 7. τε om C. 8. λαμπρᾶς P. 10. συμβασιλεύσουσαν Corais [A]C Zonaras: συμβασιλεύουσαν v. δ' ἐν APCMHBD: δὲ v. 12. ἀνθρώπους om C. ὑπερέβαλλεν Corais C. 14. Ἀχιλλᾶ Corais CM et postea Ἀχιλλᾶς: Ἀχίλλα v. 18. πρὸς τοσαύτην ACBD. 19. ἐκινδύνευσεν ἀποκλεισθεὶς ὕδατι C, ἀποκλεισθεὶς ὕδατος ἐκέλευσεν M. 21. τῷ στόλῳ CqV ne probes cf. Caesaris b. c. 3, 111. 22. κίνδυνον] κίνδυνον πόλεμον P. 26. πανταχόθεν C. 28. βιβλία διακρατῶν CM. κρατῶν] καλῶν V, μικρὰ P. 29. τὰ βιβλίδια] αὐτὰ Zonaras. 30. ἐκβυθίσθη ia.

δὲ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην ἐνίκησε, πολλῶν πεσόντων αὐτοῦ τε τοῦ βασιλέως ἀφανοῦς γενομένου. Καταλιπὼν δὲ τὴν Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱὸν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα προσηγόρευον, ὥρμησεν ἐπὶ Συρίας.

L. Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν ἐπυνθάνετο Δομίτιον μὲν ὑπὸ Φαρνάκου τοῦ Μιθριδάτου παιδὸς ἡττημένον ἐκ Πόντου πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ τῇ νίκῃ χρώμενον ἁπλήστως καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν Ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλουμένης καὶ πάντας ἀνιστάναι τοὺς ταύτῃ βασιλεῖς καὶ τετράρχας. Εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε τάγμασι καὶ περὶ πόλιν Ζῆλαν μάχην μεγάλην συνάψας αὐτὸν μὲν ἐξέβαλε τοῦ Πόντου φεύγοντα, τὴν δὲ στρατιὰν ἅρδην ἀνεῖλε. Καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην πρός τινα τῶν φίλων Ἀμάντιον ἔγραψε τρεῖς λέξεις· „Ἦλθον, εἶδον, ἐνίκησα.“ Ῥωμαϊστὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν.

LI. Ἐκ τούτου διαβαλὼν εἰς Ἰταλίαν ἀνέβαινεν εἰς Ῥώμην, τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν ἥρητο δικτάτωρ τὸ δεύτερον, οὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον 732
ἐνιαυσίου γενομένης· εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη· καὶ κακῶς ἤκουσεν, ὅτι, τῶν στρατιωτῶν στασιασάντων καὶ δύο στρατηγικοὺς ἄνδρας ἀνελόντων, Κοσκώνιον καὶ Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον, ὅσον ἀντὶ στρατιωτῶν πολίτας προσαγορεῦσαι, χιλίας δὲ διένειμεν ἑκάστῳ δραχμὰς καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε πολλήν. Ἦν δὲ αὐτοῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία καὶ ἡ Ἀμαντίου φιλαργυρία
4, 421—22 H.

---

31. ἀναχωρήσαντος CM. 35. προσηγόρευον AΠBD: προσηγόρευσαν PCMq, ὑπηγόρευσαν v, ἐκάλουν Zonaras.

L. 1. ἐπιβὰς P. 6. ταύτης CM. 7. ζῆλαν libri (ζηλὰν P, ζηλᾶν H), sed praestare videtur *Ζήλαν*, cf. Davisium in Hirtii b. alex. c. 72. τάγμασι καὶ post *Ζῆλαν* repetit M. 10. εἰς Ῥώμην om C. 11. ἀμάντιον APCMHBDV et postea: Ἀμίντιον v, cf. Davisium in Caesaris fragm. p. 992 Oudendorpii.

LI. 1. ἀνέστρεφεν C. 2. ἥρηται ia et v.

καὶ μεθύων Ἀντώνιος καὶ Κορφίνιος τὴν Πομπηίου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν ὡς ἱκανὴν οὐκ οὖσαν. Ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν Ῥωμαῖοι. Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας οὐκ ἀγνοῶν οὐδὲ βουλόμενος ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσι.

LII. Τῶν δὲ περὶ Κάτωνα καὶ Σκηπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων κἀκεῖ, τοῦ βασιλέως Ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω στρατεύειν ὁ Καῖσαρ ἐπ' αὐτούς· καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν· καὶ γενομένου πνεύματος ἐμβὰς ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων. Ἀποβιβάσας δὲ τούτους λαθὼν ἀνήχθη πάλιν ὑπὲρ τῆς μείζονος ὁρμωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν ἤδη προστυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον. Πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαρρεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκηπιώνων γένει κρατεῖν ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν, εἴτε φλαυρίζων ἐν παιδιᾷ τινι τὸν Σκηπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος, ἦν γὰρ καὶ παρ' αὐτῷ τις ἄνθρωπος ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος, οἰκίας δὲ τῆς Ἀφρικανῶν, Σκηπίων ἐκαλεῖτο Σαλλουτίων, τοῦτον ἐν ταῖς μάχαις προέταττεν ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν πολεμίων καὶ φιλομαχεῖν. Ἦν γὰρ οὔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος οὔτε ὑποζυγίοις χιλὸς, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυθείσης τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν ὥσπερ ἥδυσμα παραμιγνύν-

4, 422—24 H.

---

11. Ἀντώνιος καὶ Κορφίνιος] invertit Xylander propter Anton. 10 Ciceronis or. Philipp. 2, 26. Κορφίνιος] cf. ad c. 43. 12. ὡς] εἰς P. 14. οὔτ' ἀγνοῶν x. οὐδὲ Corais APCMH: οὔτε v.

LII. 1. σκηπίωνα corr. AP: Σκιπίωνα v. 4. ὁ om PCM. ἐπ' αὐτοὺς καῖσαρ C. 9. λαθὼν Schmiederus cl. Hirtii b. afric. c. 11: καὶ λαθὼν libri. 12. τινι χρησμῷ C. 13. σκηπιώνων corr. A: σκιπιώνων pr. AMCH, Σκιπίωνος v, σκηπίωνος P et sic postea. 14. εἴτ' ἐκφλαυρίζων Reiskii nuperi. ἐν excidit ex Francofurtana. παιδείᾳ τινὶ P. 16. γὰρ καὶ APCMH: γὰρ v. 19. προετύγχανεν P. 22. ἀποπληθείσης a, ἀποπλυνθείσης SuV.

τες ἐπάγειν τοὺς ἵππους. Οἱ γὰρ Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς ἑκάστοτε κατεῖχον τὴν χώραν· καί ποτε τῶν Καίσαρος ἱππέων σχολὴν ἀγόντων, ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν ἅμα καὶ μονομαχῶν θαύματος ἀξίως, οἱ δὲ τερπόμενοι ἐκάθηντο τοῖς παισὶ τοὺς ἵππους ἐπιτρέψαντες, ἐξαίφνης περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι καὶ τοὺς μὲν αὐτοῦ κτείνουσι, τοῖς δὲ εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. Εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίννιος βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος. Ἔστι δ' ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος ἀναστρέψαι καὶ εἰπεῖν „Ἐνταῦθα εἰσὶν οἱ πολέμιοι."

LIII. Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκηπίων μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον, χωρὶς δὲ Ἰόβαν δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ περὶ πόλιν Θάψον, ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. Πονουμένῳ δὲ αὐτῷ περὶ ταῦτα Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν τοὺς μὲν ἐκυκλοῦτο, τοῖς δὲ προσέβαλλε κατὰ στόμα. Τρεψάμενος δὲ τούτους ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης, ὑφ' ἧς 733
αὐτοβοεὶ μὲν ᾕρει τὸ Ἀφρανίου στρατόπεδον, αὐτοβοεὶ δὲ φεύγοντος Ἰόβα διεπόρθει τὸ τῶν Νομάδων· ἡμέρας δὲ μιᾶς μέρει μικρῷ τριῶν στρατοπέδων ἐγκρατὴς γεγονὼς καὶ πεντα-

4, 424—25 H.

---

24. τοὺς ἵππους APCMSuHV: τοῖς ἵπποις v. 25. τὴν χεῖρα M. καί ποτε om i. τότε C. 28. ἄξιος ACMH. immo τερπόμενοι καθῆντο. 29. ἐπιστρέψαντες P. ἐξαίφνης Corais B: ἐξαίφνης δὲ v. 30. αὐτοῦ APCMHBD: αὐτῶν v. 32. δὲ καὶ καίσαρι i. ἀσίνιος PC, cf. ad Pomp. 72. 33. διαπέπρακτ' A. 34. μάχην] πόλιν CM. 36. φεύγοντα post αὐχένος collocat C.

LIII. 1. μέντοι τοῖς] num μὲν τοῖς? σκιπίων a et v. θάψακον 4. θάψον H, θάψακον i a et v. 5. ἐπὶ τὴν μάχην om C. 8. προσέβαλλε Stephaniana: προσεβαλε libri. 9. ὑφ' Reiskius: ἐφ' libri. 10. ᾕρητο V. τὸ τοῦ C. 11. δὲ APCMuSH: μὲν v. 12. γέγονεν C.

κισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. Οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἐκείνης ἀναγγέλλουσιν· οἱ δὲ οὐ φασὶν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν στρατιὰν καὶ διακοσμοῦντος ἅψασθαι τὸ σύνηθες νόσημα· τὸν δὲ εὐθὺς αἰσθόμενον ἀρχομένου, πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν, ἤδη σειόμενον εἴς τινα τῶν πλησίον πύργων κομισθῆναι καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ. Τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὑπατικῶν καὶ στρατηγικῶν ἀνδρῶν οἱ μὲν ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.

LIV. Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος ἔσπευδε πρὸς Ἰτύκην· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν οὐ μετέσχε τοῦ ἀγῶνος. Πυθόμενος δέ, ὡς ἑαυτὸν ὁ ἀνὴρ διεργάσαιτο, δῆλος μὲν ἦν δηχθείς, ἐφ' ᾧ δὲ ἄδηλον. Εἶπε δ' οὖν· „Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας.“ Ὁ μὲν οὖν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος οὐ δοκεῖ πρᾴως ἔχοντος οὐδὲ εὐδιαλλάκτως σημεῖον εἶναι. Πῶς γὰρ ἂν ἐφείσατο ζῶντος εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην; Τῇ δὲ πρὸς Κικέρωνα καὶ Βροῦτον αὐτοῦ καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων ἐπιεικείᾳ τεκμαίρονται καὶ τὸν λόγον ἐκεῖνον οὐκ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίᾳ πολιτικῇ συντετάχθαι διὰ τοιαύτην αἰτίαν. Ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος ἦν διὰ σπουδῆς, ὡς εἰκὸς, ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων εἰς τὴν καλλίστην πεποιημένος ὑπόθεσιν. Τοῦτο ἠνία Καίσαρα κατηγορίαν αὐτοῦ νομίζοντα τὸν τοῦ τεθνηκότος δι' αὐτὸν ἔπαινον. Ἔγραψεν οὖν πολλὰς τινας κατὰ τοῦ Κάτωνος αἰτίας
4, 425—26 H.

---

14. ἀπαγγέλλουσιν M, cf. Num. 8, 30. 15. οἱ δ' οὐ om M. 19. τὴν αἴσθησιν ηδη σειομένην malim cl. c. 60. πλησίον M: πλησίων v. 20. διαφυγεῖν V.

LIV. 2. ἔσπευδε δὲ πρὸς A. 4. δήλως M. οὖν om CM. 8. ἄν om pr. Aia. 10. αὐτὸν P. 11. ἐπιεικίᾳ ia. 12. φιλοτιμίᾳ πολιτικῇ APCMHBD: φιλοτιμίας πολιτικῆς v. διὰ τὴν C. 14. καὶ om C. διὰ om PCM. 15. τὴν om C. 18. κατὰ καίσαρος V. κατ' αὐτοῦ τοῦ κάτωνος CMV.

συναγαγών· τὸ δὲ βιβλίον Ἀντικάτων ἐπιγέγραπται. Καὶ σπουδαστὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα πολλούς.

LV. Ἀλλὰ γάρ, ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησε πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν, ὅση παρέξει καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸ δημόσιον σίτου μὲν εἴκοσι μυριάδας Ἀττικῶν μεδίμνων, ἐλαίου δὲ λιτρῶν μυριάδας τριακοσίας. Ἔπειτα θριάμβους κατήγαγε τὸν Αἰγυπτιακόν, τὸν Ποντικόν, τὸν Λιβυκόν, οὐκ ἀπὸ Σκηπίωνος, ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τοῦ βασιλέως. Τότε καὶ Ἰόβας υἱὸς ὢν ἐκείνου κομιδῇ νήπιος ἐν τῷ θριάμβῳ παρήχθη μακαριωτάτην ἁλοὺς ἅλωσιν, ἐκ βαρβάρου καὶ Νομάδος Ἑλλήνων τοῖς πολυμαθεστάτοις ἐναρίθμιος γενέσθαι συγγραφεῦσι. Μετὰ δὲ τοὺς θριάμβους στρατιώταις τε μεγάλας δωρεὰς ἐδίδου καὶ τὸν δῆμον ἀνελάμβανεν ἑστιάσεσι καὶ θέαις, ἑστιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ. Μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων ἀντὶ τῶν προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων ἐξητάσθησαν αἱ πᾶσαι πεντεκαίδεκα. Τηλικαύτην ἡ στάσις ἀπειργάσατο συμφορὰν καὶ τοσοῦτον ἀπανάλωσε τοῦ δήμου μέρος ἔξω λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας.

LVI. Συντελεσθέντων δὲ τούτων ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον εἰς Ἰβηρίαν ἐστράτευσεν ἐπὶ τοὺς Πομπηΐου παῖδας, νέους μὲν ὄντας ἔτι, θαυμαστὴν δὲ τῷ πλήθει στρατιὰν συνειλοχότας καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων

4, 426—28 H.

---

19. ἐπεγέγραπτο CM. 20. *Κάτωνα*] κικέρωνα Reiskii C.

LV. 6. κατήγαγε APCMHBD: κατῆγε v. 7. ἰώβα et ἰώβας i. 9. βαρβάρου καὶ νομάδος APHBD: βαρβάρων καὶ νομάδος CM, βαρβάρων καὶ Νομάδων v. 10. ἐναρίθμιος APCMqB: ἐνάριθμος v. 13. ἑστιάσεσι καὶ θυσίαις καὶ θέαις C. 14. τρισχιλίοις C. 15. ἀνδρῶν om C. 17. δυοῖν C. 19. ἀπανάλωσε APMHBD: ἐπανάλωσε C, ἀπανήλωσε v. 20. λόγου APC MBD: τοῦ λόγου v. τιθέμενος PCM.

LVI. 1. ἀποδειχθεὶς τὸ τέταρτον ὕπατος C. 4. συνειλοχότας Orellius ad Isocratis p. 462: συνειληχότας libri.

734 πρὸς ἡγεμονίαν, ὥστε κίνδυνον τῷ Καίσαρι περιστῆσαι τὸν ἔσχατον. Ἡ δὲ μεγάλη μάχη περὶ πόλιν συνέστη Μοῦνδαν, ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν τοὺς ἑαυτοῦ καὶ κακῶς ἀντέχοντας ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται λαβόντας αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις. Μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος ἐκείνων μὲν ὑπὲρ τρισμυρίους διέφθειρε, τῶν δὲ αὐτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίστους. Ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. Ταύτην τὴν μάχην ἐνίκησε τῇ τῶν Διονυσίων ἑορτῇ, καθ' ἣν λέγεται καὶ Πομπήϊος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· διὰ μέσου δὲ χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθε. Τῶν δὲ Πομπηΐου παίδων ὁ μὲν νεώτερος διέφυγε, τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας ὀλίγας Δείδιος ἀνήνεγκε τὴν κεφαλήν. Τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δὲ ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο, Ῥωμαίους ἠνίασεν. Οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας οὐδὲ βαρβάρους βασιλεῖς κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥωμαίων κρατίστου τύχαις κεχρημένου παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία τὸ μετ' ἀνάγκης πεπρᾶχθαι, καὶ ταῦτα πρότερον μήτε ἄγγελον μήτε γράμματα δημόσια πέμψαντα περὶ νίκης ἀπὸ τῶν ἐμφυλίων πολέμων, ἀλλ' ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν.

LVII. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες καὶ δεδεγμένοι τὸν χαλινὸν καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν δικτάτορα μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου· τοῦτο ἦν ὁμολογου-

4, 428—29 H.

---

5. παραστῆσαι C. 6. παρὰ V. μαῦδον C, μύνδον M. 9. μηδὲν] δὲ μὴ V. λαβόντες Reiskii nuperi perperam. 12. ἀπιὼν] cf. c. 39. 45. 13. ἀγωνίσαι τὸ i. 15. καὶ om P. 18. δείδιος APCMBD cl. Appiani hisp. 99. 100: Δίδιος v. 19. Καῖσαρ om C. 23. τύχαις APCHBDV: τύχης M, τύχῃ v. κεχρημένον P. 27. δημοσίᾳ Reiskianae nuperi. πέμψαντα [ACM] HSuVx: πέμψαι τὰ P, πέμψαι v. 28. πολεμίων V.

LVII. 3. δικτάτορα PM: δικτάτωρα v. 4. μὲν om P. ἀπέδειξε M. τοῦτο APBDi: τοῦτο δὲ v.

μένη μὲν τυραννὶς τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον προσλαβούσης· τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἀμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους ἐξειργάσαντο καὶ τοῖς πραοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων, οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. Ἐπεὶ τά γε ἄλλα, τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων, ἀνέγκλητον παρεῖχε· καί τό γε τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἄπο τρόπου δοκοῦσι χαριστήριον ἐπὶ τῇ πραότητι ψηφίσασθαι. Καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτὸν, ἐνίοις δὲ καὶ ἀρχὰς καὶ τιμὰς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. Καὶ τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν, ἐφ' ὧν καὶ Κικέρων εἶπεν, ὅτι Καῖσαρ τοὺς Πομπηΐου στήσας ἀνδριάντας τοὺς ἰδίους ἔπηξε. Τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι καὶ πολλῶν ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς οὐχ ὑπέμεινεν εἰπὼν, ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾶν. Τὴν δ' εὔνοιαν ὡς κάλλιστον ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον αὖθις ἀνελάμβανε τὸν δῆμον ἑστιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν ἀποικίαις, ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν, αἷς καὶ πρότερον τὴν ἄλωσιν καὶ τότε τὴν ἀνάληψιν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχε.

LVIII. Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ στρατηγίας εἰς τοὐπιὸν ἐπηγγέλλετο, τοὺς δ' ἄλλαις τισὶν ἐξουσίαις καὶ τιμαῖς παρεμυθεῖτο, πᾶσι δὲ ἐλπίζειν ἐνεδίδου μνηστευόμενος ἄρχειν ἑκόντων, ὡς καὶ Μαξίμου τοῦ ὑπάτου τε- 735

4, 429–30 H.

5. μὲν delendum puto. 8. ἕτεροι δὲ C. 11. οἷόν τε P. 15. ἀνέγκλιτον i. ἀνέγκλητον ἑαυτὸν Reiskii nuperi. τότε Ca et v. 16. ἀπὸ Reiskianae nuperi. τρόπου] προσώπου P. 17. τῶν τε P. 18. ἀρχὰς καὶ τιμὰς APM: τιμὰς καὶ ἀρχὰς v. καὶ τιμὰς om C. 24. τούτῳ P. 26. κάλλιστον APCHBD: κάλλιστον ἑαυτοῦ v.

LVIII. 2. τοῖς δὲ P pr. M, ταῖς δ' C. τισὶν om C. 3. ἐδίδου C.

λευτήσαντος εἰς τὴν περιοῦσαν ἔτι τῆς ἀρχῆς μίαν ἡμέραν ὕπατον ἀποδεῖξαι Κανίνιον Ῥεβίλιον. Πρὸς ὃν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων ὁ Κικέρων· „Σπεύδωμεν“ ἔφη „πρὶν φθάσῃ τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος.“ Ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον αἱ πολλαὶ κατορθώσεις οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς τὰ μέλλοντα μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων καὶ καινῆς ἔρωτα δόξης ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ, τὸ μὲν πάθος οὐδὲν ἦν ἕτερον ἢ ζῆλος αὐτοῦ καθάπερ ἄλλου καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα, παρασκευὴ δὲ καὶ γνώμη στρατεύειν μὲν ἐπὶ Πάρθους, καταστρεψαμένῳ δὲ τούτους καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον ἐκπεριελθόντι τὸν Πόντον εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν καὶ τὰ περίχωρα Γερμανοῖς καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης. Διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορίνθιον Ἰσθμὸν ἐπεχείρει διασκάπτειν Ἀνιηνὸν ἐπὶ τούτῳ προχειρισάμενος καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον ἐμβαλεῖν εἰς τὴν πρὸς Ταῤῥακίνην θάλατταν ἀσφάλειαν ἅμα καὶ ῥᾳστώνην τοῖς δι' ἐμπορίας φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς δὲ τούτοις τὰ μὲν ἕλη τὰ περὶ Πωμέντιον καὶ Σητίαν ἐκτρέψας πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι, τῇ δὲ ἔγγιστα τῆς Ῥώμης θα-

4, 430—31 H.

---

5. ἐπιοῦσαν P. ἔτι addiderunt APCMBD. 6. ἐρεβίλιον M, σερβίλιον C. 8. πρὶν ἢ C, πρὶν μὴ PM, ex dittographia, opinor. 11. θράσος M. 12. καὶ — δόξης om C. 13. κενῆς M. μὲν οὖν CM. 18. τὸν πόντον APCMHBD: τόπον v, τότε Stephanus x. 20. καὶ διὰ κελτῶν M. 23. κορίνθιον PCM: Κορινθίων v. 24. Ἀνιηνὸν] nomen interpretibus suspectum. τούτῳ APCMSuBDV: τοῦτο v. 26. τὸν κιρκαῖον A, τὸ κίρκιον P. Ταῤῥακίνῃ Reiskius. 27. τοῖς usque ad ἀλλὰ Καῖσαρ c. 60 desunt P. videtur folium intercidisse. ἐμπορίαν CM. 28. πρὸς] περὶ M. 29. Πωμέντιον Solanus cl. Suetonii Caes. 44 Strabonis 5 p. 231 = t. 2 p. 156 Tz.: νωμαντῖνον A, νομηντινον M, νομαντίνην C, ιωμηντῖνον H. 29. καὶ σητίαν om C. Σητίαν x cf. Strabonis 5 p. 237 = 172 Tz. ubi Σήτεα est: Σήτιον v, σιτίον M, σίτιον ceteri.

λάσσῃ κλεῖθρα διὰ χωμάτων ἐπαγαγὼν καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς Ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος λιμένας ἐμποιήσασθαι καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. Καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.

LIX. Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ καὶ τέλος λαβοῦσα γλαφυρωτάτην παρέσχε χρείαν. Οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταραγμένως ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς ὑποφερομένας κατὰ μικρὸν εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας, ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν οἱ μὲν ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δὲ ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες ἐξαίφνης καὶ προησθημένου μηδενὸς τὸν ἐμβόλιμον προσέγραφον μῆνα Μερκηδόνιον ὀνομάζοντες, ὃν Νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν λέγεται μικρὰν καὶ διατείνουσαν οὐ πόρρω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθεὶς ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἔμιξεν ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο τοῖς βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε. Κικέρων γὰρ ὁ ῥήτωρ, ὡς ἔοικε, φήσαντος τινὸς αὔριον ἐπιτέλλειν Λύραν· „Ναὶ“ εἶπεν „ἐκ διατάγματος“, ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.

LX. Τὸ δὲ ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία πρώτη, τοῖς δὲ ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη

4, 431—33 H.

31. χρωμάτων V. 32. ὠστειανῆς C.

LIX. 4. πάνυ] πάλαι M. τεταγμέναις ia et v. 8. ἡλικιακὴν M, ἡλικίαν Emperius. 11. Μερκηδῖνος Num. 18, 13. 12. οὐ μικρὰν C. καὶ — πόρρω om C. 14. πλημελείας C. 16. ἔμιξεν ACMHBD: ἔδειξεν v. 19. τοῦτο x: παρὰ ACMSV, περὶ v, καὶ ταῦτ' (τοῦτ') ἄρα τοῖς Emperius. num οὐ μὴν ἀλλὰ παρὰ τοῖς — αἰτίας εἶχε? 20. γὰρ] οὖν ACM. scribam γοῦν. 22. ἐκ προστάγματος καίσαρος C.

LX. 2. ἐπ'] πρὸς C. 3. φάσις C.

γενομένη. Καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον
736 οἱ ταύτην Καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτούς, ἄλλως ἀνέφικτα ὄντα. Καὶ, καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα· τοῦ δὲ δήμου διαταραχθέντος ἀχθεσθεὶς ἐκεῖνος οὐκ ἔφη βασιλεὺς, ἀλλὰ Καῖσαρ καλεῖσθαι· καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς οὐ πάνυ φαιδρὸς οὐδ' εὐμενὴς παρῆλθεν. Ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ ψηφισαμένων ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος, προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, οὐχ ὑπεξαναστὰς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων ἀπεκρίνατο συστολῆς μᾶλλον ἢ προσθέσεως τὰς τιμὰς δεῖσθαι. Καὶ τοῦτο οὐ μόνον ἠνίασε τὴν βουλὴν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης, καὶ μετὰ δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς οἷς ἐξῆν μὴ παραμένειν, ὥστε κἀκεῖνον ἐννοήσαντα παραχρῆμα μὲν οἴκαδε τραπέσθαι καὶ βοᾶν πρὸς τοὺς φίλους ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν, ὕστερον δὲ προφασίζεσθαι τὴν νόσον· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων, ὅταν ἱστάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχὺ καὶ περιφερομένην ἰλίγγους ἐπισπᾶσθαι καὶ καταλαμβάνεσθαι. Τὸ δὲ οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίου Βάλβου, κατασχεθῆναι φήσαντος· „Οὐ μεμνήσῃ Καῖσαρ ὢν οὐδὲ ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν;“

4, 433—34 H.

---

4. κατέσπειραν ἐκ διατάγματος εἰς CM. 6. σιβυλλίων AHia. 7. αὐτοῦ V. 9. ἐτόλμησαν — βασιλέα om CM. 13. αὐτῷ Reiskii ACBD: αὐτοῦ v. 14. καθεζόμενος ὑπὲρ τῶν ἐμβόλων ὁ καῖσαρ C. 16. χρηματίζων] μαστίζων P. 17. προθέσεως ia, προέσεως M. τὰ τιμῆς V. 20. μὴ om P. 24. δὲ om i. 26. τὸν ὄχλον CM, ὀρθὸν i. παραφερομένην C. 27. ἰλίγγους ACM: εἰλίγγους v. ἐπισπᾶσθαι Corais APCMBD: ἐπισπάσασθαι v. 29. τον om CM. 30. φήσαντος post σεαυτὸν ponit C.

LXI. Ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός. Ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων ἑορτή, περὶ ἧς πολλοὶ γράφουσιν, ὡς ποιμένων τὸ παλαιὸν εἰη καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς Λυκαίοις. Τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοὶ σκύτεσι λασίοις τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες· πολλαὶ δὲ καὶ τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι παρέχουσιν ὥσπερ ἐν διδασκάλου τὼ χεῖρε ταῖς πληγαῖς πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δὲ πρὸς κύησιν ἀγαθὸν εἶναι. Ταῦτα Καῖσαρ ἐθεᾶτο καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. Ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον ὤρεξε τῷ Καίσαρι· καὶ γίνεται κρότος οὐ λαμπρὸς, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς. Ἀπωσαμένου δὲ τοῦ Καίσαρος ἅπας ὁ δῆμος ἀνεκρότησεν· αὖθις δὲ προσφέροντος ὀλίγοι, καὶ μὴ δεξαμένου πάλιν ἅπαντες. Οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης Καῖσαρ μὲν ἀνίσταται τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας. Ὤφθησαν δὲ ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς· καὶ τῶν δημάρχων δύο, Φλαούϊος καὶ Μάρυλλος, ἐπελθόντες ἀπέσπασαν καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες ἀπῆγον εἰς τὸ δεσμωτήριον. Ὁ δὲ δῆμος εἵπετο κροτῶν καὶ Βρούτους ἀπεκάλει τοὺς ἄνδρας, ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. Ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον, ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων πολλάκις Βρούτους τε καὶ Κυμαίους ἀπεκάλει τοὺς ἄνδρας.

LXII. Οὕτω δὴ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοὶ, γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων, καὶ

4, 434—36 H.

LXI. 1. ἐπιγίνεται δὲ C. ὁ — γὰρ om P. 4. καί τι καὶ] καίτοι καὶ P, καί τι CM. 6. τοῖς ἐμποδὼν PC. 9. πεπεισμέναις M. κυούσας M. 13. γὰρ om PM. 15. ὤρυξε C. 18. ὀλίγον CM, ὀλίγα V. 20. καπητώλιον ia. 22. φλαόνιος V. 23. τὸν om PCM. 25. τοὺς ἀνδριάντας V. 27. ἐκ μοναρχίας] τὴν μοναρχίαν CM. 29. παρὰ V. τὸν om CM.

737 τὸ πρὸς μητρὸς δὲ ἀπὸ Σερουιλίων, οἰκίας ἑτέρας ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. Τοῦτον ἐξ ἑαυτοῦ μὲν ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. Οὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομπηΐου φυγῆς οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. Καὶ στρατηγίαν μὲν ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δὲ ἔμελλεν εἰς τέταρτον ἔτος ἐρίσαντος Κασσίου προτιμηθείς. Λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν, ὡς δικαιότερα μὲν λέγοι Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. Καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θιγὼν ἔφη πρὸς τοὺς διαβάλλοντας· „Ἀναμένει τοῦτο τὸ δέρμα Βροῦτος," ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετήν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον. Οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι, νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα καὶ τὸν δίφρον, ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν· ὧν ἦν τὰ πολλὰ τοιαῦτα· „Καθεύδεις, ὦ Βροῦτε" καί „Οὐκ εἶ Βροῦτος." Ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος διακινούμενον ἡσυχῇ τὸ φιλότιμον αὐτοῦ μᾶλλον ἢ πρότερον ἐνέκειτο καὶ παρώξυνεν, αὐτὸς ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν Καίσαρα δι αἰτίας, ἃς ἐν τοῖς περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν. Εἶχε μέντοι καὶ δι' ὑποψίας ὁ Καῖσαρ αὐτὸν, ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε· „Τί φαίνεται βουλόμενος ὑμῖν Κάσσιος; ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει λίαν ὠχρὸς ὤν."
4, 436—37 H.

LXII. 3. τὸ addiderunt APCMHBD. δὲ delet Coraes. si quid delendum, deleam καὶ. σερουιλίων ACMHBD: σερουιλίου P, Σερβιλίων v. 4. καὶ om C. ἐξ ἑαυτοῦ μὲν APCMH: μὲν ἐξ ἑαυτοῦ v. 8. ἔσωζεν C. καὶ om CM. μεγάλην εἶχε PCM. 12. μὲν λέγοι PCMH: μὲν λέγει A: λέγοι μὲν v. 13. ποτε καὶ] ποτε P. 16. δέρμα] σῶμα APCMHBD, sed cf. Brut. 8. βροῦτος APCMSD: Βροῦτον v. 21. τὸν δίφρον καὶ τὸ βῆμα CM. 22. ὦ addiderunt APCMHBD Zonaras p. 132. 24. καὶ παρώξυνεν] παροξύνων C. 25. αὐτὸς x: αὐτοὺς libri praeter C qui om. ἰδίᾳ δὲ C. 26. ταῖς — γεγραμμέναις CM. 27. καὶ om C. 28. εἰπεῖν τί ποτε C.

Πάλιν δὲ λέγεται περὶ Ἀντωνίου καὶ Δολοβέλλα διαβολῆς πρὸς αὐτὸν, ὡς νεωτερίζοιεν, ἐλθούσης „Οὐ πάνυ“ φάναι „τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους·“ Κάσσιον λέγων καὶ Βροῦτον.

LXIII. Ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον, ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα φανῆναι λέγουσι. Σέλα μὲν οὖν οὐράνια καὶ κτύπους νύκτωρ πολλαχοῦ διαφερομένους καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι· Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν, ὡς δὲ ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον· αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου καὶ δεινὸν εἶναι τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῶον ἀκάρδιον. Ἔστι δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ Μαρτίου μηνὸς, ἣν Εἴδους Ῥωμαῖοι καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον· ἐλθούσης δὲ τῆς ἡμέρας προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον ἀσπασάμενος προσπαίξειε τῷ μάντει φάμενος· „Αἱ μὲν δὴ Μάρτιαι Εἰδοὶ πάρεισιν“ ὁ δὲ ἡσυχῇ πρὸς αὐτὸν εἶποι· „Ναὶ πάρεισιν, ἀλλ' οὐ παρελήλυθασι.“ Πρὸ μιᾶς δὲ ἡμέρας Μάρκου Λεπίδου δειπνίζοντος αὐτὸν ἔτυχε μὲν ἐπιστολαῖς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγου, ποῖος ἄρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεβόησεν „Ὁ ἀπροσδόκητος.“ Μετὰ ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικὶ, πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπετανν-

4, 437—39 H.

---

30. δολοβέλλα APCHBD: Δολαβέλλα v. 33. λέγων] δὲ P.

LXIII. 3. σέλας — οὐράνιον C. κτύπους [APCM]qVx: τύπους v. 5. ἀγορὰς C. 7. ἀνθρώπων V. διαπύρους ἀνθρώπους C. 8. τῆς om CM. 9. κακὸν ἔχειν C. 11. εἶναι iniuria suspectum nuperis. 14. προείποι om M. 17. εἰδοὶ] ἡμέραι V. 20. ἐπιστολὰς Stephanus, quod retractat his verbis: ‚non videntur sequenda fuisse exemplaria quae habent accusativum ἐπιστολὰς pro dativo ἐπιστολαῖς.‘ ἐπιγράφων CM. ὥσπερ om P. 21. ἄρα Schaeferus: ἆρα v. 22. ἐξεφώνησεν AHBD. 23. καὶ κοιμώμενος AP.

νυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ καταλαμπούσης τῆς σελήνης ᾔσθετο τὴν Καλπουρνίαν βαθέως
738 μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς ἀνάρθρους ἀναπέμπουσαν ἐκ τῶν ὕπνων· ἐδόκει δὲ ἅρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. Οἱ δὲ οὔ φασι τῇ γυναικὶ ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλὰ ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι τῆς βουλῆς ψηφισαμένης ἀκρωτήριον, ὡς Λίβιος ἱστορεῖ, τοῦτο ὄναρ ἡ Καλπουρνία θεασαμένη καταῤῥηγνύμενον ἔδοξε ποτνιᾶσθαι καὶ δακρύειν. Ἡμέρας δ' οὖν γενομένης ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. Εἶχε δέ τις, ὡς ἔοικε, κἀκεῖνον ὑποψία καὶ φόβος. Οὐδένα γὰρ γυναικισμὸν ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας, τότε δὲ ἑώρα περιπαθοῦσαν. Ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφρασαν αὐτῷ δυσιερεῖν, ἔγνω πέμψας Ἀντώνιον ἀφεῖναι τὴν σύγκλητον.

LXIV. Ἐν δὲ τούτῳ Δέκιμος Βροῦτος ἐπίκλησιν Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς μή, τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος, ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζε καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν κελεύσαντος ἐκείνου καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας, ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν· εἰ δὲ φράσει τις αὐτοῖς καθεζομένοις νῦν μὲν ἀπαλλάττεσθαι,

4, 439—40 H.

---

25. τῷ φωτὶ] φωτὶ P. καὶ λαμπούσης ia et v. 28. ἀναπέμπουσαν ἐκ τῶν ὕπνων APCMH: ἐκ τῶν ὕπνων ἀναπέμπουσαν v. ἅρα P: ἀρα v. 29. ἔχουσαν A. 30. τῇ γυναικὶ] διηνεκῆ V. 34. ποτνιεῖσθαι V. 36. ἀναβάλλεσθαι P. 38. εἶχε] cf. Themist. 9, 23. ἐκεῖνον C. ἐκεῖνον ὡς ἔοικε M. 41. ἔφρασαν APCMHV: ἔφασαν v.

LXIV. 1. δέκιμος [APCM]: Δέκιος v. 12. φράσει ACM BD: φράζοι v.

παρεῖναι δὲ αὖθις, ὅταν ἐντύχοι βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι διδασκόντων, ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν; ἀλλ' εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα. Καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ φυλάττειν κελεύσας, ἄχρι ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

LXV. Ἀρτεμίδωρος δὲ Κνίδιος τὸ γένος, Ἑλληνικῶν λόγων σοφιστὴς καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἦκε μὲν ἐν βιβλιδίῳ κομίζων ἅπερ ἔμελλε μηνύειν, ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλιδίων ἕκαστον δεχόμενον καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐγγὺς σφόδρα προσελθών „Τοῦτο“ ἔφη „Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων καὶ σοὶ διαφερόντων.“ Δεξάμενος οὖν ὁ Καῖσαρ ἀναγνῶναι μὲν ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις, ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο παρῆλθεν εἰς τὴν σύγκλητον. Ἔνιοι δέ φασιν ἄλλον ἐπιδοῦναι τὸ βιβλίον τοῦτο, τὸν δ' Ἀρτεμίδωρον οὐδὲ ὅλως προσελθεῖν, ἀλλ' ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν.

LXVI. Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε, Πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηΐου δὲ ἀνάθημα γεγονὼς τῶν προσκεκοσμημένων τῷ θεάτρῳ, παντάπασιν ἀπέφαινε δαίμονός 739

4, 440—41 H.

13. ἐντύχῃ ABD. ἡ καλπουρνία CM. 17. προελθόντα H, aut hoc malim aut παρελθόντα. 20. παρελθόντι CM. 23. κελεύσας φυλάττειν M. ἄχρι pr. APi: ἄχρις v.

LXV. 5. βιβλιδίων APCHBD: βιβλίων v. παραδόντα P. 6. περιελθὼν M. 9. ἀπὸ M. 11. ἐκεῖνο μόνον P.

LXVI. 3. μὲν om C. 4. προσκεκοσμημένων Solanus: προσκεκομισμένων CM, προκεκοσμημένων v, cf. ad c. 29. 5. ἀπέφαινε APCMBD: ἀπέφηνε v.

τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν ἔργον γεγονέναι. Καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων· ἀλλ' ὁ καιρός, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεστῶτος ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος ἀντὶ τῶν προτέρων λογισμῶν. Ἀντώνιον μὲν οὖν πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν· εἰσιόντος δὲ Καίσαρος ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα, τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέστησαν, οἱ δὲ ἀπήντησαν, ὡς δὴ Τιλλίῳ Κίμβρῳ περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. Ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις καὶ προσκειμένων βιαιότερον ἠγανάκτει πρὸς ἕκαστον, ὁ μὲν Τίλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. Πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα πληγὴν οὐ θανατηφόρον οὐδὲ βαρεῖαν, ἀλλ', ὡς εἰκὸς, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς, ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. Ἅμα δέ πως ἐξεφώνησαν ὁ μὲν πληγεὶς Ῥωμαϊστί· „Μιαρώτατε Κάσκα, τί ποιεῖς;“ ὁ δὲ πλήξας Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν· „Ἀδελφὲ, βοήθει.“ Τοιαύτης δὲ τῆς ἀρχῆς γενομένης τοὺς μὲν οὐδὲν συνειδότας ἔκπληξις εἶχε καὶ φρίκη πρὸς τὰ

4, 441—42 H.

---

7. *κάσσιος λέγεται* P. 9. *σιωπῶν* V. 13. *Ἀλβῖνος* Stephanus: *ἀλβίνιος* (*ἀλκίνιος* P) libri, aliter illi Brut. 12. *ἀλβίνιος δ'* C. 16. *Τιλλίῳ*] *μετιλλίῳ* libri et vers. 20 *μὲν μετίλλιος*. *Τυλλίῳ* Coraes et infra. praetuli alteram formam cum propter librorum scripturam Brut. 17 tum propter Ciceronis Philipp. 2, 11 ad divers. 12, 13 annot. Oudendorpii ad Suetonii Caes. c. 82 p. 132 Ernestii clav. Cicer. v. Tillius Cimber. paullo magis ad librorum scripturam accederet *Ἀτιλλίῳ*, quo modo libri Appiani b. c. 2, 117, sed cf. Schweighaeuserum t. 3 p. 775. 17. *τίμβρῳ* CP, *τίβρῳ* ceteri. 20. *βιαιοτέρων* C. *ἕκαστα* M. *τήβεννον*] *τήρσθενον* V. 23. *αὐχένα*] *τράχηλον* C. 24. *βαθεῖαν* Bryani nuperi cl. Brut. 17. 25. *μεγάλου* om C. 29. *τῆς ἀρχῆς*] *ταραχῆς* [A]PCMHBD nuperi.

δρώμενα μήτε φεύγειν μήτε ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. Τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου γυμνὸν ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος καὶ πρὸς ὅ τι τρέψειε τὴν ὄψιν πληγαῖς ἀπαντῶν καὶ σιδήρῳ φερομένῳ καὶ κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν· ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. Διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα. Λέγεται δὲ ὑπό τινων, ὡς ἄρα πρὸς τοὺς ἄλλους ἀπομαχόμενος καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον καὶ παρῆκεν ἑαυτὸν εἴτε ἀπὸ τύχης εἴτε ὑπὸ τῶν κτεινόντων ἀπωσθεὶς πρὸς τὴν βάσιν, ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. Καὶ πολὺ καθῆμαξεν αὐτὴν ὁ φόνος, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπηΐου ὑπὸ πόδας κεκλιμένου καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. Εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας.

LXVII. Κατειργασμένου δὲ τοῦ ἀνδρὸς ἡ μὲν γερουσία, καίπερ εἰς μέσον ἐλθόντος Βρούτου, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτε καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τοὺς μὲν οἰκίας κλείειν, τοὺς δὲ ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια, δρόμῳ δὲ χωρεῖν τοὺς μὲν ἐπὶ τὸν τύπον ὀψομένους τὸ πάθος, τοὺς δὲ ἐκεῖθεν ἐωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος οἱ μάλιστα φίλοι Καίσαρος ὑπεκδύντες εἰς οἰκίας ἑτέρας κατέφυγον. Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα

4, 442—44 H.

---

40. κἀκεῖσε C. 42. ἀπὸ Reiskius: ὑπὸ libri. num ὑπὸ Τύχης? cl. 66, 5. 43. ὑπὸ Solani [APC]M: ἀπὸ v. κτεινάντων error Reiskianae propagatus a ceteris. 44. ἔστηκεν P. 45. αὐτῆς Reiskii nuperi. φθόνος V. 47. γὰρ om P.

LXVII. 2. βροῦτον M. ἐλθόντος βρούτου C: Βρούτου ἐλθόντος v. 3. διὰ θυρῶν] cf. ann. ad Themist. p. 181. 5. τοὺς μὲν APSV: τὰς μὲν v, τὰς μὲν οἰκίας κλείειν ἔστιν οὓς, τοὺς δὲ HD. 6. χρηματιστήριον CM.

πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαῤῥαλέοι παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. Ἔνιοι
740 δὲ καὶ συνανέβαινον αὐτοῖς καὶ κατεμίγνυσαν ἑαυτοὺς ὡς μετεσχηκότες τοῦ ἔργου καὶ προσεποιοῦντο τὴν δόξαν, ὧν ἦν καὶ Γάϊος Ὀκταούϊος καὶ Λέντλος Σπινθήρ. Οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον ὑπὸ Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες καὶ μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες ἀπιστίᾳ τῶν ἄλλων. Οὐδὲ γὰρ οἱ κολάζοντες αὐτοὺς τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως τὴν δίκην ἔλαβον. Μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ ποιησαμένων λόγους, ὁ μὲν δῆμος οὔτε δυσχεραίνων οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ Καίσαρα μὲν οἰκτείρων, αἰδούμενος δὲ Βροῦτον, ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς καὶ συμβάσεις πράττουσα πᾶσι Καίσαρα μὲν ὡς θεὸν τιμᾷν ἐψηφίσαντο καὶ κινεῖν μηδὲ τὸ σμικρότατον ὧν ἐκεῖνος ἄρχων ἐβούλευσε, τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας τε διένειμε καὶ τιμὰς ἀπέδωκε πρεπούσας, ὥστε πάντας οἴεσθαι τὰ πράγματα κατάστασιν ἔχειν καὶ σύγκρασιν ἀπειληφέναι τὴν ἀρίστην.

LXVIII. Ἐπεὶ δὲ τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκέτι κόσμον εἶχεν οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν, ἁράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον ἐπὶ τὰς οἰκίας
4, 444—45 H.

---

18. τοῦ νέου om C. 26. σύγκλητος] hic desinit P. 28. ἐψηφίσατο Coraes. cf. Pomp. 60. 30. ἐπέδωκε Coraianae Schaeferus, sed cf. Arat. 14. Lys. 30. mor. 84 d. 31. σύγκρασιν CM: σύγκρισιν v.

LXVIII. 1. τοῦ καίσαρος CM. 2. ἑκάστῳ ῥωμαίων C. 3. διὰ τῆς ἀγορᾶς C. 4. αὐτῶν supervacuum visum Reiskio, αὐτῶν τὸ πένθος Emperius. 5. ἐξ ἀγορᾶς περισωρεύσαντες CM.

τῶν ἀνῃρηκότων ὡς καταφλέξοντες, ἄλλοι δὲ ἐφοίτων παντα-
χόσε τῆς πόλεως συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας
ζητοῦντες. Οἷς ἐκείνων μὲν οὐδεὶς ἀπήντησεν, ἀλλὰ εὖ πε-
φραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταί-
ρων ἔτυχε μέν, ὥς φασι, τῆς παρωχημένης νυκτὸς ὄψιν ἑω-
ρακὼς ἄτοπον· ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖ-
σθαι, παραιτούμενος δὲ ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτοῦ μὴ
βουλόμενος, ἀλλ' ἀντιτείνων. Ὡς δ' ἤκουσεν ἐν ἀγορᾷ τὸ
σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ,
καίπερ ὑφορώμενός τε τὴν ὄψιν ἅμα καὶ πυρέττων. Καί τις
ὀφθέντος αὐτοῦ τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυν-
θανομένῳ κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν, ὡς οὑτός
ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν τις
ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνομοσαμένοις, ὃν τοῦτον
εἶναι προλαβόντες ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ
τὸν ἄνθρωπον. Τοῦτο μάλιστα δείσαντες οἱ περὶ Βροῦτον
καὶ Κάσσιον οὐ πολλῶν ἡμερῶν διαγενομένων ἀπεχώρησαν
ἐκ τῆς πόλεως. Ἃ δὲ καὶ πράξαντες καὶ παθόντες ἐτελεύτη-
σαν, ἐν τοῖς περὶ Βρούτου γέγραπται.

LXIX. Θνήσκει δὲ Καῖσαρ τὰ μὲν πάντα γεγονὼς ἔτη
πεντήκοντα καὶ ἕξ, Πομπηΐῳ δ' ἐπιβιώσας οὐ πολὺ πλέον
ἐτῶν τεσσάρων, ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν καὶ δυναστείαν
διὰ κινδύνων τοσούτων διώκων μόλις κατειργάσατο, ταύτης
οὐδὲν ὅτι μὴ τοὔνομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμε-
νος δόξαν παρὰ τῶν πολιτῶν. Ὁ μέντοι μέγας αὐτοῦ δαίμων,
ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε
τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάττης ἐλαύνων
καὶ ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων, ἀλλὰ
καὶ τοὺς καθ' ὁτιοῦν ἢ χειρὶ τοῦ ἔργου θιγόντας ἢ γνώμης

4, 445—46 H.

---

8. ὡς addiderunt CMHD. cf. Brut. 20. 13. *Καίσαρος ἐπὶ* om M. 17. τε addiderunt ACMHBD. *καὶ πυρέττων ἅμα* C. 21. *συνομοσαμένοις* Schaeferi D: *συνωμοσαμένοις* v. 22. *ὑπολαβόντες* ACMSHBDV, sed cf. mor. 1051 e 1092 c. 23. *μᾶλλον* CM. 24. *ἀνεχώρησαν* C.

LXIX. 3. *παντὶ ἀρχὴν*] locus propter hiatum suspectus. 4. *διὰ*] *καὶ* CM. 8. *καὶ θαλάττης πάσης* CM. *θαλάττης* ACMH: *θαλάσσης* v. 9. *ἀποκτενόντων* V. 10. *θιγόντας* Coraes: *θίγοντας* v. *γνώμας* V.

μετασχόντας ἐπεξελθεῖν. Θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φιλίπποις ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτόν, ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ θείων ὅ τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ
741 νύκτας ἑπτὰ μετὰ τὴν Καίσαρος σφαγὴν διαπρεπής, εἶτα ἠφανίσθη) καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς. Ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν ὠχρὸς μὲν ὁ κύκλος καὶ μαρμαρυγὰς οὐκ ἔχων ἀνέτελλεν, ἀδρανὲς δὲ καὶ λεπτὸν ἀπ' αὐτοῦ κατῄει τὸ θερμόν, ὥστε τὸν μὲν ἀέρα δνοφερὸν καὶ βαρὺν ἀσθενείᾳ τῆς διακρινούσης αὐτὸν ἀλέας ἐπιφέρεσθαι, τοὺς δὲ καρποὺς ἡμιπέπτους καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος. Μάλιστα δὲ τὸ Βρούτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσε σφαγὴν οὐ γενομένην θεοῖς ἀρεστήν· ἦν δὲ τοιόνδε. Μέλλων τὸν στρατὸν ἐξ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον ἀνεπαύετο νυκτός, ὥσπερ εἰώθει, κατὰ σκηνήν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος· λέγεται γὰρ οὗτος ἀνὴρ ἥκιστα δὴ τῶν στρατηγῶν ὑπνώδης γενέσθαι καὶ πλεῖστον ἑαυτῷ χρόνον ἐγρηγορότι χρῆσθαι πεφυκώς· ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου σκεψάμενος ὄψιν εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος καὶ χαλεποῦ τὸ εἶδος. Ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι μήτε φθεγγόμενον, ἀλλὰ ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα, ὅστις ἐστίν. Ἀποκρίνεται δ' αὐτῷ τὸ φάσμα „Ὁ σὸς, ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους.“ Τότε μὲν οὖν ὁ Βροῦτος εὐθαρσῶς „Ὄψομαι“ εἶπε· καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῆλθε. Τῷ δ' ἰκνουμένῳ χρόνῳ περὶ τοὺς Φιλίππους ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ' ἑαυτὸν ἐτρέψατο καὶ διεξήλασε πορθῶν τὸ
Καίσαρος στρατόπεδον, τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις, οὐχ ὥστε

4, 446—48 H.

---

14. κομήτης μέγας ACM. 15. σφαγὴν] τελευτὴν C. 16. περὶ ἥλιον C. τῆς ἀρχῆς M. 20. ἐπιφέρεσθαι ACMHD: ἐκφέρεσθαι v. 21. καὶ παρακμάσαι om C. περικνμάσαι M. 23. βρούτου AMHBD. 26. κατὰ σκηνὴν om C. 36. ὄψει ACBD: ὄψῃ v. 39. ἀντιταχθεὶς om M.

τι προσειπεῖν, ἀλλὰ συνεὶς ὁ Βροῦτος τὸ πεπρωμένον ἔῤῥιψε φέρων ἑαυτὸν εἰς τὸν κίνδυνον. Οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλὰ τῆς τροπῆς γενομένης ἀναφυγὼν πρός τι κρημνῶδες καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου τινὸς, ὥς φασι, συνεπιῤῥώσαντος τὴν πληγὴν, ἀπέθανεν.

4, 448 H.

46. γυμνὸν M. ἐπιῤῥώσαντος v. 47. φασι συνεπιῤῥώσαντος [A]CMHBD: φασιν τὴν addiderunt [A]CMS addideratque Reiskius.

Φ Ω Κ Ι Ω Ν.

I. *Δημάδης ὁ ῥήτωρ ἰσχύων μὲν ἐν ταῖς Ἀθήναις διὰ τὸ πρὸς χάριν πολιτεύεσθαι Μακεδόνων καὶ Ἀντιπάτρου, πολλὰ δὲ γράφειν καὶ λέγειν ἀναγκαζόμενος παρὰ τὸ ἀξίωμα τῆς πόλεως καὶ τὸ ἦθος ἔλεγε συγγνώμης ἄξιος εἶναι πολιτευόμενος τὰ ναυάγια τῆς πόλεως. Τοῦτο δὲ εἰ καὶ τῷ ῥήτορι θρασύτερον εἴρηται, δόξειεν ἂν ἀληθὲς εἶναι μετενεχθὲν ἐπὶ τὴν Φωκίωνος πολιτείαν. Δημάδης μὲν γὰρ αὐτὸς ἦν ναυάγιον τῆς πόλεως οὕτως ἀσελγῶς βιώσας καὶ πολιτευσάμενος, ὥστε Ἀντίπατρον εἰπεῖν ἐπ' αὐτοῦ γέροντος ἤδη γεγονότος, ὅτι καθάπερ ἱερείου διαπεπραγμένου γλῶσσα καὶ κοιλία μόνον ἀπολείπεται· τὴν δὲ Φωκίωνος ἀρετὴν ὥσπερ ἀνταγωνιστῇ βαρεῖ καὶ βιαίῳ καιρῷ συλλαχοῦσαν αἱ τύχαι τῆς Ἑλλά-*
742 *δος ἀμαυρὰν καὶ ἀλαμπῆ πρὸς δόξαν ἐποίησαν. Οὐ γὰρ Σοφοκλεῖ γε προσεκτέον ἀσθενῆ ποιοῦντι τὴν ἀρετὴν ἐν οἷς φησίν·*

5, 1 H.

---

ad Phocionem codicibus usus sum Parisinis 1671 (A) 1673 (C) 1672 (B) ab Heldio cum Hutteniana, 1676 (F^a) cum Reiskiana, Palatino 168 (P) a Fluegelio cum Teubneriana, Monacensi 85 (M) ab Heldio cum Weigeliana, Vindobonensi 60 (V^b) a Dochnero cum Tauchnitiana, Florentino (F) a Furia nescio cum qua editione collatis. accedunt excerptae Mureti scripturae ex libris TRSπq. reticui lectiones Parisinorum 1674 1675 quippe quae nihil boni haberent proprii. codicem 1677 memoravi ubi aliquem fructum afferret.

I. 5. *τοῦτο* — 8 *πόλεως* om MV^b. *ῥήτορι* CBP ‚quidam' Stephani: *ῥήματι* v. 11. *ἀπολείπεται* ACBMV^bF cl. apophth. 183 e: *ἀπολέλειπται* v. 13. *οὐδὲ γὰρ* MV^b.

Ἀλλ' οὐ γάρ, ὦ "ναξ, οὐδ' ὃς ἂν βλάστῃ μένει
Νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίσταται·

τοσοῦτον δὲ τῇ τύχῃ δοτέον ἀντιταττομένῃ πρὸς τοὺς ἀγαθοὺς ἄνδρας ἰσχύειν, ὅσον ἀντὶ τῆς ἀξίας τιμῆς καὶ χάριτος ἐνίοις ψόγους πονηροὺς καὶ διαβολὰς ἐπιφέρουσαν τὴν πίστιν ἀσθενεστέραν ποιεῖν τῆς ἀρετῆς.

II. Καίτοι δοκοῦσιν οἱ δῆμοι μᾶλλον εἰς τοὺς ἀγαθοὺς ἐξυβρίζειν, ὅταν εὐτυχῶσιν, ὑπὸ πραγμάτων μεγάλων καὶ δυνάμεως ἐπαιρόμενοι· συμβαίνει δὲ τοὐναντίον. Αἱ γὰρ συμφοραὶ πικρὰ μὲν τὰ ἤθη καὶ μικρόλυπα καὶ ἀκροσφαλῆ πρὸς ὀργὰς ποιοῦσι, δύσκολον δὲ τὴν ἀκοὴν καὶ τραχεῖαν ὑπὸ παντὸς λόγου καὶ ῥήματος τόνον ἔχοντος ἐνοχλουμένην· ὁ δὲ ἐπιτιμῶν τοῖς ἐξαμαρτανομένοις ἐξονειδίζειν τὰ δυστυχήματα δοκεῖ καὶ καταφρονεῖν ὁ παῤῥησιαζόμενος. Καὶ καθάπερ τὸ μέλι λυπεῖ τὰ τετρωμένα καὶ ἡλκωμένα μέρη τοῦ σώματος, οὕτως πολλάκις οἱ ἀληθινοὶ καὶ νοῦν ἔχοντες λόγοι δάκνουσι καὶ παροξύνουσι τοὺς κακῶς πράττοντας, ἐὰν μὴ προσηνεῖς ὦσι καὶ συνείκοντες, ὥσπερ ἀμέλει τὸ ἡδὺ μενοεικὲς ὁ ποιητὴς κέκληκεν, ὡς τῷ ἡδομένῳ τῆς ψυχῆς ὑπεῖκον καὶ μὴ μαχόμενον μηδ' ἀντιτυποῦν. Καὶ γὰρ ὄμμα φλεγμαῖνον ἥδιστα τοῖς σκιεροῖς καὶ ἀλαμπέσιν ἐνδιατρίβει χρώμασι, τὰ δὲ αὐγὴν ἔχοντα καὶ φῶς ἀποστρέφεται, καὶ πόλις ἐν τύχαις ἀβουλήτοις γενομένη ψοφοδεὲς καὶ τρυφερόν ἐστι δι' ἀσθένειαν ἀνέχεσθαι παῤῥησίας, ὅτε μάλιστα δεῖται, τῶν πραγμάτων ἀναφορὰν ἁμαρτήματος οὐκ ἐχόντων. Διὸ πάντη σφαλερὸν ἡ τοιαύτη πολιτεία· συναπόλλυσι γὰρ τὸν πρὸς

5, 2 H.

---

16. Antigonae vers. 563 sq. *βλάστῃ* BV^b: *βλαστῇ* v. *μένειν* F^{a}P. 17. *νοῦς οὐ* F^a. *πράττουσιν* P, *πράσσουσιν* Sophocles. 18. *τοὺς* om B. 20. *τὴν δὲ* C.

II. 2. *εὐτυχῶσιν*] *ἐντυχῶσιν* iV, *δοκῶσιν εὐτυχεῖν* F^{a}Pa et v. 3. *συμβαίνει* T corr. B[MV^b]V: *συμβαίνειν* v. *αἱ γὰρ* ACBMV^{b}F^a pr. F: *ἀεὶ αἱ γὰρ* i, *ἀεὶ γὰρ αἱ* [P] corr. F a et v. 4. *μικρὰ* C. *ἔθη* F^a. *μακρόλυπα* V^b, *ἀκρόλυπα* M, *μικρόλογα* F^{a}PV, *ἀκρόλογα* B. 5. *ἀκοὴν*] *ἀρετὴν* F^a. 6. *καὶ ἐνοχλοῦντος* B. 10. *οὕτω* corr. AB. *πολλοῖς* B. 11. *δάκνουσι*] *δάκρυσι* F^a. *πράσσοντας* V^b. 12. *συνήκοντες* P, *συνέλκοντες* iV. 14. *ἀντιτυποῦντι* F^a. 15. *χρώμασι*] *χωρίοις* P. 16. *δὲ*] *γὰρ* C. 19. *ἁμαρτημάτων* CBMV^b, *ἁμαρτήματος* PF.

χάριν λέγοντα καὶ προαπόλλυσι τὸν μὴ χαριζόμενον. Ὥσπερ οὖν τὸν ἥλιον οἱ μαθηματικοὶ λέγουσι μήτε τὴν αὐτὴν τῷ οὐρανῷ φερόμενον φορὰν μήτε ἀντικρυς ἐναντίαν καὶ ἀντιβατικήν, ἀλλὰ λοξῷ καὶ παρεγκεκλιμένῳ πορείας σχήματι χρώμενον ὑγρὰν καὶ εὐκαμπῆ καὶ περιελιττομένην ἕλικα ποιεῖν, ᾗ σώζεται πάντα καὶ λαμβάνει τὴν ἀρίστην κρᾶσιν, οὕτως ἄρα τῆς πολιτείας ὁ μὲν ὄρθιος ἄγαν καὶ πρὸς ἅπαντα τοῖς δημοσίοις ἀντιβαίνων τόνος ἀπηνὴς καὶ σκληρός, ὥσπερ αὖ πάλιν ἐπισφαλὲς καὶ κάταντες τὸ συνεφελκόμενον τοῖς ἁμαρτάνουσιν, ᾧ πολλοὶ καὶ συνεπιῤῥέπουσιν, ἡ δὲ ἀνθυπείκουσα πειθομένοις καὶ διδοῦσα τὸ πρὸς χάριν, εἶτα ἀπαιτοῦσα τὸ συμφέρον ἐπιστασία καὶ κυβέρνησις ἀνθρώπων πολλὰ πράως καὶ χρησίμως ὑπουργούντων, εἰ μὴ πάντα δεσποτικῶς καὶ βιαίως ἄγοιντο, σωτήριος, ἐργώδης δὲ καὶ χαλεπὴ καὶ τὸ σεμνὸν ἔχουσα τῷ ἐπιεικεῖ δύσμικτον· ἐὰν δὲ μιχθῇ, τοῦτό ἐστιν ἡ πάντων μὲν ῥυθμῶν, πασῶν δὲ ἁρμονιῶν ἐμμελεστάτη καὶ μουσικωτάτη κρᾶσις, ᾗ καὶ τὸν κόσμον ὁ θεὸς λέγεται διοικεῖν, οὐ βιαζόμενος, ἀλλὰ πειθοῖ καὶ λόγῳ παράγων τὴν ἀνάγκην.

III. Ταῦτα δὲ καὶ Κάτωνι τῷ νέῳ συνέβη. Καὶ γὰρ οὗτος οὐ πιθανὸν ἔσχεν οὐδὲ προσφιλὲς ὄχλῳ τὸ ἦθος οὐδὲ ἠνθησεν ἐν τῇ πολιτείᾳ πρὸς χάριν· ἀλλ' ὁ μὲν Κικέρων φησὶν αὐτὸν ὥσπερ ἐν τῇ Πλάτωνος πολιτείᾳ καὶ οὐκ ἐν τῇ Ῥωμύλου πολιτευόμενον ὑποστάθμῃ τῆς ὑπατείας ἐκπεσεῖν, ἐμοὶ δὲ ταὐτὸ δοκεῖ παθεῖν τοῖς μὴ καθ' ὥραν ἐκφανεῖσι καρποῖς. Ὡς γὰρ ἐκείνους ἡδέως ὁρῶντες καὶ θαυμάζοντες οὐ χρῶνται, οὕτως ἡ Κάτωνος ἀρχαιοτροπία διὰ χρόνων πολλῶν ἐπιγενομένη βίοις διεφθορόσι καὶ πονηροῖς ἔθεσι

5, 2—4 H.

---

21. προαπόλλυσι Bryanus: προσαπόλλυσι libri. 25. ποιεῖ σὺν ᾗ M. 28. δήμοις Coraes. 29. οἷς ἁμαρτάνουσιν οἱ πολλοὶ καὶ συνεπιῤῥέπον Emperius. 30. ὃ P, ὅ F^a. 31. τὸ ante πρὸς om A. margo Mureti: ‚διδοῦσα τὸ πρὸς χάριν T non habet neque S.‘ dubites utrum quattuor verborum defectus notetur an solius articuli. 34. ἄγοιτο C. δὲ om pr. A. 35. καὶ τὸ] ἢ τὸ B.

III. 1. καὶ γὰρ καὶ BV^b. 2. οὐδὲν ἤνθησεν i. 3. epistol. ad Atticum 2, 1, 8. 5. πολιτευόμενος C. ὑποστάθμῃ ACB$V^b$$F^a$: ὑπὸ στάθμῃ P, ὑποσταθμῇ v. 6. ταῦτα AF^a, ταὐτὸν CMV^b, δοκεῖ ταὐτὸν B. 9. ἤθεσι BV^b cf. Cat. mai. 16

δόξαν μὲν εἶχε μεγάλην καὶ κλέος, οὐκ ἐνήρμοσε δὲ ταῖς χρείαις διὰ βάρος καὶ μέγεθος τῆς ἀρετῆς ἀσύμμετρον τοῖς καθεστῶσι καιροῖς. Καὶ γὰρ αὐτὸς οὐ κεκλιμένης μὲν ἤδη τῆς 743
πατρίδος, ὥσπερ ὁ Φωκίων, πολὺν δὲ χειμῶνα καὶ σάλον ἐχούσης, ὅσον ἱστίων καὶ κάλων ἐπιλαβέσθαι καὶ παραστῆναι τοῖς πλέον δυναμένοις πολιτευσάμενος, οἰάκων δὲ καὶ κυβερνήσεως ἀπωσθεὶς, ὅμως μέγαν ἀγῶνα τῇ τύχῃ περιέστησεν. Εἶλε μὲν γὰρ καὶ κατέβαλε τὴν πολιτείαν δι' ἄλλους, μόλις δὲ καὶ βραδέως καὶ χρόνῳ πολλῷ καὶ παρὰ μικρὸν ἐλθοῦσαν περιγενέσθαι διὰ Κάτωνα καὶ τὴν Κάτωνος ἀρετήν· ᾗ παραβάλλομεν τὴν Φωκίωνος, οὐ κατὰ κοινὰς ὁμοιότητας, ὡς ἀγαθῶν καὶ πολιτικῶν ἀνδρῶν· ἔστι γὰρ ἀμέλει καὶ ἀνδρίας διαφορὰ πρὸς ἀνδρίαν, ὡς τῆς Ἀλκιβιάδου πρὸς τὴν Ἐπαμινώνδου, καὶ φρονήσεως πρὸς φρόνησιν, ὡς τῆς Θεμιστοκλέους πρὸς τὴν Ἀριστείδου, καὶ δικαιοσύνης πρὸς δικαιοσύνην, ὡς τῆς Νομᾶ πρὸς τὴν Ἀγησιλάου. Τούτων δὲ τῶν ἀνδρῶν αἱ ἀρεταὶ μέχρι τῶν τελευταίων καὶ ἀτόμων διαφορῶν ἕνα χαρακτῆρα καὶ μορφὴν καὶ χρῶμα κοινὸν ἤθους ἐγκεκραμένον ἐκφέρουσιν, ὥσπερ ἴσῳ μέτρῳ μεμιγμένου πρὸς τὸ αὐστηρὸν τοῦ φιλανθρώπου καὶ πρὸς τὸ ἀσφαλὲς τοῦ ἀνδρείου καὶ τῆς ὑπὲρ ἄλλων μὲν κηδεμονίας, ὑπὲρ αὑτῶν δὲ ἀφοβίας, καὶ πρὸς μὲν τὸ αἰσχρὸν εὐλαβείας, πρὸς δὲ τὸ δίκαιον εὐτονίας συνηρμοσμένης ὁμοίως· ὥστε λεπτοῦ πάνυ λόγου δεῖσθαι καθάπερ ὀργάνου πρὸς διάκρισιν καὶ ἀνεύρεσιν τῶν διαφερόντων.

IV. Τὸ μὲν οὖν Κάτωνος ὡμολόγηται γένος ἐκ λαμπρῶν ὑπάρχειν, ὡς λεχθήσεται· Φωκίωνα δὲ τεκμαίρομαι μὴ παντάπασιν εἶναι γένους ἀτίμου καὶ καταπεπτωκότος. Εἰ γὰρ ἦν, ὥς φησιν Ἰδομενεύς, δοιδυκοποιοῦ πατρὸς, οὐκ ἂν ἐν τῷ λόγῳ Γλαύκιππος ὁ Ὑπερείδου μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ τὴν δυσγένειαν παρῆκεν, οὐδ' ἂν

5, 4—5 H.

Mar. 30 Sull. 1. 7. mor. 19 f 26 a 28 c 41 b 53 c 92 c 96 d 139 f 287 c 567 e 981 f. 15. *πλέειν* F, *πλεῖν* m. sec. A. 17. *κατέλαβε* B. 18. *ἐλθοῦσα* CBPV^{b}. 21. *ἀνδρίας* et *ἀνδρίαν* CB PMV^{b}F^{a}: *ἀνδρείως* et *ἀνδρείαν* v. 22. *Ἐπαμεινώνδου* Stephaniana. 25. *νουμᾶ* B. 30. *αὑτῶν* A: *αὐτῶν* v.

IV. 5. *ὑπερίδου* hic quidem libri. 6. *καὶ κατ' αὐτοῦ* i. *κακὰ*] *κατὰ* F^{a}.

οὕτως ἐλευθερίου βίου καὶ σώφρονος καὶ παιδείας μετέσχεν, ὥστε τῆς Πλάτωνος ἔτι μειράκιον ὢν, ὕστερον δὲ τῆς Ξενοκράτους διατριβῆς ἐν Ἀκαδημίᾳ μετασχεῖν καὶ τῶν ἀρίστων ἐξ ἀρχῆς ἐπιτηδευμάτων ζηλωτὴς γενέσθαι. Φωκίωνα γὰρ οὔτε γελάσαντά τις οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, ὡς ἱστόρηκε Δοῦρις, οὐδὲ ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. Ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη καὶ δυσκαρτέρητον, ὥστε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος ἐνδεδυμένον Φωκίωνα.

V. Τῷ δὲ ἤθει προσηνέστατος ὢν καὶ φιλανθρωπότατος ἀπὸ τοῦ προσώπου δυσξύμβολος ἐφαίνετο καὶ σκυθρωπός, ὥστε μὴ ῥᾳδίως ἄν τινα μόνον ἐντυχεῖν αὐτῷ τῶν ἀσυνήθων. Διὸ καὶ Χάρητί ποτε πρὸς τὰς ὀφρῦς αὐτοῦ λέγοντι τῶν Ἀθηναίων ἐπιγελώντων, „Οὐδὲν" εἶπεν „αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρύς· ὁ δὲ τούτων γέλως πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν." Ὁμοίως δέ πως τοῦ Φωκίωνος καὶ ὁ λόγος ἦν ἐπὶ χρηστοῖς εὐτυχήμασι καὶ διανοήμασι σωτήριος προστακτικήν τινα καὶ αὐστηρὰν καὶ ἀνήδυντον ἔχων βραχυλογίαν. Ὡς γὰρ ὁ Ζήνων ἔλεγεν, ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν, οὕτως ὁ Φωκίωνος λόγος πλεῖστον ἐν ἐλαχίστῃ λέξει νοῦν εἶχε. Καὶ πρὸς τοῦτο ἔοικεν ἀπιδὼν ὁ Σφήττιος Πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ μὲν ἄριστος εἴη Δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ Φωκίων. Ὡς γὰρ ἡ τοῦ νομίσματος ἀξία πλείστην ἐν ὄγκῳ βραχυτάτῳ δύναμιν ἔχει, οὕτω λόγου δεινότης ἐδόκει πολλὰ

5, 5—6 H.

α m sec

7. καὶ παιδείας] παιδείας Hutteni nuperi. 10. φωκίων V^b. 11. τις post κλαύσαντα repetunt AMV^b pr. F. 12. ἱστορεῖ C. 13. τύχῃ F^a. 15. ψῦχος Schaeferus: ψύχος v. 17. ποιεῖσθαι μεγάλου P.

V. 5. ἡμᾶς BM. 6. τούτου C. 8. cf. act. societat. graec. 1, 2 p. 53. 9. ἀνήδυντον CBV^b marg. F cl. mor. 142 c 405 d 716 c 799 d: ἀνήδυστον v. 11. προσφέρεσθαι APM pr. Bx. 12. εἶχε] εἶναι M. 16. σφήττιος CF^a. 14. ῥήτωρ μὲν om BMV^b. ῥητόρων ἄριστος C. 15. πλεῖστα i. 16. ἔχει post πλείστην collocant CBPMV^b. ἔχειν x. ἐδόκει] cf. Demosth. 10 mor. 803 e.

σημαίνειν ἀπ' ὀλίγων. Καὶ μέντοι καὶ αὐτόν ποτε τὸν Φωκίωνά φασι πληρουμένου τοῦ θεάτρου περιπατεῖν ὑπὸ σκηνὴν 744
αὐτὸν ὄντα πρὸς ἑαυτῷ τὴν διάνοιαν· εἰπόντος δέ τινος τῶν
φίλων „Σκεπτομένῳ, Φωκίων, ἔοικας·“ „Ναὶ μὰ τὸν Δία“
φάναι „σκέπτομαι, εἴ τι δύναμαι τοῦ λόγου ἀφελεῖν, ὃν μέλλω
λέγειν πρὸς Ἀθηναίους.“ Ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων
κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ Φωκίωνος εἰώθει
λέγειν ἀτρέμα πρὸς τοὺς φίλους „Ἡ τῶν ἐμῶν λόγων κοπὶς
πάρεστιν.“ Ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιστέον·
ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐν-
θυμήμασι καὶ περιόδοις ἀντίῤῥοπον ἔχει πίστιν.

VI. Νέος δὲ ὢν Χαβρίᾳ προσέμιξεν ἑαυτὸν τῷ στρα-
τηγῷ καὶ παρείπετο πολλὰ μὲν εἰς ἐμπειρίαν τῶν πολεμικῶν
ὠφελούμενος, ἔστι δὲ ἐν οἷς ἐπανορθούμενος τὴν ἐκείνου φύ-
σιν ἀνώμαλον οὖσαν καὶ ἄκρατον. Νωθρὸς γὰρ ὢν ὁ Χα-
βρίας καὶ δυσκίνητος ἄλλως ἐν αὐτοῖς τοῖς ἀγῶσιν ὤργα καὶ
διεπυροῦτο τῷ θυμῷ καὶ συνεξέπιπτε τοῖς θρασυτάτοις πα-
ραβολώτερον, ὥσπερ ἀμέλει καὶ κατέστρεψε τὸν βίον ἐν Χίῳ
πρῶτος εἰσελάσας τῇ τριήρει καὶ βιαζόμενος πρὸς τὴν ἀπό-
βασιν. Ἀσφαλὴς οὖν ἅμα καὶ δραστήριος ὁ Φωκίων φαινό-
μενος τήν τε μέλλησιν ἀνεθέρμαινε τοῦ Χαβρίου καὶ πάλιν
ἀφῄρει τὴν ἄκαιρον ὀξύτητα τῆς ὁρμῆς. Ὅθεν εὐμενὴς ὢν ὁ
Χαβρίας καὶ χρηστὸς ἠγάπα καὶ προῆγεν αὐτὸν ἐπὶ πράξεις
καὶ ἡγεμονίας γνώριμον ποιῶν τοῖς Ἕλλησι καὶ τὰ πλείστης
ἄξια σπουδῆς ἐκείνῳ χρώμενος. Κάκ τῆς περὶ Νάξον ναυ-
μαχίας ὄνομα καὶ δόξαν οὐ μικρὰν Φωκίωνι περιεποίησε.
Τοῦ γὰρ εὐωνύμου κέρως ἀπέδωκεν αὐτῷ τὴν ἡγεμονίαν,
καθ' ὃ καὶ τὴν μάχην ὀξεῖαν εἶχεν ὁ ἀγὼν καὶ κρίσιν ἐποίησε
ταχεῖαν. Πρώτην οὖν ἐκείνην ναυμαχίαν ἡ πόλις αὐτὴ δι'
αὑτῆς ἀγωνισαμένη τοῖς Ἕλλησι μετὰ τὴν ἅλωσιν καὶ κατα-
τυχοῦσα τόν τε Χαβρίαν ὑπερηγάπησε καὶ τοῦ Φωκίωνος

5, 6—7 H.

17. τὸν om P. 18. ἐπὶ σκηνὴν F^aV. 19. ἑαυτὸν CBPMF^aV.
20. φιλοσόφων BCV^b. τὸν om B. 21. περιελεῖν mor. 187 f.
23. εἴωθε F^a.

VI. 4. γὰρ] δὲ M. 5. ὤργα καὶ om pr. PBMV^bi.
12. ἐπὶ] εἰς B. πράξεις καὶ] πράξεις M. 17. ἔσχεν F^a.
19. ἀνάλωσιν CPBF^aMV^bqV.

ὡς ἀνδρὸς ἡγεμονικοῦ λόγον ἔσχεν. Ἐνίκων δὲ μεγάλοις μυστηρίοις· καὶ παρεῖχεν οἰνοχόημα Χαβρίας Ἀθηναίοις καθ' ἕκαστον ἐνιαυτὸν τῇ ἕκτῃ ἐπι δέκα τοῦ Βοηδρομιῶνος.

VII. Ἐκ τούτου λέγεται πέμποντος αὐτὸν ἐπὶ τὰς νησιωτικὰς συντάξεις τοῦ Χαβρίου καὶ ναῦς εἴκοσι διδόντος εἰπεῖν, εἰ μὲν ὡς πολεμήσων πέμποιτο, μείζονος δεῖν δυνάμεως, εἰ δὲ ὡς πρὸς συμμάχους, ἀρκεῖν ναῦν μίαν· καὶ πλεύσαντα τῇ αὐτοῦ τριήρει καὶ διαλεχθέντα ταῖς πόλεσι καὶ συγγενόμενον τοῖς ἄρχουσιν ἐπιεικῶς καὶ ἀφελῶς καταπλεῦσαι μετὰ πολλῶν νεῶν, ἃς ἀπέστειλαν οἱ σύμμαχοι τὰ χρήματα τοῖς Ἀθηναίοις κομιζούσας. Οὐ μόνον δὲ ζῶντα τὸν Χαβρίαν θεραπεύων διετέλει καὶ τιμῶν, ἀλλὰ καὶ τελευτήσαντος αὐτοῦ τῶν προσηκόντων καλῶς ἐπεμελεῖτο καὶ τὸν παῖδα Κτήσιππον ἐβούλετο μὲν ἄνδρα ποιεῖν ἀγαθὸν, ἔμπληκτον δὲ ὁρῶν καὶ ἀνάγωγον ὅμως οὐκ ἀπεῖπεν ἐπανορθούμενος καὶ ἀποκρύπτων τὰ αἴσχη. Πλην ἅπαξ λέγεται, παρενοχλοῦντος ἐν στρατείᾳ τινὶ τοῦ νεανίσκου καὶ κόπτοντος αὐτὸν ἐρωτήμασιν ἀκαίροις καὶ συμβουλίαις οἷον ἐπανορθουμένου καὶ παραστρατηγοῦντος, εἰπεῖν· „Ὦ Χαβρία, Χαβρία, μεγάλην γέ σοι χάριν ἐκτίνω τῆς φιλίας ὑπομένων σου τὸν υἱόν.“ Ὁρῶν δὲ τοὺς τὰ κοινὰ πράσσοντας τότε διῃρημένους ὥσπερ ἀπὸ κλήρου τὸ στρατήγιον καὶ τὸ βῆμα, καὶ τοὺς μὲν λέγοντας ἐν τῷ δήμῳ καὶ γράφοντας μόνον, ὧν Εὔβουλος ἦν καὶ Ἀριστοφῶν καὶ Δημοσθένης καὶ Λυκοῦργος καὶ Ὑπερείδης, Διοπείθην δὲ καὶ Μενεσθέα καὶ Λεωσθένην καὶ Χάρητα τῷ στρατηγεῖν καὶ πολεμεῖν αὔξοντας ἑαυτούς, ἐβούλετο τὴν Περικλέους καὶ Ἀριστείδου καὶ Σόλωνος πολιτείαν ὥσπερ ὁλόκληρον καὶ διηρμοσμένην ἐν ἀμφοῖν ἀναλα-
745 βεῖν καὶ ἀποδυῦναι. Καὶ γὰρ τῶν ἀνδρῶν ἐκείνων ἕκαστος ἐφαίνετο κατὰ τὸν Ἀρχίλοχον

5, 7—8 H.

---

23. τῇ ἕκτῃ om C. δεκάτῃ CBMV^b, δεκα^{τῃ} P.

VII. 1. λέγοντος M. 2. τάξεις BMV^b. 6. ἀσφαλῶς V^b. 7. τὰ om F^a. 9. θεραπεύειν M. 10. καλῶν V. 18. πράττοντας C. 19. τό τε στρατήγιον C. 22. ὑπερείδης Aia: Ὑπερίδης v. διοπείθην A: Διοπείθη v. λεωσθένην ABV^b: Λεωσθένη v, κλεωσθένη V. 23. πολεμεῖν F^{a}V: προπολεμεῖν v, προπολεμεῖν καὶ στρατηγεῖν C. 26. ἕκαστος om BMV^b.

Ἀμφότερον, θεράπων μὲν Ἐνυαλίοιο θεοῖο,
καὶ Μουσέων ἐρατᾶν δῶρον ἐπιστάμενος·

καὶ τὴν θεὸν ἑώρα πολεμικήν τε ἅμα καὶ πολιτικὴν οὖσαν καὶ προσαγορευομένην.

VIII. Οὕτω δὲ συντάξας ἑαυτὸν ἐπολιτεύετο μὲν ἀεὶ πρὸς εἰρήνην καὶ ἡσυχίαν, ἐστρατήγησε δὲ πλείστας οὐ μόνον τῶν καθ' ἑαυτὸν, ἀλλὰ καὶ τῶν πρὸ αὐτοῦ στρατηγίας, οὐ παραγγέλλων οὐδὲ μετιὼν, ἀλλ' οὐδὲ φεύγων οὐδὲ ἀποδιδράσκων τῆς πόλεως καλούσης. Ὁμολογεῖται γὰρ, ὅτι πέντε καὶ τεσσαράκοντα στρατηγίας ἔλαβεν οὐδ' ἅπαξ ἀρχαιρεσίοις παρατυχὼν, ἀλλ' ἀπόντα μεταπεμπομένων αὐτὸν ἀεὶ καὶ χειροτονούντων, ὥστε θαυμάζειν τοὺς οὐκ εὖ φρονοῦντας τὸν δῆμον, ὅτι, πλεῖστα τοῦ Φωκίωνος ἀντικρούοντος αὐτῷ καὶ μηδὲν εἰπόντος πώποτε μηδὲ πράξαντος πρὸς χάριν, ὥσπερ ἀξιοῦσι τοὺς βασιλεῖς τοῖς κόλαξι χρῆσθαι μετὰ τὸ κατὰ χειρὸς ὕδωρ, ἐχρῆτο οὗτος τοῖς μὲν κομψοτέροις καὶ ἱλαροῖς ἐν παιδιᾶς μέρει δημαγωγοῖς, ἐπὶ δὲ τὰς ἀρχὰς ἀεὶ νήφων καὶ σπουδάζων τὸν αὐστηρότατον καὶ φρονιμώτατον ἑκάλει τῶν πολιτῶν καὶ μόνον ἢ μᾶλλον ταῖς βουλήσεσιν αὐτοῦ καὶ ὁρμαῖς ἀντιτασσόμενον. Χρησμοῦ μὲν γὰρ ἐκ Δελφῶν ἀναγνωσθέντος, ὅτι, τῶν ἄλλων Ἀθηναίων ὁμοφρονούντων, εἷς ἀνὴρ ἐναντία φρονοίη τῇ πόλει, παρελθὼν ὁ Φωκίων ἀμελεῖν ἐκέλευσεν, ὡς αὐτὸς ὢν ὁ ζητούμενος· μόνῳ γὰρ αὐτῷ μηδὲν ἀρέσκειν τῶν πραττομένων. Ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν „Οὐ δή πού τι κακὸν λέγων ἐμαυτὸν λέληθα;“

IX. Πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις ἔφη

5, 8—10 H.

28. ἐνυαλίοις θεοῖς V. 29. ἐρετᾶν C, ἐρατῶν F^aV, ἐρατὸν Archilochus Athenaei 14 p. 627 c ubi et εἰμὶ δ' ἐγὼ pro ἀμφότερον et ἄνακτος pro θεοῖο.

VIII. 7. ἀρχαιρεσίας B, ἀρχαιρεσίαις x. ἐπιτυχὼν B M V^b. ἀεὶ αὐτὸν C. 10. αὐτοῦ PV. εἰκόντος (sic) F^a. 15. ποπᾶλλον m. rec. λιτικῶν Stephaniana. μάλιστα P. 16. μὲν om $V^b F^a$. 19. ἀνελεῖν M V^b. 21. εὐδοκιμῶν ὡς τοὺς πολλοὺς ἑώρα ἀποδεχομένους corr. M. 23. εἰπεῖν ia. δή τι που corr. M.

IX. 1. πρὸς om F^a. αἰτούντων τῶν ἀθηναίων C. 2. ἐπιδόσει... ἄλλων F^a.

„Τούτους αἰτεῖτε τοὺς πλουσίους· ἐγὼ δὲ αἰσχυνοίμην ἄν, εἰ τούτῳ μὴ ἀποδιδοὺς ὑμῖν ἐπιδοίην“ δείξας Καλλικλέα τὸν δανειστήν. Ὡς δ᾽ οὐκ ἐπαύοντο κεκραγότες καὶ καταβοῶντες, λόγον εἶπεν αὐτοῖς τοῦτον· „Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῇσι, φθεγξαμένων δὲ κοράκων τὰ ὅπλα θεὶς ἡσύχαζεν· εἶτα ἀναλαβὼν αὖθις ἐξῇσι, καὶ φθεγγομένων πάλιν ὑπέστη· καὶ τέλος εἶπεν· Ὑμεῖς κεκράξεσθε μὲν μέγιστον ὡς δυνατόν, ἐμοῦ δὲ οὐ γεύσεσθε.“ Πάλιν δέ ποτε τῶν Ἀθηναίων ἐξαγαγεῖν αὐτὸν ἐπὶ τοὺς πολεμίους κελευόντων, ὡς οὐκ ἐβούλετο, δειλὸν καὶ ἄνανδρον ἀποκαλούντων „Οὔτε ὑμεῖς“ εἶπεν „ἐμὲ δύνασθε ποιῆσαι θαρσαλέον οὔτε ἐγὼ ὑμᾶς δειλούς. Οὐ μὴν ἀλλ᾽ ἴσμεν ἀλλήλους.“ Ἐν δὲ καιροῖς ἐπισφαλέσι τραχυνομένου τοῦ δήμου πρὸς αὐτὸν σφόδρα καὶ τῆς στρατηγίας εὐθύνας ἀπαιτοῦντος· „Σωθείητε“ εἶπεν „ὦ μακάριοι, πρῶτον.“ Ἐπεὶ δὲ πολεμοῦντες μὲν ἦσαν ταπεινοὶ καὶ περιδεεῖς, γενομένης δὲ εἰρήνης ἐθρασύνοντο καὶ κατεβόων τοῦ Φωκίωνος ὡς ἀφῃρημένου τὴν νίκην αὐτῶν· „Εὐτυχεῖτε“ εἶπεν „ἔχοντες στρατηγὸν εἰδότα ὑμᾶς· ἐπεὶ πάλαι ἂν ἀπωλώλειτε.“ Τοῖς δὲ Βοιωτοῖς οὐ βουλομένων αὐτῶν δικάζεσθαι περὶ τῆς χώρας, ἀλλὰ πολεμεῖν, συνεβούλευε διὰ τῶν λόγων, ἐν οἷς εἰσι κρείττους, μὴ διὰ τῶν ὅπλων, ἐν οἷς εἰσι ἥττους, μάχεσθαι. Λέγοντα δὲ αὐτὸν οὐ προσιεμένων οὐδὲ ὑπομενόντων ἀκούειν „Ἐμὲ“ εἶπεν „ὑμεῖς ἃ μὴ βούλομαι ποιεῖν βιάσασθαι δύνασθε, λέγειν δὲ ἃ μὴ δεῖ παρὰ γνώμην οὐκ ἀναγκάσετε.“ Τῶν δὲ ἀντιπολιτευομένων αὐτῷ ῥητόρων Δημοσθένους μὲν εἰπόντος
746 „Ἀποκτενοῦσί σε Ἀθηναῖοι, Φωκίων, ἂν μανῶσιν“ εἶπε· „Σὲ δέ, ἐὰν σωφρονῶσι·“ Πολύευκτον δὲ τὸν Σφήττιον ὁρῶν ἐν καύματι συμβουλεύοντα τοῖς Ἀθηναίοις πολεμεῖν πρὸς Φίλιππον, εἶτα ὑπ᾽ ἄσθματος πολλοῦ καὶ ἱδρῶτος, ἅτε

5, 10—11 H.

---

4. τοῦτο F^a. ἐπιδείξας BMV^b. 5. δ᾽ om B. 6. αὐτοῖς εἶπε τοιοῦτον M, τοιοῦτον CPF^a. 9. μὲν κεκράξετε C. 10. γεύεσθε F^a. 11. καὶ ὡς οὐκ corr. M, ὡς δ᾽ ἐβούλετο x, ὡς δ᾽ οὐκ ἐβούλετο Bryani nuperi, sed cf. c. 15. Demosth. 14. 12. εἶπεν om F^a. 16. σώθητε CBPV^{b}F^a corr. M, σωθεῖτε V. 17. μὲν om P. 20. ἀπωλώλειτε ABV^{b}ia cl. c. 17 ad Pyrrh. 21, 63: ἀπολώλειτε v. 23. ἥττους F^aV: ἧσσους v. 24. αὐτῶν V^{b}F^a. ὑπομενούντων C. 28. ἐὰν C. 29. δὲ ἂν CBV^b. σφήτιον CF^a. 30. καύμασι BV^b.

δὴ καὶ ὑπέρπαχυν ὄντα, πολλάκις ἐπιῤῥοφοῦντα τοῦ ὕδατος „Ἄξιον“ ἔφη „τούτῳ πιστεύσαντας ὑμᾶς ψηφίσασθαι τὸν πόλεμον, ὃν τί οἴεσθε ποιήσειν ἐν τῷ θώρακι καὶ τῇ ἀσπίδι τῶν πολεμίων ἐγγὺς ὄντων, ὅτε λέγων πρὸς ὑμᾶς ἃ ἔσκεπται κινδυνεύει πνιγῆναι;“ τοῦ δὲ Λυκούργου πολλὰ βλάσφημα πρὸς αὐτὸν εἰπόντος ἐν ἐκκλησίᾳ καὶ πρὸς ἅπασιν, ὅτι δέκα τῶν πολιτῶν ἐξαιτοῦντος Ἀλεξάνδρου συνεβούλευεν ἐκδοῦναι, εἶπε· „Πολλὰ ἐγὼ συμβεβούλευκα καλὰ καὶ συμφέροντα τούτοις, ἀλλ᾽ οὐ πείθονταί μοι.“

X. Ἦν δέ τις Ἀρχιβιάδης ἐπικαλούμενος Λακωνιστής, πώγωνά τε καθειμένος ὑπερφυῆ μεγέθει καὶ τρίβωνα φορῶν ἀεὶ καὶ σκυθρωπάζων· τοῦτον ἐν βουλῇ θορυβούμενος ὁ Φωκίων ἐπεκαλεῖτο τῷ λόγῳ μάρτυν ἅμα καὶ βοηθόν. Ὡς δὲ ἀναστὰς ἐκεῖνος ἃ πρὸς χάριν ἦν τοῖς Ἀθηναίοις συνεβούλευεν, ἀψάμενος αὐτοῦ τῶν γενείων· „Ὦ Ἀρχιβιάδη“ εἶπε „τί οὖν οὐκ ἀπεκείρω;“ Ἀριστογείτονος δὲ τοῦ συκοφάντου πολεμικοῦ μὲν ὄντος ἐν ταῖς ἐκκλησίαις καὶ παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τῷ σκέλει καταδεδεμένῳ, πόῤῥωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων ἀνέκραγε· „Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν.“ Ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. Ἔστι δέ, οἶμαι, χαλεπὸν, οὐ μὴν ἀδύνατον, ὥσπερ οἶνον, καὶ ἄνθρωπον τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι· καθάπερ ἕτεροι πάλιν, φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. Καίτοι φασὶν Ὑπερείδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον „Ἄνδρες

5, 11—12 H.

33. ψηφίσασθε C. 34. οἴεσθαι F^a. 35. ὑμᾶς ἃ om F^a. 37. ὅτε BV^bia.

X. 1. ἀλκιβιάδης C. καλούμενος C. 2. ὑπερφυῆ τῷ μεγέθει P, ὑπερφυεῖ τῷ μεγέθει CMV^b, ὑπερφυᾶ τὸ μέγεθος B. 4. μάρτυρα F^aV. 5. συνεβούλευσεν CPF^a. 6. ἀλκιβιάδη C. 7. Ἀριστογείτονος — 17 βλαβερωτάτου habet Photius Bekkeri p. 395. 8. παροξύνοντος Corais Photius BMV^b in rasura A: παροξύναντος v. 9. προελθόντος in rasura B. 10. τῷ σκέλη πST[$CBMV^b$]i, τῷ σκέλη a. τὼ σκέλη καταδεδεμένω Photius, cuius codex unus σκέλει, τὰ σκέλη καταδεδεμένου x, fortasse praestat τὼ σκέλη καταδεδεμένου Corais. 13. καὶ om i. 16. καὶ καθάπερ B. πάλιν om F^a. 18. φασί ποτε ὑπερίδην C. ὑπερείδην Ai: Ὑπερίδην v.

Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον, εἰ πικρὸς, ἀλλ' εἰ προῖκά εἰμι πικρός," ὥσπερ τῇ πλεονεξίᾳ μόνον ἐπαχθεῖς καὶ λυπηροὺς ὄντας, οὐχὶ μᾶλλον, ὅσοι πρὸς ὕβριν καὶ φθόνον ἢ ὀργὴν ἢ φιλονεικίαν τινὰ χρῶνται τῷ δύνασθαι, τούτους δεδιότων καὶ προβαλλομένων τῶν πολλῶν. Φωκίων τοίνυν ἔχθρᾳ μὲν οὐδένα τῶν πολιτῶν κακῶς ἐποίησεν οὐδὲ ἐνόμιζεν ἐχθρόν, ἀλλ' ὅσον ἔδει μόνον τῶν ἐνισταμένων οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι τραχὺς ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι καὶ κοινὸν καὶ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίσασι βοηθεῖν καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις. Ἐγκαλούντων δὲ τῶν φίλων, ὅτι πονηρῷ τινι κρινομένῳ συνεῖπε, τοὺς χρηστοὺς ἔφη μὴ δεῖσθαι βοηθείας. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου μετὰ τὴν καταδίκην πέμψαντος καὶ δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ὑπακούσας ἐβάδιζεν εἰς τὸ δεσμωτήριον· οὐκ ἐώντων δὲ τῶν φίλων, „Ἑάσατε" εἶπεν „ὦ μακάριοι· ποῦ γὰρ ἄν τις ἥδιον Ἀριστογείτονι συμβάλοι;"

XI. Καὶ μὴν οἵ γε σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποστόλους ἑτέρου μὲν ἐκπλέοντος στρατηγοῦ πολεμίους νομίζοντες ἐφράγνυντο τείχη καὶ λιμένας ἀπεχώννυσαν καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τὰς πόλεις βοσκήματα καὶ ἀνδράποδα καὶ γυναῖκας καὶ παῖδας, εἰ δὲ Φωκίων ἡγοῖτο, πόρρω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι καὶ χαίροντες ὡς αὐτοὺς κατῆγον.

XII. Παραδυομένου δὲ εἰς τὴν Εὔβοιαν τοῦ Φιλίππου καὶ δύναμιν ἐκ Μακεδονίας διαβιβάζοντος καὶ τὰς πόλεις οἰκειουμένου διὰ τυράννων, Πλουτάρχου δὲ τοῦ Ἐρετριέως
747 καλοῦντος τοὺς Ἀθηναίους καὶ δεομένου τὴν νῆσον ἐξελέσθαι
5, 12—13 H.

---

23. Φωκίων — 29 διαφόροις habet Photius l. l. ἔχθρᾳ ἀεὶ μὲν τῶν πολιτῶν οὐδένα B. ἔχθρᾳ μὲν τῶν πολιτῶν οὐδένα MV^b, ἔχθρᾳ μὲν τῶν πολιτῶν κακῶς οὐδένα Photius. 25. μόνῳ τῷ ἐνισταμένῳ Photius. ἐν οἷς F^a. ἔπραττε καὶ περὶ τῆς B, ἔπραττε περὶ τῆς MV^b. 26. κατεξαναστῆναι Stephanus cum Photio π[C]: κατεξανιστάναι cod. 1675, κατεξανιστάναι ASTV, συνεξαναστῆναι v. τραχύς τε Photius. 28. πταίμασι P. 32. δίκην TV.

XI. 3. ὥσπερ πολεμίους M. 6. ἡγεῖτο AF^a. 7. αὐτὸν P.

XII. 1. παραγενομένου P.

καταλαμβανομένην ὑπὸ τοῦ Μακεδόνος, ἀπεστάλη στρατηγὸς ὁ Φωκίων ἔχων δύναμιν οὐ πολλήν, ὡς τῶν ἐκεῖ συστησομένων ἑτοίμως πρὸς αὐτόν. Εὑρὼν δὲ προδοτῶν ἅπαντα μεστὰ καὶ νοσοῦντα καὶ διορωρυγμένα δωροδοκίᾳ εἰς κίνδυνον μέγαν κατέστη· καί τινα λόφον χαράδρᾳ βαθείᾳ τῶν περὶ τὰς Ταμύνας ἐπιπέδων ἀποκρυπτόμενον καταλαβὼν συνεῖχεν ἐν τούτῳ καὶ συνεκράτει τὸ μαχιμώτατον τῆς δυνάμεως. Τῶν δὲ ἀτάκτων καὶ λάλων καὶ πονηρῶν διαδιδρασκόντων ἐκ τοῦ στρατοπέδου καὶ ἀποχωρούντων ἐκέλευσεν ἀμελεῖν τοὺς ἡγεμόνας· καὶ γὰρ ἐνταῦθα δυσχρήστους ὑπὸ ἀταξίας ἔσεσθαι καὶ βλαβεροὺς τοῖς μαχομένοις, κἀκεῖ τοιαῦτα συνειδότας αὐτοῖς ἧττον αὐτοῦ καταβοήσεσθαι καὶ μὴ πάνυ συκοφαντήσειν.

XIII. Ὡς δὲ ἐπῆλθον οἱ πολέμιοι, κελεύσας ἐν τοῖς ὅπλοις ἀτρεμεῖν ἄχρι ἂν αὐτὸς σφαγιάσηται, πλείω διέτριβε χρόνον ἢ δυσιερῶν ἢ βουλόμενος ἐγγυτέρω τοὺς πολεμίους ἐπισπάσασθαι. Διὸ πρῶτον μὲν ὁ Πλούταρχος οἰόμενος ἀποδειλιᾶν καὶ κατοκνεῖν ἐκεῖνον ἐξέδραμε μετὰ τῶν ξένων· ἔπειτα τοῦτον ἰδόντες οἱ ἱππεῖς οὐκ ἐκαρτέρησαν, ἀλλ' ἤλαυνον εὐθὺς εἰς τοὺς πολεμίους ἀσύντακτοι καὶ σποράδες ἐκ τοῦ στρατοπέδου προσφερόμενοι. Νικωμένων δὲ τῶν πρώτων ἅπαντες ἐσκεδάσθησαν καὶ ὁ Πλούταρχος ἔφυγε· καὶ τῷ χάρακι προσμίξαντες ἔνιοι τῶν πολεμίων ἐκκόπτειν ἐπειρῶντο καὶ διασπᾶν ὡς ἁπάντων κεκρατηκότες. Ἐν τούτῳ δὲ τῶν ἱερῶν γενομένων, τοὺς μὲν εὐθὺς ἐκ τοῦ στρατοπέδου προσπεσόντες οἱ Ἀθηναῖοι τρέπουσι καὶ καταβάλλουσι τοὺς πλείστους περὶ τοῖς ἐρύμασι φεύγοντας, ὁ δὲ Φωκίων τὴν μὲν φάλαγγα προσέταξεν ἐφεδρεύειν ἀναλαμβάνουσαν ἅμα καὶ προσδεχομένην τοὺς ἐν τῇ φυγῇ πρότερον διασπαρέντας, αὐτὸς δὲ τοὺς ἐπιλέκτους ἔχων ἐνέβαλε τοῖς πολεμίοις. Καὶ μάχης καρτερᾶς γενομένης πάντες μὲν ἐκθύμως ἠγωνίσαντο καὶ ἀφειδῶς, Θάλλος δὲ ὁ Κινέου καὶ Γλαῦκος ὁ Πολυμή-

5, 13—14 H.

---

7. ἑτοίμως] προθύμως A. 8. scribam δωροδοκίαις, cf. Alcibiad. 3 Pomp. 51. 55. Cat. min. 35. 43. 44. 47 all. 13. ἀναχωρούντων BMV^{b}.

XIII. 2. ἄχρι PFia: ἄχρις v. 15. μὲν] τε BCMV^{b}. 17. ἐνέβαλλε ia et v. 19. κινιου P, κινέου F^{a}, κηδέου BV^{b}, κηλέου M. πολυομήδους B.

δους περὶ αὐτὸν τεταγμένοι τὸν στρατηγὸν ἠρίστευσαν. Οὐ μὴν ἀλλὰ καὶ Κλεοφάνης ἄξιον πλείστου παρέσχεν ἑαυτὸν ἐν ἐκείνῃ τῇ μάχῃ. Τοὺς γὰρ ἱππεῖς ἀνακαλούμενος ἐκ τῆς τροπῆς καὶ βοῶν καὶ διακελευόμενος κινδυνεύοντι τῷ στρατηγῷ βοηθεῖν ἐποίησεν ἀναστρέψαντας ἐπιῤῥῶσαι τὸ νίκημα τῶν ὁπλιτῶν. Ἐκ τούτου τόν τε Πλούταρχον ἐξέβαλεν ἐκ τῆς Ἐρετρίας καὶ Ζάρητρα φρούριον ἑλὼν ἐπικαιρότατον, ᾗ μάλιστα συνελαύνεται τὸ πλάτος εἰς βραχὺ διάζωμα, τῆς νήσου σφιγγομένης ἑκατέρωθεν ταῖς θαλάσσαις, ὅσους ἔλαβεν αἰχμαλώτους Ἕλληνας ἀφῆκε φοβηθεὶς τοὺς ῥήτορας τῶν Ἀθηναίων, μὴ πρὸς ὀργήν τι βιάσωνται τὸν δῆμον ἀγνωμονῆσαι περὶ αὐτούς.

XIV. Ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἀπέπλευσεν ὁ Φωκίων, ταχὺ μὲν ἐπόθησαν οἱ σύμμαχοι τὴν χρηστότητα καὶ δικαιοσύνην αὐτοῦ, ταχὺ δὲ ἔγνωσαν οἱ Ἀθηναῖοι τὴν ἐμπειρίαν καὶ ῥώμην τοῦ ἀνδρός. Ὁ γὰρ μετ' ἐκεῖνον ἐλθὼν ἐπὶ τὰ πράγματα Μολοσσὸς οὕτως ἐπολέμησεν, ὥστε καὶ ζῶν αὐτὸς ὑποχείριος γενέσθαι τοῖς πολεμίοις. Ἐπεὶ δὲ μεγάλα ταῖς ἐλπίσι περινοῶν ὁ Φίλιππος εἰς Ἑλλήσποντον ἦλθε μετὰ πάσης τῆς δυνάμεως, ὡς Χερρόνησον ἐν ταὐτῷ καὶ Πέρινθον ἔξων καὶ Βυζάντιον, ὡρμημένων δὲ τῶν Ἀθηναίων βοηθεῖν οἱ ῥήτορες ἠγωνίσαντο τὸν Χάρητα στρατηγὸν ἀποσταλῆναι, καὶ πλεύσας ἐκεῖνος οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν οὐδὲ αἱ πόλεις ἐδέχοντο τὸν στόλον, ἀλλ' ὑποπτος ὢν πᾶσιν ἐπλανᾶτο χρηματιζόμενος ἀπὸ τῶν συμμάχων καὶ καταφρονούμενος ὑπὸ τῶν πολεμίων, ὁ δὲ δῆμος ὑπὸ τῶν
748 ῥητόρων παροξυνόμενος ἠγανάκτει καὶ μετενόει τοῖς Βυζαντίοις πέμψας τὴν βοήθειαν, ἀναστὰς ὁ Φωκίων εἶπεν,
5, 14—15 H.

---

23. βοῶν καὶ] βοῶν M, βοᾶν BV^b. 24. διαβοηθεῖν BMV^b. 25. ἐξέβαλλεν ia et v. 26. ζάρατρα F^a. 27. εἰς om F^a. 28. ἑκατέρωθεν corr. ACBMV^{b}F^a: ἑκατέρωθε v. τῆς θαλάσσης BMV^b marg. Fi. ὅσους ἔλαβεν V: οὔτε λαβεῖν libri, οὓς ἔλαβεν Reiskius. 29. ἀφῆκε margo Mureti [C]Vx: ἐφῆκε libri. 30. τι BV^b malebatque Emperius: τινα v. 31. πρὸς αὐτοὺς CPRF^{a}V.

XIV. 1. διαπραξάμενος ταῦτα C. ἀπέβη ὁ φωκίων τοῦ πλοός BMV^b. 2. καὶ τὴν δικαιοσύνην CBMV^b. 8. τῆς om CBV^{b}PF^a et ni fallor M. 10. οἱ οὐ ῥήτορες i.

ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσιν ὀργίζεσθαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν· „Οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβεροὺς καὶ τοῖς χωρὶς ὑμῶν σώζεσθαι μὴ δυναμένοις.“ Κινηθεὶς οὖν ὁ δῆμος ὑπὸ τοῦ λόγου καὶ μεταπεσὼν ἐκέλευεν αὐτὸν ἐκεῖνον ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν τοῖς συμμάχοις εἰς τὸν Ἑλλήσποντον· ὃ μεγίστην ῥοπὴν ἐποίησε πρὸς τὸ σωθῆναι τὸ Βυζάντιον. Ἦν μὲν γὰρ ἤδη μεγάλη δόξα τοῦ Φωκίωνος· ἐπεὶ δὲ Λέων, ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτοῦ πρὸς τὴν πόλιν, οὐκ εἴασαν ἔξω στρατοπεδεῦσαι βουλόμενον, ἀλλ' ἀνοίξαντες τὰς πύλας ἐδέξαντο καὶ κατέμιξαν ἑαυτοῖς τοὺς Ἀθηναίους, οὐ μόνον ἀνεγκλήτους ταῖς διαίταις καὶ σώφρονας, ἀλλὰ καὶ προθυμοτάτους ἐν τοῖς ἀγῶσι διὰ τὴν πίστιν γενομένους. Οὕτω μὲν ὁ Φίλιππος ἐξέπεσε τοῦ Ἑλλησπόντου τότε καὶ κατεφρονήθη δοκῶν ἄμαχός τις εἶναι καὶ ἀνανταγώνιστος, ὁ δὲ Φωκίων καὶ ναῦς τινας εἶλεν αὐτοῦ καὶ φρουρουμένας πόλεις ἀνέλαβε καὶ πολλαχόθι τῆς χώρας ἀποβάσεις ποιούμενος ἐπόρθει καὶ κατέτρεχε, μέχρις οὗ τραύματα λαβὼν ὑπὸ τῶν προσβοηθούντων ἀπέπλευσε.

XV. Τῶν δὲ Μεγαρέων ἐπικαλουμένων κρύφα, φοβούμενος ὁ Φωκίων τοὺς Βοιωτούς, μὴ προαισθόμενοι φθάσωσι τὴν βοήθειαν, ἐκκλησίαν συνήγαγεν ἔωθεν, καὶ προσαγγείλας τὰ παρὰ τῶν Μεγαρέων τοῖς Ἀθηναίοις, ὡς ἐπεψηφίσαντο, τῇ σάλπιγγι σημήνας εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἦγεν αὐτοὺς τὰ ὅπλα λαβόντας. Δεξαμένων δὲ τῶν Μεγαρέων προθύμως τήν τε Νίσαιαν ἐτείχισε καὶ διὰ μέσου σκέλη δύο πρὸς τὸ ἐπίνειον ἀπὸ τοῦ ἄστεος ἐνέβαλε καὶ συνῆψε τῇ

5, 15—16 H.

18. ἡμᾶς libri praeter a. 19. καὶ τοῖς x: καί τοι libri. δυνάμενοι i (δυναμένοις ceteri omnes). 20. ἐκέλευσεν BF^a. 21. ἑτέραν om BMV^b. 23. ἦν — 24. Κλέων om BMV^b. γὰρ om a et v. 24. Λέων Wachsmuthius antiq. gr. 2 p. 377 et Fr. Kraner cl. Nic. 22 mor. 88 f: κλέων libri, unde malim καὶ Λέων. γὰρ post ἀνὴρ inter lin. addit B. 25. ἐν ἀρετῇ C. 26. καὶ οὐκ B. 32. ἀνταγώνιστος M. 33. τινες V. 36. βοηθούντων CPMV^b.

παρὰ al m

XV. 1. κρυφῇ BMV^b. 4. τὰ περὶ APF^{a}πV, τὰ περὶ F, τῶν πέριξ MV^b. ἐψηφίσαντο CBMV^b. 7. νίσσαιαν C. 8. ἀνέβαλε PMV^{b}F^a.

θαλάττῃ τὴν πόλιν, ὥστε τῶν κατὰ γῆν πολεμίων ὀλίγον ἤδη φροντίζουσαν ἐξηρτῆσθαι τῶν Ἀθηναίων.

XVI. Ἤδη δὲ πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασι καὶ στρατηγῶν αὐτοῦ μὴ παρόντος ἑτέρων ἐπὶ τὸν πόλεμον ἠρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς δέχεσθαι τὰς διαλύσεις· καί τινος ἀντικρούσαντος αὐτῷ τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν Ἠλιαίαν καὶ συκοφαντεῖν καὶ εἰπόντος „Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας;“ „Ἔγωγε“ εἶπε „καὶ ταῦτα εἰδὼς, ὅτι πολέμου μὲν ὄντος ἐγὼ σοῦ, εἰρήνης δὲ γενομένης σὺ ἐμοῦ ἄρξεις.“ Ὡς δ᾽ οὐκ ἔπειθεν, ἀλλ᾽ ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς ποῤῥωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους „Ὦ τᾶν“ ἔφη „μὴ, ποῦ μαχώμεθα σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. Οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεστι.“ Γενομένης δὲ ἥττης καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν ἐν ἄστει τὸν Χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι· καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔχοντες ἐν τῷ δήμῳ δεόμενοι καὶ δακρύοντες μόλις ἔπεισαν ἐπιτρέψαι τῷ Φωκίωνι τὴν πόλιν. Ὁ δὲ τὴν μὲν ἄλλην τοῦ Φιλίππου πολιτείαν καὶ φιλανθρωπίαν ᾤετο δεῖν προσδέχεσθαι· Δημάδου δὲ γράψαντος, ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν, οὐκ εἴα πρὸ τοῦ γνῶναι, τίνα Φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν Ἑλλήνων ἀξιώσει· κρατηθεὶς δὲ τῇ γνώμῃ διὰ τὸν καιρὸν, ὡς εὐθὺς ἑώρα τοὺς Ἀθηναίους μεταμελομένους, ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ Φιλίππῳ καὶ ἱππεῖς, „Ταῦτα“ ἔφη

749

5, 16—18 H.

---

9. θαλάσσῃ A. ὀλίγων Mia.

XVI. 1. ἤδη δὲ τῶν πρὸς Stephaniana habetque τῶν etiam marg. Mureti, ἤδη τῶν πρὸς F^a. 2. τῶν πόλεμον A. 3. εἰρημένων P. 6. αὐτοῦ Stephaniana. 8. τοὺς ἀθηναίους BV^b. 9. χειρὸς C. 12. τὴν μάχην C. 13. τὰν PF^a. μαχόμεθα AV^bia, μαχούμεθα CB. 14. νικήσομεν CB. 15. τῆς ἥττης $CPBV^bF^a$. 16. νεωτεριστῶν τῶν Stephanianae ceteri. 20. μὲν om F^a. 21. φιλανθρωπίαν καὶ πολιτείαν BV^b. 22. μετέχῃ B. 26. μεταμελομένους $PBMV^b$: μεταμελουμένους v.

„φοβούμενος ἠναντιούμην· ἐπεὶ δὲ συνέθεσθε, δεῖ μὴ βαρέως φέρειν μηδὲ ἀθυμεῖν μεμνημένους, ὅτι καὶ οἱ πρόγονοι ποτὲ μὲν ἄρχοντες, ποτὲ δὲ ἀρχόμενοι, καλῶς δὲ ἀμφότερα ταῦτα ποιοῦντες καὶ τὴν πόλιν ἔσωσαν καὶ τοὺς Ἕλληνας.“ Φιλίππου δὲ ἀποθανόντος εὐαγγέλια θύειν τὸν δῆμον οὐκ εἴα· καὶ γὰρ ἀγεννὲς εἶναι ἐπιχαίρειν καὶ τὴν ἐν Χαιρωνείᾳ παραταξαμένην πρὸς αὐτοὺς δύναμιν ἑνὶ σώματι μόνον ἐλάττω γενέσθαι.

XVII. Δημοσθένους δὲ λοιδοροῦντος τὸν Ἀλέξανδρον ἤδη προσάγοντα ταῖς Θήβαις ἔφη·

„Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα
καὶ δόξης μεγάλης ὀρεγόμενον; Ἦ βούλει πυρκαϊᾶς τηλικαύτης
οὔσης ἐγγὺς ῥῖψαι τὴν πόλιν; Ἀλλ' ἡμεῖς οὐδὲ βουλομένοις
ἀπολέσθαι τούτοις ἐπιτρέψομεν, οἱ διὰ τοῦτο στρατηγεῖν
ὑπομένοντες.“ Ὡς δὲ ἀπωλώλεισαν αἱ Θῆβαι καὶ ὁ Ἀλέξανδρος ἐξῃτεῖτο τοὺς περὶ Δημοσθένην καὶ Λυκοῦργον καὶ Ὑπερείδην καὶ Χαρίδημον, ἡ δὲ ἐκκλησία πρὸς ἐκεῖνον ἀπέβλεπεν, ὀνομαστὶ πολλάκις καλούμενος ἀνέστη· καὶ τῶν φίλων ἕνα παραστησάμενος, ᾧ μάλιστα χρώμενος διετέλει καὶ πιστεύων καὶ ἀγαπῶν· „Εἰς τὰ τοιαῦτα“ ἔφη „τὴν πόλιν οὗτοι παραγηόχασιν, ὥστ' ἔγωγε κἂν Νικοκλέα τις τοῦτον ἐξαιτῇ διδόναι κελεύσω. Τὸ μὲν γὰρ αὐτὸς ὑπὲρ ὑμῶν ἀπάντων ἀποθανεῖν εὐτυχίαν ἂν ἐμαυτοῦ θείμην.“ „Ἑλεῶ δὲ“ εἶπεν „ἄνδρες Ἀθηναῖοι, καὶ τοὺς ἐκ Θηβῶν δεῦρο πεφευ-

5, 18—19 H.

ἀγεννὲς m. rec.

32. θύειν] ποιεῖν BMV^b. 33. οὐκ εὐγενὲς P. τὸ ἐπιχαίρειν Benseler de hiat. p. 370. ego delendum suspicor εἶναι cl. praef. ad Themistocl. p. 46 sq. 34. ἑνὶ μόνον ἐλάττω γενέσθαι σώματι C. γενέσθαι m. rec.
35. γεγονέναι P.

XVII. 3. Homeri Odyss. 1, 494. τί ποτ' i. τίπτε θέλεις ἐρίζεμεν B. 4. ὀρεγόμενον μεγάλης C. ἢ CV^{b}STRq: ἦ v. 5. ῥῦψαι Schaeferus et postea: ῥίψαι v, mihi placet ῥιπίσαι Bryani. 6. τούτοις ἀπολέσθαι C. διὰ τούτους B. στρατηγοὺς BMV^b. 7. ἀπωλώλεισαν ABia: ἀπολώλεισαν v, cf. ad c. 9. 8. ἐξῄτει Reiskius. 9. ὑπερείδην AiV: Ὑπερίδην v. 12. τὰ om CB cum Corae. οὗτοι τὴν πόλιν C. 13. παρηγηόχασιν MV^{b}F^a, παραγηόχασιν παρενηνόχασιν P. ἄν C. 14. ἡμῶν PMV^b. ἁπάντων ὑμῶν C. 15. ἄν addidit Coraes. 16. ἄνδρες ACPMV^{b}i: ὦ ἄνδρες v.

γότας. Ἀρκεῖ δὲ τὰς Θήβας κλαίειν τοῖς Ἕλλησι. Διὸ βέλτιόν ἐστιν ὑπὲρ ἀμφοῖν πείθειν καὶ παραιτεῖσθαι τοὺς κρατοῦντας ἢ μάχεσθαι.“ Τὸ μὲν οὖν πρῶτον ψήφισμα λέγεται Ἀλέξανδρον, ὡς ἔλαβε, ῥῖψαι καὶ φυγεῖν ἀποστραφέντα τοὺς πρέσβεις· τὸ δὲ δεύτερον ἐδέξατο κομισθὲν ὑπὸ Φωκίωνος, τῶν πρεσβυτέρων ἀκούων, ὅτι καὶ Φιλιππος ἐθαύμαζε τὸν ἄνδρα τοῦτον· καὶ οὐ μόνον τὴν ἔντευξιν ὑπέμεινεν αὐτοῦ καὶ τὴν δέησιν, ἀλλὰ καὶ συμβουλεύοντος ἤκουσε. Συνεβούλευε δ' ὁ Φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον· εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν Ἑλλήνων τραπόμενον. Καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐστόχως εἰπὼν οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥστε εἰπεῖν, ὅπως προσέξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν, ὡς, εἴ τι γένοιτο περὶ αὐτὸν, ἐκείνοις ἄρχειν προσῆκον. Ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον εἰς τοσαύτην ἔθετο τιμὴν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. Ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος καὶ Δαρείου κρατήσας ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χαίρειν πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι· τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ Χαίρειν προσηγόρευε. Τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε.

XVIII. Τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογούμενόν ἐστιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. Τούτων κομισθέντων εἰς Ἀθήνας ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε πολλῶν ὄντων Ἀθηναίων αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος. Εἰπόντων δὲ ἐκείνων „Ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν“ „Οὐκοῦν“ εἶπεν ὁ Φωκίων „ἐασάτω με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιοῦτον.“ Ὡς δὲ ἀκολουθήσαντες εἰς οἶκον αὐτῷ πολλὴν ἑώραν εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττουσαν, ὁ δὲ Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος ἀπενίπτετο τοὺς πόδας, ἔτι μᾶλλον

5, 19—20 H.

17. δὲ] γὰρ C. 20. immo τὸν Ἀλέξανδρον. 21. ὑπὸ τοῦ B. 22. πρέσβεων C. 24. καὶ δέησιν C. 26. πρὸς om MV^{b}. 27. καὶ πρὸς] πρὸς PCBMF^{a}. 28. εἰπεῖν A. 34. γενόμενος ἀλέξανδρος C. 35. ἐν om F^{a}.

XVIII. 5. ὁ ἀλέξανδρος C. 6. μόνον κρίνει C. κρίνει — 7 ἀεὶ om F^{a}. 8. αὐτῷ om M. 9. μὲν om M, δὲ BV^{b}. τὸν δὲ φωκίωνα αὐτὸν ἀνιμῶντα C omissis ἀπενίπτετο τοὺς πόδας. 10. ἀπένιπτε P, ἐπενίπτετο F^{a}.

ἐνέκειντο καὶ ἠγανάκτουν δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως οὕτω διαιτήσεται πονηρῶς. Ἰδὼν οὖν ὁ Φωκίων πένητα πρεσβύτην ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον ἠρώτησεν, εἰ τούτου χείρονα νομίζουσιν αὐτόν. Εὐφημεῖν δὲ ἐκείνων δεομένων „Καὶ μὴν οὗτος“ εἶπεν „ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ καὶ ἀρκεῖται.“ „Τὸ δὲ ὅλον ἢ μὴ χρώμενος“ ἔφη „μάτην ἕξω τοσοῦτον χρυσίον ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν.“ Οὕτω μὲν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν ἐπιδείξαντα τοῖς Ἕλλησι πλουσιώτερον τοῦ διδόντος τοσαῦτα τὸν μὴ δεόμενον. Ἐπεὶ δὲ Ἀλέξανδρος ἠγανάκτησε καὶ πάλιν ἔγραψε τῷ Φωκίωνι φίλους μὴ νομίζειν τοὺς μηδὲν αὐτοῦ δεομένους, χρήματα μὲν οὐδ' ὡς Φωκίων ἔλαβεν, ἀφεθῆναι δὲ ἠξίωσε τὸν σοφιστὴν Ἐχεκρατίδην καὶ τὸν Ἴμβριον Ἀθηνόδωρον καὶ Ῥοδίους δύο, Δημάρατον καὶ Σπάρτωνα, συνειλημμένους ἐπ' αἰτίαις τισὶ καὶ καθειργμένους ἐν Σάρδεσι. Τούτους μὲν οὖν εὐθὺς ἀπέλυσεν ὁ Ἀλέξανδρος, Κράτερον δὲ ἀποστέλλων εἰς Μακεδονίαν ἐκέλευσε τεττάρων πόλεων ἐν Ἀσίᾳ, Κίου, Γεργίθου, Μυλάσων, Ἐλαίας, μίαν, ἣν ἂν αἱρῆται, παραδοῦναι τῷ Φωκίωνι, διατεινάμενος ἔτι μᾶλλον, ὡς χαλεπανεῖ μὴ λαβόντος. Ἀλλ' οὔτε Φωκίων ἔλαβεν ὅ τε Ἀλέξανδρος ταχέως ἀπέθανεν. Ἡ δὲ οἰκία τοῦ Φωκίωνος ἔτι νῦν ἐν Μελίτῃ δείκνυται χαλκαῖς λεπίσι κεκοσμημένη, τὰ δὲ ἄλλα λιτὴ καὶ ἀφελής. 750

XIX. Τῶν δὲ γυναικῶν, ἃς ἔγημε, περὶ τῆς προτέρας οὐθὲν ἱστορεῖται, πλὴν ὅτι Κηφισόδοτος ἦν ὁ πλάστης ἀδελφὸς αὐτῆς, τῆς δὲ δευτέρας οὐκ ἐλάττων ἐπὶ σωφροσύνῃ καὶ ἀφελείᾳ λόγος ἦν παρὰ τοῖς Ἀθηναίοις ἢ Φωκίωνος ἐπὶ χρη-

5, 20—21 H.

---

18. μὲν οὖν Stephanianae ceteri. πάλιν om CF^a. 19. τοῖς om M. 21. τῷ om CF^a. 22. αὐτοῦ Stephanus: αὐτῷ libri. καὶ χρήματα F^a. 23. ὁ φωκίων PC. φωκίων om BV^b et M qui ὅσ' οὐδ' ὡς ἔλαβεν. 25. ἐπ' αἰτίους V. 26. καθειργμένους ACBF^{a}i: κατειργμένους v. οὖν om PMV^b. 27. ὁ om C. κρατερὸν libri. 28. γεργίθου BV^b: Γεργήθου v. 29. Μυλάσων Coraes: μυλάσσων libri. 30. διατεινόμενος C. 31. οὐδὲ οὕτω Φωκίων C. ὅ τε] οὔτε BV^{b}V. 32. μελίττῃ CV^b.

XIX. 2. οὐδὲν Reiskianae nuperi et fortasse [CMV^b]. ἱστόρηται F^a. ὁ ἀδελφὸς P. 3. ἔλαττον BMF^a. 4. ἐπὶ] ἐν F^a.

στότητι. Καί ποτε θεωμένων καινοὺς τραγῳδοὺς Ἀθηναίων, ὁ μὲν τραγῳδὸς εἰσιέναι μέλλων βασιλίδος πρόσωπον ἥτει καὶ κεκοσμημένας πολλὰς πολυτελῶς ὀπαδοὺς τὸν χορηγόν· καὶ μὴ παρέχοντος ἠγανάκτει καὶ κατεῖχε τὸ θέατρον οὐ βουλόμενος προελθεῖν. Ὁ δὲ χορηγὸς Μελάνθιος ὠθῶν αὐτὸν εἰς τὸ μέσον ἐβόα· „Τοῦ Φωκίωνος οὐχ ὁρᾷς γυναῖκα προϊοῦσαν ἀεὶ μετὰ μιᾶς θεραπαινίδος, ἀλλ' ἀλαζονεύῃ καὶ διαφθείρεις τὴν γυναικωνῖτιν;" Ἐξακούστου δὲ τῆς φωνῆς γενομένης ἐδέξατο κρότῳ πολλῷ καὶ θορύβῳ τὸ θέατρον. Αὐτὴ δὲ ἡ γυνὴ, ξένης τινὸς Ἰωνικῆς ἐπιδειξαμένης χρυσοῦν καὶ λιθοκόλλητον κόσμον ἐν πλοκίοις καὶ περιδεραίοις, „Ἐμοὶ δὲ" ἔφη „κόσμος ἐστὶ Φωκίων εἰκοστὸν ἔτος ἤδη στρατηγῶν Ἀθηναίων."

XX. Φώκῳ δὲ τῷ υἱῷ βουλομένῳ ἀγωνίσασθαι Παναθηναίοις ἀποβάτην ἐφῆκεν, οὐχὶ τῆς νίκης ὀρεγόμενος, ἀλλ' ὅπως ἐπιμεληθεὶς καὶ ἀσκήσας τὸ σῶμα βελτίων ἔσοιτο· καὶ γὰρ ἦν ἄλλως φιλοπότης καὶ ἄτακτος ὁ νεανίσκος. Νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἐστιᾶσαι τὰ νικητήρια, τοὺς ἄλλους Φωκίων παραιτησάμενος ἐνὶ τὴν φιλοτιμίαν ταύτην συνεχώρησεν. Ὡς δὲ ἐλθὼν ἐπὶ τὸ δεῖπνον ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν καὶ ποδανιπτῆρας οἴνου δι' ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι, καλέσας τὸν υἱόν „Οὐ παύσεις" ἔφη „τὸν ἑταῖρον, ὦ Φῶκε, διαφθείροντά σου τὴν νίκην;" Βουλόμενος δὲ καὶ καθόλου μεταστῆσαι τὸ μειρά-

5, 21—22 H.

---

6. variis tentata coniecturis sic intelligam: *εἰσιέναι μέλλων βασιλίδος πρόσωπον, ἥτει.* quamquam praestat fortasse *καὶ* deleri cum codice 1677 qui sic: *ἥτει κεκοσμημένας πολλὰς ὀπαδοὺς πολυτελῶς τὸν.* 7. *πολυτελῶς* om C. *ὁ παραδοὺς* V^b. 9. *προελθεῖν* CF^a. 10. *τὴν φωκίωνος* Corais CPBV^b. 14. *ἐπιδειξαμένης ἰωνικῆς* P. *ἐπιδεξαμένης* Stephaniana. 15. *ἐν πλοκίοις* CqVx cl. mor. 141 d: *ἐμπλοκίοις* v. 16. *δὲ* om CBMV^b.

XX. 1. ‚invenitur scriptum et *Φώκῳ*' Stephanus: sic codex 1677 et F^a qui sic: *φώκῳ δὲ τῷ υἱῷ ἀγωνίσασθαι παναθηναίοις ἀποβατὴν. φωκίων* libri ceteri. sed scribendum puto *Φῶκον δὲ τὸν υἱὸν βουλόμενον — ἐφῆκεν* vel *ἀφῆκεν.* idem maluit Benseler de hiat. p. 371. *παρ' ἀθηναίοις* PV^b. 2. *ἀποβατὴν* APBF^a. 7. *συνεχώρησεν* F^aV: *συμπαρεχώρησεν* BCPV^b, *παρεχώρησεν* v. 8. *ποδανιπτῆρας* AC: *πόδα νιπτῆρας* i, *ποδονιπτῆρας* v. 9. *προϊοῦσι* BMV^b. *κελεύσας* P. 10. *παύσῃ* in rasura A, *παύσης* ia. *φῶκε* ‚vet. cod.' [F^a] Stephani: *φώκιε* libri ceteri.

ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσιν ὀργίζεσθαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν· „Οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβεροὺς καὶ τοῖς χωρὶς ὑμῶν σώζεσθαι μὴ δυναμένοις.“ Κινηθεὶς οὖν ὁ δῆμος ὑπὸ τοῦ λόγου καὶ μεταπεσὼν ἐκέλευεν αὐτὸν ἐκεῖνον ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν τοῖς συμμάχοις εἰς τὸν Ἑλλήσποντον· ὃ μεγίστην ῥοπὴν ἐποίησε πρὸς τὸ σωθῆναι τὸ Βυζάντιον. Ἦν μὲν γὰρ ἤδη μεγάλη δόξα τοῦ Φωκίωνος· ἐπεὶ δὲ Λέων, ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτοῦ πρὸς τὴν πόλιν, οὐκ εἴασαν ἔξω στρατοπεδεῦσαι βουλόμενον, ἀλλ' ἀνοίξαντες τὰς πύλας ἐδέξαντο καὶ κατέμιξαν ἑαυτοῖς τοὺς Ἀθηναίους, οὐ μόνον ἀνεγκλήτους ταῖς διαίταις καὶ σώφρονας, ἀλλὰ καὶ προθυμοτάτους ἐν τοῖς ἀγῶσι διὰ τὴν πίστιν γενομένους. Οὕτω μὲν ὁ Φίλιππος ἐξέπεσε τοῦ Ἑλλησπόντου τότε καὶ κατεφρονήθη δοκῶν ἄμαχός τις εἶναι καὶ ἀνανταγώνιστος, ὁ δὲ Φωκίων καὶ ναῦς τινας εἵλεν αὐτοῦ καὶ φρουρουμένας πόλεις ἀνέλαβε καὶ πολλαχόθι τῆς χώρας ἀποβάσεις ποιούμενος ἐπόρθει καὶ κατέτρεχε, μέχρις οὗ τραύματα λαβὼν ὑπὸ τῶν προσβοηθούντων ἀπέπλευσε.

XV. Τῶν δὲ Μεγαρέων ἐπικαλουμένων κρύφα, φοβούμενος ὁ Φωκίων τοὺς Βοιωτούς, μὴ προαισθόμενοι φθάσωσι τὴν βοήθειαν, ἐκκλησίαν συνήγαγεν ἔωθεν, καὶ προαγγείλας τὰ παρὰ τῶν Μεγαρέων τοῖς Ἀθηναίοις, ὡς ἐπεψηφίσαντο, τῇ σάλπιγγι σημήνας εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἦγεν αὐτοὺς τὰ ὅπλα λαβόντας. Δεξαμένων δὲ τῶν Μεγαρέων προθύμως τήν τε Νίσαιαν ἐτείχισε καὶ διὰ μέσου σκέλη δύο πρὸς τὸ ἐπίνειον ἀπὸ τοῦ ἄστεος ἐνέβαλε καὶ συνῆψε τῇ

5, 15—16 H.

18. ἡμᾶς libri praeter a. 19. καὶ τοῖς x: καί τοι libri. δυνάμενοι i (δυναμένοις ceteri omnes). 20. ἐκέλευσεν BF^a. 21. ἑτέραν om BMV^b. 23. ἦν — 24. Κλέων om BMV^b. γὰρ om a et v. 24. Λέων Wachsmuthius antiq. gr. 2 p. 377 et Fr. Kraner cl. Nic. 22 mor. 88 f: κλέων libri, unde malim καὶ Λέων. γὰρ post ἀνὴρ inter lin. addit B. 25. ἐν ἀρετῇ C. 26. καὶ οὐκ B. 32. ἀνταγώνιστος M. 33. τινες V. 36. βοηθούντων CPMV^b.

παρὰ al m

XV. 1. κρυφῇ BMV^b. 4. τὰ περὶ APF^{a}πV, τὰ περὶ F, τῶν πέριξ MV^b. ἐψηφίσαντο CBMV^b. 7. νίσσαιαν C. 8. ἀνέβαλε PMV^{b}F^a.

θαλάττῃ τὴν πόλιν, ὥστε τῶν κατὰ γῆν πολεμίων ὀλίγον ἤδη φροντίζουσαν ἐξηρτῆσθαι τῶν Ἀθηναίων.

XVI. Ἤδη δὲ πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασι καὶ στρατηγῶν αὐτοῦ μὴ παρόντος ἑτέρων ἐπὶ τὸν πόλεμον ῥηθέντων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς δέχεσθαι τὰς διαλύσεις· καί τινος ἀντικρούσαντος αὐτῷ τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν Ἠλιαίαν καὶ συκοφαντεῖν καὶ εἰπόντος „Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας;“ „Ἔγωγε“ εἶπε „καὶ ταῦτα εἰδὼς, ὅτι πολέμου μὲν ὄντος ἐγὼ σοῦ, εἰρήνης δὲ γενομένης σὺ ἐμοῦ ἄρξεις.“ Ὡς δ᾽ οὐκ ἔπειθεν, ἀλλ᾽ ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς ποῤῥωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους „Ὦ τᾶν“ ἔφη „μὴ, ποῦ μαχώμεθα σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. Οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεστι.“ Γενομένης δὲ ἥττης καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν ἐν ἄστει τὸν Χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι· καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔχοντες ἐν τῷ δήμῳ δεόμενοι καὶ δακρύοντες μόλις ἔπεισαν ἐπιτρέψαι τῷ Φωκίωνι τὴν πόλιν. Ὁ δὲ τὴν μὲν ἄλλην τοῦ Φιλίππου πολιτείαν καὶ φιλανθρωπίαν ᾤετο δεῖν προσδέχεσθαι· Δημάδου δὲ γράψαντος, ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν, οὐκ εἶα πρὸ τοῦ γνῶναι, τίνα Φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν Ἑλλή-
749 νων ἀξιώσει· κρατηθεὶς δὲ τῇ γνώμῃ διὰ τὸν καιρὸν, ὡς εὐθὺς ἑώρα τοὺς Ἀθηναίους μεταμελομένους, ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ Φιλίππῳ καὶ ἱππεῖς, „Ταῦτα“ ἔφη

5, 16—18 H.

---

9. θαλάσσῃ A. ὀλίγων Mia.

XVI. 1. ἤδη δὲ τῶν πρὸς Stephaniana habetque τῶν etiam marg. Mureti, ἤδη τῶν πρὸς F^a. 2. τῶν πόλεμον A. 3. εἰρημένων P. 6. αὐτοῦ Stephaniana. 8. τοὺς ἀθηναίους BV^b. 9. χειρὸς C. 12. τὴν μάχην C. 13. τὰν PF^a. μαχόμεθα AV^bia, μαχούμεθα CB. 14. νικήσομεν CB. 15. τῆς ἥττης $CPBV^bF^a$. 16. νεωτεριστῶν τῶν Stephanianae ceteri. 20. μὲν om F^a. 21. φιλανθρωπίαν καὶ πολιτείαν BV^b. 22. μετέχῃ B. 26. μεταμελομένους PBMV^b: μεταμελουμένους v.

„φοβούμενος ἠναντιούμην· ἐπεὶ δὲ συνέθεσθε, δεῖ μὴ βαρέως φέρειν μηδὲ ἀθυμεῖν μεμνημένους, ὅτι καὶ οἱ πρόγονοι ποτὲ μὲν ἄρχοντες, ποτὲ δὲ ἀρχόμενοι, καλῶς δὲ ἀμφότερα ταῦτα ποιοῦντες καὶ τὴν πόλιν ἔσωσαν καὶ τοὺς Ἕλληνας.“ Φιλίππου δὲ ἀποθανόντος εὐαγγέλια θύειν τὸν δῆμον οὐκ εἴα· καὶ γὰρ ἀγεννὲς εἶναι ἐπιχαίρειν καὶ τὴν ἐν Χαιρωνείᾳ παραταξαμένην πρὸς αὐτοὺς δύναμιν ἑνὶ σώματι μόνον ἐλάττω γενέσθαι.

XVII. Δημοσθένους δὲ λοιδορουντος τὸν Ἀλέξανδρον ἤδη προσάγοντα ταῖς Θήβαις ἔφη·

„Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα
καὶ δόξης μεγάλης ὀρεγόμενον; Ἦ βούλει πυρκαϊᾶς τηλικαύτης
οὔσης ἐγγὺς ῥῖψαι τὴν πόλιν; Ἀλλ' ἡμεῖς οὐδὲ βουλομένοις
ἀπολέσθαι τούτοις ἐπιτρέψομεν, οἱ διὰ τοῦτο στρατηγεῖν
ὑπομένοντες.“ Ὡς δὲ ἀπωλώλεισαν αἱ Θῆβαι καὶ ὁ Ἀλέξανδρος ἐξῃτεῖτο τοὺς περὶ Δημοσθένην καὶ Λυκοῦργον καὶ Ὑπερείδην καὶ Χαρίδημον, ἡ δὲ ἐκκλησία πρὸς ἐκεῖνον ἀπέβλεπεν, ὀνομαστὶ πολλάκις καλούμενος ἀνέστη· καὶ τῶν φίλων ἕνα παραστησάμενος, ᾧ μάλιστα χρώμενος διετέλει καὶ πιστεύων καὶ ἀγαπῶν· „Εἰς τὰ τοιαῦτα“ ἔφη „τὴν πόλιν οὗτοι παραγηόχασιν, ὥστ' ἔγωγε κἂν Νικοκλέα τις τοῦτον ἐξαιτῇ διδύναι κελεύσω. Τὸ μὲν γὰρ αὐτὸς ὑπὲρ ὑμῶν ἀπάντων ἀποθανεῖν εὐτυχίαν ἂν ἐμαυτοῦ θείμην.“ „Ἐλεῶ δὲ“ εἶπεν „ἄνδρες Ἀθηναῖοι, καὶ τοὺς ἐκ Θηβῶν δεῦρο πεφευ-

5, 18—19 H.

ἀγεννὲς m. rec.

32. θύειν] ποιεῖν BMV^b. 33. οὐκ εὐγενὲς P. τὸ ἐπιχαίρειν Benseler de hiat. p. 370. ego delendum suspicor εἶναι cl. praef. ad Themistocl. p. 46 sq. 34. ἑνὶ μόνον ἐλάττω γενέσθαι σώματι C. γενέσθαι m. rec.
35. γεγονέναι P.

XVII. 3. Homeri Odyss. 1, 494. τί ποτ' i. τίπτε θέλεις ἐρίζεμεν B. 4. ὀρεγόμενον μεγάλης C. ἢ CV^{b}STRq: ἦ v. 5. ῥῖψαι Schaeferus et postea: ῥίψαι v, mihi placet ῥιπίσαι Bryani. 6. τούτοις ἀπολέσθαι C. διὰ τούτους B. στρατηγοὺς BMV^b. 7. ἀπωλώλεισαν ABia: ἀπολώλεισαν v, cf. ad c. 9. 8. ἐξῄτει Reiskius. 9. ὑπερείδην AiV: Ὑπερίδην v. 12. τὰ om CB cum Corae. οὗτοι τὴν πόλιν C. 13. παρηγηόχασιν MV^{b}F^a, παραγηόχασιν παρενηνόχασιν P. ἂν C. 14. ἡμῶν PMV^b. ἁπάντων ὑμῶν C. 15. ἂν addidit Coraes. 16. ἄνδρες ACPMV^{b}i: ὦ ἄνδρες v.

γότας. Ἀρκεῖ δὲ τὰς Θήβας κλαίειν τοῖς Ἕλλησι. Διὸ βέλτιόν ἐστιν ὑπὲρ ἀμφοῖν πείθειν καὶ παραιτεῖσθαι τοὺς κρατοῦντας ἢ μάχεσθαι.“ Τὸ μὲν οὖν πρῶτον ψήφισμα λέγεται Ἀλέξανδρον, ὡς ἔλαβε, ῥῖψαι καὶ φυγεῖν ἀποστραφέντα τοὺς πρέσβεις· τὸ δὲ δεύτερον ἐδέξατο κομισθὲν ὑπὸ Φωκίωνος, τῶν πρεσβυτέρων ἀκούων, ὅτι καὶ Φίλιππος ἐθαύμαζε τὸν ἄνδρα τοῦτον· καὶ οὐ μόνον τὴν ἔντευξιν ὑπέμεινεν αὐτοῦ καὶ τὴν δέησιν, ἀλλὰ καὶ συμβουλεύοντος ἤκουσε. Συνεβούλευε δ' ὁ Φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον· εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν Ἑλλήνων τραπόμενον. Καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐστόχως εἰπὼν οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥστε εἰπεῖν, ὅπως προσέξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν, ὡς, εἴ τι γένοιτο περὶ αὐτὸν, ἐκείνοις ἄρχειν προσῆκον. Ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον εἰς τοσαύτην ἔθετο τιμὴν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. Ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος καὶ Δαρείου κρατήσας ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χαίρειν πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι· τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ Χαίρειν προσηγόρευε. Τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε.

XVIII. Τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογούμενόν ἐστιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. Τούτων κομισθέντων εἰς Ἀθήνας ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε πολλῶν ὄντων Ἀθηναίων αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος. Εἰπόντων δὲ ἐκείνων „Ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν“ „Οὐκοῦν“ εἶπεν ὁ Φωκίων „ἐασάτω με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιοῦτον.“ Ὡς δὲ ἀκολουθήσαντες εἰς οἶκον αὐτῷ πολλὴν ἑώραν εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττουσαν, ὁ δὲ Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος ἀπενίπτετο τοὺς πόδας, ἔτι μᾶλλον

5, 19—20 H.

17. δὲ] γὰρ C. 20. immo τὸν Ἀλέξανδρον. 21. ὑπὸ τοῦ B. 22. πρέσβεων C. 24. καὶ δέησιν C. 26. πρὸς om MV^{b}. 27. καὶ πρὸς] πρὸς PCBMF^{a}. 28. εἰπεῖν A. 34. γενόμενος ἀλέξανδρος C. 35. ἐν om F^{a}.

XVIII. 5. ὁ ἀλέξανδρος C. 6. μόνον κρίνει C. κρίνει — 7 ἀεὶ om F^{a}. 8. αὐτῷ om M. 9. μὲν om M, δὲ BV^{b}. τὸν δὲ φωκίωνα αὐτὸν ἀνιμῶντα C omissis ἀπενίπτετο τοὺς πόδας. 10. ἀπένιπτε P, ἐπενίπτετο F^{a}.

ἐνέκειντο καὶ ἠγανάκτουν δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως οὕτω διαιτήσεται πονηρῶς. Ἰδὼν οὖν ὁ Φωκίων πένητα πρεσβύτην ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον ἠρώτησεν, εἰ τούτου χείρονα νομίζουσιν αὐτόν. Εὐφημεῖν δὲ ἐκείνων δεομένων „Καὶ μὴν οὗτος“ εἶπεν „ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ καὶ ἀρκεῖται.“ „Τὸ δὲ ὅλον ἢ μὴ χρώμενος“ ἔφη „μάτην ἔξω τοσοῦτον χρυσίον ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν.“ Οὕτω μὲν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν ἐπιδείξαντα τοῖς Ἕλλησι πλουσιώτερον τοῦ διδόντος τοσαῦτα τὸν μὴ δεόμενον. Ἐπεὶ δὲ Ἀλέξανδρος ἠγανάκτησε καὶ πάλιν ἔγραψε τῷ Φωκίωνι φίλους μὴ νομίζειν τοὺς μηδὲν αὐτοῦ δεομένους, χρήματα μὲν οὐδ' ὡς Φωκίων ἔλαβεν, ἀφεθῆναι δὲ ἠξίωσε τὸν σοφιστὴν Ἐχεκρατίδην καὶ τὸν Ἴμβριον Ἀθηνόδωρον καὶ Ῥοδίους δύο, Δημάρατον καὶ Σπάρτωνα, συνειλημμένους ἐπ' αἰτίαις τισὶ καὶ καθειργμένους ἐν Σάρδεσι. Τούτους μὲν οὖν εὐθὺς ἀπέλυσεν ὁ Ἀλέξανδρος, Κράτερον δὲ ἀποστέλλων εἰς Μακεδονίαν ἐκέλευσε τεττάρων πόλεων ἐν Ἀσίᾳ, Κίου, Γεργίθου, Μυλάσων, Ἐλαίας, μίαν, ἣν ἂν αἱρῆται, παραδοῦναι τῷ Φωκίωνι, διατεινάμενος ἔτι μᾶλλον, ὡς χαλεπανεῖ μὴ λαβόντος. Ἀλλ' οὔτε Φωκίων ἔλαβεν ὅ τε Ἀλέξανδρος ταχέως ἀπέθανεν. Ἡ δὲ οἰκία τοῦ Φωκίωνος ἔτι νῦν ἐν Μελίτῃ δείκνυται χαλκαῖς λεπίσι κεκοσμημένη, τὰ δὲ ἄλλα λιτὴ καὶ ἀφελής. 750

XIX. Τῶν δὲ γυναικῶν, ἃς ἔγημε, περὶ τῆς προτέρας οὐθὲν ἱστορεῖται, πλὴν ὅτι Κηφισόδοτος ἦν ὁ πλάστης ἀδελφὸς αὐτῆς, τῆς δὲ δευτέρας οὐκ ἐλάττων ἐπὶ σωφροσύνῃ καὶ ἀφελείᾳ λόγος ἦν παρὰ τοῖς Ἀθηναίοις ἢ Φωκίωνος ἐπὶ χρη-

5, 20—21 H.

---

18. μὲν οὖν Stephanianae ceteri. πάλιν om CF^a. 19. τοῖς om M. 21. τῷ om CF^a. 22. αὐτοῦ Stephanus: αὐτῷ libri. καὶ χρήματα F^a. 23. ὁ φωκίων PC. φωκίων om BV^b et M qui ὅσ' οὐδ' ὡς ἔλαβεν. 25. ἐπ' αἰτίους V. 26. καθειργμένους ACBF^{a}i: κατειργμένους v. οὖν om PMV^b. 27. ὁ om C. κρατερὸν libri. 28. γεργίθου BV^b: Γεργήθου v. 29. Μυλάσων Coraes: μυλάσσων libri. 30. διατεινόμενος C. 31. οὐδὲ οὕτω Φωκίων C. ὅ τε] οὔτε BV^{b}V. 32. μελίττῃ CV^b.

XIX. 2. οὐδὲν Reiskianae nuperi et fortasse [CMV^b]. ἱστόρηται F^a. ὁ ἀδελφὸς P. 3. ἔλαττον BMF^a. 4. ἐπὶ] ἐν F^a.

στότητι. Καί ποτε θεωμένων καινοὺς τραγῳδοὺς Ἀθηναίων, ὁ μὲν τραγῳδὸς εἰσιέναι μέλλων βασιλίδος πρόσωπον ἥτει καὶ κεκοσμημένας πολλὰς πολυτελῶς ὀπαδοὺς τὸν χορηγόν· καὶ μὴ παρέχοντος ἠγανάκτει καὶ κατεῖχε τὸ θέατρον οὐ βουλόμενος προελθεῖν. Ὁ δὲ χορηγὸς Μελάνθιος ὠθῶν αὐτὸν εἰς τὸ μέσον ἐβόα· „Τοῦ Φωκίωνος οὐχ ὁρᾷς γυναῖκα προϊοῦσαν ἀεὶ μετὰ μιᾶς θεραπαινίδος, ἀλλ' ἀλαζονεύῃ καὶ διαφθείρεις τὴν γυναικωνῖτιν;" Ἐξακούστου δὲ τῆς φωνῆς γενομένης ἐδέξατο κρότῳ πολλῷ καὶ θορύβῳ τὸ θέατρον. Αὐτὴ δὲ ἡ γυνὴ, ξένης τινὸς Ἰωνικῆς ἐπιδειξαμένης χρυσοῦν καὶ λιθοκόλλητον κόσμον ἐν πλοκίοις καὶ περιδεραίοις, „Ἐμοὶ δὲ" ἔφη „κόσμος ἐστὶ Φωκίων εἰκοστὸν ἔτος ἤδη στρατηγῶν Ἀθηναίων."

XX. Φώκῳ δὲ τῷ υἱῷ βουλομένῳ ἀγωνίσασθαι Παναθηναίοις ἀποβάτην ἐφῆκεν, οὐχὶ τῆς νίκης ὀρεγόμενος, ἀλλ' ὅπως ἐπιμεληθεὶς καὶ ἀσκήσας τὸ σῶμα βελτίων ἔσοιτο· καὶ γὰρ ἦν ἄλλως φιλοπότης καὶ ἄτακτος ὁ νεανίσκος. Νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια, τοὺς ἄλλους Φωκίων παραιτησάμενος ἐνὶ τὴν φιλοτιμίαν ταύτην συνεχώρησεν. Ὡς δὲ ἐλθὼν ἐπὶ τὸ δεῖπνον ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν καὶ ποδανιπτῆρας οἴνου δι' ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι, καλέσας τὸν υἱόν „Οὐ παύσεις" ἔφη „τὸν ἑταῖρον, ὦ Φῶκε, διαφθείροντά σου τὴν νίκην;" Βουλόμενος δὲ καὶ καθόλου μεταστῆσαι τὸ μειρά-

5, 21—22 H.

---

6. variis tentata coniecturis sic intelligam: *εἰσιέναι μέλλων βασιλίδος πρόσωπον, ἥτει.* quamquam praestat fortasse *καὶ* deleri cum codice 1677 qui sic: *ἥτει κεκοσμημένας πολλὰς ὀπαδοὺς πολυτελῶς τὸν.* 7. *πολυτελῶς* om C. *ὁ παραδοὺς* V^b. 9. *προελθεῖν* CF^a. 10. *τὴν φωκίωνος* Corais CPBV^b. 14. *ἐπιδειξαμένης ἰωνικῆς* P. *ἐπιδεξαμένης* Stephaniana. 15. *ἐν πλοκίοις* CqVx cl. mor. 141 d: *ἐμπλοκίοις* v. 16. *δὲ* om CBMV^b.

XX. 1. ‚invenitur scriptum et *Φώκῳ*' Stephanus: sic codex 1677 et F^a qui sic: *φώκῳ δὲ τῷ υἱῷ ἀγωνίσασθαι παναθηναίοις ἀποβατὴν. φωκίων* libri ceteri. sed scribendum puto *Φῶκον δὲ τὸν υἱὸν βουλόμενον — ἐφῆκεν.* vel *ἀφῆκεν.* idem maluit Benseler de hiat. p. 371. *παρ' ἀθηναίοις* PV^b. 2. *ἀποβατὴν* APBF^a. 7. *συνεχώρησεν* F^aV: *συμπαρεχώρησεν* BCPV^b, *παρεχώρησεν* v. 8. *ποδανιπτῆρας* AC: *πόδα νιπτῆρας* i, *ποδονιπτῆρας* v. 9. *προσιοῦσι* BMV^b. *κελεύσας* P. 10. *παύσῃ* in rasura A, *παύσῃς* ia. *φῶκε* ‚vet. cod.' [F^a] Stephani: *φώκιε* libri ceteri.

κιον ἐκ τῆς διαίτης ἐκείνης ἀπήγαγεν εἰς Λακεδαίμονα καὶ κατέμιξε τοῖς ἀγομένοις τὴν λεγομένην ἀγωγὴν νεανίσκοις. Καὶ τοῦτο τοὺς Ἀθηναίους ἐλύπησεν, ὡς ὑπερορῶντος καὶ ὑπερφρονοῦντος τὰ οἰκεῖα τοῦ Φωκίωνος. Εἰπόντος δὲ τοῦ Δημάδου πρὸς αὐτόν· „Τί οὐ πείθομεν, ὦ Φωκίων, Ἀθηναίους τὴν Λακωνικὴν προσδέξασθαι πολιτείαν; ἐὰν γὰρ σὺ 751
κελεύῃς, ἐγὼ γράφειν καὶ λέγειν ἕτοιμός εἰμι·“ „Πάνυ γοῦν“ ἔφη „πρέψειεν ἄν σοι μύρου τοσοῦτον ὄζοντι καὶ χλαμύδα τοιαύτην φοροῦντι συμβουλεύειν Ἀθηναίοις περὶ φιλιτίων καὶ τὸν Λυκοῦργον ἐπαινεῖν.“

XXI. Γράψαντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τριήρων, ὅπως ἀποστείλωσιν αὐτῷ, καὶ τῶν ῥητόρων ἐνισταμένων, τῆς δὲ βουλῆς τὸν Φωκίωνα λέγειν κελευούσης, „Λέγω τοίνυν ὑμῖν“ εἶπεν „ἢ τοῖς ὅπλοις κρατεῖν ἢ τοῖς κρατοῦσι φίλους εἶναι.“ Πρὸς δὲ Πυθέαν ἀρχόμενον τότε πρῶτον ἐντυγχάνειν Ἀθηναίοις, ἤδη δὲ λάλον ὄντα καὶ θρασὺν „Οὐ σιωπήσεις“ ἔφη „καὶ ταῦτα νεώνητος ὢν τῷ δήμῳ;“ Ἐπεὶ δὲ Ἅρπαλος μετὰ χρημάτων πολλῶν ἀποδρὰς Ἀλέξανδρον ἐκ τῆς Ἀσίας τῇ Ἀττικῇ προσέβαλε καὶ τῶν εἰωθότων ἀπὸ τοῦ βήματος χρηματίζεσθαι δρόμος ἦν καὶ ἄμιλλα φθειρομένων πρὸς αὐτόν, τούτοις μὲν ἀπὸ πολλῶν μικρὰ δελεάζων προήκατο καὶ διέῤῥιψε, τῷ δὲ Φωκίωνι προσέπεμψε διδοὺς ἑπτακόσια τάλαντα καὶ ταῦλλα πάντα καὶ μετὰ πάντων ἑαυτὸν ἐπ' ἐκείνῳ μόνῳ παρακατατιθέμενος. Ἀποκρινομένου δὲ ταχέως τοῦ Φωκίωνος οἰμώξεσθαι τὸν Ἅρπαλον, εἰ μὴ παύσεται διαφθείρων τὴν πόλιν, τότε μὲν συσταλεὶς ἀπέστη, μετ' ὀλίγον δὲ βουλευομένων Ἀθηναίων ἑώρα τοὺς μὲν εἰληφότας τὰ χρήματα παρ' αὐτοῦ μεταβαλλομένους καὶ κατηγοροῦντας, ἵνα μὴ φανεροὶ γένωνται, Φωκίωνα δὲ τὸν μηδὲν

5, 22–23 H.

---

16. τοὺς ἀθηναίους C. 18. κελεύσῃς F^a. λέγειν καὶ γράφειν CF^a. 19. μύρον F^aV. 20. φιλητίων i, φιδιτίων B.

XXI. 1. τριήρων CPF^a: τριήρεων B, τριηρῶν v. 2. καὶ τῶν] τῶν δὲ C. 5. πυθέα BMV^b. τότε [C] margo Mureti (‚ἴσως τότε‘) x: ποτε libri (ποτέ M). 6. δὲ om B. σιωπήσῃς CF^a. 11. τούτους F^aRV. ἀπὸ μεγάλων C. δελεάζων μικρὰ C. προσήκατο F^aV. 12. διακόσια C. 14. ἀποκριναμένου Coraes. δὲ om V^b. 15. οἰμώζειν C. 16. παύσεται Corais ACPBMV^b: παύσηται v. 17. βουλομένων F^a.

λαβόντα μετὰ τοῦ κοινοῦ συμφέροντος ἅμα καὶ τὴν ἐκείνου σωτηρίαν ἔν τινι λόγῳ τιθέμενον. Πάλιν οὖν ἐνεχθεὶς ἐπὶ τὸ θεραπεύειν ἐκεῖνον αὐτὸν μὲν ὡς ἕρυμα πανταχόθεν ἀνάλωτον ὑπὸ τοῦ χρυσίου περιοδεύων ἑώρα, Χαρικλέα δὲ τὸν γαμβρὸν αὐτοῦ ποιησάμενος συνήθη καὶ φίλον ἐνέπλησε δόξης πονηρᾶς πάντα πιστεύων καὶ πάντα χρώμενος ἐκείνῳ.

XXII. Καὶ δὴ καὶ Πυθονίκης τῆς ἑταίρας ἀποθανούσης, ἣν εἶχεν ὁ Ἅρπαλος ἐρῶν καὶ θυγατρίου πατὴρ ἐξ αὐτῆς γεγόνει, μνημεῖον ἀπὸ χρημάτων πολλῶν ἐπιτελέσαι θελήσας προσέταξε τῷ Χαρικλεῖ τὴν ἐπιμέλειαν. Οὖσαν δὲ τὴν ὑπουργίαν ταύτην ἀγεννῆ προσκατήσχυνεν ὁ τάφος συντελεσθείς. Διαμένει γὰρ ἔτι νῦν ἐν Ἑρμείῳ, ᾗ βαδίζομεν ἐξ ἄστεος εἰς Ἐλευσῖνα, μηδὲν ἔχων τῶν τριάκοντα ταλάντων ἄξιον, ὅσα τῷ Ἅρπάλῳ λογισθῆναί φασιν εἰς τὸ ἔργον ὑπὸ τοῦ Χαρικλέους. Καὶ μέντοι καὶ τελευτήσαντος αὐτοῦ τὸ παιδάριον ὑπὸ τοῦ Χαρικλέους καὶ τοῦ Φωκίωνος ἀναληφθὲν ἐτύγχανε πάσης ἐπιμελείας. Κρινομένου μέντοι τοῦ Χαρικλέους ἐπὶ τοῖς Ἁρπαλείοις καὶ δεομένου βοηθεῖν αὐτῷ τὸν Φωκίωνα καὶ συνεισελθεῖν εἰς τὸ δικαστήριον, οὐκ ἠθέλησεν εἰπών· „Ἐγώ σε, ὦ Χαρίκλεις, ἐπὶ πᾶσι τοῖς δικαίοις γαμβρὸν ἐποιησάμην.“ Πρώτου δὲ Ἀθηναίοις Ἀσκληπιάδου τοῦ Ἱππάρχου τεθνάναι προσαγγείλαντος Ἀλέξανδρον, ὁ μὲν Δημάδης ἐκέλευε μὴ προσέχειν· πάλαι γὰρ ἂν ὅλην ὄζειν νεκροῦ τὴν οἰκουμένην· ὁ δὲ Φωκίων ἐπῃρμένον ὁρῶν πρὸς τὸ νεωτερίζειν τὸν δῆμον ἐπειρᾶτο παρηγορεῖν καὶ κατέχειν. Ἀναπηδώντων δὲ πολλῶν ἐπὶ τὸ βῆμα καὶ βοώντων ἀληθῆ τὸν Ἀσκληπιάδην ἀπαγγέλλειν καὶ τεθνάναι τὸν Ἀλέξανδρον „Οὐκοῦν“ εἶπεν „εἰ σήμερον τέθνηκε, καὶ αὔριον ἔσται καὶ

5, 23—24 H.

---

20. κοινῇ M. ἐκείνην V^b. 23. ὑπὸ] περὶ BM. ὑπὸ τοῦ om F^a. 24. γαμβρὸν αὐτοῦ] ἐκείνου γαμβρὸν C. φίλον καὶ συνήθη C.

XXII. 1. Πυθιονίκης nuperi cum Palmerio et [MV^b], sed cf. Boeckhium C. J. 1 p. 476. 3. γεγόνει Fr. Kraner: γέγονε libri. 5. ἀγενῆ V^bF^a. προκατήσχυνεν B. 6. Ἑρμεῖ Meursius pop. Attic. p. 715 Palmerius exercit. p. 184, Ἕρμει Coraes. ego corrigo Ἑρμείοις. 8. φησιν BMV^b. 12. ἁρπαλίοις BM V^bF^a. 16. παραγγελλαντος MV^b, ἀπαγγελλαντος B. ἐκέλευε CPBMV^b: ἐκέλευσε v. 17. ἂν om C. ὄζειν ὅλην C. 18. ἐπῃρμένον om F^a. 21. ἐπαγγέλλειν APF^{a}ia.

εἰς τρίτην τεθνηκώς, ὥστε ἡμᾶς ἐν ἡσυχίᾳ βουλεύσασθαι, μᾶλλον δὲ μετὰ ἀσφαλείας."

XXIII. Ὡς δὲ φέρων ἐνέσεισεν ὁ Λεωσθένης τὴν πόλιν εἰς τὸν Ἑλληνικὸν πόλεμον καὶ τοῦ Φωκίωνος δυσχεραίνοντος ἠρώτα καταγελῶν, τί πεποίηκεν ἀγαθὸν τὴν πόλιν ἔτη τοσαῦτα στρατηγῶν, „Οὐ μικρὸν" ἔφη „τὸ τοὺς πολίτας ἐν τοῖς ἰδίοις μνήμασι θάπτεσθαι." Πολλὰ δὲ θρασυνομένου 752 καὶ κομπάζοντος ἐν τῷ δήμῳ τοῦ Λεωσθένους ὁ Φωκίων „Οἱ λόγοι σου" εἶπεν „ὦ μειράκιον, ἐοίκασι κυπαρίττοις· μεγάλοι γὰρ ὄντες καὶ ὑψηλοὶ καρποὺς οὐ φέρουσιν." Ὡς δὲ ἐπαναστὰς ὁ Ὑπερείδης ἠρώτησε „Πότε οὖν, ὦ Φωκίων, συμβουλεύεις πολεμεῖν Ἀθηναίοις;" „Ὅταν" εἶπε „τοὺς μὲν νέους ἴδω τὴν τάξιν βουλομένους φυλάττειν, τοὺς δὲ πλουσίους εἰσφέρειν, τοὺς δὲ ῥήτορας ἀπέχεσθαι τοῦ κλέπτειν τὰ δημόσια." Θαυμαζόντων δὲ πολλῶν τὴν ὑπὸ τοῦ Λεωσθένους συνηγμένην δύναμιν καὶ τοῦ Φωκίωνος πυνθανομένων, πῶς τι παρεσκευάσθαι δοκοῦσιν αὐτῷ, „Καλῶς" ἔφη „πρὸς τὸ στάδιον· τὸν δὲ δόλιχον τοῦ πολέμου φοβοῦμαι, μήτε χρήματα τῆς πόλεως ἔτερα μήτε ναῦς μήτε ὁπλίτας ἐχούσης." Ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ ἔργα. Πρῶτον μὲν γὰρ ὁ Λεωσθένης λαμπρὸς ἤρθη ταῖς πράξεσι τῶν τε Βοιωτῶν μάχῃ κρατήσας καὶ τὸν Ἀντίπατρον εἰς Λαμίαν συνελάσας· ὅτε καί φασι τὴν μὲν πόλιν ἐλπίδος μεγάλης γενομένην ἑορτάζειν εὐαγγέλια συνεχῶς καὶ θύειν τοῖς θεοῖς, τὸν δὲ Φωκίωνα πρὸς τοὺς ἐλέγχειν αὐτὸν οἰομένους καὶ πυνθανομένους, εἰ ταῦτα οὐκ ἂν ἤθελεν αὐτῷ πεπρᾶχθαι· „Πάνυ μὲν οὖν"

5, 24—25 H.

---

23. τρίτην ἡμέραν F^aV.

XXIII. 2. Λαμιακὸν x post Xylandrum. 3. τῇ πόλει C. 4. τὸ om A. 6. συγκομπάζοντος F^aV. 7. σου ABF^a: σοῦ v. 8. φέρουσιν CBV^b: φέρουσι v. 9. ὑπερείδης Ai: Ὑπερίδης v. ὦ Φωκίων om C. 10. συμβουλεύσεις F^a. εἶπεν ἴδω τοὺς μὲν νέους P. 12. ἀπέχειν τοῦ κλέπτεσθαι BMV^b. 15. πῶς τι] cf. Caes. 44. 16. τὸ δὲ C. δολιχὸν AC. 18. ὁ γάρ τοι λεωσθένης πρῶτον μὲν λαμπρῶς C. μὲν γὰρ ὁ Pia: μὲν ὁ ABV^b, μὲν M, μὲν γὰρ v. 19. λαμπρῶς $CPBV^b$. 20. λάμιαν ACB V^bF^aia. ὅτι F^a. 21. ἐλπίδος μεγάλης] cf. Nic. 18, 23 Timol. 3, 9 ibi Heldium p. 321 sq. 23. οἰομένους] πειρωμένους C. 24. οὕτω x secundum apophth. 188 d.

[ἔφη] „βεβουλεῦσθαι δὲ ἐκεῖνα“ καὶ πάλιν ἄλλων ἐπ᾽ ἄλλοις εὐαγγελίων γραφομένων καὶ φερομένων ἀπὸ στρατοπέδου, „Πότε ἄρα“ φάναι „παυσόμεθα νικῶντες;“

XXIV. Ἐπεὶ δὲ τοῦ Λεωσθένους ἀποθανόντος οἱ φοβούμενοι τὸν Φωκίωνα, μὴ στρατηγὸς ἐκπεμφθεὶς καταλύσῃ τὸν πόλεμον, ἄνθρωπόν τινα τῶν οὐκ ἐπιφανῶν ἐν ἐκκλησίᾳ παρεσκεύασαν ἀναστάντα λέγειν, ὅτι φίλος ὢν τοῦ Φωκίωνος καὶ συμπεφοιτηκὼς παραινεῖ φείδεσθαι τοῦ ἀνδρὸς καὶ φυλάσσειν, ὡς ἄλλον ὅμοιον οὐκ ἔχοντας, ἐκπέμπειν δὲ Ἀντίφιλον ἐπὶ τὸ στράτευμα, καὶ ταῦτα τοῖς Ἀθηναίοις συνεδόκει, παρελθὼν ὁ Φωκίων ἔλεγε μήτε συμπεφοιτηκέναι ποτὲ τῷ ἀνθρώπῳ μήτε ἄλλως γεγονέναι γνώριμος ἢ συνήθης· „Ἀλλὰ νῦν“ εἶπεν „ἀπὸ τῆς σήμερον ἡμέρας καὶ φίλον σε ποιοῦμαι καὶ οἰκεῖον· ἃ γὰρ ἦν ἐμοὶ συμφέροντα συμβεβούλευκας.“ Ὡρμημένων δὲ τῶν Ἀθηναίων ἐπὶ τοὺς Βοιωτοὺς στρατεύειν πρῶτον μὲν ἀντεῖχε· καὶ τῶν φίλων λεγόντων, ὡς ἀποθανεῖται προσκρούων τοῖς Ἀθηναίοις, „Ἀδίκως“ εἶπεν „ἂν ποιῶ τὸ συμφέρον, ἂν δὲ παραβαίνω, δικαίως.“ Ἐπεὶ δὲ ὁρῶν οὐκ ἀνιέντας, ἀλλὰ βοῶντας, ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν Ἀθηναίων τοὺς ἄχρι ἑξήκοντα ἐτῶν ἀφ᾽ ἥβης πέντε ἡμερῶν σιτία λαβόντας εὐθὺς ἀκολουθεῖν ἀπὸ τῆς ἐκκλησίας, θορύβου δὲ πολλοῦ γενομένου καὶ τῶν πρεσβυτέρων βοώντων καὶ ἀναπηδώντων· „Οὐδὲν“ ἔφη „δεινόν· ἐγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων ἔτος ἕσομαι μεθ᾽ ὑμῶν.“ Καὶ τότε μὲν οὕτως κατέπαυσεν αὐτοὺς καὶ μετέβαλε.

XXV. Πορθουμένης δὲ τῆς παραλίας ὑπὸ Μικίωνος συχνοῖς Μακεδόσι καὶ μισθοφόροις ἀποβεβηκότος εἰς Ῥαμνοῦντα καὶ κατατρέχοντος τὴν χώραν, ἐξήγαγε τοὺς Ἀθηναίους ἐπ᾽ αὐτόν. Ὡς δὲ προστρέχοντες ἀλλαχόθεν ἄλλος

25. [ἔφη] in P supra additum delet Fr. Krauer, in φάναι corrigebat Schaeferus. δὲ om F^a. 26. ἀπὸ Aia: ἀπὸ τοῦ v. 27. ἄρα] ἂν BMV^b. παυσώμεθα BMV^b.

XXIV. 5. συμφοιτηκὼς F^a. 8. παρελθὼν δὲ ὁ ACV^{b}i. μὴ συμπεφοιτηκέναι C. 15. ἐπεὶ δὲ] ἔπειθ᾽ Schaeferus. malim aut δὲ deleri versu 19. aut καὶ versu 21. 17. ἄχρις Reiskianae nuperi. ἐφ᾽ ἥβης P, ἐφήβους MV^b. 19. πολλοῦ om P. 22. οὕτω corr. AC.

XXV. 2. ἀποβεβηκότος τε C. 4. προτρέχοντες CBMV^{b}F^a corr. P.

διεστρατήγουν καὶ συνεβούλευον αὐτῷ τὸν λόφον καταλαβεῖν, ἐκεῖ περιπέμψαι τοὺς ἱππέας, ἐνταῦθα παρεμβαλεῖν· „Ὦ Ἡράκλεις“ εἶπεν „ὡς πολλοὺς ὁρῶ στρατηγοὺς, ὀλίγους δὲ στρατιώτας.“ Ἐπεὶ δὲ παρατάξαντος αὐτοῦ τοὺς ὁπλίτας εἰς πολὺ πρὸ τῶν ἄλλων προῆλθεν, εἶτα δείσας ἀντιστάντος ἀνδρὸς πολεμίου πάλιν εἰς τὴν τάξιν ἀνεχώρησεν „Ὦ μειράκιον“ εἶπεν „οὐκ αἰδῇ δύο τάξεις ἀπολελοιπὼς, ἣν ἐτάχθης ὑπὸ τοῦ στρατηγοῦ καὶ πάλιν ἐφ᾽ ἣν σεαυτὸν ἔταξας;“ Ἐμβαλὼν δὲ τοῖς πολεμίοις καὶ κατὰ κράτος τρεψάμενος αὐτόν 753
τε τὸν Μικίωνα καὶ πολλοὺς ἄλλους ἀπέκτεινε. Τὸ δὲ Ἑλληνικὸν ἐν Θετταλίᾳ στράτευμα, συμμίξαντος Ἀντιπάτρῳ Λεοννάτου καὶ τῶν ἐξ Ἀσίας Μακεδόνων, ἐνίκα μαχόμενον· καὶ Λεοννάτος ἔπεσεν, ἡγουμένου τῆς μὲν φάλαγγος Ἀντιφίλου, τῶν δὲ ἱππέων τοῦ Θεσσαλοῦ Μένωνος.

XXVI. Ὀλίγῳ δὲ ὕστερον χρόνῳ Κρατέρου διαβάντος ἐξ Ἀσίας μετὰ πολλῆς δυνάμεως καὶ γενομένης πάλιν ἐν Κράνωνι παρατάξεως, ἡττήθησαν μὲν οἱ Ἕλληνες οὔτε μεγάλην ἧττων οὔτε πολλῶν πεσόντων, ἀπειθείᾳ δὲ πρὸς τοὺς ἄρχοντας ἐπιεικεῖς καὶ νέους ὄντας καὶ ἅμα τὰς πόλεις αὐτῶν πειρῶντος Ἀντιπάτρου διαῤῥυέντες αἴσχιστα προήκαντο τὴν ἐλευθερίαν. Εὐθὺς οὖν ἐπὶ τὰς Ἀθήνας ἄγοντος τοῦ Ἀντιπάτρου τὴν δύναμιν οἱ μὲν περὶ Δημοσθένην καὶ Ὑπερείδην ἀπηλλάγησαν ἐκ τῆς πόλεως, Δημάδης δὲ μηθὲν μέρος ὢν ὤφειλε χρημάτων ἐπὶ ταῖς καταδίκαις ἐκτῖσαι τῇ πόλει δυνάμενος (ἠλώκει γὰρ ἑπτὰ γραφὰς παρανόμων καὶ γεγονὼς ἄτιμος ἐξείργετο τοῦ λέγειν), ἄδειαν εὑρόμενος τότε γράφει ψήφισμα πέμπειν πρὸς Ἀντίπατρον ὑπὲρ εἰρήνης πρέσβεις

5, 27—28 H.

---

5. malim αὐτοῦ Schaeferi cl. mor. 188 d. λόγον F^a. 6. περιέπεμψαι F^a. 9. δείσας post πολεμίου ponit F^a. 11. αἰδῇ] εἰ δεῖ F^a. 12. ἀπὸ V^b. 14. μηκίωνα A. 15. ἀντιπάτρου λεοννάτῳ F^a. λεωνάτου BMV^b. 16. μαχόμενος libri praeter a. 17. λεόνατος B, κλεόννατος M, κλεονάτος V^b.

XXVI. 1. δὲ om i. κρατεροῦ libri et postea. 3. κράννωνι APF^a, κράνω C, fortasse praestat Κρανῶνι, cf. ad Demosth. 28. 4. ἀπαθείᾳ F^a. 7. οὖν] ἂν V^b. 8. τὴν om BMV^b. ὑπερείδην Ai: Ὑπερίδην v. 9. μηδὲν PF^a. 10. ἐκτῖσαι Schaeferus: ου ἐκτίσαι v. 11. καὶ παρανόμως MV^b, καὶ παρανομως B. 12. εὑράμενος MV^b. 13. πέμπειν Coraes: καὶ πέμπει libri.

αὐτοκράτορας. Φοβουμένου δὲ τοῦ δήμου καὶ καλοῦντος Φωκίωνα, καὶ μόνῳ πιστεύειν ἐκείνῳ λέγοντος „Ἀλλ' εἴγε ἐπιστευόμην" εἶπεν „ἐγὼ συμβουλεύων ὑμῖν, οὐκ ἂν νῦν ἐβουλευόμεθα περὶ πραγμάτων τοιούτων." Οὕτω δὲ τοῦ ψηφίσματος ἐπικυρωθέντος ἀπεστάλη πρὸς Ἀντίπατρον ἐν τῇ Καδμείᾳ στρατοπεδεύοντα καὶ παρασκευαζόμενον εὐθὺς εἰς τὴν Ἀττικὴν βαδίζειν. Καὶ τοῦτο πρῶτον ἤτει τὸ μένοντα κατὰ χώραν ποιήσασθαι τὰς διαλύσεις. Τοῦ δὲ Κρατέρου λέγοντος ὡς „Οὐ δίκαια πείθει Φωκίων ἡμᾶς, τὴν τῶν συμμάχων καὶ φίλων καθημένους χώραν κακῶς ποιεῖν δυναμένους ἐκ τῆς τῶν πολεμίων ὠφελεῖσθαι," λαβόμενος αὐτοῦ τῆς δεξιᾶς ὁ Ἀντίπατρος „Λοτέον" εἶπε „Φωκίωνι ταύτην τὴν χάριν." Περὶ δὲ τῶν ἄλλων ἐκέλευεν αὐτοῖς ἐπιτρέπειν τοὺς Ἀθηναίους, ὥσπερ ἐν Λαμίᾳ Λεωσθένης ἐκεῖνον.

XXVII. Ὡς οὖν ἐπανῆλθεν ὁ Φωκίων εἰς τὸ ἄστυ καὶ τοῖς Ἀθηναίοις ταῦτα ἔδοξεν ὑπ' ἀνάγκης, αὖθις εἰς Θήβας ἐβάδιζε μετὰ τῶν ἄλλων πρέσβεων, Ξενοκράτην τὸν φιλόσοφον τῶν Ἀθηναίων προσελομένων. Τοσοῦτον γὰρ ἦν ἀξίωμα τῆς ἀρετῆς τοῦ Ξενοκράτους καὶ δόξα καὶ λόγος παρὰ πᾶσιν, ὥστε οἴεσθαι μήτε ὕβριν εἶναι μήτε ὠμότητα μήτε θυμὸν ἐν ἀνθρωπίνῃ ψυχῇ φυόμενον, ᾧ Ξενοκράτους μόνον ὀφθέντος οὐκ ἂν αἰδοῦς τι καὶ τιμῆς ἐγγένοιτο πρὸς αὐτόν. Ἀπέβη δὲ τοὐναντίον ἀγνωμοσύνῃ τινὶ καὶ μισαγαθίᾳ τοῦ Ἀντιπάτρου. Πρῶτον μὲν γὰρ οὐκ ἠσπάσατο τὸν Ξενοκράτην τοὺς ἄλλους δεξιωσάμενος· ἐφ' ᾧ φασὶν εἰπεῖν ἐκεῖνον, ὡς Ἀντίπατρος καλῶς ποιεῖ μόνον αὐτὸν αἰσχυνόμενος ἐφ' οἷς ἀγνωμονεῖν μέλλει πρὸς τὴν πόλιν· ἔπειτα λέγειν ἀρξάμενον οὐχ ὑπομένων, ἀλλ' ἀντικρούων καὶ δυσκολαίνων ἐποίησεν ἀποσιωπῆσαι. Τῶν δὲ περὶ τὸν Φωκίωνα διαλεχθέντων ἀπεκρίνατο φιλίαν

5, 28—29 H.

---

14. τοῦ δημάδου F^a. καὶ καλοῦντος] καλοῦντός τε V. 15. μόνῳ P. 18. ἀπεστάλη] ἀνέβη F^a. ἐν τῇ] ἐπὶ BMV^b. 20. ἤτει τὸ] ἠτεῖτο corr. P. 26. ἐκέλευεν CPBMV^{b}F^a: ἐκέλευσεν v. αὐτοὺς B. 27. λεωσθένης ACPBMV^{b}RTSF^{a}qiV: Λεωσθένει v.

XXVII. 1. εἰς τὸ CPBMV^{b}F^{a}V: εἰς v. 2. ταῦτα CBMV^{b}F^{a}V: τὸ αὐτὸ v. ἐπ' Aia. 3. ξενοκράτην ABMV^{b}F^a: Ξενοκράτη v. 4. προσελομένων Hutterus: προελομένων libri. 7. ὅ PBMV^b, ὃ F. 12. μόνον om C. ἀγνωμονήσειν C.

ἔσεσθαι τοῖς Ἀθηναίοις καὶ συμμαχίαν ἐκδοῦσι μὲν τοὺς περὶ Δημοσθένην καὶ Ὑπερείδην, πολιτευομένοις δὲ τὴν πάτριον ἀπὸ τιμήματος πολιτείαν, δεξαμένοις δὲ φρουρὰν εἰς τὴν Μουνυχίαν, ἔτι δὲ χρήματα τοῦ πολέμου καὶ ζημίαν προσεκτίσασιν. Οἱ μὲν οὖν ἄλλοι πρέσβεις ἠγάπησαν ὡς φιλανθρώπους τὰς διαλύσεις πλὴν τοῦ Ξενοκράτους· ἔφη γὰρ ὡς μὲν δούλοις μετρίως κεχρῆσθαι τὸν Ἀντίπατρον, ὡς δὲ ἐλευθέροις βαρέως. Τοῦ δὲ Φωκίωνος παραιτουμένου τὴν φρουρὰν καὶ δεομένου λέγεται τὸν Ἀντίπατρον εἰπεῖν· „Ὦ Φωκίων, ἡμεῖς πάντα σοι χαρίζεσθαι βουλόμεθα πλὴν τῶν καὶ σὲ ἀπολούντων καὶ ἡμᾶς.“ Οἱ δὲ οὐχ οὕτως φασὶν, ἀλλὰ 754
ἐρωτῆσαι τὸν Ἀντίπατρον, εἰ τὴν φρουρὰν ἀνέντος αὐτοῦ τοῖς Ἀθηναίοις ὁ Φωκίων ἐγγυᾶται τὴν πόλιν ἐμμενεῖν τῇ εἰρήνῃ καὶ μηθὲν πολυπραγμονήσειν· σιωπῶντος δὲ ἐκείνου καὶ διαμέλλοντος, ἀναπηδήσαντα Καλλιμέδοντα τὸν Κάραβον, ἄνδρα θρασὺν καὶ μισόδημον, εἰπεῖν· „Ἐὰν δὲ οὗτος, ὦ Ἀντίπατρε, φλυαρῇ, σὺ πιστεύσεις καὶ οὐ πράξεις ἃ διέγνωκας;“

XXVIII. Οὕτω μὲν ἐδέξαντο φρουρὰν Μακεδόνων Ἀθηναῖοι καὶ Μένυλλον ἡγεμόνα, τῶν ἐπιεικῶν τινα καὶ τοῦ Φωκίωνος ἐπιτηδείων. Ἐφάνη δὲ ὑπερήφανον τὸ πρόσταγμα καὶ μᾶλλον ἐξουσίας ὕβρει χρωμένης ἐπίδειξις ἢ πραγμάτων ἕνεκα γιγνομένη κατάληψις. Οὐ μικρὸν δὲ τῷ πάθει προσέθηκεν ὁ καιρός. Εἰκάδι γὰρ ἡ φρουρὰ Βοηδρομιῶνος εἰσήχθη μυστηρίων ὄντων, ἧς τὸν Ἴακχον ἐξ ἄστεος Ἐλευσῖνάδε πέμπουσιν, ὥστε τῆς τελετῆς συγχυθείσης ἀναλογίζε-

5, 29–30 H.

---

16. τοῖς Ἀθηναίοις om F^a. 17. ὑπερείδην Ai: Ὑπερίδην v. πολιτευομένους CPB. δὲ] καὶ MV^b marg. C. 18. ἀπὸ τιμημάτων P, ἀποτιμηματώσων MV^b, ἀποτιμηματώσειν marg. C. 19. χρήματα τὰ τοῦ Emperius. 20. προσεκτίσωσιν MV^b. 24. τὸν om F^a. εἰπεῖν — 27 Ἀντίπατρον om M. 25. πάντας V. 26. καὶ σὲ] σὲ C, ἀπολλύντων P. οὕτω corr. AC. 27. ἐρωτῆσαι P, ἠρωτηθῆναι F^a margo Mureti V. 28. ἐμμενεῖν Stephanus: ἐμμένειν libri. 29. μηδὲν CF^a. 32. πιστεύεις V. 33. διέγνωκας BMV^b: ἔγνωκας v.

XXVIII. 2. καὶ om F^a. 3. πρᾶγμα P, πρᾶγμα C. 4. χρωμένη omissis ἐπίδειξις — γιγνομένη M. 5. γινομένη C. κατάλυσις x. 7. ἐλευσῖνα διαπέμπουσιν P.

σθαι τοὺς πολλοὺς καὶ τὰ πρεσβύτερα τῶν θείων καὶ τὰ πρόσφατα. Πάλαι μὲν γὰρ ἐν τοῖς ἀρίστοις εὐτυχήμασι τὰς μυστικὰς ὄψεις καὶ φωνὰς παραγενέσθαι σὺν ἐκπλήξει καὶ θάμβει τῶν πολεμίων, νῦν δὲ τοῖς αὐτοῖς ἱεροῖς τὰ δυσχερέστατα πάθη τῆς Ἑλλάδος ἐπισκοπεῖν τοὺς θεοὺς καὶ καθυβρίζεσθαι τὸν ἁγιώτατον τοῦ χρόνου καὶ ἥδιστον αὐτοῖς ἐπώνυμον τῶν μεγίστων κακῶν γενόμενον. Πρότερον μὲν οὖν ὀλίγοις ἔτεσι χρησμὸν ἐξήνεγκαν αἱ Δωδωνίδες τῇ πόλει τὰ ἀκρωτήρια τῆς Ἀρτέμιδος φυλάσσειν, ὅπως ἄλλοι μὴ λάβωσι· τότε δὲ περὶ τὰς ἡμέρας ἐκείνας αἱ ταινίαι μὲν, αἷς περιελίττουσι τὰς μυστικὰς κοίτας, βαπτόμεναι θάψινον ἀντὶ φοινικοῦ χρῶμα καὶ νεκρῶδες ἀνήνεγκαν· ὃ δὲ μεῖζον ἦν, τὰ παραβαπτόμενα τῶν ἰδιωτικῶν πάντα τὸ προσῆκον ἄνθος ἔσχε. Μύστην δὲ λούοντα χοιρίδιον ἐν Κανθάρῳ λιμένι κῆτος συνέλαβε καὶ τὰ κάτω μέρη τοῦ σώματος ἄχρι τῆς κοιλίας κατέπιε, προδεικνύντος αὐτοῖς τοῦ θεοῦ προφανῶς, ὅτι τῶν κάτω καὶ πρὸς θαλάσσῃ στερηθέντες τὴν ἄνω πόλιν διαφυλάξουσιν. Ἡ μὲν οὖν φρουρὰ διὰ Μένυλλον οὐδὲν ὠνίασε τοὺς ἀνθρώπους· τῶν δὲ ἀποψηφισθέντων τοῦ πολιτεύματος διὰ πενίαν ὑπὲρ μυρίους καὶ δισχιλίους γενομένων οἵ τε μένοντες ἐδόκουν σχέτλια καὶ ἄτιμα πάσχειν οἵ τε διὰ τοῦτο τὴν πόλιν ἐκλιπόντες καὶ μεταστάντες εἰς Θρᾴκην, Ἀντιπάτρου γῆν καὶ πόλιν αὐτοῖς παρασχόντος, ἐκπεπολιορκημένοις ἐῴκεσαν.

XXIX. Ὁ δὲ Δημοσθένους ἐν Καλαυρίᾳ καὶ Ὑπερείδου πρὸς Κλεωναῖς θάνατος, περὶ ὧν ἐν ἄλλοις γέγραπται, 5, 30—31 H.

---

10. καὶ πρόσφατα BMV^b. μεγίστοις ἀτυχήμασι x, cf. Zimmermanni diurn. antiq. stud. a. 1839 p. 107. 12. νῦν] ἦν F^a. 16. ἐξήγαγον P. 18. τῆς ἡμέρας ἐκείνης BMV^b. 19. κοίτας] cf. Lobeckium in Aglaophamo p. 1257 not. 21. πάντα P, πάντων C. 22. χειρίδιον B. Κανθάρῳ Florens Christianus ad schol. Aristoph. pac. v. 144 aliique: καθαρῷ libri. 24. προφανῶς ACBMV^{b}F^{a}TSV: φανερῶς v. 25. τὸν ἄνω C. 30. ἐκλιπόντες P, ἐκλείποντας MV^{b}F^a. 32. ἐῴκεισαν BM, ἐώκησαν F^a.

XXIX. 1. καλαβρίᾳ CBV^{b}F^a a et v. ὑπερείδου Ai: Ὑπερίδου v. 2. ἐν κλεωναῖς B. γέγραπται ACBMV^{b}F^a[P]V: περιγέγραπται v.

μονονοὺκ ἔρωτα καὶ πόθον Ἀθηναίοις Ἀλεξάνδρου καὶ Φιλίππου παρίστη. Καὶ τοῦτο, ὅπερ ὕστερον, ἀναιρεθέντος Ἀντιγόνου καὶ τῶν ἀνελόντων ἐκεῖνον ἀρξαμένων βιάζεσθαι καὶ λυπεῖν τοὺς ἀνθρώπους, ἀνὴρ ἄγροικος ἐν Φρυγίᾳ χωρίον ὀρύττων πυθομένου τινός „Τί ποιεῖς;“ στενάξας „Ἀντίγονον“ εἶπε, „ζητῶ.“ τοῦτο πολλοῖς ἐπῆλθε λέγειν διαμνημονεύουσι τὸν ἐκείνων τῶν βασιλέων θυμόν, ὡς τὸ μέγα καὶ γενναῖον εὐπαραίτητον εἶχον, οὐχ ὥσπερ Ἀντίπατρος ἰδιώτου προσώπῳ καὶ φαυλότητι χλαμυδίου καὶ διαίτης εὐτελείᾳ κατειρωνευόμενος τὴν ἐξουσίαν ἐπαχθέστερος ἦν τοῖς πάσχουσι κακῶς δεσπότης καὶ τύραννος. Ὅμως δ' οὖν ὁ Φωκίων καὶ φυγῆς ἀπήλλαξε πολλοὺς δεηθεὶς τοῦ Ἀντιπάτρου καὶ φεύγουσι διεπράξατο, μὴ καθάπερ οἱ λοιποὶ τῶν μεθισταμένων ὑπὲρ τὰ Κεραύνια ὄρη καὶ τὸν Ταίναρον ἐκπεσεῖν τῆς Ἑλλάδος, ἀλλὰ ἐν Πελοποννήσῳ κατοικεῖν, ὧν καὶ Ἀγνωνίδης ἦν ὁ συκοφάντης. Ἐπιμελόμενος δὲ τῶν κατὰ τὴν πόλιν πράως καὶ νομίμως τοὺς μὲν ἀστείους καὶ χαρίεντας ἐν ταῖς ἀρχαῖς ἀεὶ συνεῖχε, τοὺς δὲ 755
πολυπράγμονας καὶ νεωτεριστὰς αὐτῷ τῷ μὴ ἄρχειν μηδὲ θορυβεῖν ἀπομαραινομένους ἐδίδαξε φιλοχωρεῖν καὶ ἀγαπᾶν γεωργοῦντας. Ὁρῶν δὲ τὸν Ξενοκράτην τελοῦντα τὸ μετοίκιον ἐβούλετο γράψαι πολίτην· ὁ δὲ ἀπεῖπε φήσας οὐκ ἂν μετασχεῖν ταύτης τῆς πολιτείας, περὶ ἧς ἐπρέσβευεν, ἵνα μὴ γένηται.

XXX. Τοῦ δὲ Μενύλλου δωρεὰν αὐτῷ καὶ χρήματα διδόντος ἀπεκρίνατο μήτ' ἐκεῖνον Ἀλεξάνδρου βελτίονα εἶναι μήτε κρείττονα τὴν αἰτίαν, ἐφ' ᾗ λήψεται νῦν ὁ τότε μὴ δεξάμενος. Ἀλλὰ Φώκῳ γε τῷ παιδὶ λαβεῖν δεομένου τοῦ Μενύλλου, „Φώκῳ μέν,“ εἶπεν „ἐὰν μὲν σωφρονῇ μεταβαλό-

5, 31–33 H.

3. μόνον P. 4. τοῦτο cum Reiskio delent nuperi. si duplex τοῦτο intolerabile, versu 9 poterit τότε πολλοῖς corrigi. 6. ἀγροῖκος C.
12. κακῶς Coraes: κακῶς F, κακὸς libri praeter C et cod. Stephani (, legitur etiam') qui κακοῦ δεσπότου καὶ τυράννου. 14. δεηθεὶς τοῦ Ἀντιπάτρου om C. 15. οἱ λησταὶ M. ὄρη om $C F^a$. 17. ἀγρωνίδης A, ἀγωνίδης F^aia, Ἀγνωνίδης v, correxi spiritum. 22. γε ἀργοῦντας V^b, ἀργοῦντας C. 24. ἐπρέβευσεν Schaeferi C.

XXX. 2. βελτίονα εἶναι] hiatus, ut videtur, tolerabilis. 5. μὲν] δὲ PBM$V^b F^a$, γε C. μεταβαλόμενος Corais ACB: μεταβαλλόμενος v.

μενος, ἀρκέσει τὰ τοῦ πατρός· ὡς δ' ἔχει νῦν, οὐδὲν ἱκανόν ἐστιν." Ἀντιπάτρῳ δὲ τραχύτερον ἀπεκρίνατο βουλομένῳ τι γενέσθαι δι' αὐτοῦ τῶν μὴ πρεπόντων· „Οὐ δύναται γὰρ" εἶπεν „Ἀντίπατρος ἅμα μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι." Τὸν δὲ Ἀντίπατρον αὐτὸν εἰπεῖν λέγουσιν, ὡς δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, Φωκίωνος καὶ Δημάδου, τὸν μὲν λαβεῖν οὐ πέπεικε, τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκε. Καὶ μέντοι Φωκίων μὲν ὡς ἀρετὴν ἐπεδείκνυτο τὴν πενίαν, ἐν ᾗ τοσαυτάκις Ἀθηναίων στρατηγήσας καὶ βασιλεῦσι φίλοις χρησάμενος ἐγκατεγήρασε, Δημάδης δὲ τῷ πλούτῳ καὶ παρανομῶν ἐκαλλωπίζετο. Νόμου γὰρ ὄντος Ἀθήνησι τότε, μὴ χορεύειν ξένον ἢ χιλίας ἀποτίνειν τὸν χορηγὸν, ἅπαντας εἰσαγαγὼν ξένους τοὺς χορεύοντας ἑκατὸν ὄντας ἅμα καὶ τὴν ζημίαν ἀνὰ χιλίας ὑπὲρ ἑκάστου εἰσήνεγκεν εἰς τὸ θέατρον. Δημέᾳ δὲ τῷ υἱῷ νύμφην ἀγόμενος „Ἐμοῦ μὲν" εἶπεν „ὦ παῖ, τὴν σὴν μητέρα γαμοῦντος οὐδὲ ὁ γείτων ἤσθετο· τοῖς δὲ σοῖς γάμοις καὶ βασιλεῖς καὶ δυνάσται συγχορηγοῦσιν." Ἐνοχλούντων δὲ τῷ Φωκίωνι τῶν Ἀθηναίων, ὅπως ἀπαλλάξῃ τὴν φρουρὰν πείσας τὸν Ἀντίπατρον, εἴτε μὴ προσδοκῶν πείσειν εἴτε μᾶλλον ὁρῶν σωφρονοῦντα τὸν δῆμον καὶ πολιτευόμενον εὐτάκτως διὰ τὸν φόβον, ἐκείνην μὲν ἀεὶ διωθεῖτο τὴν πρεσβείαν, τὰ δὲ χρήματα μὴ πράττειν, ἀλλὰ μέλλειν καὶ ἀναβάλλεσθαι τὸν Ἀντίπατρον ἔπεισε. Μεταβάντες οὖν Δημάδην παρεκάλουν. Ὁ δὲ προθύμως ὑπέστη καὶ τὸν υἱὸν ἔχων ἀπῆρεν εἰς Μακεδονίαν ὑπὸ δαίμονός τινος, ὡς ἔοικεν, εἰς τοῦτο καιροῦ κομισθείς, ἐν ᾧ κατείχετο μὲν Ἀντίπατρος ἤδη νόσῳ, Κάσανδρος δὲ τῶν πραγμάτων ἐγκρατὴς γεγονὼς εὗρεν ἐπιστολὴν Δημάδου γεγραμμένην πρὸς Ἀντίγονον εἰς Ἀσίαν παρακαλοῦντος αὐτὸν ἐπιφανῆναι τοῖς περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν ἐκ παλαιοῦ καὶ σαπροῦ κρεμαμένοις στήμονος, τὸν Ἀντίπατρον οὕτω σκώψαντος. Ὡς οὖν εἶδεν αὐτὸν ἀφιγμένον ὁ Κάσανδρος, συνέλαβε, καὶ πρῶτα μὲν τὸν υἱὸν ἐγγὺς

5, 33—34 H.

---

8. γενέσθαι PBV^b et C qui post πρεπόντων transponit: γίνεσθαι v. 10. δυοῖν C. 19. scribam συνεισήνεγκε. 22. χορηγοῦσιν C. 28. δημάδη V^b. 32. κάσανδρος CPBV^b et statim: Κάσσανδρος v. ἤδη post ἐγκρατὴς repetit C. 35. Λακεδαιμονίαν C. 37. ἐγγὺς τὸν υἱὸν B.

προσαγαγὼν προέσφαξεν, ὥστε καταδέξασθαι τοῖς κόλποις τὸ αἷμα τὸν πατέρα καὶ καταπλησθῆναι τοῦ φόνου, μετὰ ταῦτα δὲ εἰς ἀχαριστίαν αὐτὸν καὶ προδοσίαν πολλὰ λοιδορήσας καὶ καθυβρίσας ἀπέκτεινεν.

XXXI. Ἐπεὶ δὲ Ἀντίπατρος ἀποδείξας Πολυσπέρχοντα στρατηγὸν, Κάσανδρον δὲ χιλίαρχον ἐξέλιπεν, εὐθὺς διαναστὰς ὁ Κάσανδρος καὶ προκαταλαμβάνων τὰ πράγματα πέμπει κατὰ τάχος Νικάνορα τῷ Μενύλλῳ διάδοχον τῆς φρουραρχίας, πρὶν ἔκδηλον τὸν Ἀντιπάτρου θάνατον γενέσθαι κελεύσας τὴν Μουνυχίαν παραλαβεῖν. Γενομένου δὲ τούτου καὶ μεθ' ἡμέρας ὀλίγας πυθομένων τῶν Ἀθηναίων, ὅτι τέθνηκεν ὁ Ἀντίπατρος, ἐν αἰτίαις ὁ Φωκίων ἦν καὶ κακῶς 756
ἤκουεν, ὡς προαισθόμενος καὶ κατασιωπήσας χάριτι τοῦ Νικάνορος. Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐντυγχάνων δὲ τῷ Νικάνορι καὶ διαλεγόμενος εἴς τε τἆλλα τοῖς Ἀθηναίοις πρᾷον αὐτὸν καὶ κεχαρισμένον παρεῖχε καὶ φιλοτιμίας τινὰς ἔπεισε καὶ δαπάνας ὑποστῆναι γενόμενον ἀγωνοθέτην.

XXXII. Ἐν τούτῳ δὲ καὶ Πολυσπέρχων τὴν τοῦ βασιλέως ἐπιμέλειαν ἔχων ὑφ' ἑαυτῷ καὶ καταπολιτευόμενος τὸν Κάσανδρον ἔπεμψεν ἐπιστολὴν τοῖς ἐν ἄστει γεγραμμένην, ὡς τοῦ βασιλέως ἀποδιδόντος αὐτοῖς τὴν δημοκρατίαν καὶ πολιτεύεσθαι κατὰ τὰ πάτρια πάντας Ἀθηναίους κελεύοντος. Ἦν δὲ τοῦτο κατὰ τοῦ Φωκίωνος ἐπιβουλή. Συσκευαζόμενος γὰρ εἰς ἑαυτὸν, ὡς μικρὸν ὕστερον ἔδειξε τοῖς ἔργοις, ὁ Πολυσπέρχων τὴν πόλιν, οὐδὲν ἤλπιζε περαίνειν, μὴ τοῦ Φωκίωνος ἐκπεσόντος· ἐκπεσεῖσθαι δὲ ἐκεῖνον ἅμα τῶν ἀπεψηφισμένων ἐπιχυθέντων τῇ πολιτείᾳ καὶ πάλιν τὸ βῆμα δημα-

5, 34—35 H.

38. προσαγαγὼν Reiskii CBMV^{b}F^{a}: προαγαγὼν v. προσέσφαξεν F^{a}ia, ἀπέσφαξεν C. aut hoc malim aut ἔσφαξεν. ὥστε καὶ F^{a}. 40. ἀχρηστίαν BMV^{b}.

XXXI. 1. πολυσπέρχοντα constanter CBF^{a}Vx: Πολυπέρχοντα v. 2. κάσανδρον et mox praeter ceteros hic et c. 32 etiam A. δὲ in marg. habet C. 3. καταλαβὼν C. τὰ — τάχος om BMV^{b}. 4. τὸν μενύλλου CPBMV^{b}F^{a}. φρουραρχίας x secundum Amiotum (‚capitaine de la garnison d'Athenes'): φυλαρχίας libri. 8. ὁ om PV^{b}F^{a}. 11. τῷ om C.

XXXII. 1. καὶ om P. πολυσπέρχων praeter CBF^{a} hic etiam M: Πολυπέρχων v. 2. ἔχων ἐπιμέλειαν C. αὐτῷ Stephaniana. 7. τοῖς ἔργοις om C.

γωγῶν κατασχόντων καὶ συκοφαντῶν. Ὑποκινουμένων δὲ πρὸς ταῦτα τῶν Ἀθηναίων βουλόμενος ἐντυχεῖν αὐτοῖς ὁ Νικάνωρ, ἐν Πειραιεῖ βουλῆς γενομένης, παρῆλθε τῷ Φωκίωνι ἐμπιστεύσας τὸ σῶμα. Δερκύλλου δὲ τοῦ ἐπὶ τῆς χώρας στρατηγοῦ συλλαβεῖν αὐτὸν ἐπιχειρήσαντος, ἐκεῖνος μὲν προαισθόμενος ἐξεπήδησε καὶ φανερὸς ἦν εὐθὺς ἀμυνούμενος τὴν πόλιν, ὁ δὲ Φωκίων ἐπὶ τῷ προέσθαι τὸν ἄνδρα καὶ μὴ κατασχεῖν ἐγκαλούμενος ἔφη πιστεύειν μὲν τῷ Νικάνορι καὶ μηδὲν ἀπ' αὐτοῦ προσδοκᾶν δεινόν· εἰ δὲ μή, μᾶλλον ἐθέλειν ἀδικούμενος ἢ ἀδικῶν φανερὸς γενέσθαι. Τοῦτο δὲ ὑπὲρ αὐτοῦ μὲν ἄν τινι σκοποῦντι δοκοίη καλοκαγαθικῶς λελέχθαι καὶ γενναίως· ὁ δὲ εἰς πατρίδος ἀποκινδυνεύων σωτηρίαν καὶ ταῦτα στρατηγὸς καὶ ἄρχων, οὐκ οἶδα, μὴ μεῖζόν τι παραβαίνει καὶ πρεσβύτερον τὸ πρὸς τοὺς πολίτας δίκαιον. Οὐδὲ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι φοβούμενος μὲν εἰς πόλεμον ἐμβαλεῖν τὴν πόλιν ὁ Φωκίων ἀπέσχετο τοῦ Νικάνορος, ἄλλως δὲ προὐβάλλετο τὴν πίστιν καὶ τὸ δίκαιον, ὅπως αἰδούμενος ἐκεῖνον ἡσυχίαν ἄγῃ καὶ μηδὲν ἀδικῇ τοὺς Ἀθηναίους, ἀλλ' ὄντως ἔοικεν ἰσχυρά τις αὐτῷ περὶ τοῦ Νικάνορος ἐγγενέσθαι πίστις, ὃν γε πολλῶν προδιαβαλλόντων καὶ κατηγορούντων ἐπιτίθεσθαι τῷ Πειραιεῖ καὶ διαβιβάζειν εἰς Σαλαμῖνα ξένους καὶ διαφθείρειν τινὰς τῶν ἐν Πειραιεῖ κατοικούντων οὐ προσήκατο τὸν λόγον οὐδ' ἐπίστευσεν, ἀλλὰ καὶ Φιλομήδου τοῦ Λαμπρέως ψήφισμα γράψαντος, Ἀθηναίους ἅπαντας ἐν τοῖς ὅπλοις εἶναι καὶ τῷ στρατηγῷ Φωκίωνι προσέχειν, ἠμέλησεν, ἄχρις οὗ προσάγων ὁ Νικάνωρ ἐκ τῆς Μουνυχίας τὰ ὅπλα τὸν Πειραιᾶ περιετάφρευσε.

XXXIII. Πραττομένων δὲ τούτων ὁ μὲν Φωκίων ἐθορυβεῖτο καὶ κατεφρονεῖτο τοὺς Ἀθηναίους ἐξάγειν βουλόμε-

5, 35—36 H.

---

14. ἐμπιστεῦσαι P, scribam πιστεύσας. 15. μὲν om C. 16. ἀμυνόμενος BMV^b. 20. num τὸ ὑπὲρ? 22. ὁ δὲ] οὐδὲ M. 24. παραβαίνῃ CF^a. τοὺς om F^a. 26. τὴν πόλιν] εἰς πόλιν V. 27. προὐβάλετο Schaeferi C. 28. ἐκεῖνον Stephani R: om AFia, ἐκεῖνος CBMV^{b}πVx. 29. αὐτὸν C. 30. προδιαβαλλόντων Reiskius: προσδιαβαλλόντων v. 33. ἐπίστασεν F^a. 34. Φιλομήλου τοῦ Λαμπτρέως Car. Keilius secundum Boeckhii C. I. n. 675 cl. Boeckhio ad n. 670. quamquam Αἰσχίνης ὁ Λαμπρεὺς Aristid. 13, 16. 36. μέχρις F^a, praestat ἄχρι. προάγων A. 37. πειρεᾶ V^b.

νος, Ἀλέξανδρος δὲ ὁ Πολυσπέρχοντος υἱὸς ἦκε μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ τὸν Νικάνορα τοῖς ἐν ἄστει βοηθήσων, ἔργῳ δὲ τὴν πόλιν, εἰ δύναιτο, καταληψόμενος αὐτὴν ἑαυτῇ περιπετῆ γενομένην. Οἵ τε γὰρ φυγάδες αὐτῷ συνεισβαλόντες εὐθὺς ἦσαν ἐν ἄστει καὶ τῶν ξένων ἅμα καὶ τῶν ἀτίμων πρὸς αὐτοὺς εἰσδραμόντων ἐκκλησία παμμιγὴς ἠθροίσθη καὶ ἄτακτος, ἐν ᾗ τὸν Φωκίωνα τῆς ἀρχῆς ἀπολύσαντες ἑτέρους εἵλοντο στρατηγούς. Εἰ δὲ μὴ συνιὼν εἰς λόγους ὁ Ἀλέξανδρος τῷ Νικάνορι μόνος παρὰ τὸ τεῖχος ὤφθη καὶ τοῦτο ποιοῦντες πολλάκις ὑποψίαν τοῖς Ἀθηναίοις παρέσχον, οὐκ ἂν ἡ πόλις διέφυγε τὸν κίνδυνον. Ἐπεὶ δὲ Ἀγνωνίδης ὁ ῥήτωρ εὐθὺς ἐπεφύετο τοῖς περὶ τὸν Φωκίωνα καὶ κατηγόρει 757
προδοσίας, οἱ μὲν περὶ Καλλιμέδοντα καὶ Χαρικλέα φοβηθέντες ἀπῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ Φωκίων καὶ μετ' αὐτοῦ τῶν φίλων οἱ παραμείναντες ᾤχοντο πρὸς Πολυσπέρχοντα· καὶ συνεξῆλθον αὐτοῖς χάριτι τοῦ Φωκίωνος ὁ Πλαταιεὺς Σόλων καὶ Δείναρχος ὁ Κορίνθιος, ἐπιτήδειοι τοῦ Πολυσπέρχοντος εἶναι δοκοῦντες καὶ συνήθεις. Ἀρρωστίᾳ δὲ χρησαμένου τοῦ Δεινάρχου συχνὰς ἡμέρας ἐν Ἐλατείᾳ διέτριψαν, ἐν αἷς Ἀγνωνίδου πείσαντος, Ἀρχεστράτου δὲ τὸ ψήφισμα γράψαντος, ἔπεμπε πρεσβείαν ὁ δῆμος κατηγορήσουσαν τοῦ Φωκίωνος. Ἅμα δὲ καὶ συνέμιξαν ἀμφότεροι τῷ Πολυσπέρχοντι μετὰ τοῦ βασιλέως πορευομένῳ περὶ κώμην τινὰ τῆς Φωκίδος, Φαρύγας, κειμένην ὑπὸ τὸ Ἀκρούριον ὄρος, ὃ νῦν Γαλάτην καλοῦσιν. Ἐνταῦθα δὴ θεὶς ὁ Πολυσπέρχων τὸν χρυσοῦν οὐρανίσκον καὶ καθίσας ὑπ' αὐτῷ τὸν βασιλέα καὶ τοὺς φίλους τὸν μὲν Δείναρχον εὐθὺς ἐκ προόδου λαβεῖν ἐκέλευσε καὶ στρεβλώσαντας ἀποκτεῖναι,

5, 36—37 H.

XXXIII. 3. *δὲ* om V^b. 6. *συνεισβαλόντες αὐτῷ* C, *συνεισβάλλοντες* P. 8. *συνδραμόντων* F^a. 13. *ἀγνωνίδης* libri et postea. 14. *εὐθὺς* om BMV^b. *τὸν* om C. 15. *Χαρικλέα* Bryanus: *περικλέα* libri. 16. *ἐκ* om C. 17. *πρὸς τὸν* C. 20. *δοκοῦσι* MV^b, *δοκοῦντες εἶναι* F^a. 22. *ἀρχιστράτου* CF^a. 23. *ἔπεμψε* CM. 25. *τῷ πολυπέρχοντι ἀμφότεροι* CF^a. 26. *Φαρύγας* Coraes: *Φάρυγας* v. *κειμένην*] *λεγομένην* C. *ὑπὸ* PBV^b: *περὶ* v. *ἀκρώρειον* BMV^b. 27. *ὃ νῦν Γαλάτην*] *ὃν αὐγαλάτην* M. 28. *οὐρανίσκον τὸν χρυσοῦν* BM$V^b F^a$. 29. *ἐκ προόδου* om C, *ἐκ πρώτου* ceteri praeter marg Fia, num *ἐκ προσόδου*?

τοῖς δὲ Ἀθηναίοις ἀπέδωκε λόγον. Ὡς δὲ θόρυβον καὶ κραυγὴν ἐποίουν ἀντικατηγοροῦντες ἀλλήλων ἐν τῷ συνεδρίῳ καὶ προσελθὼν ὁ Ἀγνωνίδης εἶπεν „Ἅπαντας ἡμᾶς εἰς μίαν ἐμβαλόντες γαλεάγραν Ἀθηναίοις ἀναπέμψατε λόγον ὑφέξοντας,“ ὁ μὲν βασιλεὺς ἐγέλασεν, οἱ δὲ περιεστῶτες τῷ συνεδρίῳ Μακεδόνες καὶ ξένοι σχολὴν ἄγοντες ἐπεθύμουν ἀκούειν καὶ τοὺς πρέσβεις παρεκάλουν ἀπὸ νεύματος ἐνταῦθα ποιεῖσθαι τὴν κατηγορίαν. Ἦν δὲ οὐδὲν ἴσον, ἀλλὰ τῷ μὲν Φωκίωνι πολλάκις ἀντέκρουσεν ὁ Πολυσπέρχων λέγοντι, μέχρις οὗ τῇ βακτηρίᾳ πατάξας τὴν γῆν ἀπέστη καὶ κατεσιώπησεν. Ἡγήμονος δὲ φήσαντος, ὅτι μάρτυς αὐτῷ τῆς πρὸς τὸν δῆμον εὐνοίας Πολυσπέρχων ἐστί, καὶ τοῦ Πολυσπέρχοντος ἀποκριναμένου πρὸς ὀργήν „Παῦσαί μου πρὸς τὸν βασιλέα καταψευδόμενος,“ ἀναπηδήσας ὁ βασιλεὺς ὥρμησε λόγχῃ τὸν Ἡγήμονα πατάξαι. Ταχὺ δὲ τοῦ Πολυσπέρχοντος περιλαβόντος αὐτὸν οὕτω διελύθη τὸ συνέδριον.

XXXIV. Τὸν δὲ Φωκίωνα καὶ τοὺς μετ' αὐτοῦ φυλακῆς περιεχούσης, ὅσοι τῶν ἑταίρων ἔτυχον οὐκ ἐγγὺς ἑστῶτες, ὡς τοῦτο εἶδον, ἐγκαλυψάμενοι καὶ διαφυγόντες ἐσώθησαν. Ἐκείνους δὲ Κλεῖτος εἰς Ἀθήνας ἀνῆγε λόγῳ μὲν κριθησομένους, ἔργῳ δὲ ἀποθανεῖν κατακεκριμένους. Καὶ προσῆν τὸ σχῆμα τῇ κομιδῇ λυπηρὸν, ἐφ' ἁμάξαις κομιζομένων αὐτῶν διὰ τοῦ Κεραμεικοῦ πρὸς τὸ θέατρον· ἐκεῖ γὰρ αὐτοὺς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν, ἄχρι οὗ τὴν ἐκκλησίαν ἐπλήρωσαν οἱ ἄρχοντες, οὐ δοῦλον, οὐ ξένον, οὐκ ἄτιμον ἀποκρί-

5, 37—38 H.

---

31. nonne ἔδωκε vel ἐπέδωκε? nam Dionysii Halic. t. 2 p. 967 R.: ἀγορὰν ποιησάμενοι τῶν πόλεων Ταρκυνίοις τ' αὖθις ἀποδόντες λόγον suspectum habeo propter eiusdem p. 917: ἐπέδωκεν αὐτοῖς λόγον. 32. καὶ om MV^{b}. 33. παρελθὼν F^{a}. ἡμᾶς om C. ἐμβάλλοντες F^{a}. 34. γαλεάγραν ἐμβαλόντες C, μελεάγραν M. 38. ἦν δὲ] ἦν BMV^{b}. 39. praestat μέχρι. 41. ἡγημόνος et mox ἡγημόνα P, ἡγεμόνος et ἡγεμόνα ABCi. 42. ὁ πολυσπέρχων F^{a}. 43. ἀποκρινομένου CPMV^{b}. τὸν om C. 44. ὥρεαlm μησαι V^{b}.

XXXIV. 1. τοῖς MV^{b}. 2. περισχούσης C. 6. τῷ σχήματι κομιδῇ CBMV^{b}P qui κομιδῃ. τῇ om F^{a}. ἐπ' ἁμάξαις ACPBMV^{b}ia. 7. κεραμεικοῦ Corais CBMV^{b}: Κεραμικοῦ v. 8. ἄχρι P: ἄχρις v. ἐπλήρωσαν Reiskius: ἐκλήρωσαν libri. 9. ἀποκρίνοντες CBMV^{b}.

ναντες, ἀλλὰ πᾶσι καὶ πάσαις ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες. Ἐπεὶ δὲ ἥ τ' ἐπιστολὴ τοῦ βασιλέως ἀνεγνώσθη, λέγοντος αὐτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τοὺς ἄνδρας, ἐκείνοις δὲ διδόναι τὴν κρίσιν ἐλευθέροις τε δὴ καὶ αὐτονόμοις οὖσι, καὶ τοὺς ἄνδρας ὁ Κλεῖτος εἰσήγαγεν, οἱ μὲν βέλτιστοι τῶν πολιτῶν ὀφθέντος τοῦ Φωκίωνος ἐνεκαλύψαντο καὶ κάτω κύψαντες ἐδάκρυον, εἷς δὲ ἀναστὰς ἐτόλμησεν εἰπεῖν, ὅτι, τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τοῦ βασιλέως, καλῶς ἔχει τοὺς δούλους καὶ τοὺς ξένους ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. Οὐκ ἀνασχομένων δὲ τῶν πολλῶν, ἀλλ' ἀνακραγόντων βάλλειν τοὺς ὀλιγαρχικοὺς καὶ μισοδήμους, ἄλλος μὲν οὐδεὶς ὑπὲρ τοῦ Φωκίωνος ἐπεχείρησεν εἰπεῖν, αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθεὶς „Πότερον" εἶπεν „ἀδίκως ἢ δικαίως ἀποκτεῖναι βούλεσθε ἡμᾶς;" Ἀποκριναμένων δέ τινων, ὅτι δικαίως „Καὶ τοῦτο" ἔφη „πῶς γνώσεσθε μὴ ἀκούσαντες;" Ἐπεὶ δὲ οὐθὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθών, „Ἐγὼ μὲν" εἶπεν „ἀδικεῖν ὁμολογῶ καὶ θανάτου τιμῶμαι τὰ πεπολιτευμένα ἐμαυτῷ· τούτους δέ, ἄνδρες Ἀθηναῖοι, διὰ τί ἀποκτενεῖτε μηδὲν ἀδικοῦντας;" Ἀποκριναμένων δὲ πολλῶν „Ὅτι σοὶ φίλοι εἰσίν," ὁ μὲν Φωκίων ἀποστὰς ἡσυχίαν ἦγεν, ὁ δὲ Ἀγνωνίδης ψήφισμα γεγραμμένον ἔχων ἀνέγνω, καθ' ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν, τοὺς δὲ ἄνδρας, ἂν καταχειροτονηθῶσιν, ἀποθνήσκειν. 758

XXXV. Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς Φωκίων ἀποθάνοι, καὶ τὸν τροχὸν εἰσφέρειν καὶ τοὺς ὑπηρέτας καλεῖν προσέταττον. Ὁ δὲ Ἀγνωνίδης καὶ τὸν Κλεῖτον ὁρῶν δυσχεραίνοντα καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος „Ὅταν" ἔφη „Καλλιμέδοντα τὸν μαστιγίαν λάβωμεν, ὦ ἄν-

5, 38—39 H.

---

10. ἀναπετόμενον BV^b. 14. τε δὴ] ἤδη Vx nuperi. 17. ἐγκεχειρηκότος MV^{b}F^a. 20. τῶν om F^a. ἀνακεκραγότων C. 24. ἀποκρινομένων CP. 25. οὐθὲν APBi: οὐδὲν v. 26. ἀδικεῖν εἶπεν C. 27. θανάτῳ A. 29. δὲ om V^b. 30. ἐγγεγραμμένον BMV^b. 32. περὶ τῶν οἳ δοκοῦσιν BMV^b. 33. ἀποχειροτονηθῶσιν F^{a}V.

XXXV. 2. ἀποθάνῃ B. 5. καὶ μιαρὸν εἶναι BMV^b. 6. ὦ ἄνδρες ἀθηναῖοι λάβωμεν C.

δρες Ἀθηναῖοι, [λαβόντες] στρεβλώσομεν· περὶ δὲ Φωκίωνος οὐδὲν ἐγὼ γράφω τοιοῦτον.“ Ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν· „Ὀρθῶς γε σὺ ποιῶν· ἂν γὰρ Φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν;“ Ἐπικυρωθέντος δὲ τοῦ ψηφίσματος καὶ τῆς χειροτονίας ἀποδοθείσης, οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάντες, οἱ δὲ πλεῖστοι καὶ στεφανωσάμενοι κατεχειροτόνησαν αὐτῶν θάνατον. Ἦσαν δὲ σὺν τῷ Φωκίωνι Νικοκλῆς, Θούδιππος, Ἡγήμων, Πυθοκλῆς· Δημητρίου δὲ τοῦ Φαληρέως καὶ Καλλιμέδοντος καὶ Χαρικλέους καί τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.

XXXVI. Ὡς οὖν διαλύσαντες τὴν ἐκκλησίαν ἦγον εἰς τὸ δεσμωτήριον τοὺς ἄνδρας, οἱ μὲν ἄλλοι, περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνοῦντες ἐβάδιζον, τὸ δὲ Φωκίωνος πρόσωπον οἷον ὅτε στρατηγῶν ἀπ' ἐκκλησίας προὐπέμπετο βλέποντες ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τοῦ ἀνδρός. Οἱ δὲ ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες· εἷς δὲ καὶ προσέπτυσεν ἐξεναντίας προσελθών. Ὅτε καὶ τὸν Φωκίωνα λέγεται βλέψαντα πρὸς τοὺς ἄρχοντας εἰπεῖν· „Οὐ παύσει τις ἀσχημονοῦντα τοῦτον;“ Ἐπεὶ δὲ Θούδιππος ἐν τῷ δεσμωτηρίῳ γενόμενος καὶ τὸ κώνειον ὁρῶν τριβόμενον ἠγανάκτει καὶ κατέκλαιε τὴν συμφορὰν, ὡς οὐ προσηκόντως τῷ Φωκίωνι συναπολλύμενος, „Εἶτα οὐκ ἀγαπᾷς“ εἶπεν „ὅτι μετὰ Φωκίωνος ἀποθνήσκεις;“ Ἐρομένου δέ τινος τῶν φίλων, εἴ τι πρὸς Φῶκον λέγει τὸν υἱόν· „Πάνυ μὲν οὖν“ ἔφη „λέγω μὴ μνησικακεῖν Ἀθηναίοις.“ Τοῦ δὲ Νικοκλέους, ὃς ἦν αὐτῷ πιστότατος τῶν φίλων, παρακαλοῦντος, ὅπως αὐτὸν ἐάσῃ τὸ φάρμακον πιεῖν πρότερον, „Βαρὺ μὲν“ εἶπεν „ὦ Νικόκλεις, ἐμοὶ τὸ αἴτημα καὶ

5, 39—40 H.

---

7. λαβόντες om CPBMV^{b}qF^{a} cum Reiskio, recte, ut arbitror. sin, latere suspicor ἄγοντες. δὲ τοῦ Stephanianae F^{a}. 8. οὐδὲν post ἐγὼ inter lin. addit A. 13. τῷ om CBV^{b}. 14. Ἡγήμων om F^{a}, ἡγεμὼν Ai. 15. φαλληρέως C. 16. ἀπόντων om C, ἁπάντων BMV^{b}.

XXXVI. 3. αὐτοῖς τῶν φίλων C. ἀποθρηνοῦντες C. 4. ὅτε] ὥσπερ Aia, ὅσπερ corr. F. στρατηγὸν V^{b} pr. F. 5. προὐπέμποντο F^{a}. 11. κατέκλαε B. 12. συναπολυόμενος P. 14. λέγοι C. 15. λέγω] λέγων pr. FV. 18. εἶπας V^{b}.

λυπηρόν, ἐπεὶ δὲ οὐδὲ ἄλλο οὐδέποτέ σοι παρὰ τὸν βίον οὐδὲν ἠχαρίστησα, καὶ τοῦτο συγχωρῶ.“ Πεπωκότων δὲ ἤδη πάντων τὸ φάρμακον ἐπέλιπε καὶ ὁ δημόσιος οὐκ ἔφη τρίψειν ἕτερον, εἰ μὴ λάβοι δώδεκα δραχμὰς, ὅσου τὴν ὁλκὴν ὠνεῖται. Χρόνου δὲ γενομένου καὶ διατριβῆς ὁ Φωκίων καλέσας τινὰ τῶν φίλων καὶ εἰπὼν, εἰ μηδὲ ἀποθανεῖν Ἀθήνησι δωρεάν ἐστιν, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον.

XXXVII. Ἦν δὲ ἡμέρα μηνὸς Μουνυχιῶνος ἐνάτη ἐπὶ δέκα καὶ τῷ Διὶ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξῄεσαν· ὧν οἱ μὲν ἀφεῖλοντο τοὺς στεφάνους, οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. Ἐφάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεφθαρμένοις ὑπ᾽ ὀργῆς καὶ φθόνου τὴν ψυχὴν ἀνοσιώτατον γεγονέναι τὸ μηδ᾽ ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην μηδὲ καθαρεῦσαι δημοσίου φόνου τὴν πόλιν ἑορτάζουσαν. Οὐ μὴν ἀλλ᾽ ὥσπερ ἐνδεέστερον ἠγωνισμένοις τοῖς ἐχθροῖς ἔδοξε καὶ τὸ σῶμα τοῦ Φωκίωνος ἐξορίσαι καὶ 759
μηδὲ πῦρ ἐναῦσαι μηδένα πρὸς τὴν ταφὴν Ἀθηναίων. Διὸ φίλος μὲν οὐδεὶς ἐτόλμησεν ἅψασθαι τοῦ σώματος, Κωνωπίων δέ τις ὑπουργεῖν εἰθισμένος τὰ τοιαῦτα μισθοῦ κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς ἔκαυσεν. Ἡ δὲ [Μεγαρικὴ] γυνὴ παροῦσα μετὰ τῶν θεραπαινίδων ἔχωσε μὲν αὐτόθι χῶμα κενὸν καὶ κατέσπεισεν, ἐνθεμένη δὲ τῷ κόλπῳ τὰ ὀστᾶ καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν κατώρυξε παρὰ τὴν ἑστίαν εἰποῦσα· „Σοί, ὦ φίλη ἑστία, παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθοῦ λείψανα· σὺ δὲ αὐτὰ τοῖς πατρῴοις ἀπόδος ἡρίοις, ὅταν Ἀθηναῖοι σωφρονήσωσι.“

XXXVIII. Καὶ μέντοι χρόνου βραχέος διαγενομένου καὶ τῶν πραγμάτων διδασκόντων, οἷον ἐπιστάτην καὶ φύλακα

5, 40—42 H.

---

19. οὐδὲ om CF corr. P, οὐδὲν Stephaniana. ἄλλω M. σοι om V^b. οὐδὲν om C. 21. ἐπέλειπε MV^b pr. F, ἐπέλοιπε i. 23. τινὰς C.

XXXVII. 1. μηνὸς om C. ἐννάτη P. 2. δεκάτῃ CF^a. πέμποντες τὴν πομπὴν CM. 5. διεσπαρμένοις V. 7. μηδὲ καθαριεῦσαι C, μηδὲ δημαγορεῦσαι B, μηδὲ δημηγορεῦσαι V^b, μηδὲ δημηγορῆσαι M. φθόνου A. 10. ἐνάψαι P. 13. τὸν ἐλευσῖνα BMV^b. 14. Μεγαρικὴ deleo cum Schaefero. 15. καινὸν PMV^{b}F^a. 19. σοὶ δὲ V^b.

σωφροσύνης καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτοῦ χαλκοῦν ἀνέστησαν, ἔθαψαν δὲ δημοσίοις τέλεσι τὰ ὀστᾶ. Τῶν δὲ κατηγόρων Ἀγνωνίδην μὲν αὐτοὶ θάνατον καταχειροτονήσαντες ἀπέκτειναν, Ἐπίκουρον δὲ καὶ Δημόφιλον ἀποδράντας ἐκ τῆς πόλεως ἀνευρὼν ὁ τοῦ Φωκίωνος υἱὸς ἐτιμωρήσατο. Τοῦτον οὔτε τἆλλα σπουδαῖον ἄνδρα γενέσθαι φασὶ καὶ παιδίσκης ἐρῶντα παρὰ πορνοβοσκῷ τρεφομένης κατὰ τύχην Θεοδώρῳ τῷ ἀθέῳ παραγενέσθαι λόγον ἐν Λυκείῳ διαλεγομένῳ τοιοῦτον· „Εἰ τὸ φίλον λύσασθαι μὴ αἰσχρόν ἐστιν, οὐδὲ τὸ φίλην ὁμοίως· εἰ δὲ μὴ τὸ ἑταῖρον, οὐδὲ τὸ ἑταίραν·“ θέμενον οὖν ἑαυτῷ πρὸς τὴν ἐπιθυμίαν τὸν λόγον ὡς εὖ ἔχοντα λύσασθαι τὴν ἑταίραν. Ἀλλὰ τὰ μὲν περὶ Φωκίωνα πραχθέντα τῶν περὶ Σωκράτην πάλιν ἀνέμνησε τοὺς Ἕλληνας, ὡς ὁμοιοτάτης ἐκείνης τῆς ἁμαρτίας ταύτης καὶ δυστυχίας τῇ πόλει γενομένης.

5, 42—43 H.

XXXVIII. 4. ἔστησαν F^aV. 5. κατηγόρων] ῥητόρων F^aV. ἀγνωνίδη P, ἀγνωνίδη C. αὐτὸν BMV^b. 6. καταψηφίσαντες B. 10. λόγον — 11 λύσασθαι om F^a. 11. Λυκείῳ Stephanus cum [CPBM]: legebatur λυκίῳ, μειῳ V^b. διαλεγομένων MV^b. τὸν φίλον Stephaniana. 12. οὐδὲ] μηδὲ F^a. μὴ] μηδὲ F^a. τὸ μὴ ἑταῖρον C. 15. φωκίωνος C. 17. ταύτη CP et v. ἐκείνῃ — ταύτης Reiskii nuperi, sed cf. Coriol. 32, 18.

K A T Ω N.

I. *Κάτωνι δὲ τὸ μὲν γένος ἀρχὴν ἐπιφανείας ἔλαβε καὶ δόξης ἀπὸ τοῦ προπάππου Κάτωνος, ἀνδρὸς ἐν δόξῃ καὶ δυνάμει μάλιστα Ῥωμαίων γενομένου δι' ἀρετήν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· κατελείφθη δὲ γονέων ὀρφανὸς μετ' ἀδελφοῦ Καπίωνος καὶ Πορκίας ἀδελφῆς. Ἦν δὲ καὶ Σερβιλία Κάτωνος ὁμομήτριος ἀδελφή. Καὶ πάντες οὗτοι παρὰ Λιβίῳ Δρούσῳ τροφὴν καὶ δίαιταν εἶχον, θείῳ μὲν ὄντι τῆς μητρὸς, ἄγοντι δὲ τὴν πολιτείαν τότε· καὶ γὰρ εἰπεῖν δεινότατος ἦν καὶ τἆλλα σώφρων ἀνὴρ ἐν τοῖς μάλιστα καὶ φρονήματος οὐδενὶ Ῥωμαίων ὑφιέμενος. Λέγεται δὲ Κάτων εὐθὺς ἐκ παιδίου τῇ τε φωνῇ καὶ τῷ προσώπῳ καὶ ταῖς περὶ τὰς παιδιὰς διατριβαῖς ἦθος ὑποφαίνειν ἀτρεπτον καὶ ἀπαθὲς καὶ βέβαιον ἐν πᾶσιν. Ἰσχύν τε γὰρ εἶχον αὐτοῦ παρ'*

ad Catonem libris sum iisdem usus quibus ad Phocionem.

κάτων libri omnes: *Κάτων ὁ νεώτερος* v.

I. 5. *Καιπίωνος* Stephani nuperi, *καπίωνος* libri omnes non modo hic et deinceps c. 2. 3. 8. 11., nisi quod passim *καππίων* quidam, sed etiam mor. 487 b. c. item Appiani Illyr. c. 13 quidam *καπίωνι* ut bell. civ. 2, 111 omnes *καπίων*. ceteris locis Plutarchi, quibus hodie *Καιπίων* legitur (Mar. 16. 19. Sertor. 3. Pomp. 47. Caes. 14.), ea forma coniectura est illata libris *σκηπίων* praebentibus. 7. *τῆς*] *πρὸς* secundum rei veritatem Xylander x nuperi. vereor ne iusto celerius, quoniam ut alibi similia sic hic ‚avunculus maternus' Romanorum scriptorum Plutarchum potuit in errorem inducere. nam ne illa quidem, quae de Catonum gente vita Catonis maioris extrema dixit, erroribus vacant. 9. *ἦν* om C. *φρονήματι* P. 12. *τὰ παιδικὰ* BMV^{b}. 13. *αὐτοῦ* om F^{a}.

ἡλικίαν τελεσιουργὸν αἱ ὁρμαὶ καὶ τοῖς κολακεύουσι ταχὺς
ὢν καὶ προσάντης ἔτι μᾶλλον ἐκράτει τῶν ἐκφοβούντων. Ἦν δὲ καὶ πρὸς γέλωτα κομιδῇ δυσκίνητος, ἄχρι μειδιάματος σπανίως τῷ προσώπῳ διαχεόμενος καὶ πρὸς ὀργὴν οὐ ταχὺς οὐδὲ ὀλισθηρός, ὀργισθεὶς δὲ δυσπαραίτητος. Ὡς οὖν εἰς τὸ μανθάνειν ἦκε, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδύς, ἀναλαβὼν δὲ κάτοχος καὶ μνημονικός. Ὃ δὴ καὶ πέφυκεν ἄλ-
760 λως, τοὺς μὲν εὐφυεῖς ἀναμνηστικοὺς μᾶλλον εἶναι, μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους· γίνεται γὰρ οἷον ἔγκαυμα τῆς ψυχῆς τῶν μαθημάτων ἕκαστον. Ἔοικε δὲ καὶ τὸ δύσπειστον τῷ Κάτωνι ποιεῖν ἐργωδεστέραν τὴν μάθησιν· πάσχειν γάρ τι τὸ μανθάνειν ἀτεχνῶς ἐστι καὶ τὸ πείθεσθαι ταχὺ τοῖς ἧττον ἀντέχειν δυναμένοις συμβέβηκε. Διὸ πείθονται μᾶλλον νέοι γερόντων καὶ νοσοῦντες ὑγιαινόντων, καὶ ὅλως ἐν οἷς τὸ ἀποροῦν ἀσθενέστατόν ἐστι ῥᾷστον τὸ προστιθέμενον. Τῷ μέντοι παιδαγωγῷ τὸν Κάτωνα πείθεσθαι μὲν λέγουσι καὶ ποιεῖν ἅπαν τὸ προσταττόμενον, ἑκάστου δὲ τὴν αἰτίαν ἀπαιτεῖν καὶ τὸ διὰ τί πυνθάνεσθαι. Καὶ γὰρ ἦν χαρίεις ὁ παιδαγωγὸς αὐτοῦ καὶ λόγον ἔχων τοῦ κονδύλου προχειρότερον, ὄνομα Σαρπηδών.

II. Ἔτι δὲ παιδὸς τοῦ Κάτωνος ὄντος ἔπραττον οἱ σύμμαχοι τῶν Ῥωμαίων, ὅπως μεθέξουσι τῆς ἐν Ῥώμῃ πολιτείας· καί τις Πομπαίδιος Σίλλων, ἀνὴρ πολεμικὸς καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου φίλος, κατέλυσε παρ' αὐτῷ πλείονας ἡμέρας, ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης

5, 43—45 H.

---

17. *τραχὺς* BMV^b. 19. *νωθρὸς* — 24 *ἕκαστον* habet Photius Bekkeri p. 395 b. 20. *ἄλλων* ia. 21. *μὲν* om C. *εἶναι, μὴ μνημονευτικοὺς, μνημονευτικοὺς δὲ τοὺς* F^a. 22. *πράγματος* C. *ἀνα* al. m. *παραδεχομένους* P, *ἀναδεχομένους* CF^{a}V, sed cf. mor. 72 f. 826 b. 23. *γίνεσθαι* P. *ἔγκαυμα* x (‚inuruntur animis' Xylander): *ἔκκαυμα* libri ac Photius. *παθημάτων* A. 24. *τὸ*] *τῷ* C. *δύσπειστον* [A]CVi: *δύσπιστον* v. 25. *γάρ τοι* F^a. 26. *δυναμένοις ἀντέχειν* C. 28. *νοσοῦντες*] *ἀσθενοῦντες* A. 29. *ῥᾷστον τὸ*] *ῥᾴστον* AMV^b, *ῥᾷστα* B. 30. *μὲν* om C. 33. *προχειρότατον* BMV^b.

II. 3. *τις* addiderunt corr PCBMV^{b}F^{a}uqV. *Πομπαίδιος*] cf. ad Mar. 33, 13 ubi *Σίλων*.

„Ἄγε“ εἶπεν „ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου συναγωνίσασθαι περὶ τῆς πολιτείας.“ Ὁ μὲν οὖν Καπίων διαμειδιάσας ἐπένευσε, τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου καὶ βλέποντος εἰς τοὺς ξένους ἀτενὲς καὶ βλοσυρὸν, ὁ Πομπαίδιος „Σὺ δὲ“ εἶπεν „ἡμῖν, ὦ νεανία, τί λέγεις; Οὐχ οἷος εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός;“ Μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγεσθαι τὴν δέησιν, ἀράμενος αὐτὸν ὁ Πομπαίδιος ὑπὲρ θυρίδος ὡς ἀφήσων ὁμολογεῖν ἐκέλευεν ἢ ῥίψειν ἔφασκεν, ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος καὶ ταῖς χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις ὑπὲρ τῆς θυρίδος κραδαίνων. Ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεὴς, καταθέμενος αὐτὸν Πομπαίδιος ἡσυχῇ πρὸς τοὺς φίλους εἶπεν· „Οἷον εὐτύχημα τῆς Ἰταλίας ὁ παῖς οὗτός ἐστιν· εἰ δὲ ἀνὴρ ἦν, μίαν οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γίνεσθαι.“ Πάλιν δὲ συγγενοῦς τινος ἐν γενεθλίοις καλέσαντος ἐπὶ δεῖπνον ἄλλους τε παῖδας καὶ τοὺς περὶ Κάτωνα, σχολὴν ἄγοντες ἔν τινι μέρει τῆς οἰκίας ἔπαιζον αὐτοὶ καθ' ἑαυτοὺς ἀναμεμιγμένοι νεώτεροι καὶ πρεσβύτεροι, τὸ δὲ παιζόμενον ἦν δίκαι καὶ κατηγορίαι καὶ ἀγωγαὶ τῶν ἁλισκομένων. Εἷς οὖν τῶν ἑαλωκότων παίδων εὐπρεπὴς τὴν ὄψιν ὑπὸ πρεσβυτέρου παιδὸς ἀχθεὶς εἴς τι δωμάτιον καὶ εἰρχθεὶς ἐπεκαλεῖτο τὸν Κάτωνα. Ταχὺ δὴ τὸ γινόμενον συνεὶς ἦκεν ἐπὶ τὰς θύρας ὁ Κάτων καὶ διωσάμενος τοὺς προεστῶτας καὶ διακωλύοντας ἐξήγαγε τὸν παῖδα· καὶ μετ' ὀργῆς ἔχων ἀπῆλθεν οἴκαδε καὶ παῖδες ἕτεροι συνηκολούθησαν.

III. Οὕτω δ' ἦν περιβόητος, ὥστ', ἐπειδὴ Σύλλας τὴν παιδικὴν καὶ ἱερὰν ἱπποδρομίαν, ἣν καλοῦσι Τροίαν, ἐπὶ

5, 45—46 H.

---

6. δεήσεσθαι MV^{b}. 7. Καπίων] cf. ad c. 1. 9. βλοσσυρὸν CBM. 10. δὲ om CBMV^{b}. 13. δοκοῦντες F^{a}. 15. ἐκέλευσεν V^{b}. 17. διακαρτέρησεν C. 18. καταθέμενος — 19 πομπαίδιος in marg. habet P. 20. οὗτος ὁ παῖς CBMV^{b}. scribendum ὅτι παῖς οὗτος vel οὗτος ὅτι παῖς. Valerius Max. 3, 1, 2: ‚gratulemur nobis Latini ac socii hunc esse tam parvum.‘ 21. δὲ] οὖν C. 22. γενεθλίῳ BMV^{b}. 27. παιδὸς] τινὸς M. 29. ταχὺ δὲ A.

III. 1. ἐπειδὴ corr PBMV^{b}uF^{a}V: ἐπεὶ v, ὁ C.

θέαν διδάσκων καὶ συναγαγὼν τοὺς εὐγενεῖς παῖδας, ἀπέδειξεν ἡγεμόνας δύο, τὸν μὲν ἕτερον οἱ παῖδες ἐδέξαντο διὰ τὴν μητέρα, Μετέλλης γὰρ ἦν υἱὸς, τῆς Σύλλα γυναικὸς, τὸν δὲ ἕτερον, ἀδελφιδοῦν ὄντα Πομπηΐου, Σέξτον, οὐκ εἰὼν οὐδὲ ἐβούλοντο μελετᾶν οὐδὲ ἔπεσθαι· πυνθανομένου δὲ τοῦ Σύλλα, τίνα βούλοιντο, πάντες ἐβόησαν „Κάτωνα“ καὶ ὁ Σέξτος αὐτὸς εἶξας παρῆκεν ὡς κρείττονι τὴν φιλοτιμίαν. Ἔτυχε δὲ καὶ φίλος ὢν ὁ Σύλλας πατρικὸς αὐτοῖς, καί ποτε καὶ προσηγάγετο καὶ προσωμίλησεν, ὀλίγοις πάνυ νέμων τὴν τοιαύτην φιλοφροσύνην διὰ βάρος καὶ ὄγκον ἧς εἶχεν ἀρχῆς καὶ δυνάμεως. Μέγα δὴ ποιούμενος ὁ Σαρπηδὼν τοῦτο πρὸς
761 τιμὴν ἅμα καὶ ἀσφάλειαν ἦγεν ἀσπασόμενον τὸν Κάτωνα συνεχῶς εἰς τὴν οἰκίαν τοῦ Σύλλα μηδὲν τότε προσιδεῖν ἀσεβῶν χώρου διαφέρουσαν ὑπὸ πλήθους τῶν ἀγομένων καὶ στρεβλουμένων. Ἦν μὲν οὖν ἔτος ἐκεῖνο τῷ Κάτωνι τεσσαρεσκαιδέκατον· ἰδὼν δὲ κεφαλὰς ἐπιφανῶν ἀνδρῶν λεγομένων ἐκκομιζομένας καὶ κρύφα τοὺς παρόντας ἐπιστένοντας ἠρώτησε τὸν παιδαγωγὸν, ὅ τι δὴ τοῦτον τὸν ἄνθρωπον οὐδεὶς ἀποκτίννυσιν. Εἰπόντος δὲ ἐκείνου „Φοβοῦνται γὰρ αὐτὸν, ὦ παῖ, μᾶλλον, ἢ μισοῦσι·“ „Τί οὖν“ εἶπεν „οὐκ ἐμοὶ ξίφος ἔδωκας, ἵνα αὐτὸν ἀνελὼν ἀπήλλαξα δουλείας τὴν πατρίδα;“ Τοῦτον τὸν λόγον ἀκούσας ὁ Σαρπηδὼν, ἅμα δὲ καὶ τὸ βλέμμα καὶ τὸ πρόσωπον αὐτοῦ πιμπλάμενον ὀργῆς καὶ μένους κατιδὼν, οὕτως ἔδεισεν, ὥστε τὸ λοιπὸν ἤδη προσέχειν ἀκριβῶς καὶ παραφυλάττειν, μή τι τολμήσῃ παραβολώτερον. Ἔτι μὲν οὖν παιδάριον ὢν μικρὸν ἀπεκρίνατο τοῖς ἐρωτῶσι, τίνα φιλεῖ μάλιστα, τὸν ἀδελφόν· τίνα δεύτερον, ὁμοίως τὸν
5, 46—47 H.

---

3. θέᾳ Coraes. 4. τὸν Schaeferi AP: ὢν τὸν v. 5. ὁ υἱὸς A. 6. σέξστον F^a. 8. καὶ ὁ Coraes: καὶ ὅ τε libri. 9. σέξστος C. εἴρξας F^a, παρείξας ἦκεν MV^b. παρεῖχεν Stephaniana. 10. καὶ σύλλας ὢν πατρικὸς φίλος αὐτοῖς C. καί ποτε καὶ corr PC: καί ποτε v. 11. τὴν addiderunt PCBMV^b. 13. μέγα δὲ F^a. 14. ἀσπασάμενον F^a. 17. τῷ om F^a. 18. ἀνδρῶν ἐπιφανῶν C. κομιζομένων F^a. 20. ἀποκτείννυσιν B. 21. ἐκείνῳ F^a. ἢ μᾶλλον ἢ μισοῦσι BM, ἢ μᾶλλον μισοῦσι V^b. 24. δὲ addiderunt APBMV^b. 25. αὐτοῦ πιμπλάμενον F^a: πιμπλάμενον αὐτοῦ v, πιμπλάμενον om CMV^b. 26. τὸ om BMV^b. 27. φυλάττειν μήση παραβολώτερον F^a. τολμήσει P. 28. τίνα] τί A.

ἀδελφὸν, καὶ τρίτον, ἄχρι οὗ πολλάκις λέγοντος ἀπεῖπεν ὁ ἐρωτῶν. Γενόμενος δ' ἐν ἡλικίᾳ μᾶλλον ἐβεβαίου τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. Ἔτη γὰρ εἴκοσι γεγονὼς χωρὶς Καπίωνος οὐκ ἐδείπνησεν, οὐκ ἀπεδήμησεν, εἰς ἀγορὰν οὐ προῆλθε. Μύρον δ' ἐκείνου λαμβάνοντος αὐτὸς παρῃτεῖτο· καὶ τἆλλα τὰ περὶ τὴν δίαιταν ἦν ἀκριβὴς καὶ σύντονος. Ὁ γοῦν Καπίων ἐπὶ σωφροσύνῃ καὶ μετριότητι θαυμαζόμενος ὡμολόγει τοιοῦτος εἶναι πρὸς τοὺς ἄλλους ἐξεταζόμενος, „Ἀλλ' ὅταν" ἔφη „παρὰ τὸν Κάτωνος βίον παραβάλλω τὸν ἐμὸν, οὐδὲν ἐμαυτῷ φαίνομαι Σιππίου διαφέρειν" τῶν ἐπὶ τρυφῇ τινα καὶ μαλακίᾳ περιβόητον ὀνομάσας.

IV. Ὁ δὲ Κάτων ἐπειδὴ τὴν ἱερωσύνην ἔλαβε τοῦ Ἀπόλλωνος μετοικήσας καὶ νεμάμενος μοῖραν τῶν πατρῴων ἑκατὸν εἴκοσι ταλάντων γενομένην τὴν μὲν δίαιταν ἔτι μᾶλλον συνέστειλεν, Ἀντίπατρον δὲ Τύριον τῶν ἀπὸ τῆς Στοᾶς φιλοσόφων προσεταιρισάμενος τοῖς ἠθικοῖς μάλιστα καὶ πολιτικοῖς ἐνεφύετο δόγμασι, περὶ πᾶσαν μὲν ἀρετὴν ὥσπερ ἐπινοίᾳ τινὶ κατάσχετος γεγονὼς, διαφόρως δὲ τοῦ καλοῦ τὸ περὶ τὴν δικαιοσύνην ἀτενὲς καὶ ἄκαμπτον εἰς ἐπιείκειαν ἢ χάριν ὑπερηγαπηκώς. Ἤσκει δὲ καὶ τὸν ὀργανικὸν εἰς πλήθη λόγον ἀξιῶν ὥσπερ ἐν πόλει μεγάλῃ τῇ πολιτικῇ φιλοσοφίᾳ καὶ μάχιμον εἶναί τι παρατρεφόμενον. Οὐ μέντοι μεθ' ἑτέρων ἐποιεῖτο τὰς μελέτας οὐδ' ἠκροάσατο λέγοντος οὐδείς, ἀλλὰ καὶ πρός τινα τῶν ἑταίρων εἰπόντα „Μέμφονταί σου, Κάτων, οἱ ἄνθρωποι τὴν σιωπήν" „Μόνον" ἔφη „μὴ τὸν βίον. Ἄρξομαι δὲ λέγειν, ὅταν μὴ μέλλω λέγειν ἄξια σιωπῆς."

V. Ἡ δὲ καλουμένη Πορκία βασιλικὴ τιμητικὸν ἦν ἀνάθημα τοῦ παλαιοῦ Κάτωνος. Εἰωθότες οὖν ἐκεῖ χρηματίζειν οἱ δήμαρχοι καὶ κίονος τοῖς δίφροις ἐμποδὼν εἶναι δο-

5, 47—48 H.

---

30. ἄχρι pr. P: ἄχρις v. 32. ἐτῶν F^a. καππίωνος Ai et mox, cf. ad c. 1. 35. σύντομος BMV^b. γοῦν AB: γ' οὖν v. 39. περὶ V^b. βίον om F^a. παραβάλλω Schaeferi V^b: παραβάλω v. 39. σηππίου B, σηπίου V^b. τῶν — 40 περιβόητον AC: τὸν — περιβόητον PBMV^{b}i, τῶν — περιβοήτων v. 40. καὶ μαλακίᾳ τινὰ C.

IV. 1. ἐπεὶ BMV^b. 3. ‚six vingts talens' Amiotus. τάλαντα C. 4. τὸν Τύριον Reiskii nuperi. 14. μὴ τὸν] τὸν F^a.

κοῦντος ἔγνωσαν ὑφελεῖν αὐτὸν ἢ μεταστῆσαι. Τοῦτο Κάτωνα πρῶτον εἰς ἀγορὰν ἄκοντα προήγαγεν. Ἀντέστη γὰρ αὐτοῖς καὶ πεῖραν ἅμα τοῦ λόγου καὶ τοῦ φρονήματος δοὺς ἐθαυμάσθη. Καὶ γὰρ ὁ λόγος νεαρὸν μὲν οὐδὲν οὐδὲ κομψὸν εἶχεν, ἀλλ' ἦν ὄρθιος καὶ περιπληθὴς καὶ τραχύς. Οὐ μὴν ἀλλὰ καὶ χάρις ἀγωγὸς ἀκοῆς ἐπέτρεχε τῇ τραχύτητι τῶν νοημάτων καὶ τὸ ἦθος αὐτοῦ καταμιγνύμενον ἡδονήν τινα καὶ μειδίαμα τῷ σεμνῷ παρεῖχεν οὐκ ἀπάνθρωπον. Ἡ δὲ φωνὴ μεγέθει μὲν ἀποχρῶσα καὶ διαρκὴς εἰς τοσοῦτον ἐξικέσθαι δῆμον, ἰσχὺν δὲ καὶ τόνον ἄῤῥηκτον εἶχε καὶ ἄτρυτον· ἡμέραν γὰρ ὅλην εἰπὼν πολλάκις οὐκ ἀπηγόρευσε. Τότε δ' οὖν κρατήσας τῆς δίκης πάλιν ἑαυτὸν εἰς τὴν σιωπὴν καὶ
762 τὴν ἄσκησιν συνέστειλε· καὶ διεπόνει τὸ σῶμα γυμνασίοις ἐνεργοῖς ἐθιζόμενος ἀνέχεσθαι καὶ καύματα καὶ νιφετὸν ἀκαλύπτῳ κεφαλῇ καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς πᾶσαν ὥραν ἄτερ ὀχήματος. Τῶν δὲ φίλων οἱ συνεκδημοῦντες ἵπποις ἐχρῶντο, καὶ πολλάκις ἑκάστῳ παρέβαλλεν ὁ Κάτων ἐν μέρει προσδιαλεγόμενος περιπατῶν αὐτὸς ὀχουμένων. Θαυμαστῇ δὲ καὶ περὶ τὰς νόσους ὑπομονῇ μετ' ἐγκρατείας ἐχρῆτο· πυρέττων γὰρ μόνος ἐφ' ἑαυτοῦ διημέρευε μηδένα προσιέμενος, ἄχρι οὗ βέβαιον αἴσθοιτο ῥαστώνην καὶ μεταβολὴν τοῦ νοσήματος.

VI. Ἐν δὲ τοῖς δείπνοις ἐκληροῦτο περὶ τῶν μερίδων· εἰ δὲ ἀπολάχοι, πρῶτον αἴρειν τῶν φίλων κελευόντων ἔλεγε μὴ καλῶς ἔχειν ἀκούσης τῆς Ἀφροδίτης. Καὶ κατ' ἀρχὰς μὲν ἅπαξ ἐπιπιὼν ἐπὶ τὸ δεῖπνον ἀνέλυε, προϊόντι δὲ τῷ χρόνῳ μάλιστα προσίετο πίνειν, ὥστε πολλάκις ἐν οἴνῳ διά-

5, 48—49 H.

V. 4. *αὐτὸν* om C. 6. *καὶ τοῦ* — 7. *μὲν* om F^a. 7. *οὐδὲν* om C. 8. *ὄρθριος* V^b. *περιπαθὴς* Coraes Schaeferus cl. T. Gracch. 2. cf. tamen Ciceronem de legg. 3, 18, 40. *ταχὺς* C. 9. *τραχύτητι* Px: *ταχύτητι* C. *βραχύτητι* v. 10. *καταμεμιγμένον* C. 11. *τὸ σεμνὸν* BMV^b. 13. *εἶχεν ἄῤῥηκτον* BMV^b. *ἄτρωτον* M. 17. *ἐναργοῖς* C. *ἐθιζόμενος* ego: *ἐθιζόμενον* libri. 20. *καὶ* — *ὀχουμένων* c. 9 repetita ibi Schaefero, hic mihi videntur spuria, qui etiam *τῶν δὲ* — *ἐχρῶντο* ab interprete addita putem. *παρέβαλεν* PM pr. V^b. 21. *ὀχουμένῳ* [A] pr. PSTV. 22. *παρὰ* CMF^a. 23. *ἀφ'* V^b. *ἑαυτὸν* F^aV. *ἄχρι* pr. APia: *ἄχρις* v.

VI. 4. *ἅπαξ πιὼν ἔπειτα* x. *ἐπὶ* delet Emperius, *ἀπὸ τοῦ δείπνου* Corais ferri non potest. *τὸ* om CBMV^b. *ἀνέλυε* APCBMV^b: *ἀνέλυεν* v.

γειν εἰς ὄρθρον. Αἰτίαν δὲ ἔλεγον οἱ φίλοι τούτου τὴν πολιτείαν καὶ τὰ δημόσια πράγματα, πρὸς οἷς ὅλας τὸν Κάτωνα τὰς ἡμέρας ὄντα καὶ κωλυόμενον φιλολογεῖν νύκτωρ καὶ παρὰ πότον συγγίνεσθαι τοῖς φιλοσόφοις. Διὸ καὶ Μεμμίου τινὸς ἐν συλλόγῳ φήσαντος ὅλας τὸν Κάτωνα μεθύσκεσθαι τὰς νύκτας, ὑπολαβὼν ὁ Κικέρων „Ἐκεῖνο δὲ οὐ λέγεις“ εἶπεν „ὅτι καὶ τὰς ἡμέρας ὅλας κυβεύει;“ Καθόλου δὲ τοῖς τότε βίοις καὶ τοῖς ἐπιτηδεύμασιν ὁ Κάτων τὴν ἐναντίαν ὁδὸν οἰόμενος δεῖν βαδίζειν, ὡς οὖσι φαύλοις καὶ μεγάλης δεομένοις μεταβολῆς, ἐπεὶ πορφύραν ἑώρα τὴν κατακόρως ἐρυθρὰν καὶ ὀξεῖαν ἀγαπωμένην, αὐτὸς ἐφόρει τὴν μέλαιναν. Πολλάκις δ' ἀνυπόδητος καὶ ἀχίτων εἰς τὸ δημόσιον προῆλθε μετ' ἄριστον, οὐ δόξαν ἐκ ταύτης τῆς καινότητος θηρώμενος, ἀλλὰ ἐθίζων ἑαυτὸν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι μόνοις, τῶν δὲ ἄλλων ἀδόξων καταφρονεῖν. Καὶ κληρονομίαν δὲ αὐτῷ προσγενομένην ἀνεψιοῦ Κάτωνος ἑκατὸν ταλάντων εἰς ἀργύριον συναγαγὼν παρεῖχεν ἄνευ τόκων χρῆσθαι τῷ δεομένῳ τῶν φίλων. Ἔνιοι δὲ καὶ χωρία καὶ θεράποντας αὐτοῦ διδόντος καὶ βεβαιοῦντος ὑπέθεντο πρὸς τὸ δημόσιον.

VII. Ἐπεὶ δὲ ὥραν ὤρετο πρὸς γάμον ἔχειν οὐδεμιᾷ γυναικὶ συνελήλυθὼς ἡρμόσατο Λεπίδαν, πρότερον μὲν ἐγγυηθεῖσαν Σκηπίωνι Μετέλλῳ, τότε δὲ ἀπειπαμένου τοῦ Σκηπίωνος καὶ τῆς ἐγγύης λυθείσης σχολάζουσαν. Οὐ μὴν ἀλλὰ πρὸ τοῦ γάμου μεταμεληθεὶς πάλιν ὁ Σκηπίων καὶ πάντα ποιήσας ἔλαβε τὴν κόρην. Ὁ δὲ Κάτων σφόδρα παροξυνθεὶς καὶ διακαεὶς ἐπεχείρησε μὲν ἐπεξελθεῖν διὰ δίκης, ὡς δὲ οἱ φίλοι τοῦτο ἐκώλυσαν, ὀργῇ καὶ νεότητι τρέψας ἑαυτὸν εἰς ἰάμβους πολλὰ τὸν Σκηπίωνα καθύβρισε τῷ πικρῷ προσχρησάμενος τοῦ Ἀρχιλόχου, τὸ δὲ ἀκόλαστον ἀφεὶς καὶ παιδαριῶδες. Ἔγημε δὲ Ἀτιλίαν Σωρανοῦ θυγα-

5, 49—50 H.

---

6. εἰς] πρὸς F^a. 8. κωλυόμενοι F^a. 13. alterum τοῖς excidit Huttenianae eamque sequutis. 14. δεῖν om C. 17. ἀνυπόδυτος V^b. δεσμωτήριον M. 19. ἐθίζειν V^b. μόνον F^aV. 22. παρῆκεν F^a.

VII. 3. σκηπίωνι corr A corr. PCB constanter: Σκιπίωνι v. τοῦ om C. 5. πάλιν μεταμεληθεὶς CBMV^b. μεταβληθεὶς F^aV. πάλιν om F^a. 11. δὲ om PF^a. ἀττιλίαν qV. σωρανοῦ ACV: σωρανοῦ V^b, Σωράνου v.

τέρα, καὶ ταύτῃ πρῶτον συνῆλθεν, οὐ μόνῃ δὲ, καθάπερ Λαίλιος ὁ Σκηπίωνος ἑταῖρος· ἀλλ' εὐτυχέστερος ἐκεῖνος, ἐν πολλοῖς οἷς ἐβίωσε χρόνοις μίαν ἣν ἔγημεν ἐξ ἀρχῆς γνοὺς γυναῖκα.

VIII. Τοῦ δὲ δουλικοῦ πολέμου συνεστῶτος, ὃν Σπαρτάκειον ἐκάλουν, Γέλλιος μὲν ἐστρατήγει, Κάτων δὲ τῆς στρατείας μετεῖχεν ἐθελοντὴς διὰ τὸν ἀδελφόν· ἐχιλιάρχει γὰρ ὁ ἀδελφὸς αὐτοῦ Καπίων. Καὶ χρήσασθαι μὲν εἰς ὅσον ἐβούλετο τῇ προθυμίᾳ καὶ ἀσκήσει τῆς ἀρετῆς οὐχ ὑπῆρξεν αὐτῷ διὰ τὸ μὴ καλῶς στρατηγεῖσθαι τὸν πόλεμον, ἄλλως δὲ παρὰ πολλὴν μαλακίαν καὶ τρυφὴν τῶν ἐκεῖ στρατευομένων ἐπιδεικνύμενος εὐταξίαν καὶ ἀναγκαίαν ἀνδρίαν καὶ τὸ θαῤῥαλέον ἐν πᾶσι καὶ ξυνετὸν ἐδόκει μηθὲν ἀποδεῖν τοῦ παλαιοῦ Κάτωνος. Ὁ δὲ Γέλλιος ἀριστείας καὶ τιμὰς αὐτῷ διαπρεπεῖς ἔγραψεν, ἃς ἐκεῖνος οὐκ ἔλαβεν οὐδὲ προσήκατο φήσας ἄξιον μηθὲν εἰργάσθαι τιμῶν. Ἔκ τε δὴ τούτων ἀλλόκοτος ἐδόκει καὶ νόμου γραφέντος, ὅπως τοῖς παραγγέλλουσιν εἰς ἀρχὴν ὀνοματολόγοι μὴ παρῶσι, χιλιαρχίαν μετιὼν μόνος ἐπείθετο τῷ νόμῳ· καὶ δι' αὐτοῦ ποιησάμενος ἔργον ἀσπάζεσθαι καὶ προσαγορεύειν τοὺς ἐντυγχάνοντας οὐδὲ αὐτοῖς ἀνεπαχθὴς ἦν τοῖς ἐπαινοῦσιν, ὅσον μᾶλλον ἐνόουν τὸ καλὸν ὧν ἐπετήδευε, τὸ δυσμίμητον αὐτῶν βαρυνομένοις.

IX. Ἀποδειχθεὶς δὲ χιλίαρχος εἰς Μακεδονίαν ἐπέμπετο πρὸς Ῥούβριον τὸν στρατηγόν. Ἔνθα δὴ λέγεται τῆς γυναι-

763

5, 50—52 H.

---

14. *μίαν μὲν ἣν* F^a.

VIII. 1. *σπαρτάκιον* BMV^b. 3. *στρατείας* corr P[CB MV^b]x: *στρατηγίας* v. 4. *καππίων* A, cf. ad c. 1. 8. nec *ἀνδρίαν* satis convenit et ineptum *ἀναγκαίαν*. scribam *καὶ ἐγκράτειαν καὶ τὸ* cum Emperio. *ἀνδρίαν* PCBMV^{b}F^a: *ἀνδρείαν* v. *τὸ δε* om BMV^b. 9. *μηθὲν* P, *μηδὲν* BCF^a. 10. immo *ἀριστεῖα* cl. Anton. 3. *καὶ διατιμὰς αὐτῷ διέγραψεν εὐπρεπεῖς* BMV^b. 12. *μηθὲν ἄξιον* C. *ἐργάσασθαι* CBMV^b. 13. *καὶ τοῖς* BMV^b. 14. *εἰς*] *ὡς* Aia. *ὀνοματολόγοις* V. 15. *ἐπείθετο* x secundum Lapum Amiotum: *ἐπέθετο* libri, cui tuendo frustra arbitror Xylandrum adhibere Ciceronis or. pro Mur. c. 36. *δι' αὐτοῦ*] *διὰ τοῦτο* pr. PBMV^{b}F^a. 17. *ἐννόουν* F^a. 18. *ἐπετήδευε* APCBMV^b: *ἐπετήδευεν* v.

IX. 1. *ἐπέμφθη* V. 2. *ῥούμβριον* F^{a}qV, *ῥούμβιον* C. *δὲ* F^a.

κὸς ἀχθομένης καὶ δακρυούσης ἕνα τῶν φίλων τοῦ Κάτωνος Μουνάτιον εἰπεῖν· „Ὦ Ἀτιλία, θάρσει· τοῦτον ἐγώ σοι φυλάξω.“ „Πάνυ μὲν οὖν,“ φάναι τὸν Κάτωνα· καὶ προελθόντων μιᾶς ἡμέρας ὁδὸν εὐθὺς εἰπεῖν μετὰ τὸ δεῖπνον „Ἄγε, ὅπως, ὦ Μουνάτιε, τῇ Ἀτιλίᾳ τὴν ὑπόσχεσιν ἐμπεδώσῃς μήτε ἡμέρας ἐμοῦ μήτε νυκτὸς ἀφιστάμενος.“ Ἐκ δὲ τούτου δύο κλίνας εἰς ταὐτὸ δωμάτιον ἐκέλευε τίθεσθαι· καὶ τὸν Μουνάτιον οὕτως ἀεὶ καθεύδειν μετὰ παιδιᾶς φυλασσόμενον ὑπὸ τοῦ Κάτωνος. Εἵποντο δὲ αὐτῷ πεντεκαίδεκα μὲν οἰκέται, δύο δὲ ἀπελεύθεροι, φίλοι δὲ τέσσαρες. Ὧν ὀχουμένων ἵπποις αὐτὸς ἀεὶ περιπατῶν ἑκάστῳ παρέβαλλεν ἐν μέρει προσδιαλεγόμενος. Ἐπεὶ δὲ ἦκεν εἰς τὸ στρατόπεδον, πλειόνων ταγμάτων ὄντων, ἑνὸς ἄρχων ἀποδειχθεὶς ὑπὸ τοῦ στρατηγοῦ τῆς μὲν ἰδίας ἀρετῆς, μιᾶς οὔσης, μικρὸν ἔργον ἡγεῖτο καὶ οὐ βασιλικὸν τὴν ἐπίδειξιν, αὐτῷ δὲ ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος οὐ τὸν φόβον ἀφεῖλε τῆς ἐξουσίας, ἀλλὰ προσέθηκε τὸν λόγον· ᾧ πείθων περὶ ἑκάστου καὶ διδάσκων, ἑπομένης τιμῆς καὶ κολάσεως, χαλεπὸν ἦν εἰπεῖν, πότερον εἰρηνικοὺς μᾶλλον ἢ πολεμικοὺς ἢ προθυμοτέρους ἢ δικαιοτέρους παρεσκεύασε τοὺς ἄνδρας· οὕτως ἐφαίνοντο φοβεροὶ μὲν τοῖς πολεμίοις, ἥμεροι δὲ τοῖς συμμάχοις, ἄτολμοι δὲ πρὸς τὸ ἀδικεῖν, φιλότιμοι δὲ πρὸς τοὺς ἐπαίνους. Οὗ δὲ ἥκιστα Κάτων ἐπεμελήθη, τοῦτο πλεῖστον ὑπῆρχεν αὐτῷ, καὶ δόξα καὶ χάρις καὶ ὑπερβάλλουσα τιμὴ καὶ φιλοφροσύνη παρὰ τῶν στρατιωτῶν. Ἃ γὰρ ἑτέροις ἐπέταττεν ἑκουσίως διαπονῶν καὶ στολὴν μὲν καὶ δίαιταν καὶ πορείαν ἐκείνοις μᾶλλον ἢ τοῖς ἄρχουσιν ὁμοιούμενος, ἦθει δὲ καὶ φρονήματι καὶ λόγῳ πάντας ὑπεραίρων τοὺς αὐτοκράτορας καὶ στρατηγοὺς προσαγορευομένους ἔλαθε διὰ τούτων ἅμα τὴν πρὸς αὑτὸν εὔνοιαν ἐργασάμενος τοῖς ἀνδράσιν. Ἀρετῆς γὰρ ἀληθινὸς οὐκ ἐγγίνεται ζῆλος ἢ δι' ἄκρας τοῦ

5, 52—53 H.

---

4. μουνάντιον C. ἀττιλία F^a et postea. 5. προελθόντων A: προελθόντα v, προςελθόντα P. 6. εἶπε A. 8. ὁμοῦ F^a. 13. cf. ad c. 5. 14. διαλεγόμενος CBMV^b, διαπροςλεγόμενος F^a. 15. ὄντων om C. 16. ἀπὸ MV^b. 17. καὶ οὐ βασιλικὸν ἡγεῖτο C. ποιῆσθαι P. 22. καὶ προθυμοτέρους Schaeferus. 26. ὑπῆρχεν αὐτῷ corr PCF^a: αὐτῷ ὑπῆρχε v. 27. ἑταίροις V^b. 29. ἦθει — 31 προσαγορευομένους om BMV^b. 32. ἐργασάμενος εὔνοιαν A, ἐνεργασάμενος Reiskii ceteri, cf. ad Alex. c. 68. 33. εἰ μὴ δι' x.

παραδιδόντος εὐνοίας καὶ τιμῆς· οἱ δὲ ἄνευ τοῦ φιλεῖν ἐπαινοῦντες τοὺς ἀγαθοὺς αἰδοῦνται τὴν δόξαν αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετὴν οὐδὲ μιμοῦνται.

X. Πυθόμενος δὲ Ἀθηνόδωρον τὸν ἐπικαλούμενον Κορδυλίωνα μεγάλην ἕξιν ἐν τοῖς Στωϊκοῖς λόγοις ἔχοντα διατρίβειν περὶ Πέργαμον ἤδη γηραιὸν ὄντα καὶ πάσαις ἐρρωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς συνηθείαις καὶ φιλίαις διαμεμαχημένον, οὐδὲν ὤετο πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτόν, ἀλλὰ ἔχων παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν δυεῖν μηνῶν ἔπλευσεν εἰς τὴν Ἀσίαν ἐπὶ τὸν ἄνδρα πιστεύων τοῖς ἐν αὐτῷ καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. Συγγενόμενος δὲ καὶ καταγωνισάμενος καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως αὐτὸν ἦκεν ἄγων εἰς τὸ στρατόπεδον περιχαρὴς καὶ μεγαλοφρονῶν, ὥς τι κάλλιστον ἠρηκὼς καὶ λαμπρότερον ὢν Πομπήϊος τότε καὶ Λεύκολλος ἐθνῶν καὶ βασιλειῶν κατεστρέφοντο σὺν ὅπλοις περιϊόντες.

XI. Ἔτι δὲ αὐτοῦ περὶ τὴν στρατείαν ὄντος ὁ ἀδελφὸς εἰς τὴν Ἀσίαν βαδίζων ἐνόσησε περὶ Θράκην ἐν Αἴνῳ. Καὶ
764 γράμματα μὲν εὐθὺς ἦκε πρὸς τὸν Κάτωνα· χειμῶνος δὲ πολλοῦ κατέχοντος τὴν θάλατταν καὶ νεὼς ἱκανῆς μεγέθει μὴ παρούσης εἰς μικρὰν ὁλκάδα μόνον δύο φίλους καὶ τρεῖς οἰκέτας ἀναλαβὼν ἐκ Θεσσαλονίκης ἀνήχθη· καὶ παρ' οὐδὲν ἐλθὼν καταποντωθῆναι τύχῃ τινὶ παραλόγῳ σωθεὶς, ἄρτι τεθνηκότος τοῦ Καπίωνος, ἐμπαθέστερον ἔδοξεν ἢ φιλοσοφώτερον ἐνεγκεῖν τὴν συμφοράν, οὐ μόνον κλαυθμοῖς καὶ περιπτύξεσι τοῦ νεκροῦ καὶ βαρύτητι λύπης, ἀλλὰ καὶ δαπάνῃ περὶ τὴν ταφὴν καὶ πραγματείαις θυμιαμάτων καὶ ἱματίων πολυτελῶν συγκατακαέντων καὶ μνήματος ξεστοῦ

5, 53—54 H.

---

35. τοῖς ἀγαθοῖς M pr. V^{b}.

X. 1. καλούμενον C. 2. κορδυλίωνα V^{b}. λόγοις om pr. AC. 5. διαμεμαχημένον Bryanus: διαμεμηχανημένον libri. πέμπειν καὶ γράφειν BMV^{b}. 6. πρὸς αὐτὸν om C. 7. δυοῖν CF^{a}. 8. ἀποτυχήσειν P. 10. ἦκεν ἔχων M. 11. κάλλιον Schaeferi C. εἰρηκὼς F^{a}. 12. λουκουλλος C.

XI. 1. στρατείαν Reiskius cl. c. 12 et c. 14: στρατηγίαν libri. 4. κατέχοντος — 5 ὁλκάδα om F^{a}. καὶ om P. 5. δύο μόνον C. 6. παραλαβὼν C. 8. Καπίωνος] cf. ad c. 1. 9. μόνον δὲ P, μόνον γὰρ BMV^{b}F^{a}. 11. ταφὴν ἀλλὰ καὶ C. 12. πολλῶν C. συγκαέντων P.

λίθων Θασίων ἀπὸ ταλάντων ὀκτὼ κατασκευασθέντος ἐν τῇ Αἰνίων ἀγορᾷ. Ταῦτα γὰρ ἔνιοι ἐσυκοφάντουν πρὸς τὴν ἄλλην ἀτυφίαν τοῦ Κάτωνος οὐ καθορῶντες, ὅσον ἐν τῷ πρὸς ἡδονὰς καὶ φόβους καὶ δεήσεις ἀναισχύντους ἀγνάμπτῳ καὶ στερρῷ τοῦ ἀνδρὸς τὸ ἥμερον ἐνῆν καὶ φιλόστοργον. Εἰς δὲ ταῦτα καὶ πόλεις αὐτῷ καὶ δυνάσται πολλὰ κατὰ τιμὴν τοῦ τεθνεῶτος ἔπεμπον, ὧν ἐκεῖνος χρήματα μὲν παρ' οὐδενὸς ἐδέξατο, θυμιάματα δὲ καὶ κόσμον ἐλάμβανε τιμὴν ἀποδιδοὺς τοῖς πέμπουσι. Τῆς δὲ κληρονομίας εἰς αὐτόν τε καὶ θυγάτριον τοῦ Καπίωνος ἡκούσης οὐθὲν ὧν ἀνήλωσε περὶ τὸν τάφον ἀπῄτησεν ἐν τῇ νεμήσει. Καὶ ταῦτα πράξαντος αὐτοῦ καὶ πράττοντος ἦν ὁ γράψας, ὅτι κοσκίνῳ τὴν τέφραν τοῦ νεκροῦ μετέβαλε καὶ διήθησε χρυσίον ζητῶν κατακεκαυμένον. Οὕτως οὐ τῷ ξίφει μόνον, ἀλλὰ καὶ τῷ γραφείῳ τὸ ἀνυπεύθυνον καὶ τὸ ἀνυπόδικον ἐπίστευσεν.

XII. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ στρατεία τῷ Κάτωνι προεπέμφθη, οὐκ εὐχαῖς, ὃ κοινόν ἐστιν, οὐδ' ἐπαίνοις, ἀλλὰ δάκρυσι καὶ περιβολαῖς ἀπλήστοις, ὑποτιθέντων τὰ ἱμάτια τοῖς ποσὶν ἢ βαδίζοι καὶ καταφιλούντων τὰς χεῖρας, ἃ τῶν αὐτοκρατόρων ὀλίγοις μόλις ἐποίουν οἱ τότε Ῥωμαῖοι, βουληθεὶς δὲ πρὸ τοῦ πολιτείᾳ προσελθεῖν ἅμα μὲν πλανηθῆναι καθ' ἱστορίαν τῆς Ἀσίας καὶ γενέσθαι θεατὴς ἠθῶν καὶ βίων καὶ δυνάμεως τῆς περὶ ἑκάστην ἐπαρχίαν, ἅμα δὲ τῷ Γαλάτῃ Δηϊοτάρῳ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν δεομένῳ πρὸς αὐτὸν ἐλθεῖν μὴ ἀχαριστῆσαι, τοῦτον τὸν τρόπον ἐποιεῖτο τὴν ἀποδημίαν. Προὔπεμπεν ἅμ' ἡμέρᾳ τὸν ἀρτοποιὸν

5, 54—55 H.

---

14. *αἰωνίων* F^{a}. nisi aliud vitium latet scribam *ἐσυκοφάντουν ἔνιοι* cum Benselero de hiatu p. 372. 16. *ἀγνάπτῳ* CV^{b}, cf. Wyttenbachium in mor. 169 c. 20. *τὴν τιμὴν* Reiskius. 21. *τὸ θυγάτριον* CMV^{b}F^{a}. 22. *τοῦ καπίωνος* om pr. P. *ἀνάλωσε* PF^{a}. 24. *ἦν — ὅτι* om MV^{b}. 25. *διέβαλε* BMV^{b}. 26. *τὸ ἀνυπεύθυνον καὶ τὸ ἀνυπόδικον* codex Romanus G. Sirleti et codex Donat. Iannoctii teste Lambino in Horatii carm. 3, 5, 33: *τὸν ἀνυπεύθυνον καὶ τὸν ἀνυπόδικον* v. quamquam alterum articulum non desiderem. 27. *ἐπίστευσεν* PCBMV^{b}F^{a}uqV: *ἐπίστευεν* v.

XII. 1. *προεπέμφθη μὲν* Emperius. 2. *οὐδ' ἐπαίνοις* om BMV^{b}. 3. *ἀπλήστοις*] *ῃ* in rasura P, *ἀπλάστοις* Solani nuperi. 4. *οἱ* C. 6. *τῇ πολιτείᾳ* Reiskii nuperi. 7. *καὶ περιγενέσθαι* M. 9. *δεομένῳ*] *βουλομένῳ* C. 10. *ἢ μὴ* Ai. 11. *ἅμα* C.

καὶ τὸν μάγειρον, ὅπου καταλύσειν ἔμελλεν. Οἱ δὲ πάνυ κοσμίως καὶ μεθ' ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι τῷ Κάτωνι φίλος ὢν αὐτόθι πατρῷος ἢ γνώριμος, ἐν πανδοκείῳ τὴν ὑποδοχὴν αὐτῷ παρεσκεύαζον ἐνοχλοῦντες οὐδενί· πανδοκείου δὲ μὴ ὄντος, οὕτως πρὸς τοὺς ἄρχοντας τραπόμενοι ξενίαν ἐλάμβανον ἀγαπῶντες τὴν δοθεῖσαν. Πολλάκις δὲ ἀπιστούμενοι καὶ περιορώμενοι διὰ τὸ μὴ θορύβῳ μηδὲ ἀπειλῇ ταῦτα πράσσειν πρὸς τοὺς ἄρχοντας ὑπὸ τοῦ Κάτωνος ἄπρακτοι κατελαμβάνοντο, καὶ μᾶλλον αὐτὸς ὀρθεὶς ὠλιγωρεῖτο καὶ παρεῖχεν ἐπὶ τῶν φορτίων σιωπῇ καθεζόμενος ὑπόνοιαν ἀνθρώπου ταπεινοῦ καὶ περιδεοῦς. Οὐ μὴν ἀλλὰ καὶ προσκαλούμενος αὐτοὺς εἰώθει λέγειν „Ὦ μοχθηροὶ, μεταβάλεσθε ταύτης τῆς κακοξενίας. Οὐ πάντες ὑμῖν ἀφίξονται Κάτωνες. Ἀμβλύνατε ταῖς φιλοφροσύναις τὴν ἐξουσίαν τῶν δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ' ἑκόντων μὴ τυγχάνοντες."

XIII. Ἐν δὲ Συρίᾳ καὶ γελοῖόν τι λέγεται παθεῖν. Βαδίζων γὰρ εἰς Ἀντιόχειαν εἶδε περὶ τὰς πύλας ἔξω πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκριμένων, ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι καὶ παῖδες ἑτέρωθι κοσμίως
765 εἱστήκεσαν, ἐσθῆτας δὲ καθαρὰς ἔνιοι καὶ στεφάνους εἶχον ἱερεῖς θεῶν ὄντες ἢ ἄρχοντες. Πάντων οὖν μᾶλλον οἰηθεὶς ὁ Κάτων αὐτῷ τινὰ πράττεσθαι τιμὴν καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως ὠργίζετο μὲν τοῖς προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν, ἐκέλευσε δὲ καταβῆναι τοὺς φίλους καὶ πεζῇ προῄει μετ' αὐτῶν. Ὡς δ' ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ τὸν ὄχλον εἰς τάξιν καθιστὰς, ἀνὴρ πρεσβύτερος ἤδη ῥάβδον ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησε τῷ Κάτωνι πρὸ τῶν ἄλλων καὶ μηδὲ ἀσπασάμενος ἠρώτα, ποῦ Δημήτριον ἀπολελοίπασι καὶ πηνίκα παρέσται. Πομπηΐου δὲ

5, 55—57 H.

---

13. ἂν om B. 14. τύχῃ PF^a. 15. ὑπεροχὴν MV^{b}i, ὑπομονὴν ASTV et P, sed marg. γρ. ὑποδοχήν. 16. οὕτω corr. AC. 21. κατεῖχεν V. 23. αὐτὸς a et v. 24. μεταβάλεσθε Corais AF^a: μεταβάλλεσθε v. 26. τῶν MV^b: αὐτῶν v. 27. ὡς παρ' ὥσπερ V^b.

XIII. 4. ἑκατέρωθεν C. 5. εἱστήκεισαν BMV^b, εἱστήκησαν F^a. 6. πάντων — μᾶλλον] cf. mor. 118 c. 8. ὠργίζοντο F^a. 9. ἐκέλευε M.

ἦν γεγονὼς ὁ Δημήτριος οἰκέτης· τότε δὲ πάντων, ὡς ἔπος εἰπεῖν, ἀνθρώπων εἰς Πομπήϊον ἀποβλεπόντων ἐθεραπεύετο παρ' ἀξίαν μέγα παρ' αὐτῷ δυνάμενος. Τοῖς μὲν οὖν φίλοις τοῦ Κάτωνος γέλως ἐνέπεσε τοσοῦτος, ὥστε ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο διὰ τοῦ πλήθους ἅμα βαδίζοντες, ὁ δὲ Κάτων τότε μὲν ἰσχυρῶς διατραπεὶς „Ὢ τῆς κακοδαίμονος" ἔφη „πόλεως", ἄλλο δὲ οὐδὲν ἐφθέγξατο, χρόνῳ δὲ ὕστερον εἰώθει γελᾶν καὶ αὐτὸς ἐπὶ τούτῳ καὶ διηγούμενος καὶ μνημονεύων.

XIV. Οὐ μὴν ἀλλὰ Πομπήϊος αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους οὕτω πλημμελοῦντας εἰς τὸν Κάτωνα δι' ἄγνοιαν. Ὡς γὰρ εἰς Ἔφεσον ἐλθὼν ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος πρεσβύτερον ὄντα καὶ δόξῃ πολὺ προήκοντα καὶ δυνάμεων τότε μεγίστων ἡγούμενον, ἰδὼν ὁ Πομπήϊος οὐκ ἔμεινεν οὐδὲ εἴασε καθεζομένῳ προσελθεῖν, ἀλλ' ὥς τινι τῶν κρειττόνων ἀναθορὼν ἀπήντησε καὶ τὴν δεξιὰν ἐνέβαλε. Καὶ πολλὰ μὲν εὐθυς ἐν τῷ φιλοφρονεῖσθαι καὶ ἀσπάζεσθαι παρόντα, πλείω δὲ ἔτι μεταστάντος ἐγκώμια διῆλθεν αὐτοῦ τῆς ἀρετῆς, ὥστε πάντας ἐπιστρεφομένους καὶ προσέχοντας ἤδη τῷ Κάτωνι θαυμάζειν ἐξ ὧν πρότερον κατεφρονεῖτο καὶ πραότητα καὶ μεγαλοψυχίαν ἀναθεωρεῖν. Καὶ γὰρ ἡ Πομπηΐου σπουδὴ περὶ αὐτὸν οὐκ ἐλάνθανε θεραπεύοντος οὖσα μᾶλλον ἢ φιλοῦντος, ἀλλ' ἔγνωσαν, ὅτι θαυμάζει μὲν παρόντα, χαίρει δὲ ἀπερχομένῳ. Τοὺς γὰρ ἄλλους νέους, ὅσοι παρ' αὐτὸν ἀφικνοῦντο, φιλοτιμούμενος κατεῖχε καὶ ποθῶν αὐτῷ συνεῖναι, τοῦ δὲ Κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ' ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων ἐκείνου παρόντος ἐξέπεμψεν ἄσμενος, μόνῳ σχεδὸν ἐκείνῳ τῶν εἰς Ῥώμην πλεόντων τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος, ἄλλως αὐτῷ προσήκοντα καὶ διὰ συγγένειαν. Ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν ἦν τῶν πόλεων καὶ δεῖπνα καὶ κλήσεις, ἐν οἷς τοὺς φίλους ἐκέλευε προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν Κουρίωνος λόγον. Ὁ γὰρ Κουρίων

5, 57—58 H.

---

16. εἰπεῖν ἐστὶν MV^b. 18. τοιοῦτος MV^b. αὐτοὺς C, αὐτοὺς AMV^b.

XIV. 4. πολλῇ PCMi. 9. μεταστάντος ἔτι C. 12. τὴν πραότητα Coraes. καὶ post πραότητα om M. 14. ἀπόντα M. 16. immo πείθων. 18. ὑπάρχων CBM. 22. καὶ περὶ BV^b.

ἀχθόμενος τῷ αὐστηρῷ τοῦ Κάτωνος, φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν, εἰ πρόθυμός ἐστι μετὰ τὴν στρατείαν γενέσθαι τῆς Ἀσίας θεατής. Τοῦ δὲ καὶ πάνυ φήσαντος „Εὖ λέγεις“, εἶπεν ὁ Κουρίων, „ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν καὶ μᾶλλον ἥμερος“ οὕτω πως καὶ τῷ ῥήματι χρησάμενος.

XV. Δηϊόταρος δὲ ὁ Γαλάτης μετεπέμψατο μὲν τὸν Κάτωνα πρεσβύτερος ὢν ἤδη παραθέσθαι τοὺς παῖδας αὐτῷ βουλόμενος καὶ τὸν οἶκον, ἐλθόντι δὲ προσφέρων δῶρα παντοδαπὰ καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον οὕτω παρώξυνεν, ὥστε δείλης ἐλθόντα καὶ νυκτερεύσαντα τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν ἀπᾶραι. Προελθὼν μέντοι μιᾶς ἡμέρας ὁδὸν εὗρεν ἐν Πεσσινοῦντι πλείονα τῶν ἐκεῖ δώρων αὖθις αὐτὸν ὑπομένοντα καὶ γράμματα τοῦ Γαλάτου δεομένου λαβεῖν αὐτόν· εἰ δὲ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς φίλους ἐᾶσαι, πάντως μὲν ἀξίους ὄντας εὖ παθεῖν δι' ἐκεῖνον, οὐκ ὄντων δὲ τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων. Ἀλλ' οὐδὲ τού-
766 τοις ἐνέδωκεν ὁ Κάτων, καίπερ ἐνίους τῶν φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν, ἀλλὰ φήσας, ὅτι πᾶσα δωροδοκία προφάσεως ἂν εὐπορήσειεν, οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηϊόταρον. Ἐπεὶ δὲ μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον ᾤοντο δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καπίωνος εἰς ἕτερον θέσθαι πλοῖον, εἰπὼν, ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον ἢ τούτων, ἀνήχθη. Καὶ μέντοι λέγεται κατὰ τύχην ἐπισφαλέστατα περᾶσαι, τῶν ἄλλων μετρίως κομιζομένων.

XVI. Ἐπανελθὼν δὲ εἰς Ῥώμην τὸν μὲν ἄλλον χρόνον κατ' οἶκον Ἀθηνοδώρῳ ἢ κατ' ἀγορὰν τοῖς φίλοις παριστά-

5, 58—59 H.

---

25. τῷ ἰσχυρῷ M. 27. καὶ om C. 29. καὶ μᾶλλον] μᾶλλον F^a. πῶς MV^b.

XV. 2. μὲν ὢν Aia. 7. πεσινοῦντι PCV^bF^a, πισσινοῦντι AB. 9. δὲ om libri praeter a. num δεομένου, λαβεῖν αὐτὸς εἰ μὴ? 15. ἔχοι CB. ἀπέπεμπε F^a. 16. εἰς] πρὸς CBMV^b. 17. οἱ συνόντες φίλοι C. Καπίωνος] cf. ad c. 1. 20. περᾶσαι V^bia: περάσαι v. νομιζομένων F^a.

XVI. 2. ‚post Ἀθηνοδώρῳ excidit aliquid, v. c. συσχολάζων‘. Emperius.

μενος διετέλεσεν. Ἐπιβάλλουσαν δὲ αὐτῷ τὴν ταμιευτικὴν ἀρχὴν οὐ πρότερον μετῆλθεν ἢ τούς τε νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς καὶ διαπυθέσθαι τῶν ἐμπείρων ἕκαστα καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν δύναμιν περιλαβεῖν. Ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς μεγάλην ἐποίησε μεταβολὴν τῶν περὶ τὸ ταμεῖον ὑπηρετῶν καὶ γραμματέων, οἳ διὰ χειρὸς ἀεὶ τὰ δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες, εἶτα νέους ἄρχοντας παραλαμβάνοντες δι' ἀπειρίαν καὶ ἄγνοιαν ἀτεχνῶς διδασκάλων ἑτέρων καὶ παιδαγωγῶν δεομένους οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις, ἀλλὰ ἦσαν ἄρχοντες αὐτοί, μέχρι οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι νεανικῶς οὐκ ὄνομα καὶ τιμὴν ἔχων ἄρχοντος, ἀλλὰ καὶ νοῦν καὶ φρόνημα καὶ λόγον ὑπηρέταις, ὅπερ ἦσαν, ἠξίου χρῆσθαι τοῖς γραμματεῦσι, τὰ μὲν ἐξελέγχων κακουργοῦντας αὐτούς, τὰ δὲ ἁμαρτάνοντας ἀπειρίᾳ διδάσκων. Ὡς δὲ ἦσαν ἰταμοὶ καὶ τοὺς ἄλλους ἐθώπευον ὑποτρέχοντες, ἐκείνῳ δὲ ἐπολέμουν, τὸν μὲν πρῶτον αὐτῶν καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι πονηρὸν ἀπήλασε τοῦ ταμείου, δευτέρῳ δέ τινι ῥᾳδιουργίας προὔθηκε κρίσιν. Ὧι Κάτλος Λουτάτιος ὁ τιμητὴς ἀνέβη βοηθήσων, ἀνὴρ μέγα τὸ τῆς ἀρχῆς ἔχων ἀξίωμα, τὸ δὲ τῆς ἀρετῆς ἔχων μέγιστον, ὡς πάντων δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων· ἦν δὲ καὶ τοῦ Κάτωνος ἐπαινέτης καὶ συνήθης διὰ τὸν βίον. Ὡς οὖν ἡττώμενος τοῖς δικαίοις ἐξητεῖτο φανερῶς τὸν ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. Ἔτι δὲ μᾶλλον προσλιπαροῦντος „Αἰσχρὸν“ εἶπεν „ὦ Κάτλε, σὲ τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι.“ Ταύτην τὴν φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος προσέβλεψε μὲν αὐτὸν ὡς ἀμειψόμενος, εἶπε δὲ οὐδέν, ἀλλ' εἴτε ὑπ' ὀργῆς εἴτε ὑπ' αἰσχύνης ἀπῆλθε σιωπῇ

5, 59—60 H.

---

5. ταμιευκτικοὺς A. 8. τῶν ταμείων BMV^b. γραμματείων M. 9. εἶτα — 10 παραλαμβάνοντες om BMV^b. 11. δεόμενοι B. 12. ἐκείνης M, ἐκείνης BV^b. 13. μέχρι pr. Pi: μέχρις v. 14. ἔχων excidit quibusdam editionibus. 15. ὑπηρέτας AV. τοῖς om pr. P. 16. κακοῦντας A. αὐτοὺς om C. ἁμαρτάνοντος M. 19. γενέσθαι M. 23. alterum ἔχων delet Coraes. 24. σωφροσύνῃ καὶ δικαιοσύνῃ BMV^b. 27. ὁ κάτων αὐτὸν V^b. προσλιποῦντος F^a.

διηπορημένος. Οὐ μὴν ἥλω γε ὁ ἄνθρωπος, ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς ἀφιείσας ὑπερέβαλλον αἱ καθαιροῦσαι καὶ Λόλλιος Μάρκος, εἷς συνάρχων τοῦ Κάτωνος, ὑπὸ ἀσθενείας ἀπελέλειπτο τῆς δίκης, πέμπει πρὸς τοῦτον ὁ Κάτλος δεόμενος βοηθῆσαι τῷ ἀνθρώπῳ· κἀκεῖνος ἐν φορείῳ κομισθεὶς μετὰ τὴν δίκην ἔθετο τὴν ἀπολύουσαν. Οὐ μὴν ἐχρήσατό γε τῷ γραμματεῖ ὁ Κάτων οὐδὲ τὸν μισθὸν ἀπέδωκεν οὐδὲ ὅλως ἐνάριθμον τοῦ Λολλίου τὴν ψῆφον ἔσχεν.

XVII. Οὕτω δὲ τοὺς γραμματεῖς ταπεινώσας καὶ ποιήσας ὑποχειρίους καὶ τοῖς γράμμασιν, ὡς αὐτὸς ἐβούλετο, χρώμενος ὀλίγῳ χρόνῳ τὸ ταμεῖον ἀπέδειξε τοῦ βουλευτηρίου σεμνότερον, ὡς καὶ λέγειν καὶ φρονεῖν ἅπαντας, ὅτι Κάτων ὑπατείας ἀξίωμα τῇ ταμιείᾳ περιέθηκε. Πρῶτον μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ δημοσίῳ πολλοὺς ὀφείλοντας καὶ πολλοῖς τὸ δημόσιον, ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικουμένην καὶ ἀδικοῦσαν, τοὺς μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν,
767 τοῖς δὲ ταχέως ἀποδιδοὺς καὶ προθύμως, ὥστε τὸν δῆμον αἰδεῖσθαι τοὺς μὲν οἰομένους ἀποστερήσειν ἐκτίνοντας ὁρῶντα, τοὺς δὲ ἃ μὴ προσεδόκων ἀπολαμβάνοντας. Ἔπειτα γράμματα τῶν πολλῶν οὐ προσηκόντως ἀναφερόντων καὶ δόγματα ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν προτέρων εἰωθότων, οὐδὲν αὐτὸν ἔλαθε γενόμενον τοιοῦτον, ἀλλ' ὑπὲρ ἑνός ποτε δόγματος ἐνδοιάσας, εἰ κύριον γέγονε, πολλῶν μαρτυρούντων οὐκ ἐπίστευσεν οὐδὲ κατέταξε πρότερον ἢ τοὺς ὑπάτους ἐπομόσαι παραγενομένους. Ὄντων δὲ πολλῶν, οἷς Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας ἐκ προγραφῆς γέρας ἔδωκεν ἀνὰ μυρίας δισχιλίας δραχμὰς, ἅπαν-

5, 60—62 H.

33. διηρημένος V. 34. ὑπερέβαλλον PCBMV^{b}F^{a}: ὑπερέβαλον v. λόλιος C et postea. 36. ἀπολέλειπτο B. 39. γράμματι MV, πράγματι APBVi. ὁ delendum puto, fortasse etiam Κάτων.

XVII. 1. δὴ P. 2. ‚immo πράγμασιν' Emperius. cf. c. 16, 13. 4. σεμνώτερον F^{a}. 5. πρῶτον [V^{b}]x: πρότερον v. 6. καὶ πολλοὺς M. 9. τοὺς δὲ MV^{b}. 10. αἰδεῖσθαι] ἥδεσθαι cl. v. 26. Schaeferus. cf. c. 46. ἀποστέρησιν BMV^{b}. 12. τῶν delet Reiskius. 14. προτέρων PCBMV^{b}F^{a} cod. Stephani (‚legitur etiam'): πρότερον v. γινόμενον Coraes. 17. παραγεγονότας F^{a}V. 18. ἀποκτείνας C. 19. γέρας Fr. Kraner act. societ. gr. t. 2 p. 63. cl. Sull. 31, 23: ἑτέρας libri.

τες μὲν αὐτοὺς ὡς ἐναγεῖς καὶ μιαροὺς ἐμίσουν, ἀμύνασθαι δὲ οὐδεὶς ἐτόλμα, Κάτων δὲ προσκαλούμενος ἕκαστον ἔχοντα δημόσιον ἀργύριον ἀδίκως ἐξέπραττεν ἅμα θυμῷ καὶ λόγῳ τὸ τῆς πράξεως ανύσιον καὶ παράνομον ἐξονειδίζων. Οἱ δὲ τοῦτο παθόντες εὐθὺς ἦσαν ἔνοχοι φόνῳ καὶ τρόπον τινὰ προηλωκότες ἀπήγοντο πρὸς τοὺς δικαστὰς καὶ δίκας ἔτινον, ἡδομένων πάντων καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα καὶ Σύλλαν αὐτὸν ἐφορᾶν κολαζόμενον.

XVIII. Ἤιρει δὲ τοὺς πολλοὺς καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς ἐπιμελείας καὶ ἄτρυτον. Οὔτε γὰρ πρότερός τις ἀνέβη τῶν συναρχόντων εἰς τὸ ταμιεῖον Κάτωνος οὔτε ὕστερος ἀπῆλθεν. Ἐκκλησίαν δὲ καὶ βουλὴν οὐδεμίαν παρῆκε δεδιὼς καὶ παραφυλάττων τοὺς ἑτοίμως καὶ πρὸς χάριν ὀφλημάτων καὶ τελῶν ἀνέσεις ἢ δόσεις οἷς ἔτυχεν ἐπιψηφιζομένους. Ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον ἄβατόν τε καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν, ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι μὴ ἀδικούσῃ. Κατ' ἀρχὰς δὲ τῶν συναρχόντων ἐνίοις ἐπαχθὴς καὶ χαλεπὸς φανεὶς ὕστερον ἠγαπᾶτο ταῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια μηδὲ κρίνειν κακῶς ἀπεχθείαις ὑποτιθεὶς ἑαυτὸν ἀντὶ πάντων καὶ παρέχων ἀπολογεῖσθαι πρὸς τοὺς δεομένους καὶ βιαζομένους ἐκείνους, ὡς ἀμήχανόν ἐστιν ἄκοντος Κάτωνος. Τῶν δὲ ἡμερῶν τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων τῶν πολιτῶν προπεμφθεὶς εἰς οἶκον ἤκουσεν, ὅτι Μαρκέλλῳ πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμιείῳ καὶ περιέχοντες ἐκβιάζονται γράψαι τινὰ δόσιν χρημάτων ὀφειλομένων. Ἦν δὲ ὁ Μάρκελλος ἐκ παίδων φίλος τῷ Κάτωνι καὶ σὺν ἐκείνῳ βέλτιστος ἄρχων, αὐτὸς δὲ καθ' αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις καὶ κατάντης πρὸς πᾶσαν χάριν. Εὐθὺς οὖν ὁ Κάτων ἐπιστρέψας καὶ τὸν Μάρκελλον εὑρὼν ἐκβεβιασμένον γράψαι τὴν δόσιν ᾔτησε τὰς δέλτους καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ·

5, 62—63 H.

---

20. ἐναργεῖς F^a. ἀμύνεσθαι C. 25. προσηλωκότες A. 27. κολαζόμενον] τυραννούμενον C.

XVIII. 2. πρότερος x: πρῶτος libri. 3. ταμιεῖον hic quidem P: ταμεῖον v. 6. ἐπιψηφιζόμενος B. 7. ταμιεῖον hic et deinceps libri omnes. 15. τῶν addiderunt PCBMF^a. 18. ὀφειλομένων x: ὀφειλομένην v. 22. εὑρὼν] ὁρῶν C. δέησιν B. 23. σιγῇ B.

καὶ τοῦτο πράξας κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου καὶ κατέστησεν εἰς οἶκον οὔτε τότε μεμψάμενον οὔτε ὕστερον, ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός. Οὐ μὴν οὐδὲ ἀπαλλαγεὶς τῆς ταμιείας ἀφῆκε τῆς φρουρᾶς ἔρημον τὸ ταμιεῖον, ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ' ἡμέραν ἀπογραφόμενοι τὰς διοικήσεις παρῆσαν, αὐτὸς δὲ βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν Σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν ὠνησάμενος πέντε ταλάντων ἀεὶ διὰ χειρὸς εἶχεν.

XIX. Εἰς δὲ σύγκλητον εἰσῄει τε πρῶτος καὶ τελευταῖος ἀπηλλάττετο· πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ τὸ ἱμάτιον τοῦ βι-
768 βλίου προϊσχόμενος. Ἀπεδήμησε δὲ οὐδέποτε βουλῆς γενομένης. Ἐπεὶ δὲ ὕστερον οἱ περὶ Πομπήϊον ἑώρων αὐτὸν ἐν οἷς ἐσπούδαζον ἀδίκως ἀμετάπειστον καὶ δυσεκβίαστον ἀεί, διεμηχανῶντο φιλικαῖς τισι συνηγορίαις ἢ διαίταις ἢ πραγματείαις ἔξω περισπᾶν. Συνεὶς οὖν ταχὺ τὴν ἐπιβουλὴν ἀπεῖπε πᾶσι καὶ παρετάξατο βουλῆς ἀγομένης μηδὲν ἄλλο πράττειν. Οὔτε γὰρ δόξης χάριν οὔτε πλεονεξίας οὔτε αὐτομάτως καὶ κατὰ τύχην, ὥσπερ ἕτεροί τινες, ἐμπεσὼν εἰς τὸ πράττειν τὰ τῆς πόλεως, ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ τὴν πολιτείαν ἑλόμενος μᾶλλον ᾤετο δεῖν προσέχειν τοῖς κοινοῖς ἢ τῷ κηρίῳ τὴν μέλιτταν, ὅς γε καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα καὶ δόγματα καὶ κρίσεις καὶ πράξεις τὰς μεγίστας ἔργον πεποίητο διὰ τῶν ἑκασταχόθι ξένων καὶ φίλων πέμπεσθαι πρὸς αὐτόν. Ἐνστὰς δέ ποτε Κλωδίῳ τῷ δημαγωγῷ κινοῦντι καὶ ταράττοντι μεγάλων ἀρχὰς νεωτερισμῶν καὶ διαβάλλοντι πρὸς τὸν δῆμον ἱερεῖς καὶ ἱερείας, ἐν οἷς καὶ Φαβία Τερεντίας ἀδελφή, τῆς Κικέρωνος γυναικός, ἐκινδύ-
5, 63—64 H. νευσε, τὸν μὲν Κλώδιον αἰσχύνῃ περιβαλὼν ἠνάγκασεν ὑπεκ-

---

XIX. 4. δὲ post ἀπεδήμησε om F^a. 5. ἑώρων B: ὁρῶντες v. 9. ἀγομένης] ἐπιγενομένης F^a. ἐπειγομένης V. 10. πράσσειν B. 11. καὶ om CF^a. 12. τὰ τῆς πόλεως om C. 13. προσέχειν $CBMV^bqF^aVx$: προσέχεσθαι v. 14. τῶν κηρίων $APCMV^bTSRqV$. ὥς γε PF^a. 15. καὶ πράξεις καὶ κρίσεις F^a. 18. ταράττοντι Reiskii P[AMV^b]: παρατάττοντι F^a, πράττοντι v. 19. καὶ βία F^a. 20. Τερεντίας x: τερεντία libri. ἀδελφῇ τῆς κικέρωνος ἀδελφὸς ἐκινδύνευσε F^a.

στῆναι τῆς πόλεως, τοῦ δὲ Κικέρωνος εὐχαριστοῦντος τῇ πόλει δεῖν ἔχειν ἔφη χάριν αὐτὸν, ὡς ἐκείνης ἕνεκα πάντα ποιῶν καὶ πολιτευόμενος. Ἐκ τούτου μεγάλη δόξα περὶ αὐτὸν ἦν, ὥστε ῥήτορα μὲν, δίκῃ τινὶ μαρτυρίας μιᾶς φερομένης, εἰπεῖν πρὸς τοὺς δικαστὰς, ὡς ἑνὶ μαρτυροῦντι προσέχειν οὐδὲ Κάτωνι καλῶς ἔχει, πολλοὺς δὲ ἤδη περὶ τῶν ἀπίστων καὶ παραδόξων ὥσπερ ἐν παροιμίᾳ τινὶ λέγειν, ὅτι τοῦτο μὲν οὐδὲ Κάτωνος λέγοντος πιθανόν ἐστι. Μοχθηροῦ δὲ ἀνθρώπου καὶ πολυτελοῦς λόγον ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν ἐπαναστὰς Ἀμναῖος „Ὦ ἄνθρωπε“ εἶπε „τίς ἀνέξεταί σου δειπνοῦντος μὲν ὡς Κράσσου, οἰκοδομοῦντος δὲ ὡς Λευκόλλου, δημηγοροῦντος δὲ ἡμῖν ὡς Κάτωνος;“ Καὶ τῶν ἄλλων δὲ τοὺς φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ σεμνοὺς καὶ αὐστηροὺς χλευάζοντες ἐκάλουν Κάτωνας.

XX. Πολλῶν δὲ αὐτὸν ἐπὶ δημαρχίαν καλούντων οὐκ ᾤετο καλῶς ἔχειν μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ ἰσχυροῦ φαρμάκου, δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις ἐξαναλῶσαι. Καὶ ἅμα σχολῆς οὔσης τῶν δημοσίων παραλαβὼν βιβλία καὶ φιλοσόφους ἐβάδιζεν εἰς Λευκανίαν, ἀγροὺς αὐτόθι κεκτημένος ἔχοντας οὐκ ἀνελευθέρους διατριβάς· εἶτα καθ' ὁδὸν πολλοῖς τισιν ὑποζυγίοις καὶ σκεύεσι καὶ ἀκολούθοις ἀπαντήσας καὶ πυθόμενος Νέπωτα Μέτελλον εἰς Ῥώμην ἐπανέρχεσθαι δημαρχίαν μετιέναι παρεσκευασμένον, ἐπέστη σιωπῇ καὶ διαλιπὼν μικρὸν ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τοὺς ἑαυτοῦ. Τῶν δὲ φίλων θαυμασάντων „Οὐκ ἴστε“ εἶπεν „ὅτι καὶ καθ' αὐτὸν ὑπὸ ἐμπληξίας φοβερός ἐστι Μέτελλος καὶ νῦν ἐκ τῆς Πομπηΐου γνώμης ἀφιγμένος εἰς τὴν πολιτείαν ἐμπεσεῖται δίκην σκηπτοῦ πάντα πράγματα ταράττων; Οὐκ οὖν σχολῆς οὐδὲ ἀποδημίας καιρὸς, ἀλλὰ δεῖ κρατῆσαι τοῦ

5, 64—65 H.

---

27. ἔχει Stephanus cum [AC]TS: ἔχειν ceteri. 31. Ἀμναῖος] aliter Lucull. 40. 32. εἶπε PCBMV^b: εἶπεν v. 33. λευκόλλου PBMV^{b}Fi: λουκούλλου AC, Λευκούλλου v. desidero vel οἰκοδομοῦντος μὲν ὡς Κράσσου, δειπνοῦντος δὲ ὡς Λευκόλλου vel δειπνοῦντος μὲν ὡς Λευκόλλου, οἰκοδομοῦντος δὲ ὡς Κράσσου cum Reiskio cl. Lucull. 3. 38. 40. 35. ἐν δὲ τοῖς λόγοις P.

XX. 11. τοὺς] στὰς MV^b. 12. καὶ Corais praestiterunt CBMV^b corr P. 15. οὐκοῦν οὐ V^b.

ἀνδρὸς ἢ καλῶς ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον.“ Ὁμως δὲ τῶν φίλων παραινεσάντων ἀφίκετο πρῶτον εἰς τὰ χωρία καὶ διέτριψεν οὐ πολὺν χρόνον, εἶτα ἐπανῆκεν εἰς πόλιν. Ἑσπέρας δὲ ἐλθὼν εὐθὺς ἔωθεν εἰς ἀγορὰν κατέβαινε δημαρχίαν μετιὼν ὡς ἀντιταξόμενος πρὸς τὸν Μέτελλον. Τὸ γὰρ ἰσχυρὸν ἡ ἀρχὴ πρὸς τὸ κωλύειν ἔχει μᾶλλον ἢ πρὸς τὸ πράττειν· κἂν πάντες οἱ λοιποὶ παρ᾽ ἕνα ψηφίσωνται, τοῦ μὴ θέλοντος μηδὲ ἐῶντος τὸ κράτος ἐστί.

XXI. Τὸ μὲν οὖν πρῶτον ὀλίγοι περὶ τὸν Κάτωνα
769 τῶν φίλων ἦσαν· φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης ὀλίγου χρόνου πάντες οἱ χρηστοὶ καὶ γνώριμοι συνέτρεχον καὶ παρεκάλουν καὶ παρεθάρρυνον αὐτὸν, ὡς οὐ λαμβάνοντα χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς ἐπιεικεστάτοις τῶν πολιτῶν, ὅτι πολλάκις ἀπραγμόνως ἄρξαι παρὸν οὐ θελήσας νῦν ὑπὲρ τῆς ἐλευθερίας καὶ πολιτείας ἀγωνιούμενος οὐκ ἀκινδύνως κάτεισι. Λέγεται δὲ, πολλῶν ὑπὸ σπουδῆς καὶ φιλοφροσύνης ὠθουμένων πρὸς αὐτὸν, ἐν κινδύνῳ γενόμενος μόλις ἐξικέσθαι διὰ πλῆθος εἰς τὴν ἀγορὰν. Ἀποδειχθεὶς δὲ δήμαρχος σὺν ἑτέροις καὶ τῷ Μετέλλῳ τὰς ὑπατικὰς ἀρχαιρεσίας ὁρῶν ὠνίους οὔσας ἐπετίμησε τῷ δήμῳ· καὶ καταπαύων τὸν λόγον ἐπώμοσε τοῦ δόντος ἀργύριον, ὅστις ἂν ᾖ, κατηγορήσειν, ἕνα Σιλανὸν ὑπεξελόμενος δι᾽ οἰκειότητα. Σερβιλίαν γὰρ ἀδελφὴν Κάτωνος ὁ Σιλανὸς εἶχε. Διὸ τοῦτον μὲν παρῆκε, Λεύκιον δὲ Μουρήναν ἐδίωκεν ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ Σιλανοῦ γενέσθαι. Νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ φύλακα τῷ κατηγόρῳ διδόντος, ὥστε μὴ λαθεῖν ἃ συνάγει καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουρήνα παρακολουθῶν καὶ παραφυλάττων, ὡς ἑώρα μηδὲν ἐπιβούλως πράττοντα μηδὲ ἀδίκως, ἀλλὰ γενναίως τε καὶ φιλανθρώπως ἁπλῆν τινα τῆς κατηγορίας καὶ δικαίαν
5, 65—66 H.

---

19. *τὴν πόλιν* C.

XXI. 5. *τῇ μεγίστῃ* BMV^{b}. 7. *παρὼν* V^{b}. *τῆς πολιτείας καὶ τῆς ἐλευθερίας* C. 14. *ἕνα*] *ἐν ᾧ* PC. 16. *μουρήναν* libri omnes et deinceps, nisi quod C *μουρίναν* constanter et in P alterum *ρ* constanter erasum: *Μουρήναν* Stephanus quomodo alibi Plutarchus. 17. *τοῦ* om C. 19. *δοθέντος* M. 21. *μηδὲν* C. 22. *τε* addiderunt PCBMV^{b}F^{a}.

ὁδὸν πορευόμενον, οὕτως ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος, ὥστε κατ' ἀγορὰν προσιὼν καὶ φοιτῶν ἐπὶ θύραις πυνθάνεσθαι τοῦ Κάτωνος, εἰ μέλλει τι σήμερον πραγματεύσασθαι τῶν περὶ τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύων ἀπήει. Τῆς δὲ δίκης λεγομένης ὁ Κικέρων, ὕπατος ὢν τότε καὶ τῷ Μουρήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους καὶ ταῦτα δὴ τὰ παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων γέλωτα παρεῖχε τοῖς δικασταῖς. Τὸν οὖν Κάτωνά φασι διαμειδιάσαντα πρὸς τοὺς παρόντας εἰπεῖν „Ὦ ἄνδρες, ὡς γελοῖον ὕπατον ἔχομεν." Ἀποφυγὼν δὲ ὁ Μουρήνας οὐ πονηροῦ πάθος οὐδὲ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς τὸν Κάτωνα· καὶ γὰρ ὑπατεύων ἐχρῆτο συμβούλῳ τῶν μεγίστων καὶ τἆλλα τιμῶν καὶ πιστεύων διετέλεσεν. Αἴτιος δὲ ἦν ὁ Κάτων αὐτὸς ἐπὶ τοῦ βήματος καὶ τοῦ συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων, εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος.

XXII. Πρὶν δὲ εἰς τὴν δημαρχίαν καθίστασθαι, Κικέρωνος ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὥρθωσεν αὐτοῦ καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίσταις καὶ καλλίσταις γενομέναις τέλος ἐπέθηκεν. Αὐτὸς μὲν γὰρ ὁ Κατιλίνας ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων τοῖς Ῥωμαίων πράγμασι καὶ στάσεις ὁμοῦ καὶ πολέμους ταράττων ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος ἐξέπεσε τῆς πόλεως· Λέντλος δὲ καὶ Κέθηγος καὶ μετ' αὐτῶν ἕτεροι συχνοὶ δεξάμενοι τὴν συνωμοσίαν καὶ τῷ Κατιλίνᾳ δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες αὐτοὶ διενοοῦντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ καὶ τὴν ἡγεμονίαν ἐθνῶν ἀποστάσεσι καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν. Φανερᾶς δὲ

5, 66—67 H.

---

24. πολιτευόμενον BM. ἐθαύμασε C. 25. ἐπὶ θύραις] cf. annot. in Themist. p. 180. 26. μέλλοι C. πραγματεύεσθαι C. 27. φάνη a. 29. Στωϊκοὺς om C. 30. καλούμενα δόγματα om C. 31. παρακόπτων F^a. εἶχε MV^b. 32. οὖν] δὲ C. φησι BMV^b. μειδιάσαντα BMV^bF^a. 34. πάθους A. 36. τῶν APCBMV^bi: περὶ τῶν a et v. post πιστεύων v. adduntur ἐπὶ τοῦ βήματος omissa ACBMV^b[F^a]V, erasa P. margo Mureti: ‚illud ἐπὶ τοῦ β. non est in T neque in R neque in S neque in u neque in q.' 37. ἐπὶ BCMV^b corr PF^a: ἀχρι v.

XXII. 3. τοῖς A. 7. ἐξελεχθεὶς CV^b. 8. κέτθηγος M.

τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς ἐν τοῖς περὶ Κικέρωνος γέγραπται, ἐν βουλῇ γνώμην προθέντος, ὁ μὲν πρῶτος εἰπὼν Σιλανὸς ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔσχατα παθεῖν χρῆναι τοὺς ἄνδρας· οἱ δὲ μετ' αὐτὸν ἐφεξῆς ἠκολούθησαν ἄχρι Καίσαρος. Καῖσαρ δὲ ἀναστὰς, ἅτε δὴ καὶ δεινὸς εἰπεῖν καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο βουλόμενος αὔξειν μᾶλλον ἢ σβεννυμένην περιορᾶν, ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθεὶς ἀποκτεῖναι μὲν ἀκρίτους οὐκ εἴα τοὺς ἄνδρας, εἰρχθέντας δὲ τηρεῖν ἐκέλευσεν· οὕτω δὲ τὰς γνώμας μετέστησε τῆς βουλῆς φοβηθείσης τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θάνατον, ἀλλὰ εἰργμόν· ἔσχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων.

XXIII. Γενομένης δὲ τοιαύτης τῆς τροπῆς καὶ ἁπάντων ἐπὶ τὸ πραότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστὰς εὐθὺς ἵετο τῷ λόγῳ μετ' ὀργῆς καὶ πάθους τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν ἀνατρέποντος καὶ δεδιττομένου τὴν βουλὴν ἐφ' οἷς αὐτὸν ἔδει δεδιέναι καὶ ἀγαπᾶν, εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι καὶ ἀνύποπτος οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους καὶ τὴν παρ' οὐδὲν ἑλθοῦσαν ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν, ἀλλ' οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ κινδύ-

5, 67—68 H.

---

13. αὐτῷ F^a. ὡς — προθέντος corrupta sunt, sed anonymi correctio καὶ τοῦ Κικέρωνος, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται nuperis probata et iusto licentior est nec ad sententiam idonea. mihi vel προθέντες scribendum videtur (cf. Heldium in Aemilium p. 246) vel, quod malim, γενομένης καὶ τοῦ Κικέρωνος ἐν βουλῇ γνώμην προθέντος, ceteris ut ex margine illatis resectis. 14. προσθέντος ia. 17. μέχρι A. δὴ om C. 21. εἰρχθέντας P. 22. τῆς βουλῆς μετέστησε BMV^b. 24. καὶ post εἶναι addidit C volebatque Stephanus. cf. Cic. 21.

XXIII. 3. ἵετο libri. τῷ om C. 4. πλήθους C. 5. δημοτικῷ λόγῳ καὶ BMV^b. 7. ἔδει] ἔφη C. 8. ἀπαλλάξειε C, ἀπαλλάξει Emperius. οὕτω APCB. 12. φόνων καὶ μεγάλων κινδύνων Reiskii nuperi.

νων ἀπαλλάξουσι τὴν πόλιν ἀποθανόντες. Τοῦτον μόνον ὧν Κάτων εἶπε διασώζεσθαί φασι τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας ὀξύτητι τῶν γραφέων σημεῖα προδιδάξαντος ἐν μικροῖς καὶ βραχέσι τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτα ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. Οὔπω γὰρ ἤσκουν οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους, ἀλλὰ τότε πρῶτον εἰς ἔχνος τι καταστῆναι λέγουσιν. Ἐκράτησε δ' οὖν ὁ Κάτων καὶ μετέστησε τὰς γνώμας, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.

XXIV. Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται, τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος καὶ τῆς βουλῆς εἰς ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσκομισθῆναι τῷ Καίσαρι. Τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα καὶ διαβάλλοντος εἶναί τινας τοὺς κινουμένους, καὶ κελεύοντος ἀναγινώσκειν τὰ γεγραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον ἐγγὺς ἑστῶτι. Τὸν δὲ ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένον ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ προσρῖψαί τε τῷ Καίσαρι καὶ εἰπεῖν „Κράτει, μέθυσε", καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. Φαίνεται δὲ ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ γυναικωνῖτις. Αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς ἤκουσε· τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα. Λευκόλλῳ γὰρ γα-

5, 68—69 H.

---

13. ἀπαλλάξουσι ACBF^a[MV^b]: ἀπαλλάξωσι v. τούτων M. 15. προδιδάξαντας M. 18. οὕτω M.

XXIV. 1. δεῖ punctis notat P, om BM, al. manu addit V^b, post παραλιπεῖν ponit C. 5. τι om P. 6. διαβάλλοντας B, διαβάλλοντας corr V^b. 7. κινουμένους καὶ om C. κελεύοντος Reiskii Pu[M]: κελεύοντας corr V^b, κελεύοντας v. ἀναγιγνώσκειν B. 9. σερβηλίας BMV^b constanter. 11. γεγραμμένης libri, correxit Stephanus. προσρῖψαι Schaeferus: προσρίψαι v. 12. τε om C. 13. καὶ ἀτύχημα corr PC. 15. καίσαρος CBMV^b. 16. οὐκ εὐσχημονέστερα CBMV^b corr PF^a, εὐσχημονέστερα V. λουκόλλῳ corr. A, λουκούλλῳ C.

μηθεῖσα, πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρὶ, καὶ τεκοῦσα παιδίον ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. Τὸ δὲ αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος Ἀτιλία τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων, ἀλλὰ, καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.

XXV. Εἶτα ἔγημε θυγατέρα Φιλίππου Μαρκίαν, ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα, περὶ ἧς ὁ πλεῖστος λόγος. Καὶ καθάπερ ἐν δράματι τῷ βίῳ τοῦτο τὸ μέρος προβληματῶδες γέγονε καὶ ἄπορον. Ἐπράχθη δὲ τοῦτον τὸν τρόπον, ὡς ἱστορεῖ Θρασέας εἰς Μουνάτιον, ἄνδρα Κάτωνος ἑταῖρον καὶ συμβιωτὴν, ἀναφέρων τὴν πίστιν. Ἐν πολλοῖς ἐρασταῖς καὶ θαυμασταῖς τοῦ Κάτωνος ἦσαν ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ Κόϊντος Ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ καὶ τὸν τρόπον ἐπιεικής. Ἐπιθυμῶν οὖν
771 τῷ Κάτωνι μὴ συνήθης εἶναι μηδὲ ἑταῖρος μόνον, ἀλλ' ἀμωσγέπως εἰς οἰκειότητα καταμῖξαι καὶ κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ γένος ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα Πορκίαν Βύβλῳ συνοικοῦσαν καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας αὐτῷ πάλιν ὥσπερ εὐγενῆ χώραν ἐντεκνώσασθαι παράσχῃ. Δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον, φύσει δὲ καλὸν καὶ πολιτικὸν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτε ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν δεόμενον, κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι τήν τε ἀρετὴν ἄφθονον ποιεῖν καὶ πολύχυτον τοῖς γένεσι καὶ τὴν πόλιν αὐτὴν πρὸς αὐτὴν ἀνακεραννύναι ταῖς οἰκειότησιν. Εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν οἰκειότερος αὐτῷ τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ
5, 69—70 H.

---

17. ἀνδρὶ] ἀρχῇς BMV^{b}. 19. ἀτιλία F^{a}.

XXV. 1. μαρκίαν ὀνόματι CBMV^{b}V. 2. Καὶ addidit Coraes. 7. θαυμαστοῖς CBV^{b}. 8. ὁρτήσιος ACF^{a} et postea. ἀξιώματί τε λαμπρὸς CBMV^{b}. 11. καταμῖξαι Schaeferus: καταμίξαι v. 13. βίβλῳ F^{a} et postea. 15. παράσχοι C. 16. ἐν ὥρᾳ] ἑώρα CBMV^{b}. ἀκμὴν CBMV^{b}. 17. ἀργὴν C. 18. ἀποτίκτουσαν V. δεόμενος F^{a} marg. Mureti V. 19. κινουμένους P, κοινουμένου a, κινουμένου i. 20. πολύχουν Corais CBMV^{b}F^{a}, sed cf. mor. 500 e. ἐν τοῖς CBMV^{b}. 23. τὴν τεκοῦσαν BMV^{b}. κοινωνίᾳ om C.

παίδων γενόμενος. Ἀποκριναμένου δὲ τοῦ Κάτωνος, ὡς Ὀρτήσιον μὲν ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, ἄτοπον δὲ ἡγεῖται ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς ἑτέρῳ δεδομένης, μεταβαλὼν ἐκεῖνος οὐκ ὤκνησεν ἀποκαλυψάμενος αἰτεῖν τὴν αὐτοῦ γυναῖκα Κάτωνος, νέαν μὲν οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος ἀποχρῶσαν διαδοχήν. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ταῦτα ἔπραττεν εἰδὼς οὐ προσέχοντα τῇ Μαρκίᾳ τὸν Κάτωνα· κύουσαν γὰρ αὐτὴν τότε τυγχάνειν λέγουσιν. Ὁ δ' οὖν Κάτων ὁρῶν τὴν τοῦ Ὀρτησίου σπουδὴν καὶ προθυμίαν οὐκ ἀντεῖπεν, ἀλλ' ἔφη δεῖν καὶ Φιλίππῳ ταῦτα συνδόξαι τῷ πατρὶ τῆς Μαρκίας. Ὡς οὖν ὁ Φίλιππος ἐντευχθεὶς ἔγνω τὴν συγχώρησιν, οὐκ ἄλλως ἐνεγγύησε τὴν Μαρκίαν ἢ παρόντος τοῦ Κάτωνος αὐτοῦ καὶ συνεγγυῶντος. Ταῦτα μὲν οὖν, εἰ καὶ χρόνοις ὕστερον ἐπράχθη, μνησθέντι μοι τὸ τῶν γυναικῶν προλαβεῖν ἔδοξε.

XXVI. Τῶν δὲ περὶ τὸν Λέντλον ἀναιρεθέντων καὶ τοῦ Καίσαρος περὶ ὧν εἰσηγγέλθη καὶ διεβλήθη πρὸς τὴν σύγκλητον εἰς τὸν δῆμον καταφυγόντος καὶ τὰ πολλὰ νοσοῦντα καὶ διεφθαρμένα τῆς πολιτείας μέρη ταράττοντος καὶ συνάγοντος πρὸς αὑτόν, ὁ Κάτων φοβηθεὶς ἔπεισε τὴν βουλὴν ἀναλαβεῖν τὸν ἄπορον καὶ ἀνέμητον ὄχλον εἰς τὸ σιτηρέσιον, ἀναλώματος μὲν ὄντος ἐνιαυσίου χιλίων καὶ διακοσίων καὶ πεντήκοντα ταλάντων, περιφανῶς δὲ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ χάριτι τῆς ἀπειλῆς ἐκείνης διαλυθείσης. Ἐντεῦθεν εἰς τὴν δημαρχίαν ἐμπεσὼν ὁ Μέτελλος ἐκκλησίας τε θορυβώδεις συνῆγε καὶ νόμον ἔγραψε Πομπήϊον Μάγνον ἰέναι κατὰ τάχος μετὰ τῶν δυνάμεων εἰς Ἰταλίαν καὶ παραλαβόντα σώζειν τὴν πόλιν ὡς ὑπὸ Κατιλίνα κινδυνεύουσαν. Ἦν δὲ τοῦτο λόγος εὐπρεπής, ἔργον δὲ τοῦ νόμου καὶ τέλος ἐγχειρίσαι τὰ πράγματα Πομπηίῳ καὶ παραδοῦναι τὴν ἡγε-

5, 70—71 H.

---

25. μὲν om C. 26. ἡγεῖται om C. γάμου om F^a, γάμῳ BV^b. δοθείσης C. 28. τὴν om a et v. ἔτι om $CBMV^bF^a$. 30. ὡς om C. 33. οὐ κατεῖπεν B. 34. γοῦν C. 36. ἐγγυηγύησε A, ἐνηγγύησε BV^b, cf. ad Caes. 14.

XXVI. 4. πολιτικῆς V^b. 7. ἐνιαυσίου x cl. Caes. 8: ἐνιαυτοῦ libri. certe τοῦ ἐνιαυτοῦ requirerem. 12. εἰς ἰταλίαν μετὰ τῶν δυνάμεων B. 13. κατιλίνα Corais APia: Κατιλίνᾳ v. 14. ἀπρεπὴς BM.

μονίαν. Γενομένης δὲ βουλῆς καὶ τοῦ Κάτωνος οὐχ, ὥσπερ εἰώθει, τῷ Μετέλλῳ σφοδρῶς ἐμπεσόντος, ἀλλ' ἐπιεικῆ πολλὰ καὶ μέτρια παραινέσαντος, τέλος δὲ καὶ πρὸς δεήσεις τραπομένου καὶ τὴν Μετέλλων οἰκίαν ἀεὶ γενομένην ἀριστοκρατικὴν ἐπαινέσαντος, ἔτι μᾶλλον ἐξαρθεὶς καὶ καταφρονήσας ὁ Μέτελλος ὡς ἐνδιδόντος αὐτοῦ καὶ πτήσσοντος εἰς ὑπερηφάνους ἀπειλὰς καὶ λόγους θρασεῖς ἐξέπεσεν, ὡς βίᾳ πάντα τῆς βουλῆς διαπραξόμενος. Οὕτω δὴ μεταβαλὼν ὁ Κάτων καὶ σχῆμα καὶ φωνὴν καὶ λόγον, ἐπειπὼν δὲ πᾶσι τοῖς ἄλλοις διατεταμένως, ὅτι ζῶντος αὐτοῦ Πομπήϊος οὐ παρέσται μεθ' ὅπλων εἰς τὴν πόλιν, ἐκεῖνο τῇ βουλῇ παρέστησεν, ὡς οὐδέτερος μὲν καθέστηκεν οὐδὲ χρῆται λογισμοῖς ἀσφαλέσιν, ἔστι δὲ ἡ μὲν Μετέλλου πολιτεία μανία δι' ὑπερβολὴν κακίας
772 φερομένη πρὸς ὄλεθρον καὶ σύγχυσιν ἁπάντων, ἡ δὲ Κάτωνος ἀρετῆς ἐνθουσιασμὸς ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀγωνιζομένης.

XXVII. Ἐπεὶ δὲ τὴν ψῆφον ὑπὲρ τοῦ νόμου φέρειν ὁ δῆμος ἔμελλε καὶ Μετέλλῳ μὲν ὅπλα καὶ ξένοι καὶ μονομάχοι καὶ θεράποντες ἐπὶ τὴν ἀγορὰν τεταγμένοι παρῆσαν καὶ τὸ ποθοῦν μεταβολῆς ἐλπίδι Πομπήϊον ὑπῆρχε τοῦ δήμου μέρος οὐκ ὀλίγον, ἦν δὲ μεγάλη καὶ ἀπὸ Καίσαρος ῥώμη στρατηγοῦντος τότε, Κάτωνι δὲ οἱ πρῶτοι τῶν πολιτῶν συνηγανάκτουν καὶ συνηδικοῦντο μᾶλλον ἢ συνηγωνίζοντο, πολλὴ δὲ τὴν οἰκίαν αὐτοῦ κατήφεια καὶ φόβος εἶχεν, ὥστε τῶν φίλων ἐνίους ἀσίτους διαγρυπνῆσαι μετ'
5, 71—73 H.

---

17. πολλὰ om P. 18. τέλος — 20 ἐπαινέσαντος in textu omissa in marg. habet P, τέλος — τραπομένου bis scripta in MV^b, in B hic erasa post ἐπαινέσαντος recurrunt. 19. τῷ μετέλλῳ ia. 23. διαπραξάμενος MV^b. μεταλαβὼν A. 24. καὶ λόγον καὶ φωνὴν BMV^b. πᾶσι om F^a. 25. διατεταγμένως A. ὅτι] ὡς C. 26. τὴν βουλὴν BMV^b. 30. ἀρετῆς [CBMV^b] cod. Stephani (‚legitur etiam'): ἀρετῇ P, ἀρετὴ v. ἀγωνιζομένης AC BMV^{b}F^a cod. Stephani (‚legitur etiam') V: ἀγωνιζομένη P, ἀγωνιζόμενος v.

XXVII. 2. ἤμελλε Ai. καὶ om B cum Corac. μοναχοὶ M. 4. πομπήϊον [APC]STui: Πομπηίου v. 5. μέρους οὐκ ὀλίγον MV^b. 9. ἀσίτους ἐνίους C. ἀσίτοις F^a.

ἀλλήλων ἐν ἀπόροις ὄντας ὑπὲρ αὐτοῦ λογισμοῖς καὶ γυναῖκα καὶ ἀδελφὰς ποτνιωμένας καὶ δακρυούσας, αὐτὸς ἀδεῶς καὶ τεθαρρηκότως ἐντυχὼν πᾶσι καὶ παρηγορήσας καὶ γενόμενος περὶ δεῖπνον, ὥσπερ εἰώθει, καὶ νυκτερεύσας ὑφ' ἑνὸς τῶν συναρχόντων Μινυκίου Θέρκου βαθέως καθεύδων ἐπηγέρθη· καὶ κατέβησαν εἰς ἀγορὰν, ὀλίγων μὲν αὐτοὺς προπεμπόντων, πολλῶν δὲ ἀπαντώντων καὶ φυλάττεσθαι διακελευομένων. Ὡς οὖν ἐπιστὰς ὁ Κάτων κατεῖδε τὸν νεὼν τῶν Διοσκούρων ὅπλοις περιεχόμενον καὶ τὰς ἀναβάσεις φρουρουμένας ὑπὸ μονομάχων, αὐτὸν δὲ καθήμενον ἄνω μετὰ Καίσαρος τὸν Μέτελλον, ἐπιστρέψας πρὸς τοὺς φίλους „Ὦ θρασέος" εἶπεν „ἀνθρώπου καὶ δειλοῦ, ὃς καθ' ἑνὸς ἀνύπλου καὶ γυμνοῦ τοσούτους ἐστρατολόγησεν." Ἅμα δ' εὐθὺς ἐβάδιζε μετὰ τοῦ Θέρμου. Καὶ διέστησαν αὐτοῖς ἐκείνοις οἱ τὰς ἀναβάσεις κατέχοντες, ἄλλον δὲ οὐδένα παρῆκαν, ἢ μόλις ἐπισπάσας τῆς χειρὸς ὁ Κάτων τὸν Μουνάτιον ἀνήγαγε· καὶ βαδίζων εὐθὺς, ὡς εἶχε, καθίζει μέσον ἐμβαλὼν ἑαυτὸν τοῦ Μετέλλου καὶ τοῦ Καίσαρος, ὥστε διακόψαι τὴν κοινολογίαν. Κἀκεῖνοι μὲν διηπόρησαν, οἱ δὲ χαρίεντες θεασάμενοι καὶ θαυμάσαντες τὸ φρόνημα καὶ τὸ θάρσος τοῦ Κάτωνος ἐγγυτέρω προσῆλθον καὶ βοῇ διεκελεύσαντο τῷ μὲν Κάτωνι θαρρεῖν, μένειν δὲ ἀλλήλοις καὶ συστρέφεσθαι καὶ μὴ προδιδόναι τὴν ἐλευθερίαν καὶ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον.

XXVIII. Ἔνθα δὴ τοῦ ὑπηρέτου τὸν νόμον προχειρισαμένου, τοῦ δὲ Κάτωνος οὐκ ἐῶντος ἀναγινώσκειν, τοῦ δὲ Μετέλλου παραλαβόντος αὐτὸν καὶ ἀναγινώσκοντος, ὁ μὲν Κάτων ἐξήρπασε τὸ βιβλίον, ὁ δὲ Θέρμος ἀπὸ στόματος τοῦ

5, 73—74 H.

---

10. γυναῖκα Solani PC: γυναῖκας v. 11. αὐτὸς δὲ libri praeter 1678, in P δὲ supra additum. σφόδρα ἀδεῶς C. 13. περὶ] ἐπὶ C. 14. Μινυκίου Stephanus: μινικίου libri, Μινουκίου x. παρα
15. κατεβόησαν V. αὐτὸν C. 16. διακελευομένων P, παρακελευομένων CF^a. 20. ὦ Corais A: ὦ v. 21. ἐνόπλου M, ὁπλίτου corr. V^b. 23. ἐκείνοις ego: ἐκεῖνοι libri, quod delebat Coraes. 26. μέσων F^a. 29. θαυμάσαντες APCF^a: θαυμάσαντες τὸ πρόσωπον καὶ v. καὶ θάρσος BM, καὶ θράσος V^{b}F^a. 32. προδιδόναι F^a.

Μετέλλου τὸν νόμον ἐπισταμένου καὶ λέγοντος ἐπέσχε τῇ χειρὶ τὸ στόμα καὶ τὴν φωνὴν ἀπέκλεισεν, ἄχρι οὗ ἄμαχον ὁρῶν ἀγῶνα τοὺς ἄνδρας ὁ Μέτελλος ἀγωνιζομένους καὶ τὸν δῆμον ἡττώμενον πρὸς τὸ συμφέρον καὶ τρεπόμενον ἐκέλευσεν οἰκοθεν ὁπλίτας μετὰ φόβου καὶ κραυγῆς ἐπιτρέχειν. Γενομένου δὲ τούτου καὶ πάντων διασκεδασθέντων ὑποστάντα μόνον τὸν Κάτωνα καὶ βαλλόμενον λίθοις καὶ ξύλοις ἄνωθεν οὐ περιεῖδε Μουρήνας ὁ τὴν δίκην φυγὼν ὑπ' αὐτοῦ καὶ κατηγορηθεὶς, ἀλλὰ τὴν τήβεννον προϊσχόμενος καὶ βοῶν ἀνασχεῖν τοῖς βάλλουσι καὶ τέλος αὐτὸν τὸν Κάτωνα πείθων καὶ περιπτύσσων εἰς τὸν νεὼν τῶν Διοσκούρων ἀπήγαγεν. Ἐπεὶ δὲ κατεῖδεν ὁ Μέτελλος ἐρημίαν περὶ τὸ βῆμα καὶ φυγὴν δι' ἀγορᾶς τῶν ἐναντιουμένων, παντάπασι πεισθεὶς κρατεῖν ἐκέλευσεν ἀπεῖναι πάλιν τοὺς ὁπλοφόρους καὶ προσελθὼν κοσμίως αὐτὸς ἐπεχείρει πράττειν τὰ περὶ τὸν νόμον. Οἱ δὲ ἐναντίοι ταχέως ἀναλαβόντες ἑαυτοὺς ἐκ τῆς τροπῆς ἐπῆσαν αὖθις ἐμβοήσαντες μέγα καὶ θαῤῥαλέον, ὥστε τοῖς περὶ τὸν Μέτελλον ἐμπεσεῖν ταραχὴν καὶ δέος οἰομένοις ὅπλων ποθὲν εὐπορήσαντας αὐτοὺς ἐπιφέρεσθαι, καὶ μηθένα μένειν, ἀλλὰ φεύγειν ἅπαντας ἀπὸ τοῦ βήματος. Οὕτω δὴ σκεδασθέντων ἐκείνων, τοῦ δὲ Κάτωνος προσελθόντος καὶ τὰ μὲν
773 ἐπαινέσαντος, τὰ δ' ἐπιῤῥώσαντος τὸν δῆμον, οἵ τε πολλοὶ παρετάξαντο παντὶ τρόπῳ καταλῦσαι τὸν Μέτελλον ἤ τε σύγκλητος ἀθροισθεῖσα παρήγγειλεν ἀρχῆθεν βοηθεῖν τῷ Κάτωνι καὶ διαμάχεσθαι πρὸς τὸν νόμον, ὡς στάσιν ἐπεισάγοντα τῇ Ῥώμῃ καὶ πόλεμον ἐμφύλιον.

5, 74—75 H.

XXVIII. 5. τοῦ νόμου MV^b. καὶ τῇ χειρὶ ἀπέκλεισε τὴν φωνὴν BMV^b. 6. ἄχρι pr. Pi: ἄχρις v. 7. τὸν ἀγῶνα corr PCF^a. 8. καὶ addiderunt corr PCBV^b. τρεπόμενον corr PCBMV^{b}F^{a}ia: τρεπόμενος v. fortasse praestat καὶ τρεπόμενον deleri cum A. 9. οἰκοθεν] αὐτόθεν Solanus. κραυγῆς] βοῆς C. 10. δὲ om pr. P. 11. ξύλοις καὶ λίθοις C. 12. παρεῖδε CqV. ὑπ' αὐτοῦ φυγὼν C. 13. τήβενον C, τήβενναν Aia. 18. ἀπιέναι Reiskius, cf. ad Aristid. 19, 9. πάλιν ἀπεῖναι C. 19. αὐτὸς] αὖθις Emperius. 21. ἐπῆσαν αὖθις post θαῤῥαλέαν collocant BMV^b. ἐκβοήσαντες C. 22. οἰομένους C. 23. μηδένα F^a. 25. προσελθόντος PBMV^{b}F^a. προελθόντος v. 30. τῇ πόλει καὶ ῥωμαίοις πόλεμον BMV^b.

XXIX. Ὁ δὲ Μέτελλος αὐτὸς μὲν ἦν ἄτρεπτος καὶ θρασὺς ἔτι, ὁρῶν δὲ τοὺς περὶ αὐτὸν ἐκπεπληγμένους κομιδῇ τὸν Κάτωνα καὶ νομίζοντας ἄμαχον καὶ δυσεκβίαστον, αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγοράν, καὶ συναγαγὼν τὸν δῆμον ἄλλα τε πολλὰ περὶ τοῦ Κάτωνος ἐπίφθονα διῆλθε καὶ φεύγειν τὴν τυραννίδα βοῶν τὴν ἐκείνου καὶ τὴν κατὰ Πομπηΐου συνωμοσίαν, ἐφ' ᾗ μετανοήσειν ταχὺ τὴν πόλιν ἀτιμάζουσαν ἄνδρα τοσοῦτον, ὥρμησεν εὐθὺς εἰς Ἀσίαν, ὡς ταῦτα πρὸς ἐκεῖνον κατηγορήσων. Ἦν οὖν δόξα μεγάλη τοῦ Κάτωνος ἄχθος οὐ μικρὸν ἀπεσκευασμένου τῆς δημαρχίας, καὶ τρόπον τινὰ τὴν Πομπηΐου δύναμιν ἐν Μετέλλῳ καθῃρηκότος. Ἔτι δὲ μᾶλλον εὐδοκίμησε τὴν σύγκλητον ὠρμημένην ἀτιμοῦν καὶ ἀποψηφίζεσθαι τὸν Μέτελλον οὐκ ἐάσας, ἀλλ' ἐναντιωθεὶς καὶ παραιτησάμενος. Οἵ τε γὰρ πολλοὶ φιλανθρωπίας ἐποιοῦντο καὶ μετριότητος τὸ μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ μηδὲ ἐνυβρίσαι κατὰ κράτος περιγενόμενον, τοῖς τε φρονίμοις ὀρθῶς ἐφαίνετο καὶ συμφερόντως μὴ παροξῦναι Πομπήϊον. Ἐκ τούτου Λεύκολλος ἐπανελθὼν ἐκ τῆς στρατείας, ἧς ἔδοξε τὸ τέλος καὶ τὴν δόξαν ἀφῃρῆσθαι Πομπήϊος, εἰς κίνδυνον ἦλθε τοῦ μὴ θριαμβεῦσαι, Γαΐου Μεμμίου καταστασιάζοντος αὐτὸν ἐν τῷ δήμῳ καὶ δίκας ἐπάγοντος εἰς τὴν Πομπηΐου χάριν μᾶλλον ἢ κατὰ ἔχθος ἴδιον. Ὁ δὲ Κάτων, οἰκειότητός τε πρὸς Λεύκολλον αὐτῷ γεγενημένης, ἔχοντος Σερβιλίαν τὴν ἀδελφὴν αὐτοῦ, καὶ τὸ πρᾶγμα δεινὸν ἡγούμενος, ἀντέστη τῷ Μεμμίῳ καὶ πολλὰς ὑπέμεινε διαβολὰς καὶ κατηγορίας. Τέλος δὲ τῆς ἀρχῆς ἐκβαλλόμενος ὡς τυραννίδος τοσοῦτον ἐκράτησεν, ὥστε τὸν Μέμμιον αὐτὸν ἀναγκάσαι τῶν δικῶν ἀποστῆναι καὶ φυγεῖν τὸν ἀγῶνα. Λεύκολλος μὲν οὖν θριαμβεύσας ἔτι μᾶλλον ἐνεφύετο τῇ φι-

5, 75–76 H.

XXIX. 1. ἦν om C. 3. ἐξαίφνης C. 4. τὸν δῆμον om CBMV^{b}. 9. μεγάλη om BMV^{b}. τῷ κάτωνι — ἀπεσκευασμένῳ — καθῃρηκότι BMV^{b}. 17. παροξῦναι Corais BV^{b}: παροξύνας v. 18. λεύκολλος corr PBMV^{b}F^{a}: λούκουλλος corr AC, λεύκουλλος v. eadem discrepantia deinceps, nisi quod in ia frequentius λεύκολλος. 19. ἀφῃρημᾶσθαι F^{a}. 21. ἐπάγοντας M. 22. εἰς] ὑπὲρ V^{b}. 23. τε om C. αὐτῷ πρὸς λούκουλλον C. 24. ἔχοντα Schaeferus. 25. ὑπέμεινε] ὑπέστη PMV^{b}. 29. φιλανθρωπία BMV^{b}F^{a} cod. Stephani (, invenitur scriptum et —') V.

λίᾳ τοῦ Κάτωνος ἔχων ἔρυμα καὶ πρόβλημα μέγα πρὸς τὴν Πομπηίου δύναμιν.

XXX. Πομπήϊος δὲ μέγας ἀπὸ τῆς στρατείας ἐπανιὼν καὶ τῇ λαμπρότητι καὶ προθυμίᾳ τῆς ὑποδοχῆς πεποιθὼς οὐδὲν ἂν δεηθεὶς ἀποτυχεῖν τῶν πολιτῶν προὔπεμψεν ἀξιῶν τὰς ὑπατικὰς ἀρχαιρεσίας ἀναβαλέσθαι τὴν σύγκλητον, ὡς ἂν αὐτὸς παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Τῶν δὲ πλείστων ὑπεικόντων, οὐ τὴν ἀναβολὴν μέγιστον ὁ Κάτων ἡγούμενος, ἀλλὰ τὴν πεῖραν ἀποκόψαι καὶ τὴν ἐλπίδα τοῦ Πομπηΐου βουλόμενος, ἀντεῖπε καὶ μετέστησε τὴν βουλήν, ὥστε ἀποψηφίσασθαι. Τοῦτο τὸν Πομπήϊον οὐχ ἡσυχῇ διετάραξε· καὶ νομίζων οὐ μικρὰ προσπταίσειν τῷ Κάτωνι μὴ φίλῳ γενομένῳ μετεπέμψατο Μουνάτιον ἑταῖρον αὐτοῦ· καὶ δύο τοῦ Κάτωνος ἀδελφιδᾶς ἐπιγάμους ἔχοντος ᾔτει τὴν μὲν πρεσβυτέραν ἑαυτῷ γυναῖκα, τὴν δὲ νεωτέραν τῷ υἱῷ. Τινὲς δέ φασιν, οὐ τῶν ἀδελφιδῶν, ἀλλὰ τῶν θυγατέρων τὴν μνηστείαν γενέσθαι. Τοῦ δὲ Μουνατίου ταῦτα πρὸς τὸν Κάτωνα καὶ τὴν γυναῖκα καὶ τὰς ἀδελφὰς φράσαντος, αἱ μὲν ὑπερηγάπησαν τὴν οἰκειότητα πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός, ὁ δὲ Κάτων οὔτ' ἐπισχὼν οὔτε βουλευσάμενος, ἀλλὰ πληγεὶς εὐθὺς εἶπε „Βάδιζε, Μουνάτιε, βάδιζε, καὶ λέγε πρὸς Πομπήϊον, ὡς Κάτων οὐκ ἔστι διὰ τῆς γυναικωνίτιδος ἁλώσιμος, ἀλλὰ τὴν μὲν εὔνοιαν ἀγαπᾷ καὶ
774 τὰ δίκαια ποιοῦντι φιλίαν παρέξει πάσης πιστοτέραν οἰκειότητος, ὅμηρα δὲ οὐ προήσεται τῇ Πομπηίου δόξῃ κατὰ τῆς πατρίδος." Ἐπὶ τούτοις ἤχθοντο μὲν αἱ γυναῖκες, ᾐτιῶντο δὲ οἱ φίλοι τοῦ Κάτωνος ὡς ἄγροικον ἅμα καὶ ὑπερήφανον τὴν ἀπόκρισιν. Εἶτα μέντοι πράττων τινὶ τῶν φίλων ὑπατείαν ὁ Πομπήϊος ἀργύριον εἰς τὰς φυλὰς ἔπεμπε καὶ περιβόητος ὁ δεκασμὸς ἦν, ἐν κήποις ἐκείνου τῶν χρημάτων ἀριθμουμένων. Εἰπόντος οὖν τοῦ Κάτωνος πρὸς τὰς γυναῖκας, ὅτι τοιούτων ἦν κοινωνεῖν καὶ ἀναπίμπλασθαι πρα-

5, 76—77 H.

XXX. 2. ὑποδοχῆς] ψυχῆς BMV^{b}. 3. προὔπεμψεν corr PCBMV^{b}F^{a}V: προὔπεμπεν v. ἀξιῶν] ἐπανιὼν C. 4. ἀναβαλέσθαι Coraes, cf. Pomp. 44: ἀναβάλλεσθαι v. 5. πίσωνι AV^{b}ia. 7. τὴν ante πεῖραν om F^{a}. 10. μακρὰ P. 11. τὸν ἑταῖρον BMV^{b}. 17. πρὸς] διὰ C. 18. οὐδ' ἐπισχὼν C. 21. καὶ τῷ τὰ P. 25. ἄγριον C. 27. ὁ om C. 30. τοιούτων om M, τοιοῦτον Stephaniana.

γμάτων ἀνάγκη Πομπηΐῳ συναφθέντα δι' οἰκειότητος, ὡμολόγουν ἐκεῖναι κάλλιον αὐτὸν βεβουλεῦσθαι διακρουσάμενον. Εἰ δὲ δεῖ πρὸς τὰ συμβάντα κρίνειν, τοῦ παντὸς ἔοικεν ὁ Κάτων ἁμαρτεῖν τὴν οἰκειότητα μὴ δεξάμενος, ἀλλ' ἐάσας πρὸς Καίσαρα τραπέσθαι καὶ γῆμαι γάμον, ὃς τὴν Πομπηΐου δύναμιν καὶ Καίσαρος εἰς ταὐτὸ συνενεγκὼν ὀλίγου τὰ μὲν Ῥωμαίων ἀνέτρεψε πράγματα, τὴν δὲ πολιτείαν ἀνεῖλεν, ὧν οὐθὲν ἂν ἴσως συνέπεσεν, εἰ μὴ Κάτων τὰ μικρὰ τοῦ Πομπηΐου φοβηθεὶς ἁμαρτήματα τὸ μέγιστον περιεῖδεν, αὐτὸν ἑτέρῳ δύναμιν προσγενόμενον.

XXXI. Ταῦτα μὲν οὖν ἔμελλεν ἔτι. Λευκόλλου δὲ περὶ τῶν ἐν Πόντῳ διατάξεων στασιάσαντος πρὸς Πομπήϊον, ἠξίουν γὰρ ἰσχύειν ἑκάτερος τὰ ὑφ' αὑτοῦ γενόμενα, καὶ Λευκόλλῳ Κάτωνος ἀδικουμένῳ περιφανῶς προσαμύνοντος, ἐλαττούμενος ὁ Πομπήϊος ἐν συγκλήτῳ καὶ δημαγωγῶν ἐπὶ νομὴν χώρας ἐκάλει τὸ στρατιωτικόν. Ὡς δὲ κἀνταῦθα Κάτων ἐνιστάμενος ἐξέκρουσε τὸν νόμον, οὕτω Κλωδίου τε περιείχετο τοῦ τότε θρασυτάτου τῶν δημαγωγῶν καὶ Καίσαρα προσήγετο, τρόπον τινὰ Κάτωνος αὐτοῦ παρασχόντος ἀρχήν. Ὁ γὰρ Καῖσαρ ἀπὸ τῆς ἐν Ἰβηρίᾳ στρατηγίας ἐπανήκων ἅμα μὲν ὑπατείαν ἐβούλετο παραγγέλλειν, ἅμα δὲ ᾔτει θρίαμβον. Ἐπεὶ δὲ κατὰ νόμον ἔδει τοὺς μὲν ἀρχὴν μετιόντας παρεῖναι, τοὺς δὲ μέλλοντας εἰσελαύνειν θρίαμβον ἔξω τείχους ὑπομένειν, ἠξίου παρὰ τῆς βουλῆς αὐτῷ δοθῆναι δι' ἑτέρων αἰτεῖσθαι τὴν ἀρχήν. Βουλομένων δὲ πολλῶν ἀντέλεγεν ὁ Κάτων· ὡς δὲ ᾔσθετο χαριζομένους τῷ Καίσαρι, λέγων ὅλην κατανάλωσε τὴν ἡμέραν καὶ τὴν βουλὴν οὕτως ἐξέκρουσε. Χαίρειν οὖν ἐάσας τὸν θρίαμβον ὁ Καῖσαρ εἰσελθὼν εὐθὺς εἴχετο Πομπηΐου καὶ τῆς ὑπατείας. Ἀποδειχ-

5, 77—79 H.

---

32. ἐκεῖνον κάλλιον αὐτῶν Coraes, cf. Pomp. 44. διακρουσάμενος M. 33. σύμπαντα V^{b}. 37. τῶν ῥωμαίων C. συνέτριψε CF^{a}V. 39. τὸ μέγιστον περιεῖδεν, αὐτὸν ἑτέρῳ Coraes: τῶν μεγίστων περιεῖδεν αὐτὸν ἑτέρων libri (ἑτέραν δύναμιν V), περιεῖδεν αὐτὸν αἴτιον ἑτέρων δυνάμει προσγενόμενον x. 40. γενόμενον F^{a}.

XXXI. 1. δὲ om M. 2. πόντῳ B. τάξεων ATiV. 3. ἠξίου BV^{b}. ἑαυτοῦ PMV^{b}. 4. προσαμύναντος PCF^{a}, cf. Pomp. 46. 5. ἐπὶ — 8 δημαγωγῶν in marg. habet P. 8. περιεῖχε BMV^{b}. 13. ἐλαύνειν corr PCBMV^{b}F^{a}.

θεὶς δὲ ὕπατος τήν τε Ἰουλίαν ἐνεγγύησεν αὐτῷ καὶ συστάντες ἤδη μετ' ἀλλήλων ἐπὶ τὴν πόλιν ὁ μὲν εἰσέφερε νόμους τοῖς πένησι κληρουχίαν καὶ νομὴν χώρας διδόντας, ὁ δὲ παρῆν τοῖς νόμοις βοηθῶν. Οἱ δὲ περὶ Λεύκολλον καὶ Κικέρωνα Βύβλῳ τῷ ἑτέρῳ τῶν ὑπάτων συντάξαντες ἑαυτοὺς ἀντέπραττον, μάλιστα δὲ Κάτων, ἤδη μὲν ὑφορώμενος τὴν Καίσαρος καὶ Πομπηΐου φιλίαν καὶ σύστασιν ἐπ' οὐδενὶ δικαίῳ γεγενημένην, φοβεῖσθαι δὲ φάσκων οὐ τὴν νομὴν τῆς χώρας, ἀλλ' ὃν ἀντὶ ταύτης ἀπαιτήσουσι μισθὸν οἱ χαριζόμενοι καὶ δελεάζοντες τὸ πλῆθος.

XXXII. Ὡς δὲ ταῦτα λέγων τήν τε βουλὴν ὁμόψηφον εἶχε καὶ τῶν ἐκτὸς ἀνθρώπων οὐκ ὀλίγοι παρίσταντο δυσχεραίνοντες τὴν ἀτοπίαν τοῦ Καίσαρος· ἃ γὰρ οἱ θρασύτατοι δήμαρχοι καὶ ὀλιγορότατοι πρὸς χάριν ἐπολιτεύοντο τῶν πολλῶν, ταῦτα ἀπ' ἐξουσίας ὑπατικῆς αἰσχρῶς καὶ ταπεινῶς ὑποδυόμενος τὸν δῆμον ἔπραττε· φοβηθέντες οὖν ἐχώρουν διὰ βίας, καὶ πρῶτον μὲν αὐτῷ τῷ Βύβλῳ καταβαίνοντι κοπρίων ἐπεσκεδάσθη κόφινος, ἔπειτα τοῖς ῥαβδούχοις προσπεσόντες αὐτοῦ κατέκλασαν τὰς ῥάβδους· τέλος δὲ καὶ βελῶν φερομένων καὶ πολλῶν συντιτρωσκομένων ἔφυγον ἐξ ἀγορᾶς δρόμῳ μὲν οἱ λοιποὶ πάντες, ἔσχατος δὲ Κάτων ἀπῄει βάδην μεταστρεφόμενος καὶ καταρώμενος τοὺς πολίτας. Οὐ μόνον οὖν τὴν διανομὴν ἐκύρωσαν, ἀλλὰ καὶ προσεψηφίσαντο τὴν σύγκλητον ὀμόσαι πᾶσαν, ἢ μὴν ἐπιβεβαιώσειν τὸν νόμον καὶ βοηθήσειν, ἄν τις τἀναντία πράττῃ, μεγάλα τάξαντες ἐπιτίμια κατὰ τῶν μὴ ὀμοσάντων. Ὤμνυσαν οὖν ἅπαντες ἐξ ἀνάγκης τὸ Μετέλλου τοῦ παλαιοῦ πάθος ἐν νῷ λαμβάνοντες, ὃν εἰς νόμον ὅμοιον ὀμόσαι μὴ θελήσαντα περιεῖδεν ὁ δῆμος ἐκπεσόντα φυγῇ τῆς Ἰταλίας. Διὸ καὶ τὸν Κάτωνα

5, 79—80 H.

---

20. ἐνεγγύησεν BV^b. 22. τοῖς] τὴν M. 24. συντάξαντος MV^b. 26. πομπηίου καὶ καίσαρος C. 29. δελεαζόμενοι BV^b.

XXXII. 1. καὶ δὲ P. τε om F^a. 2. παρίσταναι V^b. 6. τὸν δῆμον om V^b. οὖν deleri malit Schaeferus, tuetur Haitinger act. philol. Monac. 3, 2 p. 169. 7. πρώτῳ BV^b. 12. καὶ μαρτυρόμενος Emperius, cui confero Caes. 14. τοῖς πολίταις Reiskii Schaeferus, accusativum tuetur Coraes. 13. προεψηφίσαντο V^b. 16. ὀμοσόντων C. ἐξ ἀνάγκης om BMV^b. 17. λαβόντες P.

πολλὰ μὲν αἱ γυναῖκες οἶκοι δακρύουσαι καθικέτευον εἶξαι καὶ ὁμόσαι, πολλὰ δὲ οἱ φίλοι καὶ συνήθεις. Ὁ δὲ μάλιστα συμπείσας καὶ ἀγαγὼν ἐπὶ τὸν ὅρκον ἦν Κικέρων ὁ ῥήτωρ παραινῶν καὶ διδάσκων, ὡς τάχα μὲν οὐδὲ δίκαιόν ἐστι τοῖς ἐγνωσμένοις κοινῇ μόνον οἴεσθαι δεῖν ἀπειθεῖν, ἐν δὲ ἀδυνάτῳ τῷ μεταστῆσαί τι τῶν γεγονότων ἀφειδεῖν ἑαυτοῦ παντάπασιν ἀνόητον καὶ μανικόν· ἔσχατον δὲ κακῶν, εἰ δι' ἣν ἅπαντα πράττει πόλιν ἀφεὶς καὶ προέμενος τοῖς ἐπιβουλεύουσιν ὥσπερ ἄσμενος ἀπαλλάξεται τῶν ὑπὲρ αὐτῆς ἀγώνων· καὶ γὰρ, εἰ μὴ Κάτων τῆς Ῥώμης, ἀλλ' ἡ Ῥώμη δεῖται Κάτωνος, δέονται δὲ καὶ οἱ φίλοι πάντες· ὧν αὐτὸν εἶναι πρῶτον ὁ Κικέρων ἔλεγεν ἐπιβουλευόμενον ὑπὸ Κλωδίου διὰ δημαρχίας ἄντικρυς ἐπ' αὐτὸν βαδίζοντος. Ὑπὸ τούτων φασὶ καὶ τοι οὑτων τὸν Κάτωνα λόγων καὶ δεήσεων μαλασσόμενον οἴκοι καὶ κατ' ἀγορὰν ἐκβιασθῆναι μόλις καὶ προσελθεῖν πρὸς τὸν ὅρκον ἔσχατον ἁπάντων πλὴν ἑνὸς Φαωνίου τῶν φίλων καὶ συνήθων.

XXXIII. Ἐπαρθεὶς οὖν ὁ Καῖσαρ ἄλλον εἰσέφερε νόμον τὴν Καμπανίαν σχεδὸν ὅλην προσκατανέμοντα τοῖς ἀπόροις καὶ πένησιν. Ἀντέλεγε δὲ οὐδεὶς πλὴν τοῦ Κάτωνος. Καὶ τοῦτον ἀπὸ τοῦ βήματος ὁ Καῖσαρ εἶλκεν εἰς δεσμωτήριον οὐδέν τι μᾶλλον ὑφιέμενον τῆς παῤῥησίας, ἀλλ' ἐν τῷ βαδίζειν ἅμα περὶ τοῦ νόμου διαλεγόμενον καὶ παραινοῦντα παύσασθαι τοιαῦτα πολιτευομένους. Ἐπηκολούθει δὲ ἡ βουλὴ μετὰ κατηφείας καὶ τοῦ δήμου τὸ βέλτιστον ἀγανακτοῦν σιωπῇ καὶ ἀχθόμενον, ὥστε τὸν Καίσαρα μὴ λανθάνειν βαρέως φέροντας, ἀλλὰ φιλονεικῶν καὶ περιμένων ὑπὸ τοῦ Κάτωνος ἐπίκλησιν γενέσθαι καὶ δέησιν προῆγεν. Ἐπεὶ δὲ ἐκεῖνος ἦν δῆλος οὐδὲ μελλήσων τι ποιεῖν, ἡττηθεὶς ὑπὸ

5, 80—81 H.

---

22. συμπείσας corr PCBMF^{a}: καὶ συμπείσας v. ἀγαγὼν αὐτὸν ἀδυνάτων al.m. Stephani ceteri. 23. παραινῶν μὲν καὶ C. 25. γεγονότων P, affertur etiam ἀδυνάτων pro γεγονότων' Stephanus. 26. κακὸν B. 27. πράττειν A. 29. τοῦ κάτωνος C. 30. εἶναι om P. 32. ὑπὸ τοιούτων φασὶ τὸν C.

XXXIII. 4. εἶλεν P. εἰς τὸ corr PCMV^{b}F^{a}. 7. πολιτευόμενος M, πολιτευόμενον BV^{b}. 11. καὶ δέησιν γενέσθαι C. 12. οὖν δὲ C.

αἰσχύνης καὶ ἀδοξίας ὁ Καῖσαρ αὐτός τινα τῶν δημάρχων ὑφῆκε πείσας ἐξελέσθαι τὸν Κάτωνα. Τοῖς μέντοι νόμοις ἐκείνοις καὶ ταῖς χάρισι τιθασσεύσαντες τὸν ὅχλον ἐψηφίσαντο Καίσαρι μὲν Ἰλλυριῶν καὶ Γαλατίας ἀρχὴν ἀπάσης καὶ τέσσαρα τάγματα στρατιᾶς εἰς πενταετίαν, προλέγοντος Κάτωνος, [ὡς] εἰς ἀκρόπολιν τὸν τύραννον αὐτοὶ ταῖς ἑαυτῶν ψήφοις ἱδρύουσι, Πόπλιον δὲ Κλώδιον ἐκ πατρικίων εἰς δημοτικοὺς παρανόμως μεταστήσαντες ἀπέδειξαν δήμαρχον ἐπὶ μισθῷ τῇ Κικέρωνος ἐξελάσει πάντα πρὸς χάριν ἐκείνοις πολιτευόμενον, ὑπάτους δὲ Πείσωνά τε Καλπούρνιον, ὃς ἦν πατὴρ τῆς Καίσαρος γυναικὸς, καὶ Γαβίνιον Αὖλον, ἐκ τῶν Πομπηΐου κόλπων ἄνθρωπον, ὥς φασιν οἱ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον εἰδότες.

XXXIV. Ἀλλὰ καίπερ οὕτως τὰ πράγματα κατειληφότες ἐγκρατῶς καὶ τὸ μὲν χάριτι τῆς πόλεως, τὸ δὲ φόβῳ μέρος ὑφ' ἑαυτοὺς ἔχοντες, ὅμως ἐφοβοῦντο τὸν Κάτωνα. Καὶ γὰρ ἐν οἷς περιῆσαν αὐτοῦ τό τε καλεπῶς καὶ μετὰ πόνων καὶ μὴ χωρὶς αἰσχύνης, ἀλλ' ἐλεγχομένους βιάζεσθαι μόλις ἀνιαρὸν ἦν καὶ πρόσαντες. Ὁ δὲ Κλώδιος οὐδὲ Κικέρωνα καταλύσειν ἤλπιζε Κάτωνος παρόντος, ἀλλὰ τοῦτο διαμηχανώμενος πρῶτον, ὡς εἰς ἀρχὴν κατέστη, μετεπέμψατο
776 τὸν Κάτωνα καὶ λόγους αὐτῷ προσήνεγκεν, ὡς πάντων ἐκεῖνον ἡγούμενος ἄνδρα Ῥωμαίων καθαρώτατον ἔργῳ διδόναι πίστιν ἕτοιμός ἐστι· πολλῶν γὰρ αἰτουμένων τὴν ἐπὶ Κύπρον καὶ Πτολεμαῖον ἀρχὴν καὶ δεομένων ἀποσταλῆναι μόνον ἄξιον ἐκεῖνον ἡγεῖσθαι καὶ διδόναι τὴν χάριν ἡδέως. Ἀνακραγόντος δὲ τοῦ Κάτωνος, ὡς ἐνέδρα τὸ πρᾶγμα καὶ προ-

5, 81—82 H.

οιή al. m.

14. πείσας P, ποιήσας CBMV^b. 15. τιθασσεύοντες CBM V^{b}F^a. 16. ἀρχὴν [APC]i: ἄρχειν v. 18. ὡς addidit Solanus. 19. ἱδρύουσι ACB: ἱδρύουσιν v. 22. πίσωνα MV^b. Καλπούρνιον pr. P et tacito Reiskius: καὶ καλπούρνιον libri ceteri (καὶ καλπύρνιον i) et v. 23. Αὖλον x post Xylandrum: παῦλον libri. 24. κόλπων] ‚immo κοράκων cl. Pomp. 48' Emperius. ego comparo Ciceronis Catil. 2, 10, 22.

XXXIV. 1. οὕτω corr AV^b. τὸ πρᾶγμα F^a. 4. καὶ γὰρ om BMV^b. τότε v, τόγε Bryani nuperi. 9. τὸν addiderunt corr PCBMV^b. ἐκείνων APi. 10. ῥωμαῖον Ai. ἔργον P. 12. καὶ πτολεμαῖον addiderunt PCBMV^{b}F^a ‚cuncti codices' Stephani. 13. ἀνακραγότος C.

πηλακισμὸς, οὐ χάρις ἐστὶν, ὑπερηφάνως ὁ Κλώδιος καὶ ὀλιγώρως „Οὐκοῦν“ εἶπεν „εἰ μὴ χάριν ἔχεις, ἀνιώμενος πλεύσῃ“, καὶ προσελθὼν εὐθὺς εἰς τὸν δῆμον ἐκύρωσε νόμῳ τὴν ἔκπεμψιν τοῦ Κάτωνος. Ἐξιόντι δὲ οὐ ναῦν, οὐ στρατιώτην, οὐχ ὑπηρέτην ἔδωκε πλὴν ἢ δύο γραμματεῖς μόνον, ὧν ὁ μὲν κλέπτης καὶ παμπόνηρος, ἕτερος δὲ Κλωδίου πελάτης. Ὡς δὲ μικρὸν ἔργον αὐτῷ Κύπρον καὶ Πτολεμαῖον ἀναθεὶς ἔτι καὶ Βυζαντίων φυγάδας κατάγειν προσέταξε βουλόμενος ὁτιπλεῖστον χρόνον ἐκποδὼν ἄρχοντος αὐτοῦ γενέσθαι τὸν Κάτωνα.

XXXV. Τοιαύτῃ δὲ καταληφθεὶς ἀνάγκῃ Κικέρωνι μὲν ἐλαυνομένῳ παρήνεσε μὴ στασιάσαι μηδὲ εἰς ὅπλα καὶ φόνους τὴν πόλιν ἐμβαλεῖν, ἀλλ' ὑπεκστάντα τῷ καιρῷ πάλιν γενέσθαι σωτῆρα τῆς πατρίδος, Κανίδιον δέ τινα τῶν φίλων προπέμψας εἰς Κύπρον ἔπειθε τὸν Πτολεμαῖον ἄνευ μάχης εἰκεῖν, ὡς οὔτε χρημάτων οὔτε τιμῆς ἐνδεᾶ βιωσόμενον· ἱερωσύνην γὰρ αὐτῷ τῆς ἐν Πάφῳ θεοῦ δώσειν τὸν δῆμον. Αὐτὸς δὲ διέτριβεν ἐν Ῥόδῳ παρασκευαζόμενος ἅμα καὶ τὰς ἀποκρίσεις ἀναμένων. Ἐν δὲ τούτῳ Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ὑπ' ὀργῆς τινος καὶ διαφορᾶς πρὸς τοὺς πολίτας ἀπολελοιπὼς μὲν Ἀλεξάνδρειαν, εἰς δὲ Ῥώμην πλέων, ὡς Πομπηίου καὶ Καίσαρος αὖθις αὐτὸν μετὰ δυνάμεως καταξόντων, ἐντυχεῖν τῷ Κάτωνι βουληθεὶς προσέπεμψεν ἐλπίζων ἐκεῖνον ὡς αὐτὸν ἥξειν. Ὁ δὲ Κάτων ἐτύγχανε μὲν ὢν τότε περὶ κοιλίας κάθαρσιν, ἥκειν δὲ τὸν Πτολεμαῖον, εἰ βούλοιτο, κελεύσας πρὸς αὐτόν, ὡς δὲ ἦλθεν, οὔτε ἀπαντήσας οὔτε ὑπεξαναστὰς, ἀλλ' ὡς ἕνα τῶν ἐπιτυχόντων ἀσπασάμενος καὶ καθίσαι κελεύσας, πρῶτον αὐτοῖς τούτοις διετά-

5, 82—83 H.

---

16. εἶχες Ai. 17. προσελθὼν APCBMV^{b}F^{a}TRSuqV: προελθὼν v. 20. μὲν ἦν Schaeferus, πελάτης ἦν Coraes, cf. praef. ad Themist. p. 45. πολὺ πονηρὸς A corr PCMV^{b}TRSuqV, πολὺ καὶ πονηρὸς B, πάλαι πονηρὸς Emperius. 22. βυζάντιον corr P.

XXXV. 1. καταλειφθεὶς F^{a}. κικέρων M. 4. Κανίνιον Brut. 3. 6. ἥκειν F^{a}. βιασάμενον F^{a}. 12. καὶ om F^{a}. μετὰ δυνάμεως αὐτὸν BMV^{b}. 16. δὲ om BMV^{b} cum Coraes. 17. ἐξαναστὰς C. 18. αὐτοῖς τούτοις ABMV^{b}V: αὐτῆς (sic) τούτοις TS, αὐτὸν τοῦτο v, αὐτοῖς τοῦτο F^{a}, αὐτῷ τούτῳ x. καὶ διετάραξε MV^{b}.

ραξε θαυμάζοντα πρὸς τὸ δημοτικὸν καὶ λιτὸν αὐτοῦ τῆς κατασκευῆς τὴν ὑπεροψίαν καὶ βαρύτητα τοῦ ἤθους. Ἐπεὶ δὲ καὶ διαλέγεσθαι περὶ τῶν καθ' αὑτὸν ἀρξάμενος ἠκροάσατο λόγων νοῦν πολὺν ἐχόντων καὶ παῤῥησίαν, ἐπιτιμῶντος αὐτῷ τοῦ Κάτωνος καὶ διδάσκοντος, ὅσην εὐδαιμονίαν ἀπολιπὼν ὅσαις ἑαυτὸν ὑποτίθησι λατρείαις καὶ πόνοις καὶ δωροδοκίαις καὶ πλεονεξίαις τῶν ἐν Ῥώμῃ δυνατῶν, οὓς μόλις ἐξαργυρισθεῖσαν ἐμπλήσειν Αἴγυπτον, συμβουλεύοντος δὲ πλεῖν ὀπίσω καὶ διαλλάττεσθαι τοῖς πολίταις, αὐτοῦ δὲ καὶ συμπλεῖν καὶ συνδιαλλάττειν ἑτοίμως ἔχοντος, οἷον ἐκ μανίας τινὸς ἢ παρακοπῆς ὑπὸ τῶν λόγων ἔμφρων καθιστάμενος καὶ κατανοῶν τὴν ἀλήθειαν καὶ τὴν σύνεσιν τοῦ ἀνδρὸς, ὥρμησε μὲν χρῆσθαι τοῖς ἐκείνου λογισμοῖς, ἀνατραπεὶς δὲ ὑπὸ τῶν φίλων αὖθις ἅμα τῷ πρῶτον ἐν Ῥώμῃ γενέσθαι καὶ θύραις ἐνὸς ἄρχοντος προσελθεῖν ἔστενε τὴν αὑτοῦ κακοβουλίαν, ὡς οὐκ ἀνδρὸς ἀγαθοῦ λόγων, θεοῦ δὲ μαντείας καταφρονήσας.

XXXVI. Ὁ δὲ ἐν Κύπρῳ Πτολεμαῖος εὐτυχίᾳ τινὶ τοῦ Κάτωνος ἑαυτὸν φαρμάκοις ἀπέκτεινε. Πολλῶν δὲ χρημάτων ἀπολελεῖφθαι λεγομένων, αὐτὸς μὲν ἔγνω πλεῖν εἰς Βυζαντίους, πρὸς δὲ τὴν Κύπρον ἐξέπεμψε τὸν ἀδελφιδοῦν Βροῦτον οὐ πάνυ τι πιστεύων τῷ Κανιδίῳ. Τοὺς δὲ φυγάδας διαλλάξας καὶ καταλιπὼν ἐν ὁμονοίᾳ τὸ Βυζάντιον οὕτως εἰς Κύπρον ἔπλευσεν. Οὔσης δὲ πολλῆς καὶ βασιλικῆς ἐν ἐκπώμασι καὶ τραπέζαις καὶ λίθοις καὶ πορφύραις κατα-
777 σκευῆς, ἣν ἔδει πραθεῖσαν ἐξαργυρισθῆναι, πάντα βουλόμενος ἐξακριβοῦν καὶ πάντα κατατείνειν εἰς ἄκραν τιμὴν καὶ πᾶσιν αὐτὸς παρεῖναι καὶ προσάγειν τὸν ἔσχατον ἐκλογισμὸν οὐδὲ τοῖς ἔθεσι τῆς ἀγορᾶς ἐπίστευεν, ἀλλὰ ὑπονοῶν ὁμοῦ πάντας, ὑπηρέτας, κήρυκας, ὠνητὰς, φίλους, τέλος αὐτὸς ἰδίᾳ τοῖς ὠνουμένοις διαλεγόμενος καὶ προσβιβάζων ἕκαστον,

5, 83—85 H.

---

24. καὶ πόνοις om B. 25. δυνατῶν x: δυναστῶν libri. οὓς — Αἴγυπτον a m. sec. habet A. 26. συμβουλευόντων a. 27. δὲ post αὐτοῦ delet Schaeferus. καὶ ante συμπλεῖν om BMV^{b}. 28. διαλλάττειν MV^{b}. 29. καὶ κατανοῶν Corais corr A marg. PCBMV^{b}F^{a}: κατανοῶν v. 34. λόγων Corais CBMV^{b}: λόγον v.

XXXVI. 1. ἐν εὐτυχίᾳ F^{a}. 5. τι om F^{a}. 8. πορφύρας C. 10. ἄκρα MV^{b}. 12. ἐθάσι x. 14. προσβιβάζων Corais (quem cf. ad Heliodori t. 2 p. 243) PCBMV^{b}F^{a}: προβιβάζων v.

οὕτω τὰ πλεῖστα τῶν ἀγορασμάτων ἐπώλει. Διὸ τοῖς τε ἄλλοις φίλοις ὡς ἀπιστῶν προσέκρουσε καὶ τὸν συνηθέστατον ἁπάντων Μουνάτιον εἰς ὀργὴν ὀλίγου δεῖν ἀνήκεστον γενομένην ἐνέβαλεν, ὥστε καὶ Καίσαρι γράφοντι λόγον κατὰ τοῦ Κάτωνος πικροτάτην τοῦτο τὸ μέρος τῆς κατηγορίας διατριβὴν παρασχεῖν.

XXXVII. Ὁ μέντοι Μουνάτιος οὐκ ἀπιστίᾳ τοῦ Κάτωνος, ἀλλ' ἐκείνου μὲν ὀλιγωρίᾳ πρὸς αὐτὸν, αὐτοῦ δέ τινι ζηλοτυπίᾳ πρὸς τὸν Κανίδιον ἱστορεῖ γενέσθαι τὴν ὀργήν. Καὶ γὰρ αὐτὸς σύγγραμμα περὶ τοῦ Κάτωνος ἐξέδωκεν, ᾧ μάλιστα Θρασέας ἐπηκολούθησε. Λέγει δὲ ὕστερος μὲν εἰς Κύπρον ἀφικέσθαι καὶ λαβεῖν παρημελημένην ξενίαν· ἐλθὼν δὲ ἐπὶ θύρας ἀπωσθῆναι, σκευωρουμένου τι τοῦ Κάτωνος οἴκοι σὺν τῷ Κανιδίῳ, μεμψάμενος δὲ μετρίως οὐ μετρίας τυχεῖν ἀποκρίσεως, ὅτι κινδυνεύει τὸ λίαν φιλεῖν (ὥς φησι Θεόφραστος) αἴτιον τοῦ μισεῖν γίνεσθαι πολλάκις· „Ἐπεὶ καὶ σὺ“ φάναι „τῷ μάλιστα φιλεῖν ἧττον οἰόμενος ἢ προσήκει τιμᾶσθαι χαλεπαίνεις. Κανιδίῳ δὲ καὶ δι' ἐμπειρίαν χρῶμαι καὶ διὰ πίστιν ἑτέρων μᾶλλον, ἐξ ἀρχῆς μὲν ἀφιγμένῳ, καθαρῷ δὲ φαινομένῳ.“ Ταῦτα μέντοι μόνον αὐτῷ μόνῳ διαλεχθέντα τὸν Κάτωνα πρὸς τὸν Κανίδιον ἐξενεγκεῖν. Αἰσθόμενος οὖν αὐτὸς οὔτε ἐπὶ δεῖπνον ἔτι φοιτᾶν οὔτε σύμβουλος ὑπακούειν καλούμενος. Ἀπειλοῦντος δὲ τοῦ Κάτωνος, ὥσπερ εἰώθασι τῶν ἀπειθούντων, ἐνέχυρα λήψεσθαι, μηδὲν φροντίσας ἐκπλεῦσαι καὶ πολὺν χρόνον ἐν ὀργῇ διατελεῖν· εἶτα τῆς Μαρκίας (ἔτι γὰρ συνῴκει τῷ Κάτωνι) διαλεχθείσης, τυχεῖν μὲν ὑπὸ Βάρκα κεκλημένους ἐπὶ δεῖπνον, εἰσελθόντα δὲ ὕστερον τὸν Κάτωνα, τῶν ἄλλων κατακειμένων, ἐρωτᾶν, ὅπου κατακλιθείη. Τοῦ δὲ Βάρκα κελεύσαντος, ὅπου βούλεται, περιβλεψάμενον εἰπεῖν, ὅτι παρὰ Μουνάτιον· καὶ περιελθόντα πλησίον αὐτοῦ κατακλιθῆναι, πλέον δὲ μηθὲν φιλοφρονήσασθαι παρὰ τὸ δεῖπνον. Ἀλλὰ πάλιν

5, 85–86 H.

---

18. καὶ om PCBMV^{b}.

XXXVII. 4. τοῦ addiderunt corr PCBMV^{b}F^{a}V. 7. ἐπὶ] εἰς C. σκαιωρουμένου CMV^{b}V. 8. οἴκοι om C. 13. μὲν om C. 14. μόνῳ om F^{a}. 15. πρὸς κανίδιον C. 16. ἔτι om A. 17. τοῦ Κάτωνος om A. 20. εἶτα] οὔτε PCMV^{b}. 23. ὅποι M. 24. περὶ TV. 26. μηδὲν BC.

τῆς Μαρκίας δεομένης τὸν μὲν Κάτωνα γράψαι πρὸς αὐτὸν, ὡς ἐντυχεῖν τι βουλόμενον, αὐτὸν δὲ ἥκειν ἔωθεν εἰς τὴν οἰκίαν καὶ ὑπὸ τῆς Μαρκίας κατασχεθῆναι, μέχρι πάντες ἀπηλλάγησαν, οὕτω δὲ εἰσελθόντα τὸν Κάτωνα καὶ περι- 30
βαλόντα τὰς χεῖρας ἀμφοτέρας ἀσπάσασθαι καὶ φιλοφρονεῖσθαι. Ταῦτα μὲν οὖν οὐχ ἧττον οἰόμενοι τῶν ὑπαίθρων καὶ μεγάλων πράξεων πρὸς ἔνδειξιν ἤθους καὶ κατανόησιν ἔχειν τινὰ σαφήνειαν ἐπὶ πλέον διήλθομεν.

XXXVIII. Τῷ δὲ Κάτωνι συνήχθη μὲν ἀργυρίου τάλαντα μικρὸν ἑπτακισχιλίων ἀποδέοντα, δεδιὼς δὲ τοῦ πλοῦ τὸ μῆκος ἀγγεῖα πολλὰ κατασκευάσας, ὧν ἕκαστον ἐχώρει δύο τάλαντα καὶ δραχμὰς πεντακοσίας, καλώδιον ἑκάστῳ μακρὸν προσήρτησεν, οὗ τῇ ἀρχῇ προσείχετο φελλὸς εὐμεγέ- 5
θης, ὅπως, εἰ ῥαγείη τὸ πλοῖον, ἔχων διὰ βυθοῦ τὸ ἄρτημα σημαίνοι τὸν τόπον. Τὰ μὲν οὖν χρήματα πλὴν ὀλίγων τινῶν ἀσφαλῶς διεκομίσθη, λόγους δὲ πάντων ὧν διῴκησε γεγραμμένους ἐπιμελῶς ἔχων ἐν δυσὶ βιβλίοις οὐδέτερον ἔσωσεν, ἀλλὰ τὸ μὲν ἀπελεύθερος αὐτοῦ κομίζων ὄνομα Φιλάργυρος 10
ἐκ Κεγχρεῶν ἀναχθεὶς ἀνετράπη καὶ συναπώλεσε τοῖς φορ-
778 τίοις, τὸ δὲ αὐτὸς ἄχρι Κερκύρας φυλάξας ἐν ἀγορᾷ κατεσκήνωσε· τῶν δὲ ναυτῶν διὰ τὸ ῥιγοῦν πυρὰ πολλὰ καιόντων τῆς νυκτὸς ἥφθησαν αἱ σκηναὶ καὶ τὸ βιβλίον ἠφανίσθη. Τοὺς μὲν οὖν ἐχθροὺς καὶ συκοφάντας ἐπιστομιεῖν ἤμελλον 15
οἱ βασιλικοὶ διοικηταὶ παρόντες, ἄλλως δὲ τῷ Κάτωνι τὸ πρᾶγμα δηγμὸν ἤνεγκεν. Οὐ γὰρ εἰς πίστιν ὑπὲρ αὐτοῦ τοὺς λόγους, ἀλλὰ παράδειγμα τοῖς ἄλλοις ἀκριβείας ἐξενεγκεῖν φιλοτιμούμενος ἐνεμεσήθη.

5, 86—87 H.

---

27. scribam αὐτὸς. 32. οὖν excidit Stephanianae.

XXXVIII. 2. ἑπτακισχιλίων] iusto minor haec summa videbatur I. Lipsio de magn. Rom. 2, 8, cl. infra c. 45 ad viginti μι al. m. septem millia aut circiter reformanda. 5. μακρὸν P, μικρὸν C ‚quidam' Stephani. προσείχετο] προσήρτητο CF^a cod. Stephani οι (‚legitur'). 7. σημαίνει A, σημαίνει C. 10. ἐπελεύθερος F^a. 11. κεχρεῶν CBMV^b. 12. κερκύρα BMV^b. 15. ἐπιστομιεῖν Corais PBMV^b: ἐπιστομεῖν v. ἔμελλον C. 16. ἄλλως δὲ [PC]uVx: ἄλλως τε δὲ BMV^b, ἄλλως τε v. τὸ πρᾶγμα τῷ κάτωνι C. 17. ὑπὲρ om C.

XXXIX. Περαιωθεὶς δὲ ταῖς ναυσὶν οὐκ ἔλαθε τοὺς Ῥωμαίους, ἀλλὰ πάντες μὲν ἄρχοντες καὶ ἱερεῖς, πᾶσα δὲ ἡ βουλὴ, πολὺ δὲ τοῦ δήμου μέρος ἀπήντων πρὸς τὸν ποταμὸν, ὥστε τὰς ὄχθας ἀμφοτέρας ἀποκεκρύφθαι καὶ θριάμβου μηδὲν ὄψει καὶ φιλοτιμίᾳ λείπεσθαι τὸν ἀνάπλουν αὐτοῦ. Καίτοι σκαιὸν ἐνίοις τοῦτο ἐφαίνετο καὶ αὔθαδες, ὅτι τῶν ὑπάτων καὶ τῶν στρατηγῶν παρόντων οὔτε ἀπέβη πρὸς αὐτοὺς οὔτε ἐπέσχε τὸν πλοῦν, ἀλλὰ ῥοθίῳ τὴν ὄχθην παρεξελαύνων ἐπὶ νεὼς ἑξήρους βασιλικῆς οὐκ ἀνῆκε πρότερον ἢ καθορμίσαι τὸν στόλον εἰς τὸ νεώριον. Οὐ μὴν ἀλλὰ τῶν χρημάτων παρακομιζομένων δι' ἀγορᾶς ὅ τε δῆμος ἐθαύμαζε τὸ πλῆθος ἥ τε βουλὴ συναχθεῖσα μετὰ τῶν πρεπόντων ἐπαίνων ἐψηφίσατο τῷ Κάτωνι στρατηγίαν ἐξαίρετον δοθῆναι καὶ τὰς θέας αὐτὸν ἐν ἐσθῆτι περιπορφύρῳ θεάσασθαι. Ταῦτα μὲν οὖν ὁ Κάτων παρῃτήσατο, Νικίαν δὲ τὸν οἰκονόμον τῶν βασιλικῶν ἐλεύθερον ἔπεισε τὴν βουλὴν ἀφεῖναι μαρτυρήσας ἐπιμέλειαν καὶ πίστιν. Ὑπάτευε δὲ Φίλιππος ὁ πατὴρ τῆς Μαρκίας, καὶ τρόπον τινὰ τὸ ἀξίωμα τῆς ἀρχῆς καὶ ἡ δύναμις εἰς Κάτωνα περιῆλθεν, οὐκ ἐλάττονα τοῦ συνάρχοντος δι' ἀρετὴν ἢ δι' οἰκειότητα τοῦ Φιλίππου τῷ Κάτωνι τιμὴν προστιθέντος.

XL. Ἐπεὶ δὲ Κικέρων ἐκ τῆς φυγῆς, ἣν ἔφυγεν ὑπὸ Κλωδίου, κατελθὼν καὶ δυνάμενος μέγα τὰς δημαρχικὰς δέλτους, ἃς ὁ Κλώδιος ἔθηκεν ἀναγράψας εἰς τὸ Καπιτώλιον, ἀπέσπασε βίᾳ καὶ καθεῖλε τοῦ Κλωδίου μὴ παρόντος, ἐπὶ τούτοις δὲ βουλῆς ἀθροισθείσης καὶ τοῦ Κλωδίου κατηγοροῦντος ἔλεγε, παρανόμως τῷ Κλωδίῳ τῆς δημαρχίας γενομένης ἀτελῆ καὶ ἄκυρα δεῖν εἶναι τὰ τότε πραχθέντα καὶ γραφέντα, προσέκρουσεν ὁ Κάτων αὐτῷ λέγοντι καὶ τέλος ἀναστὰς ἔφη, τῆς μὲν Κλωδίου πολιτείας μηδὲν ὑγιὲς μηδὲ χρηστὸν ὅλως νομίζειν, εἰ δὲ ἀναιρεῖ τις ὅσα δημαρχῶν ἔπραξεν, ἀναιρεῖσθαι πᾶσαν αὐτοῦ τὴν περὶ Κύπρον πραγματείαν

5, 87—89 H.

XXXIX. 3. πολὺ δὴ MV^{b}. 5. ὄψιν καὶ φιλοτιμίαν Ai. 6. καίτοι σκαιὸν] καὶ τοῖς καινὸν i, καίτοι a, καίτοι καινὸν basileensis. τοῦτο ἐνίοις ἐφαίνετο C. τοῦτο om A, τότε pro τοῦτο i. 13. ἐψηφίσαντο C. 14. αὐτῶν PCBMV^{b}.

XL. 3. καπετώλιον ia. 6. ἔλεγε τῷ κλωδίῳ παρανόμως F^{a}. 10. ἔγραψεν M.

καὶ μὴ γεγονέναι τὴν ἀποστολὴν νόμιμον ἄρχοντος παρανόμου ψηφισαμένου· παρανόμως μὲν οὐ δήμαρχον αἱρεθῆναι τὸν Κλώδιον ἐκ πατρικίων μεταστάντα νόμου διδόντος εἰς δημοτικὸν οἶκον, εἰ δὲ μοχθηρὸς, ὥσπερ ἄλλοι, γέγονεν ἄρχων, αὐτὸν εὐθύνειν τὸν ἀδικήσαντα, μὴ λύειν τὴν συναδικηθεῖσαν ἀρχὴν εἶναι προσῆκον. Ἐκ τούτου δι' ὀργῆς ὁ Κικέρων ἔσχε τὸν Κάτωνα καὶ φιλῳ χρώμενος ἐπαύσατο χρόνον πολύν· εἶτα μέντοι διηλλάγησαν.

XLI. Ἐκ τούτου Πομπήϊος καὶ Κράσσος ὑπερβαλόντι τὰς Ἄλπεις Καίσαρι συγγενόμενοι γνώμην ἐποιήσαντο κοινῇ δευτέραν ὑπατείαν μετιέναι καὶ καταστάντες εἰς αὐτὴν Καίσαρι μὲν τῆς ἀρχῆς ἄλλον τοσοῦτον ἐπιψηφίζεσθαι χρόνον, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν τὰς μεγίστας καὶ χρήματα καὶ στρατιωτικὰς δυνάμεις. Ὅπερ ἦν ἐπὶ νεμήσει τῆς ἡγεμονίας καὶ καταλύσει τῆς πολιτείας συνωμοσία. Πολλῶν δὲ καὶ ἀγαθῶν ἀνδρῶν μετιέναι τὴν ἀρχὴν τότε παρασκευαζομένων, τοὺς μὲν ἄλλους ὀφθέντες ἐν ταῖς παραγγελίαις ἀπέτρεψαν, μόνον δὲ Λεύκιον Δομίτιον Πορκίᾳ συνοικοῦντα τῇ ἀδελφῇ, Κάτων ἔπεισε μὴ ἐκστῆναι μηδὲ ὑφίεσθαι, τοῦ ἀγῶνος οὐ περὶ ἀρ-
779 χῆς ὄντος, ἀλλὰ περὶ τῆς Ῥωμαίων ἐλευθερίας. Καὶ μέντοι καὶ λόγος ἐχώρει διὰ τοῦ σωφρονοῦντος ἔτι τῆς πόλεως μέρους, ὡς οὐ περιοπτέον, εἰς ταὐτὸ τῆς Κράσσου καὶ Πομπηΐου δυνάμεως συνελθούσης, παντάπασιν ὑπέρογκον καὶ βαρεῖαν τὴν ἀρχὴν γενομένην, ἀλλ' ἀφαιρετέον αὐτῆς τὸν ἕτερον. Καὶ συνίσταντο πρὸς τὸν Δομίτιον παρορμῶντες καὶ παραθαρρύνοντες ἀντιλαμβάνεσθαι· πολλοὺς γὰρ αὐτῷ καὶ τῶν σιωπώντων διὰ δέος ἐν ταῖς ψήφοις ὑπάρξειν. Τοῦτο δὴ δείσαντες οἱ περὶ τὸν Πομπήϊον ὑφεῖσαν ἐνέδραν τῷ Δο-
5, 89—90 H.

---

12. ἔννομον C. 13. μὲν οὐ Schaeferus: μὲν οὖν libri (cf. ad Alex. 24), οὐχ ante αἱρεθῆναι inserebat Solanus. cf. c. 33. Cicer. 34. ἀναιρεθῆναι ACBMV^{b}RSTV. 15. ὁ ἄρχων F^a. 19. μέντοι] μὲν BMV^b.

XLI. 1. ὑπερβαλόντι Reiskius: ὑπερβάλλοντι libri. 2. συγγενόμενοι καίσαρι C. 4. τῆς ἀρχῆς om C. ἐπιψηφίζεται M. 8. τότε τὴν ἀρχὴν C. 9. ὀφθέντες [A]ia: ὀφθέντας v. ἀπέστρεψαν V. 10. δομέτιον A. 11. ὑφέσθαι Coraes. 13. μέρει MV^b. 14. ὡς οὖν οὐ C. πομπηΐου καὶ κράσσου C. 18. αὐτῶν A. 20. δὲ BMV^b. τὸν addiderunt corr PCMV^{b}F^a.

μιτίῳ καταβαίνοντι ὕρθριον ὑπὸ λαμπάδων εἰς τὸ πεδίον. Καὶ πρῶτος μὲν ὁ προφαίνων ἐπιστὰς τῷ Δομιτίῳ πληγὴς καὶ πεσὼν ἀπέθανε· μετὰ δὲ τοῦτον ἤδη καὶ τῶν ἄλλων συντιτρωσκομένων ἐγίνετο φυγὴ πλὴν Κάτωνος καὶ Δομιτίου. Κατεῖχε γὰρ αὐτὸν ὁ Κάτων, καίπερ αὐτὸς εἰς τὸν βραχίονα τετρωμένος, καὶ παρεκελεύετο μένειν καὶ μὴ προλιπεῖν, ἕως ἐμπνέωσι, τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα πρὸς τοὺς τυράννους· οἵ, τίνα τρόπον χρήσονται τῇ ἀρχῇ, δηλοῦσι διὰ τηλικούτων ἀδικημάτων ἐπ' αὐτὴν βαδίζοντες.

XLII. Οὐχ ὑποστάντος δὲ τοῦ Δομιτίου τὸ δεινὸν, ἀλλ' εἰς τὴν οἰκίαν καταφυγόντος, ἠρέθησαν μὲν ὕπατοι Πομπήϊος καὶ Κράσσος, οὐκ ἀπέκαμε δὲ ὁ Κάτων, ἀλλ' αὐτὸς προελθὼν στρατηγίαν μετῄει βουλόμενος ὁρμητήριον ἔχειν τῶν πρὸς ἐκείνους ἀγώνων καὶ πρὸς ἄρχοντας ἀντικαθίστασθαι μὴ ἰδιώτης. Οἱ δὲ καὶ τοῦτο δείσαντες, ὡς τῆς στρατηγίας ἀξιομάχου διὰ Κάτωνα πρὸς τὴν ὑπατείαν γενησομένης, πρῶτον μὲν ἐξαίφνης καὶ τῶν πολλῶν ἀγνοούντων βουλὴν συναγαγόντες ἐψηφίσαντο τοὺς αἱρεθέντας στρατηγοὺς εὐθὺς ἄρχειν καὶ μὴ διαλιπόντας τὸν νόμιμον χρόνον, ἐν ᾧ δίκαι τοῖς δεκάσασι τὸν δῆμον ἦσαν. Ἔπειτα διὰ τοῦ ψηφίσματος τὸ διδόναι [δίκας] ἀνυπεύθυνον κατασκευάσαντες ὑπηρέτας αὑτῶν καὶ φίλους ἐπὶ τὴν στρατηγίαν προῆγον, αὐτοὶ μὲν διδόντες ἀργύριον, αὐτοὶ δὲ ταῖς ψήφοις φερομέναις ἐφεστῶτες. Ὡς δὲ καὶ τούτων ἡ Κάτωνος ἀρετὴ καὶ δόξα περιῆν, ὑπ' αἰδοῦς τῶν πολλῶν ἐν δεινῷ πολλῷ τιθεμέ-

5, 90—91 H.

21. ὄρθριον om F^a ac suspectum erat Reiskio. et sane *καταβαίνοντι ὄρθριον* hiant. *τὸ ὄρθριον* Benseler: mihi consuetudo Plutarchi desiderare videtur *περὶ ὄρθρον* (cf. Poplic. 22. Camill. 34. Aem. P. 30. Flamin. 8. Pomp. 32. *πρὸς ὄρθρον* Dion. 30). 22. *ἐπιστὰς* suspectum Reiskio, sed cf. Crass. 15. Pomp. 52. *τῷ δομιτίῳ ἐπιστὰς* C. 23. *τοῦτο* libri praeter ia. *καὶ τῶν ἄλλων ἤδη* C. 25. *αὐτὸν εἰς* a. 27. *πρὸς*] *ἕως* BMV^b. 28. *οἵ*] *ὃν* corr. V^b.

XLII. 11. *δίκαι* Solanus: *καὶ* libri. *τοῦ ἔπειτα διδόναι δίκας διὰ ψηφίσματος τὸ ἀνυπεύθυνον κατασκευάσαντας* x. 12. *διδόναι δίκας* delet Coraes, qui et alia et *τὸ δεκάζειν ἀνυπεύθυνον* coniicit. hinc *τὸ διδόναι ἀνυπεύθυνον* id ut idem significet Schaeferus deleto *δίκας* male ex versu 11 huc illato. 13. *προῆγον* [PCBMV^b] q cod. Stephani (‚scribitur') V: *προσῆγον* v. 16. *πολλῶν ἐν δεινῷ*] *δεινῶν* A. *τιθεμένων πολλῷ* corr PC.

νων ἀποδόσθαι Κάτωνα ταῖς ψήφοις, ὃν καλῶς εἶχε πρίασθαι τῇ πόλει στρατηγὸν, ἥ τε πρώτη κληθεῖσα τῶν φυλῶν ἐκεῖνον ἀπέδειξεν, ἐξαίφνης ὁ Πομπήϊος βροντῆς ἀκηκοέναι ψευσάμενος αἴσχιστα διέλυσε τὴν ἐκκλησίαν, εἰθισμένων ἀφοσιοῦσθαι τὰ τοιαῦτα καὶ μηδὲν ἐπικυροῦν διοσημείας γενομένης. Αὖθις δὲ πολλῷ χρησάμενοι τῷ δεκασμῷ τοὺς βελτίστους ὥσαντες ἐκ τοῦ πεδίου βίᾳ διεπράξαντο Βατίνιον ἀντὶ Κάτωνος αἱρεθῆναι στρατηγόν. Ἔνθα δὴ λέγεται τοὺς μὲν οὕτω παρανόμως καὶ ἀδίκως θεμένους τὴν ψῆφον εὐθὺς ὥσπερ ἀποδράντας οἴχεσθαι, τοῖς δὲ ἄλλοις συνισταμένοις καὶ ἀγανακτοῦσι δημάρχου τινὸς αὐτόθι παρασχόντος ἐκκλησίαν καταστάντα τὸν Κάτωνα ἅπαντα μὲν ὥσπερ ἐκ θεῶν ἐπίπνουν τὰ μέλλοντα τῇ πόλει προειπεῖν, παρορμῆσαι δὲ τοὺς πολίτας ἐπὶ Πομπήϊον καὶ Κράσσον ὡς τοιαῦτα συνειδότας αὐτοῖς, καὶ τοιαύτης ἁπτομένους πολιτείας, δι' ἣν ἔδεισαν Κάτωνα, μὴ στρατηγὸς αὐτῶν περιγένηται. Τέλος δὲ ἀπιόντα εἰς τὴν οἰκίαν προὔπεμψε πλῆθος τοσοῦτον, ὅσον οὐδὲ σύμπαντας ἅμα τοὺς ἀποδεδειγμένους στρατηγούς.

XLIII. Γαΐου δὲ Τρεβωνίου γράψαντος νόμον ὑπὲρ νομῆς ἐπαρχιῶν τοῖς ὑπάτοις, ὥστε τὸν μὲν Ἰβηρίαν ἔχοντα καὶ Λιβύην ὑφ' αὑτῷ, τὸν δὲ Συρίαν καὶ Αἴγυπτον οἷς βούλοιντο πολεμεῖν καὶ καταστρέφεσθαι ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσιν ἐπιόντας, οἱ μὲν ἄλλοι τὴν ἀντίπραξιν καὶ κώλυσιν ἀπεγνωκότες ἐξέλιπον καὶ τὸ ἀντειπεῖν, Κάτωνι δὲ ἀναβάντι πρὸ τῆς ψηφοφορίας ἐπὶ τὸ βῆμα καὶ βουλομένῳ
780 λέγειν μόλις ὡρῶν δυεῖν λόγον ἔδωκαν. Ὡς δὲ πολλὰ λέγων καὶ διδάσκων καὶ προθεσπίζων κατανάλωσε τὸν χρόνον,

5, 91—92 H.

20. *διέλυσε* M cl. Nic. 7. 10. Phoc. 36. Tib. Gracch. 12. 15: *ἔλυσε* v. 21. *διοσημίας* V^b, cf. Schaeferum h. l. et t. 4 p. 138, 28. 255, 28. *ος* al. m. 22. *χρησάμενοι* P, *χρησάμενος* CF^aV. *βελτίους* C. 23. *βάνιον* A, *βάτιον* i. 24. *ἀντὶ καὶ κάτωνος* i. 28. *καταστάντα* Bryani P[ACBMV^b]: *καὶ καταστάντα* v. scribam *πάντα*. 30. *συνειδότα* V^b. 32. *στρατηγῶν* C, nonnulli codices Stephani. *αὐτὴν περιέλῃται* BMV^b. 33. *ἀπιόντα εἰς* Plutarchum non scripsisse certum puto. hiatus nisi transpositione removendus, scribendum *ἀπιόντος*. 34. *ἅμα τοὺς*] *αὐτοὺς* BMV^b.

XLIII. 3. *ὑφ' αὑτῷ* Coraes: *ὑπ' αὐτῷ* v, *ὑπ' αὐτὸν* AC. 5. *τὴν μὲν* C. 7. *βουλομένων δυεῖν μόλις ὡρῶν λέγειν λόγον* BMV^b. 8. *δυοῖν* ACia. 9. *κατηνάλωσε* BMV^b.

οὐκέτι λέγειν αὐτὸν εἴων, ἀλλ' ἐπιμένοντα κατέσπασεν ὑπηρέτης προσελθών. Ὡς δὲ καὶ κάτωθεν ἱστάμενος ἐβόα καὶ τοὺς ἀκούοντας καὶ συναγανακτοῦντας εἶχε, πάλιν ὁ ὑπηρέτης ἐπιλαβόμενος καὶ ἀγαγὼν αὐτὸν ἔξω τῆς ἀγορᾶς κατέστησε. Καὶ οὐκ ἔφθη πρῶτον ἀφεθεὶς καὶ πάλιν ἀναστρέψας ἵετο πρὸς τὸ βῆμα μετὰ κραυγῆς ἐγκελευόμενος τοῖς πολίταις ἀμύνειν. Πολλάκις δὲ τούτου γενομένου περιπαθῶν ὁ Τρεβώνιος ἐκέλευσεν αὐτὸν εἰς τὸ δεσμωτήριον ἄγεσθαι· καὶ πλῆθος ἐπηκολούθει λέγοντος ἅμα σὺν τῷ βαδίζειν ἀκροώμενον, ὥστε δείσαντα τὸν Τρεβώνιον αἱρεῖναι. Κἀκείνην μὲν οὕτω τὴν ἡμέραν ὁ Κάτων κατανάλωσε· ταῖς δ' ἐφεξῆς οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι χάρισι καὶ δωροδοκίαις, ἕνα δὲ τῶν δημάρχων Ἀκύλλιον ὅπλοις εἴρξαντες ἐκ τοῦ βουλευτηρίου προσελθεῖν, αὐτὸν δὲ τὸν Κάτωνα βροντὴν γεγονέναι βοῶντα τῆς ἀγορᾶς ἐκβαλόντες, οὐκ ὀλίγους δὲ τρώσαντες, ἐνίων δὲ καὶ πεσόντων, βίᾳ τὸν νόμον ἐκύρωσαν, ὥστε πολλοὺς συστραφέντας ὀργῇ τοὺς Πομπηΐου βάλλειν ἀνδριάντας. Ἀλλὰ τοῦτο μὲν ἐπελθὼν ὁ Κάτων διεκώλυσε· τῷ δὲ Καίσαρι πάλιν νόμου γραφομένου περὶ τῶν ἐπαρχιῶν καὶ τῶν στρατοπέδων, οὐκέτι πρὸς τὸν δῆμον ὁ Κάτων, ἀλλὰ πρὸς αὐτὸν τραπόμενος Πομπήϊον ἐμαρτύρατο καὶ προὔλεγεν, ὡς ἐπὶ τὸν αὐτοῦ τράχηλον ἀναλαμβάνων Καίσαρα νῦν μὲν οὐκ οἶδεν, ὅταν δὲ ἄρχηται βαρύνεσθαι καὶ κρατεῖσθαι μήτε ἀποθέσθαι δυνάμενος μήτε φέρειν ὑπομένων εἰς τὴν πόλιν ἐμπεσεῖται σὺν αὐτῷ καὶ μεμνήσεται τότε τῶν Κάτωνος παραινέσεων, ὡς οὐδὲν ἧττον ἐν αὐταῖς τὸ Πομπηΐου συμφέρον ἐνῆν ἢ τὸ καλὸν καὶ δίκαιον. Ταῦτα πολλάκις ἀκούων ὁ Πομπήϊος ἠμέλει καὶ παρέπεμπεν ἀπιστίᾳ τῆς Καίσαρος μεταβολῆς διὰ πίστιν εὐτυχίας τῆς ἑαυτοῦ καὶ δυνάμεως.

5, 92—94 H.

---

12. ἀκούοντας καὶ] ἀκούοντας? 13. συναγαγὼν BMV^b. 15. ἵετο CV^b: ἴετο v. 16. γινομένου C. 18. λεγόντων ἅμα σὺν αὐτῷ αὖ m. sec. βαδίζειν x. τῷ] τῷ P, αὐτῷ [C]BMV^{b}i cod. Stephani (‚legitur etiam'). καὶ ἀκροώμενον C. 20. κατανάλωσε Corais PF^a: κατηνάλωσε v. ταῖς] τοὺς V. 21. δεξάμενοι A. 23. εἴρξαντες A. προελθεῖν Solanus. 24. ἐκβάλλοντες Aia. 27. ἐπανελθὼν V^b. 28. δὲ om i. 31. ὡς] οὐκ F^a. 36. τὸ om Aia. 38. τῆς καίσαρος τῆς B. 39. ἑαυτοῦ PCBV^{b}F^a: αὐτοῦ v.

XLIV. Εἰς δὲ τὸ ἑξῆς ἔτος αἱρεθεὶς ὁ Κάτων στρατηγὸς οὐδὲν ἔδοξε προστιθέναι τῇ ἀρχῇ τοσοῦτον εἰς σεμνότητα καὶ μέγεθος ἄρχων καλῶς, ὅσον ἀφαιρεῖν καὶ καταισχύνειν ἀνυπόδητος καὶ ἀχίτων πολλάκις ἐπὶ τὸ βῆμα προερχόμενος καὶ θανατικὰς δίκας ἐπιφανῶν ἀνδρῶν οὕτω βραβεύων. Ἔνιοι δέ φασι καὶ μετ' ἄριστον οἶνον πεπωκότα χρηματίζειν· ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθῶς λέγεται. Διαφθειρομένου δὲ τοῦ δήμου ταῖς δωροδοκίαις ὑπὸ τῶν φιλαρχούντων καὶ χρωμένων τῷ δεκάζεσθαι καθάπερ ἐργασίᾳ συνήθει τῶν πολλῶν, βουλόμενος ἐκκόψαι παντάπασι τὸ νόσημα τοῦτο τῆς πόλεως ἔπεισε δόγμα θέσθαι τὴν σύγκλητον, ὅπως οἱ κατασταθέντες ἄρχοντες, εἰ μηδένα κατήγορον ἔχοιεν, αὐτοὶ παριόντες ἐξ ἀνάγκης εἰς ἔνορκον δικαστήριον εὐθύνας διδῶσιν. Ἐπὶ τούτῳ χαλεπῶς μὲν ἔσχον οἱ μετιόντες ἀρχάς, ἔτι δὲ χαλεπώτερον ὁ μισθαρνῶν ὄχλος. Ἕως οὖν ἐπὶ τὸ βῆμα τοῦ Κάτωνος προελθόντος ἀθρόοι προσπεσόντες ἐβόων, ἐβλασφήμουν, ἔβαλλον, ὥστε φεύγειν ἀπὸ τοῦ βήματος ἅπαντας, αὐτὸν δὲ ἐκεῖνον ἐξωσθέντα τῷ πλήθει καὶ παραφερόμενον μόλις ἐπιλαβέσθαι τῶν ἐμβόλων. Ἐντεῦθεν ἀναστὰς τῷ μὲν ἰταμῷ καὶ θαρροῦντι τῆς ὄψεως εὐθὺς ἐκράτησε τοῦ θορύβου καὶ τὴν κραυγὴν ἔπαυσεν, εἰπὼν δὲ τὰ πρέποντα καὶ μεθ' ἡσυχίας ἀκουσθεὶς παντάπασι διέλυσε τὴν ταραχήν. Ἐπαινούσης δὲ τῆς βουλῆς αὐτόν „Ἐγὼ δὲ“ εἶπεν „ὑμᾶς οὐκ ἐπαινῶ κινδυνεύοντα στρατηγὸν ἐγκαταλιπόντας καὶ μὴ προσαμύναντας.“ Τῶν δὲ μετιόντων ἀρχὴν ἕκαστος ἀπόρῳ πάθει συνείχετο, φοβούμενος μὲν αὐτὸς δεκάζειν, φοβούμενος δὲ
781 ἑτέρου τοῦτο πράξαντος ἐκπεσεῖν τῆς ἀρχῆς. Ἔδοξεν οὖν αὐτοῖς εἰς ταὐτὸ συνελθοῦσι παραβαλέσθαι δραχμῶν ἕκαστον ἀργυρίου δεκαδύο ἥμισυ μυριάδας, εἶτα μετιέναι τὴν ἀρχὴν πάντας ὀρθῶς καὶ δικαίως· τὸν δὲ παραβάντα καὶ

5, 94—95 H.

XLIV. 4. ἀννπόδετος C. προερχόμενος Solani corr P[A CBMV^{b}]: προσερχόμενος v. 9. καθέζεσθαι M. 10. παντάπασι om C. 16. προπεσόντες F^{a}. 17. ἐβλασφήμων C. 18. ἐκεῖνον om BMV^{b}. 19. ἐντεῦθεν corr PTSRF^{a}Vx: ἐνταῦθα v, ἐνταῦθα καταστὰς Reiskii nuperi. 24. ἐκκαταλιπόντας B. προσαμύναντας PBMV^{b}F^{a}i: προσαμύνοντας v. 27. τοῦτο om pr. PB. 29. ἀργυρίου om F^{a}. δεκαδύο Coraes: δέκα δύο v. 30. ὀρθῶς πάντας C.

χρησάμενον δεκασμῷ στέρεσθαι τοῦ ἀργυρίου. Ταῦτα ὁμολογήσαντες αἱροῦνται φύλακα καὶ βραβευτὴν καὶ μάρτυρα τὸν Κάτωνα καὶ χρήματα φέροντες ἐκείνῳ παρετίθεντο· καὶ τὰς συνθήκας ἐγράψαντο πρὸς ἐκεῖνον ἀντὶ τῶν χρημάτων ἐγγυητὰς λαβόντα, τὰ δὲ χρήματα μὴ δεξάμενον. Ὡς δὲ ἦκεν ἡ κυρία τῆς ἀναδείξεως, παραστὰς ὁ Κάτων τῷ βραβεύοντι δημάρχῳ καὶ παραφυλάξας τὴν ψῆφον, ἕνα τῶν παραβαλομένων ἀπέφηνε κακουργοῦντα καὶ προσέταξεν ἀποδοῦναι τοῖς ἄλλοις τὸ ἀργύριον. Ἀλλ' ἐκεῖνοι μὲν ἐπαινέσαντες αὐτοῦ τὴν ὀρθότητα καὶ θαυμάσαντες ἀνεῖλον τὸ πρόστιμον ὡς ἱκανὴν δίκην ἔχοντες παρὰ τοῦ ἀδικήσαντος· τοὺς δὲ ἄλλους ἐλύπησεν ὁ Κάτων καὶ φθόνον ἔσχεν ἀπὸ τούτου πλεῖστον, ὡς βουλῆς καὶ δικαστηρίων καὶ ἀρχόντων δύναμιν αὑτῷ περιποιησάμενος. Οὐδεμιᾶς γὰρ ἀρετῆς δόξα καὶ πίστις ἐπιφθόνους ποιεῖ μᾶλλον ἢ τῆς δικαιοσύνης, ὅτι καὶ δύναμις αὐτῇ καὶ πίστις ἕπεται μάλιστα παρὰ τῶν πολλῶν. Οὐ γὰρ τιμῶσι μόνον, ὡς τοὺς ἀνδρείους, οὐδὲ θαυμάζουσιν, ὡς τοὺς φρονίμους, ἀλλὰ καὶ φιλοῦσι τοὺς δικαίους καὶ θαῤῥοῦσιν αὐτοῖς καὶ πιστεύουσιν. Ἐκείνων δὲ τοὺς μὲν φοβοῦνται, τοῖς δὲ ἀπιστοῦσι· πρὸς δὲ τούτοις ἐκείνους μὲν οἴονται φύσει μᾶλλον ἢ τῷ βούλεσθαι, διαφέρειν, ἀνδρίαν καὶ φρόνησιν, τὴν μὲν ὀξύτητα τινὰ, τὴν δ' εὐρωστίαν ψυχῆς τιθέμενοι, δικαίῳ δὲ ὑπάρχοντος εὐθὺς εἶναι τῷ βουλομένῳ μάλιστα τὴν ἀδικίαν ὡς κακίαν ἀπροφάσιστον αἰσχύνονται.

XLV. Διὸ καὶ τῷ Κάτωνι πάντες οἱ μεγάλοι προσεπολέμουν ὡς ἐλεγχόμενοι· Πομπήϊος δὲ καὶ κατάλυσιν τῆς ἑαυτοῦ δυνάμεως τὴν ἐκείνου δόξαν ἡγούμενος ἀεί τινας προσέβαλλεν αὐτῷ λοιδορησομένους, ὧν καὶ Κλώδιος ἦν ὁ δημαγωγὸς αὖθις εἰς Πομπήϊον ὑποῤῥυεὶς καὶ καταβοῶν τοῦ

5, 95—96 H.

---

33. τὰ χρήματα Emperius. παρετίθεντο APCTRF^{a} cod. Stephani (‚legitur etiam') x: προσετίθεντο v. 38. παραβαλομένων Reiskius: παραβαλλομένων libri. 39. τοῖς ἄλλοις ἀποδοῦναι V^{b}. ἀλλὰ BV^{b}. μὲν om BM. 43. δικαστηρίων corr PCBM ‚quidam' Stephani V: δικαστηρίου v. καὶ ἀρχόντων καὶ δικαστηρίων C. 46. τῶν om F^{a}. 51. ἀνδρίαν corr PCBMV^{b}F^{a}: ἀνδρείαν v. 53. δικαιῳ x: δικαίου libri.

XLV. 4. προσέβαλεν M. 5. ὑποῤῥυεὶς APCTSuF^{a} cod. Stephani (‚scriptum est') V: καταῤῥυεὶς v.

Κάτωνος, ὡς πολλὰ μὲν ἐκ Κύπρου χρήματα νοσφισαμένου, Πομπηΐῳ δὲ πολεμοῦντος ἀπαξιώσαντι γάμον αὐτοῦ θυγατρός. Ὁ δὲ Κάτων ἔλεγεν, ὅτι χρήματα μὲν ἐκ Κύπρου τοσαῦτα τῇ πόλει συναγάγοι μήτε ἵππον ἕνα μήτε στρατιώτην λαβών, ὅσα Πομπήϊος ἐκ πολέμων τοσούτων καὶ θριάμβων τὴν οἰκουμένην κυκήσας οὐκ ἀνήνεγκε, κηδεστὴν δὲ μηδέποτε προελέσθαι Πομπήϊον, οὐκ ἀνάξιον ἡγούμενος, ἀλλ' ὁρῶν τὴν ἐν τῇ πολιτείᾳ διαφοράν. „Αὐτὸς μὲν γὰρ" ἔφη „διδομένης μοι μετὰ τὴν στρατηγίαν ἐπαρχίας ἀπέστην, οὗτος δὲ τὰς μὲν ἔχει λαβών, τὰς δὲ δίδωσιν ἑτέροις· νυνὶ δὲ καὶ τέλος ἑξακισχιλίων ὁπλιτῶν δύναμιν Καίσαρι κέχρηκεν εἰς Γαλατίαν· ἃ οὔτ' ἐκεῖνος ᾔτησε παρ' ὑμῶν οὔτε οὗτος ἔδωκε μεθ' ὑμῶν, ἀλλὰ δυνάμεις τηλικαῦται καὶ ὅπλα καὶ ἵπποι χάριτές εἰσιν ἰδιωτῶν καὶ ἀντιδόσεις. Καλούμενος δὲ αὐτοκράτωρ καὶ στρατηγὸς ἄλλοις τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας παραδέδωκεν, αὐτὸς δὲ τῇ πόλει παρακάθηται στάσεις ἀγωνοθετῶν ἐν ταῖς παραγγελίαις καὶ θορύβους μηχανώμενος, ἐξ ὧν οὐ λελήθατε δι' ἀναρχίας μοναρχίαν ἑαυτῷ μνηστευόμενος."

XLVI. Οὕτως μὲν ἠμύνατο τὸν Πομπήϊον. Ἦν δὲ Μάρκος Φαώνιος ἑταῖρος αὐτοῦ καὶ ζηλωτής, οἷος ὁ Φαληρεὺς Ἀπολλόδωρος ἱστορεῖται περὶ Σωκράτην γενέσθαι τὸν παλαιόν, ἐμπαθὴς καὶ παρακεκινηκὼς πρὸς τὸν λόγον, οὐ σχέδην οὐδὲ πράως, ἀλλ' ἄκρατον αὐτοῦ καθαψάμενον ὥσπερ οἶνον καὶ μανικώτερον. Οὗτος ἀγορανομίαν μετιὼν ἡττᾶτο, συμπαρὼν δὲ ὁ Κάτων προσέσχε ταῖς δέλτοις μιᾷ χειρὶ γε-

5, 96—98 H.

---

8. ἔλεγεν ὅτι] ἔλεγε BMV^b. 9. τοιαῦτα MV^b. τῇ πόλει om Fa. 15. ἔχειν corr P. 16. solum δύναμιν Reiskius, ἑξακισχιλίων ὁπλιτῶν δύναμιν delet Schaeferus, quam rationem commendo loco Appiani b. c. 2, 29: καὶ τεχνάζων ὁ Πομπήϊος ἀπῄτει τὸ τέλος, ὃ ἔναγχος ἐπὶ συμφορᾷ στρατηγῶν δύο Καίσαρος Τιτυρίου τε καὶ Κόττα Καίσαρι κεχρήκει. 17. ὃ Reiskius. ἡμῶν bis BMV^b. 22. ἐν om i. 23. λέλησται A.

XLVI. 1. οὕτω corr ACV^b. 2. φαλληρεὺς CBMV^b. 3. σωκράτη corr PC. σωκράτους γενέσθαι τὸ παλαιὸν MV^b, sed cf. Cat. mai. 20, 12. 4. παρακεκινηκὼς] ‚ἤγουν ἐπιστάμενος' (sic) margo Mureti. hinc καὶ ἐξιστάμενος V. οὐ σχέδην] ‚ἤγουν σύνεγγυς' margo Mureti. hinc οὐ σύνεγγυς V. 5. καθαψάμενος [A]i. ὥσπερ οἶνον PCBMV^{b}F^{a}uRqVx: ὡς πάροινον v.

γραμμέναις· καὶ τὴν κακουργίαν ἐξελέγξας τότε μὲν ἐπικλήσει 782
δημάρχων ἔλυσε τὴν ἀνάδειξιν, ὕστερον δὲ τοῦ Φαωνίου
καταστασθέντος ἀγορανόμου τά τε ἄλλα τῆς ἀρχῆς ἐπεμελεῖτο
καὶ τὰς θέας διεῖπεν ἐν τῷ θεάτρῳ, διδοὺς καὶ τοῖς θυμε-
λικοῖς στεφάνους μὲν οὐ χρυσοῦς, ἀλλ' ὥσπερ ἐν Ὀλυμπίᾳ
κοτίνων, δῶρα δὲ ἀντὶ τῶν πολυτελῶν τοῖς μὲν Ἕλλησι τεῦτλα
καὶ θρίδακας καὶ ῥαφανῖδας καὶ ἀπίους, τοῖς δὲ Ῥωμαίοις
οἶνου κεράμια καὶ κρέα ὕεια καὶ σῦκα καὶ σικύους καὶ ξύλων
ἀγκαλίδας, ὧν τὴν εὐτέλειαν οἱ μὲν ἐγέλων, οἱ δὲ ᾐδοῦντο
τοῦ Κάτωνος τὸ αὐστηρὸν καὶ κατεστυμμένον ὁρῶντες ἡσυχῇ
μεταβάλλον εἰς διάχυσιν. Τέλος δὲ ὁ Φαώνιος εἰς τὸν ὄχλον
ἐμβαλὼν ἑαυτὸν καὶ καθεζόμενος ἐν τοῖς θεαταῖς ἐκρότει
τὸν Κάτωνα καὶ διδόναι τοῖς εὐημεροῦσι καὶ τιμᾶν ἐβόα καὶ
συμπαρεκάλει τοὺς θεατὰς, ὡς ἐκείνῳ τὴν ἐξουσίαν παρα-
δεδωκώς. Ἐν δὲ τῷ ἑτέρῳ θεάτρῳ Κουρίων ὁ Φαωνίου
συνάρχων ἐχορήγει πολυτελῶς· ἀλλ' ἐκεῖνον ἀπολείποντες οἱ
ἄνθρωποι μετέβαινον ἐνταῦθα καὶ συνέπαιζον προθύμως
ὑποκρινομένῳ τῷ Φαωνίῳ τὸν ἰδιώτην καὶ τῷ Κάτωνι τὸν
ἀγωνοθέτην. Ἔπραττε δὲ ταῦτα διασύρων τὸ πρᾶγμα καὶ
διδάσκων, ὅτι παίζοντα δεῖ τῇ παιδιᾷ χρῆσθαι καὶ χάριτι
παραπέμπειν ἀτύφῳ μᾶλλον ἢ παρασκευαῖς καὶ πολυτελείαις
εἰς τὰ μηδενὸς ἄξια φροντίδας μεγάλας καὶ σπουδὰς κατα-
τιθέμενον.

XLVII. Ἐπεὶ δὲ, Σκηπίωνος καὶ Ὑψαίου καὶ Μίλω-
νος ὑπατείαν μετερχομένων, οὐ μόνον ἐκείνοις τοῖς συντρό-
φοις ἤδη καὶ συμπολιτευομένοις ἀδικήμασι, δωροδοκίαις καὶ
5, 98—99 H.

---

9. *δημαρχῶν* PCBMF^{a}ia. *ἔλυε* AT pr. PiV. 10. *ἀρχῆς*] *ἀρετῆς* a et v. 11. *διεῖπεν ἐν*] *διεῖπεν* ia et v. *καὶ* delet Schaeferus. 13. *ἀντὶ τῶν* om CBMV^{b}. 14. *ῥαφανίδας* Schaeferus: *ῥαφανίδα* v. 15. *κεράμεια* C. *σικύους* [AC] TSV: *σικυοὺς* B, *συκιοὺς* V^{b}, *σικίους* v. 16. *ᾐδοντο* x (‚aliis iucundum erat videre' Xylander) nuperi, cf. c. 17. 18. *μεταβάλλον* x (‚morositatem — sensim ad hilaritatem se inclinantem' Xylander): *μετέβαλλον* libri. 21. *παρεκάλει* CBMV^{b}. 22. *Κουρίων* Amiotus Xylander: *δουρίων* libri. 23. *ἀλλὰ* BV^{b}. *ἀπολείποντες* A: *ἀπολιπόντες* v. 25. *τῷ* ante *Φαωνίῳ* om F^{a}. *τὸν* ante *ἰδιώτην* om pr. Pia. 26. *ἔπραττον* MV^{b}.

XLVII. 1. *σκηπίωνος* libri: *Σκιπίωνος* v. *μιλίωνος* BM. 2. *τρεχομένων* i.

δεκασμοῖς, ἀλλ' ἄντικρυς δι' ὅπλων καὶ φόνων εἰς ἐμφύλιον πόλεμον ὠθουμένων τόλμῃ καὶ ἀπονοίᾳ, Πομπήϊόν τινες ἠξίουν ἐπιστῆναι ταῖς ἀρχαιρεσίαις, τὸ μὲν πρῶτον ἀντεῖπεν ὁ Κάτων οὐ τοῖς νόμοις ἐκ Πομπηΐου φάμενος, ἀλλ' ἐκ τῶν νόμων Πομπηΐῳ δεῖν ὑπάρχειν τὴν ἀσφάλειαν, ὡς δὲ, πολὺν χρόνον ἀναρχίας οὔσης καὶ τριῶν στρατοπέδων τὴν ἀγορὰν ὁσημέραι περιεχόντων, ὀλίγον ἀπέλιπεν ἀνεπίσχετον γεγονέναι τὸ κακὸν, ἔγνω τὰ πράγματα πρὸ τῆς ἐσχάτης ἀνάγκης εἰς Πομπήϊον ἑκουσίῳ χάριτι τῆς βουλῆς περιστῆσαι καὶ τῷ μετριωτάτῳ τῶν παρανομημάτων χρησάμενος ἰάματι τῆς τῶν μεγίστων καταστάσεως τὴν μοναρχίαν ἐπαγαγέσθαι μᾶλλον ἢ περιϊδεῖν τὴν στάσιν εἰς μοναρχίαν τελευτῶσαν. Εἶπεν οὖν ἐν τῇ βουλῇ γνώμην Βύβλος οἰκεῖος ὢν Κάτωνος, ὡς χρὴ μόνον ἑλέσθαι Πομπήϊον ὕπατον· ἢ γὰρ ἕξειν καλῶς τὰ πράγματα ἐκείνου καταστήσαντος ἢ τῷ κρατίστῳ δουλεύσειν τὴν πόλιν. Ἀναστὰς δὲ ὁ Κάτων οὐδενὸς ἂν προσδοκήσαντος ἐπῄνεσε τὴν γνώμην καὶ συνεβούλευσε πᾶσαν ἀρχὴν ὡς ἀναρχίας κρείττονα, Πομπήϊον δὲ καὶ προσδοκᾶν ἄριστα τοῖς παροῦσι χρήσεσθαι πράγμασι καὶ φυλάξειν διαπιστευθέντα τὴν πόλιν.

XLVIII. Οὕτω δ' ἀποδειχθεὶς ὕπατος ὁ Πομπήϊος ἐδεήθη τοῦ Κάτωνος ἐλθεῖν πρὸς αὐτὸν εἰς τὸ προάστειον. Ἐλθόντα δὲ δεξάμενος φιλοφρόνως ἀσπασμοῖς καὶ δεξιώσεσι καὶ χάριν ὁμολογήσας παρεκάλει σύμβουλον αὐτῷ καὶ πάρεδρον εἶναι τῆς ἀρχῆς. Ὁ δὲ Κάτων ἀπεκρίνατο μήτε τὰ πρῶτα πρὸς ἀπέχθειαν εἰπεῖν Πομπηΐου μήτε ταῦτα πρὸς

5, 99—100 H.

---

6. τῆς ἀρχαιρεσίας MV^{b}. 10. ἀπέλιπεν Corais APCBMV^{b}F^{a}: κ al. m. ἀπέλειπεν v. 11. καλὸν M, καλὸν V^{b}. 12. ἑκουσίως PCB MV^{b}F^{a} cod. Stephani (‚legitur etiam'). 14. ἐπάγεσθαι pr. P. 15. εἰς ἀναρχίαν Emperius. 16. οἰκεῖος ὢν APCBMV^{b}F^{a}: ὢν οἰκεῖος v. 17. ἕξειν Stephanus cum [CBMV^{b}]: legebatur ἕξει. 18. ἐκείνῳ pr. BMV^{b}. δουλεύσειν Stephanus: δουλεύειν libri. 19. δὲ] οὖν CBMV^{b}. 20. συνεβούλευσε Schaeferi ACBV^{b}F^{a}: συνεβούλευε v. 21. καὶ om F^{a}. 22. χρήσεσθαι Stephanus cum corr B: legebatur χρήσασθαι.

XLVIII. 2. ἐλθεῖν πρὸς αὐτὸν εἰς] προελθεῖν αὐτὸν εἰς BMV^{b}, προελθεῖν εἰς C. 3. φιλοφρόνως δεξάμενος C. 4. πάρεδρον APTRSV: πρόεδρον v.

χάριν, ἀλλ' ἐπὶ συμφέροντι πάντα τῆς πόλεως· ἰδίᾳ μὲν οὖν αὐτῷ παρακαλοῦντι σύμβουλος ἔσεσθαι, δημοσίᾳ δὲ, κἂν μὴ παρακαληται, πάντως ἐρεῖν τὸ φαινόμενον. Καὶ ταῦτα ἔπραττεν ὡς εἶπε. Πρῶτον μὲν γὰρ ἐπὶ τοὺς δεκάσαντας ἤδη τὸν δῆμον ἐπιτίμια καινὰ καὶ δίκας μεγάλας τοῦ Πομπηίου νομοθετοῦντος ἀμελεῖν ἐκέλευσε τῶν γεγονότων καὶ προσέχειν τοῖς μέλλουσιν· οὔτε γὰρ ὅπου στήσεται τὸ τὰ προημαρτημένα ζητεῖν ὁρίσαι ῥᾴδιον, ἐάν τε νεώτερα γράφηται τῶν ἀδικημάτων ἐπιτίμια, δεινὰ πείσεσθαι τοὺς, ὃν 783
οὐ παρέβαινον, ὅτ' ἠδίκουν, νόμον, κατὰ τοῦτον κολαζομένους. Ἔπειτα πολλῶν κρινομένων ἐπιφανῶν ἀνδρῶν, ἐνίων δὲ καὶ φίλων τοῦ Πομπηίου καὶ οἰκείων, ὁρῶν αὐτὸν ἐνδιδόντα τοῖς πολλοῖς καὶ καμπτόμενον ἐπετίμα σφοδρῶς καὶ διήγειρεν. Ἐπεὶ δὲ νόμῳ τοὺς εἰωθότας λέγεσθαι περὶ τῶν κρινομένων ἐπαίνους αὐτὸς ἀφελὼν Μουνατίῳ Πλάγκῳ συγγράψας ἔπαινον ἐπὶ τῆς δίκης ἔδωκεν, ἐπισχόμενος ὁ Κάτων τὰ ὦτα ταῖς χερσὶν (ἔτυχε γὰρ δικάζων) ἐκώλυεν ἀναγινώσκεσθαι τὴν μαρτυρίαν. Ὁ δὲ Πλάγκος ἀπέλεξεν αὐτὸν ἐκ τῶν δικαστῶν μετὰ τοὺς λόγους, καὶ οὐδὲν ἧττον ἥλω. Καὶ ὅλως ἄπορον ἦν πρᾶγμα καὶ δυσμεταχείριστον ὁ Κάτων τοῖς φεύγουσι, μήτε βουλομένοις αὐτὸν ἀπολιπεῖν δικαστὴν μήτε ἀπολέγειν τολμῶσιν. Ἥλωσαν γὰρ οὐκ ὀλίγοι τῷ Κάτωνα φεύγειν δόξαντες οὐ θαῤῥεῖν τοῖς δικαίοις· ἐνίοις δὲ καὶ προὔφερον οἱ λοιδοροῦντες ὡς ὄνειδος μέγα τὸ μὴ δέξασθαι κριτὴν Κάτωνα προτεινόμενον.

5, 100—2 H.

ε ead. m. ε al. m.

9. αἱρεῖν M, αἱρεῖν V^b. 11. ἤδη om CF^a. 12. ἐκέλευσε ACπV: ἐκέλευεν v. 13. τὸ addidit Stephanus. 15. τῶν om BMV^b. πείθεσθαι MV^bV. τοὺς ὃν corr V^bx: τοῦτον ὃν libri ceteri et v. τούτους οἳ V. margo Mureti: ‚sic Lambinus hunc locum emendandum putat: δεινὰ πείσεσθαι τοὺς, ὃν οὐ παρέβαινον οὔτ' ἠδίκουν νόμον, κατὰ τοῦτον κολαζομένους.' 16. ὅτ' ACBF^a margo Mureti V: οὔτ' v. τοῦτο Pia. 19. τοῖς M: ἐν v. quamquam neutrum desidero. μὲν ἐν Emperius. 21. Πλάγκῳ Xylander x et postea: φλάκκῳ libri, cf. v. l. Pomp. 55. 22. κατὰ δίκης ATSV. 23. καὶ ἐκώλυεν F^a, ἐκώλυσεν B. 24. ἀπέλεγξεν V^b. 28. τῷ κάτωνα V: τῷ κάτωνι ATu cod. Stephani (‚legitur etiam'), τὸν κάτωνα ceteri et v. 29. ἐνίοις [AMV^b] Vx: ἐνίους v. 31. προτεινόμενον [CBMV^b] cod. Stephani (‚legitur etiam'): προτεινόμενοι P, προτεινόμενοι v.

ον al. m

XLIX. Ἐπεὶ δὲ, Καίσαρος αὐτοῦ μὲν ἐμπεφυκότος τοῖς στρατεύμασιν ἐν Γαλατίᾳ καὶ τῶν ὅπλων ἐχομένου, δώροις δὲ καὶ χρήμασι καὶ φίλοις μάλιστα πρὸς τὴν ἐν τῇ πόλει χρωμένου δύναμιν, ἤδη μὲν αἱ Κάτωνος προαγορεύσεις ἀνέφερον τὸν Πομπήϊον ἐκ πολλῆς ἤδη τῆς πρόσθεν ἀπιστίας ὀνειροπολοῦντα τὸ δεινὸν, ἐπεὶ δὲ ἦν ὄκνου καὶ μελλήσεως ἀτόλμου πρὸς τὸ κωλύειν καὶ ἐπιχειρεῖν ὑπόπλεως, ὥρμησεν ὁ Κάτων ὑπατείαν παραγγέλλειν ὡς ἀφαιρησόμενος εὐθὺς τὰ ὅπλα τοῦ Καίσαρος ἢ τὴν ἐπιβουλὴν ἐξελέγξων. Οἱ δ' ἀντιπαραγγέλλοντες αὐτῷ χαρίεντες μὲν ἦσαν ἀμφότεροι, Σουλπίκιος δὲ καὶ πολλὰ τῆς τοῦ Κάτωνος ἐν τῇ πόλει δόξης τε καὶ δυνάμεως ἀπολελαυκώς· οὐ μέτριον οὖν ἐδόκει πρᾶγμα ποιεῖν οὐδ' εὐχάριστον· οὐ μὴν ὅ γε Κάτων ἐνεκάλει· „Τί γὰρ" ἔφη „θαυμαστὸν, εἰ ὅ τις νομίζει τῶν ἀγαθῶν μέγιστον ἑτέρῳ μὴ παρίησι;" Πείσας δὲ τὴν βουλὴν ψηφίσασθαι τοὺς μετιόντας τὴν ἀρχὴν αὐτοὺς δεξιοῦσθαι τὸν δῆμον, δι' ἑτέρου δὲ μὴ δεῖσθαι μηδὲ ἐντυγχάνειν ὑπὲρ αὐτῶν περιιόντος, ἔτι μᾶλλον ἐξηγρίανε τοὺς ἀνθρώπους, εἰ μὴ μόνον τὸ λαβεῖν μισθὸν, ἀλλὰ καὶ τὸ διδόναι χάριν αὐτοὺς ἀφῃρημένος ἄπορον καὶ ἄτιμον ὁμοῦ τὸν δῆμον πεποίηκε. Πρὸς δὲ τούτῳ μήτε αὐτὸς ἐντυχεῖν ὑπὲρ αὐτοῦ πιθανὸς ὢν, ἀλλ' ἐν ἤθει τὸ τοῦ βίου μᾶλλον ἀξίωμα βουλόμενος φυλάσσειν ἢ προσλαβεῖν τὸ τῆς ἀρχῆς ποιούμενος τὰς δεξιώσεις, μήτε τοὺς φίλους ἐάσας οἷς ὄχλος ἁλίσκεται καὶ θεραπεύεται ποιεῖν, ἀπέτυχε τῆς ἀρχῆς.

L. Φέροντος δὲ τοῦ πράγματος οὐκ αὐτοῖς μόνοις τοῖς ἀποτυχοῦσιν, ἀλλὰ καὶ φίλοις αὐτῶν καὶ οἰκείοις σὺν αἰσχύνῃ τινὶ κατήφειαν καὶ πένθος ἐφ' ἡμέρας πολλὰς, οὕτως ἤνεγκε ῥᾳθύμως τὸ συμβεβηκὸς, ὥστε ἀλειψάμενος μὲν ἐν τῷ πεδίῳ

5, 102—3 H.

XLIX. 2. ἐχομένων CBMV^b. 4. ἀνέφερον Pu[C] cod. Stephani (, ex vetustorum exempl. auctoritate') V: ἀνέφαινον A, προέφερον ceteri. 6. ἐπεὶ] immo ἔτι cum Schaefero. 8. εὐθὺς om F^a. 9. ἐξελέγχων F^a. 11. τοῦ om F^a. 12. δοκεῖ PMV^b. 17. ἑτέρων C. περιϊόντος Emperius: περιϊόντας v, περιόντας B, παριόντας V^b. 18. ἐξηγρίανε ASTV: ἐξηγριαινε v. 19. ἀφῃρημένους BM. 20. ἄτιμον καὶ ἄπορον CBMV^b. 21. ἀλλὰ BV^b, ἀλλὰ καὶ F^a. 23. τὸ τῆς] τῆς BMV^b. διεξώσεις BMV^b.

τὸν corr

L. 2. αὐτῶν P. 3. καὶ κατήφειαν corr PF^a.

σφαιρίσαι, μετ᾽ ἄριστον δὲ πάλιν, ὥσπερ εἴθιστο, καταβὰς εἰς ἀγορὰν ἀνυπόδητος καὶ ἀχίτων περιπατῆσαι μετὰ τῶν συνήθων. Αἰτιᾶται δὲ Κικέρων, ὅτι, τῶν πραγμάτων ἄρχοντος τοιούτου δεομένων, οὐκ ἐποιήσατο σπουδὴν οὐδὲ ὑπῆλθεν ὁμιλίᾳ φιλανθρώπῳ τὸν δῆμον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν ἐξέκαμε καὶ ἀπηγόρευσε, καίτοι τὴν στρατηγίαν αὖθις ἐξ ὑπαρχῆς μετελθών. Ἔλεγεν οὖν ὁ Κάτων, ὅτι τῆς μὲν στρατηγίας οὐ κατὰ γνώμην ἐξέπεσε τῶν πολλῶν, ἀλλὰ βιασθέντων ἢ διαφθαρέντων, ἐν δὲ ταῖς ὑπατικαῖς ψήφοις μηδεμιᾶς κακουργίας γενομένης ἔγνω καὶ τῷ δήμῳ προσκεκρουκὼς διὰ τὸν αὐτοῦ τρόπον, ὃν οὔτε μεταθέσθαι πρὸς ἑτέρων χάριν οὔτε χρώμενον ὁμοίῳ πάλιν ὅμοια παθεῖν νοῦν ἔχοντος ἀνδρός ἐστι. 784

LI. Τοῦ δὲ Καίσαρος ἐμβαλόντος εἰς ἔθνη μάχιμα καὶ παραβόλως κρατήσαντος, Γερμανοῖς δὲ καὶ σπονδῶν γενομένων δοκοῦντος ἐπιθέσθαι καὶ καταβαλεῖν τριάκοντα μυριάδας, οἱ μὲν ἄλλοι τὸν δῆμον ἠξίουν εὐαγγέλια θύειν, ὁ δὲ Κάτων ἐκέλευεν ἐκδιδόναι τὸν Καίσαρα τοῖς παρανομηθεῖσι καὶ μὴ τρέπειν εἰς αὐτοὺς μηδὲ ἀναδέχεσθαι τὸ ἄγος εἰς τὴν πόλιν. „Οὐ μὴν ἀλλὰ καὶ τοῖς θεοῖς“ ἔφη „θύωμεν, ὅτι τῆς τοῦ στρατηγοῦ μανίας καὶ ἀπονοίας τὴν δίκην εἰς τοὺς στρατιώτας οὐ τρέπουσιν, ἀλλὰ φείδονται τῆς πόλεως.“ Ἐκ τούτου Καῖσαρ ἐπιστολὴν γράψας ἀπέστειλεν εἰς τὴν σύγκλητον· ὡς δὲ ἀνεγνώσθη βλασφημίας πολλὰς ἔχουσα καὶ κατηγορίας τοῦ Κάτωνος, ἀναστὰς ἐκεῖνος οὐχ ὑπ᾽ ὀργῆς οὐδὲ φιλονεικίας, ἀλλ᾽ ὥσπερ ἐκ λογισμοῦ καὶ παρασκευῆς τὰ μὲν εἰς ἑαυτὸν ἐγκλήματα λοιδορίαις καὶ σκώμμασιν ὁμοίαις καὶ παιδιάν τινα καὶ βωμολοχίαν τοῦ Καίσαρος ἀπέδειξεν, ἀψάμενος δὲ τῶν ἐκείνου βουλευμάτων ἀπ᾽ ἀρχῆς καὶ πᾶσαν αὐτοῦ τὴν διάνοιαν, ὥσπερ οὐκ ἐχθρὸς, ἀλλὰ συνωμότης καὶ κοινωνὸς, ἐκκαλύψας καὶ διδάξας, ὡς οὐ Βρεττανῶν

5, 103—4 H.

---

9. καὶ om F^a. 10. ἀπηγόρευε error Reiskianae. αὖθις om F^a. 11. ἔλεγε μὲν οὖν BV^b. 15. αὐτοῦ x: αὐτοῦ A[MV^b], αὐτὸν v. 16. ὁμοίως PCTuV. ὅμοια πάλιν C. 17. ἐστιν Stephaniana.

LI. 1. ἐκβαλόντος F^a. 5. ἐκέλευσεν C. 7. θύωμεν Reiskii C: θύομεν v. ὅτι καὶ BMV^b. 10. ὁ καῖσαρ BMV^b. ἀπεστάλη MV^b. 18. οὐ om F^a. βρετανῶν PCBV^b. sed scribendum videtur *Γερμανῶν* secundum Amiotum (‚les Allemans‘) cum aliis.

οὐδὲ Κελτῶν παῖδας, ἀλλ' ἐκεῖνον αὐτὸν, εἰ σωφρονοῦσι, φοβητέον ἐστὶν αὐτοῖς, οὕτως ἐπέστρεψε καὶ παρώξυνεν, ὡς τοὺς φίλους τοῦ Καίσαρος μετανοεῖν, ὅτι τὴν ἐπιστολὴν ἀναγνόντες ἐν τῇ βουλῇ καιρὸν τῷ Κάτωνι λόγων δικαίων καὶ κατηγοριῶν ἀληθῶν παρέσχον. Ἐκυρώθη μὲν οὖν οὐδὲν, ἀλλ' ἐλέχθη μόνον, ὅτι καλῶς ἔχει διάδοχον Καίσαρι δοθῆναι. Τῶν δὲ φίλων ἀξιούντων καὶ Πομπήϊον ἐξ ἴσου τὰ ὅπλα καταθέσθαι καὶ ἀποδοῦναι τὰς ἐπαρχίας ἢ μηδὲ Καίσαρα, νῦν ἐκεῖνα βοῶν ὁ Κάτων, ἃ προὔλεγεν αὐτοῖς, ἥκειν καὶ βιάζεσθαι τὸν ἄνθρωπον ἀναφανδὸν ἤδη τῇ δυνάμει χρώμενον, ἣν ἔσχεν ἐξαπατῶν καὶ φενακίζων τὴν πόλιν, ἔξω μὲν οὐδὲν ἐπέραινε, τοῦ δήμου θέλοντος ἀεὶ τὸν Καίσαρα μέγιστον εἶναι, τὴν δὲ σύγκλητον εἶχε πειθομένην καὶ φοβουμένην τὸν δῆμον.

LII. Ὡς δὲ Ἀρίμινον κατείληπτο καὶ Καῖσαρ κατηγγέλλετο μετὰ στρατιᾶς ἐλαύνειν ἐπὶ τὴν πόλιν, ἐνταῦθα δὴ πάντες ἐπ' ἐκεῖνον ἀφεώρων, οἵ τε πολλοὶ καὶ Πομπήϊος, ὡς μόνον μὲν ἐξ ἀρχῆς προαισθόμενον, πρῶτον δὲ φανερῶς προεπόντα τὴν Καίσαρος γνώμην. Εἶπεν οὖν ὁ Κάτων· „Ἀλλὰ εἴ γε οἷς ἐγὼ προὔλεγον ἀεὶ καὶ συνεβούλευον ἐπείσθη τις ὑμῶν, ἄνδρες, οὔτ' ἂν ἕνα ἐφοβεῖσθε νῦν οὔτε ἐν ἑνὶ τὰς ἐλπίδας εἴχετε.“ Πομπηΐου δὲ εἰπόντος μαντικώτερα μὲν εἰρῆσθαι Κάτωνι, φιλικώτερα δὲ αὐτῷ πεπρᾶχθαι, συνεβούλευεν ὁ Κάτων ἑνὶ Πομπηΐῳ τὰ πράγματα τὴν σύγκλητον ἐγχειρίσαι· τῶν γὰρ αὐτῶν εἶναι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. Ὁ μὲν οὖν Πομπήϊος οὔτε δύναμιν ἔχων ἑτοίμην οὔτε οὓς κατέλεγε τότε προθύμους ὁρῶν ἐξέλιπε τὴν Ῥώμην. Ὁ δὲ Κάτων ἔπεσθαι καὶ συμφεύγειν ἐγνωκὼς τὸν μὲν νεώτερον υἱὸν εἰς Βρεττίους ὑπεξέθετο πρὸς Μουνάτιον, τὸν δὲ πρεσβύτερον εἶχε σὺν ἑαυτῷ. Τῆς δὲ οἰκίας καὶ τῶν θυγατέρων κηδεμόνος δεομένων ἀνέλαβε πάλιν τὴν Μαρκίαν χη-

5, 104—5 H.

23. καὶ om MV^b. οὖν addit corr C. 24. καίσαρι διάδοχον C. ἔξω corr
27. ἥκει BMV^b. 29. ἐξ ὧν P. μὲν οὖν a et v.

LII. 1. κατηγγέλλετο] ἐλέγετο C. exspectabam ἀπηγγέλλετο. 5. εἶπε δὲ ὁ BMV^b. 6. καὶ συμβουλεύων A. 8. μὲν om A pr. P. 10. οὖν ὁ κάτων MV^b. 15. βρετίους BV^{b}F^a. 17. κηe o δόμενος V^b, κηδόμενος ABF^a corr P (fuerat κηδεμόνος) V.

ρεύουσαν ἐπὶ χρήμασι πολλοῖς. Ὁ γὰρ Ὀρτήσιος θνήσκων ἐκείνην ἀπέλιπε κληρονόμον. Εἰς ὃ δὴ μάλιστα λοιδορούμενος ὁ Καῖσαρ τῷ Κάτωνι φιλοπλουτίαν προφέρει καὶ μισθαρνίαν ἐπὶ τῷ γάμῳ. Τί γὰρ ἔδει παραχωρεῖν δεόμενον γυναικὸς ἢ τί μὴ δεόμενον αὖθις ἀναλαμβάνειν, εἰ μὴ δέλεαρ ἐξ ἀρχῆς ὑφείθη τὸ γύναιον Ὀρτησίῳ καὶ νέαν ἔχρησεν, ἵνα πλουσίαν ἀπολάβῃ; Πρὸς μὲν οὖν ταῦτα μετρίως ἔχει τὸ Εὐριπίδειον ἐκεῖνο·

Πρῶτον μὲν οὖν τἄῤῥητ' · ἐν ἀῤῥήτοισι γὰρ 785
Τὴν σὴν νομίζω δειλίαν, ὦ Ἡράκλεις.

Ὅμοιον γάρ ἐστι τῷ Ἡρακλεῖ μαλακίαν ὀνειδίζειν καὶ κατηγορεῖν αἰσχροκέρδειαν Κάτωνος. Εἰ δὲ ἄλλῃ πῃ μὴ καλῶς πέπρακται τὰ περὶ τὸν γάμον, ἐπισκεπτέον. Ἐγγυησάμενος γὰρ τὴν Μαρκίαν ὁ Κάτων καὶ τὸν οἶκον ἐπιτρέψας ἐκείνῃ καὶ τὰς θυγατέρας αὐτὸς ἐδίωκε Πομπήϊον.

LIII. Ἀπ' ἐκείνης δὲ λέγεται τῆς ἡμέρας μήτε κεφαλὴν ἔτι κείρασθαι μήτε γένεια μήτε στέφανον ἐπιθέσθαι, πένθους δὲ καὶ κατηφείας καὶ βαρύτητος ἐπὶ ταῖς συμφοραῖς τῆς πατρίδος ἓν σχῆμα νικώντων ὁμοίως καὶ νικωμένων ἄχρι τελευτῆς διαφυλάξαι. Τότε δὲ κλήρῳ λαχὼν Σικελίαν διέβη μὲν εἰς Συρακούσας, πυθόμενος δὲ Ἀσίννιον Πολλίωνα παρὰ τῶν πολεμίων ἀφῖχθαι μετὰ δυνάμεως εἰς Μεσσήνην ἔπεμψε λόγον ἀπαιτῶν παρ' αὐτοῦ τῆς διαβάσεως. Ἀνταπαιτηθεὶς δὲ λόγον ὑπ' ἐκείνου τῆς τῶν πραγμάτων μεταβολῆς καὶ Πομπήϊον ἀκούσας ἐκλελοιπότα παντελῶς Ἰταλίαν ἐν Δυρ-

5, 105—6 H.

---

20. φιλοπλουσίαν MV^b. προφέρει Bryani pr. PC: προσφέρει v. καὶ] ἐπὶ BMV^b. 21. τῷ om M. ἔτι δεόμενον BV^b. 22. γυναῖκα V. 24. ἀπολαύῃ a. 26. πρῶτα μὲν οὖν τὰ ῥητὰ libri omnes: correxit x post Xylandrum ex Euripidis Herc. f. v. 173. 27. νομίζω post δειλίαν repetunt MV^b. ὦ Ἡράκλεις] ὦ ἡράκλες CV^{b}F^a, ἡράκλες B, Ἡράκλεες Euripides. 28. τὸ Ἡρακλεῖ x. 29. πῃ V: πῇ v, om F^a. 30. τὰ addiderunt corr. PCBMV^b addebatque Coraes. 31. γὰρ] scribam vel δὲ cum Emperio vel γοῦν cum Solano.

LIII. 2. ἐπικείρασθαι CBV^b. 4. ἄχρι τέλους C. 6. συρρακούσας M, δρακούσας F^a. 6. Ἀσίννιον] alterum ν ex corr P σ al. m. et postea, ἀσσίνιον A et mox ἀσίνιον, Ἀσίνιον Coraes, cf. ad Pomp. 72. πολίωνα corr P. 7. μεσσήνην Solani M: Μεσήνην v. 9. τῶν om C. καὶ om F^a. 10. ἀκούσας om V^{b}F^a.

ῥαχίῳ στρατοπεδεύειν, πολὺν ἔφη περὶ τὰ θεῖα πλάνον εἶναι καὶ ἀσάφειαν, εἰ Πομπήϊον ἐν οἷς ὑγιὲς οὐδὲν οὐδὲ δίκαιον ἔπραττεν ἀήττητον γενόμενον νῦν, ὅτε τὴν πατρίδα βούλεται σώζειν καὶ τῆς ἐλευθερίας ὑπερμάχεται, προλέλοιπε τὸ εὐτυχεῖν. Ἀσίννιον μὲν οὖν ἔφη δυνατὸς εἶναι Σικελίας ἐκβαλεῖν, ἄλλης δὲ μείζονος ἐπερχομένης δυνάμεως οὐ βούλεσθαι τὴν νῆσον ἐμπολεμῶν ἀπολέσθαι, χωρεῖν δὲ πρὸς τὸ κρατοῦν καὶ σώζεσθαι παραινέσας Συρακοσίοις ἐξέπλευσεν. Ἀφικόμενος δὲ πρὸς Πομπήϊον ἀεὶ μὲν εἴχετο μιᾶς γνώμης, χρονοτριβεῖν τὸν πόλεμον ἐλπίζων διαλύσεις καὶ μὴ βουλόμενος ἐν ἀγῶνι χείρω γενομένην τὴν πόλιν αὐτὴν ὑφ' αὑτῆς παθεῖν τὰ ἔσχατα σιδήρῳ διακριθεῖσαν. Ἄλλα δὲ τούτων ἀδελφὰ Πομπήϊον ἔπεισε καὶ τοὺς συνέδρους ψηφίσασθαι, μήτε πόλιν ὑπήκοον Ῥωμαίων διαρπάζειν μήτε ἄνδρα Ῥωμαῖον ἔξω παρατάξεως ἀναιρεῖν· καὶ δόξαν ἤνεγκε καὶ προσηγάγετο πολλοὺς τῇ Πομπηΐου μερίδι τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὸ ἥμερον ἀσπασαμένους.

LIV. Ἐκπεμφθεὶς δὲ εἰς Ἀσίαν, ὡς τοῖς ἐκεῖ συνάγουσι πλοῖα καὶ στρατιὰν ὠφέλιμος γένοιτο, Σερβιλίαν ἐπηγάγετο τὴν ἀδελφὴν καὶ τὸ Λευκούλλου παιδίον ἐξ ἐκείνης γεγονός. Ἠκολούθησε γὰρ αὐτῷ χηρεύουσα καὶ πολὺ τῶν εἰς τὸ ἀκόλαστον αὐτῆς διαβολῶν ἀφεῖλεν ὑποδῦσα τὴν ὑπὸ Κάτωνι φρουρὰν καὶ πλάνην καὶ δίαιταν ἑκουσίως. Ἀλλ' ὅ γε Καῖσαρ οὐδὲ τῶν ἐπ' ἐκείνῃ βλασφημιῶν τοῦ Κάτωνος ἐφείσατο. Πρὸς μὲν οὖν τἆλλα τοῦ Κάτωνος οὐδὲν, ὡς

5, 106—8 H.

---

11. ‚legitur etiam *πολλὴν — πλανὴν*' Stephanus. sic pr. F^a *πολὴν — πλάνον* i. *εἶναι*] *ὁρῶ* C. 15. *δυνατὸν* C. 16. *ἄλλοις* C. *ὑπερχομένης* a et v. *βούλεσθαι*] *δύνασθαι* BMV^b. 17. *ἐμπολεμῶν* ego: *ἐν πολέμῳ* libri. *ἀπολέσθαι*] *ἀποθέσθαι* i, *προβαλέσθαι* BMV^b. *κρατεῖν* BMV^b. 18. *παραινέσας δὲ* i. *τοῖς* om F^a. *συρρακουσίοις* MF^a. scribebatur *Συρακουσίοις*. 20. *μὴ* om F^a. 21. *χείρω γενομένην* non intelligo. num *χειρῶν γενομένων* vel *χειρῶν γενομένην*? *ὑπ' αὐτῆς* BMV^{b}i. 24. *ῥωμαίων* A. 25. *ἃ καὶ* Schaeferus, *ὃ καὶ* Emperius. possis etiam *προσηγάγετο τοῦτο*.

LIV. 1. *συνάγουσιν ἐκεῖ* BMV^b. 3. *τὴν ἀδελφὴν* TV Amiotus Xylander x: *τὴν ἀδελφιδῆν* libri ceteri praeter a, *ἀδελφιδῆν* a et v. *λευκόλλου* PBMV^{b}ia: *λουκόλλου* A, *λουκούλλου* C, *Λευκούλλου* v. 4. *γεγονὼς* A. 5. *αὐτῆς* om P.

ἔοικεν, ἐδεήθησαν οἱ Πομπηίου στρατηγοί, Ῥοδίους δὲ πειθοῖ προσαγαγόμενος καὶ τὴν Σερβιλίαν αὐτόθι καὶ τὸ παιδίον ἀπολιπὼν ἐπανῆλθε πρὸς Πομπήϊον, ἤδη πεζικῆς τε λαμπρᾶς καὶ ναυτικῆς δυνάμεως περὶ αὐτὸν οὔσης. Ἔνθα δὴ καὶ μάλιστα τῆς γνώμης κατάφωρος ἔδοξε γεγονέναι Πομπηΐου. Ὥρμησε μὲν γὰρ ἐγχειρίσαι τῷ Κάτωνι τὴν τῶν νεῶν ἡγεμονίαν· ἦσαν δὲ πεντακοσίων μὲν οὐκ ἐλάττους αἱ μάχιμοι, λιβυρνικὰ δὲ καὶ κατασκοπικὰ καὶ ἄφρακτα παμπληθῆ· ταχὺ δὲ ἐννοήσας ἢ διδαχθεὶς ὑπὸ τῶν φίλων, ὡς ἔν ἐστι κεφάλαιον Κάτωνι πάσης πολιτείας ἐλευθερῶσαι τὴν πατρίδα, κἂν γένηται κύριος τηλικαύτης δυνάμεως, ἧς ἂν ἡμέρας καταγωνίσωνται Καίσαρα, τῆς αὐτῆς ἐκείνης ἀξιώσει καὶ Πομπήϊον τὰ ὅπλα καταθέσθαι καὶ τοῖς νόμοις ἕπεσθαι, μετέγνω, καίπερ ἤδη διειλεγμένος αὐτῷ, καὶ Βύβλον ἀπέδειξε ναύαρχον. Οὐ μὴν ᾔσθετό γε παρὰ τοῦτο τῆς προθυμίας τοῦ Κάτωνος ἀμβλυτέρας· ἀλλὰ καὶ λέγεται πρός τινα μάχην πρὸ τοῦ Δυρραχίου αὐτοῦ τε Πομπηΐου παρορμῶντος 786
τὴν δύναμιν καὶ τῶν ἄλλων ἕκαστον ἡγεμόνων εἰπεῖν τι καὶ προτρέψασθαι κελεύοντος ἀργῶς καὶ σιωπῇ τοὺς στρατιώτας ἀκούειν, Κάτωνος δὲ μετὰ πάντας ὅσα καιρὸν εἶχε τῶν ἀπὸ φιλοσοφίας ἀκούειν λεγομένων περὶ ἐλευθερίας καὶ ἀρετῆς καὶ θανάτου καὶ δόξης διελθόντος αὐτοπαθῶς καὶ τελευτῶντα τρέψαντος τὸν λόγον εἰς θεῶν ἀνάκλησιν, ὡς παρόντων καὶ ἐφορώντων τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, τηλικοῦτον ἀλαλαγμὸν γενέσθαι καὶ τοσοῦτον κίνημα τῆς στρατιᾶς ἐπαρθείσης, ὥστε πάντας ἐλπίδων μεστοὺς ἐπὶ τὸν κίνδυνον ὁρμῆσαι τοὺς ἡγεμόνας. Τρεψαμένων δὲ καὶ κρατησάντων ἀφείλετο τὴν παντελῆ νίκην ὁ Καίσαρος δαίμων τῇ Πομ-

5, 108–9 H.

---

9. *πειθοῖ* x post Amiotum (‘gaigna par remonstrances‘) Xylandrum (‚persuadendo‘): *πείθοι* i, *πείθει* v. 14. *μὲν* om CF^a. 15. *οἱ μάχιμοι* F^a. 18. *ἔν ἐστι* Stephanus: libri *ἔνεστι*, quidam *ἐν ἐστι*. *πολιτείας*] *δεσποτείας* x, mempe Amiotus: ‚que la fin et le but où tendoit Caton en toutes ses actions de gouvernement estoit de delivrer Rome de tyrannie‘, et Xylander: ‚hoc unum esse Catoni propositum, protinus omni dominatione patriam liberare‘. 21. *τοῖς νόμοις*] *τῆς γνώμης* F^a. 23. *παρὰ*] *μετὰ* M. 25. *αὐτοῦ*] *τοῦ* corrigendo removebitur hiatus. 28. *εἶχεν ἀκούειν τῶν ἀπὸ φιλοσοφίας* C. 31. *ἀνάκλισιν* F^a. 35. *κρατησάντων*] *νικησάντων* C. 36. *τοῦ πομπηίου* q, *τῇ τοῦ Πομπηΐου* Stephani F^a.

πηίου χρησάμενος εὐλαβείᾳ καὶ ἀπιστίᾳ περὶ τὸ εὐτύχημα. Ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Πομπηΐου γέγραπται. Χαιρόντων δὲ πάντων καὶ μεγαλυνόντων τὸ ἔργον ὁ Κάτων ἀπεδάκρυε τὴν πατρίδα καὶ τὴν ὀλέθριον καὶ κακοδαίμονα φιλαρχίαν ὠδύρετο πολλοὺς καὶ ἀγαθοὺς ὁρῶν πολίτας ὑπ' ἀλλήλων πεπτωκότας.

LV. Ἐπεὶ δὲ Καίσαρα διώκων Πομπήϊος εἰς Θεσσαλίαν ἀνεζεύγνυε πολλὰ καταλιπὼν περὶ Δυρράχιον ὅπλα καὶ χρήματα καὶ σώματα συγγενῆ καὶ οἰκεῖα, πάντων ἀπέδειξεν ἡγεμόνα καὶ φύλακα τὸν Κάτωνα πεντεκαίδεκα σπείρας ἔχοντα στρατιωτῶν διὰ πίστιν ἅμα καὶ φόβον τοῦ ἀνδρός. Ἡττωμένῳ μὲν γὰρ πάντων εἶναι βεβαιότατον ἐνόμιζεν, εἰ δὲ νικῴη, μὴ ἐπιτρέψειν παρόντα χρήσασθαι τοῖς πράγμασιν ὡς προῄρηται. Πολλοὶ δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἀπερρίφησαν ἐν Δυρραχίῳ μετὰ Κάτωνος. Γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης οὕτως ἔστη τοῖς λογισμοῖς ὁ Κάτων, ὡς, εἰ μὲν τεθνήκοι Πομπήϊος, εἰς Ἰταλίαν τοὺς σὺν αὐτῷ περαιώσων, αὐτὸς δὲ πορρωτάτω τῆς τυραννίδος ἐπὶ φυγῇ βιωσόμενος· εἰ δὲ σώζοιτο, πάντως ἐκείνῳ διαφυλάξων τὴν δύναμιν. Οὕτω δὴ διαβαλὼν εἰς Κέρκυραν, ὅπου τὸ ναυτικὸν ἦν, ἐξίστατο μὲν Κικέρωνι τῆς ἀρχῆς ὡς ὑπατικῷ στρατηγικός, οὐ δεξαμένου δὲ Κικέρωνος, ἀλλ' ἀπάραντος εἰς Ἰταλίαν, ἰδὼν τὸν Πομπήϊον ὑπ' αὐθαδείας καὶ φρονήματος ἀκαίρου βουλόμενον κολάζειν τοὺς ἀποπλέοντας, πρώτῳ δὲ μέλλοντα τῷ Κικέρωνι προσφέρειν τὰς χεῖρας, ἐνουθέτησεν ἰδίᾳ καὶ κατεπράϋνεν· ὥστε τὸν Κικέρωνα περισῶσαι σαφῶς ἐκ θανάτου καὶ τοῖς ἄλλοις ἄδειαν παρασχεῖν.

5, 109—10 H.

---

39. ἀπεδάκρυσε F^a.

LV. 2. καὶ χρήματα in BMV^{b}ia omissa addidit Stephanus cum [AC]PuS. 3. ἐπέδειξεν A. 5. διὰ πίστιν Bryani [A] corr B: δι' ἀπιστίαν v. 6. εἶναι πάντων C. 7. νικῶν MV^b. χρήσεσθαι MV^{b}ia. 8. προῄρηται Bryanus secundum Amiotum (‚disposer de toutes choses à sa volonté') Xylandrum (‚eo quo constituisset modo'): προείρηται libri (προείρεται ia). 12. πορρωτάτω AB: πορρωτάτω C, προσωτάτω v. τυρρηνίδος corr PF^a. 16. ἀπαίροντος Emperius. 17. τὸν Πομπήϊον] νέον excidisse suspicabatur Bryanus cl. c. 59. Cic. 39. 18. πρώτῳ [APC]Tι SVx: πρῶτον v. 19. προφέρειν B.

LVI. Τεκμαιρόμενος δὲ Πομπήϊον Μάγνον εἰς Αἴγυπτον ἢ Λιβύην διεκπεσεῖσθαι καὶ σπεύδων πρὸς ἐκεῖνον ἀνήχθη μὲν ἔχων ἅπαντας, ἔπλει δὲ πρῶτον ἀπιέναι διδοὺς καὶ ὑπολείπεσθαι τοὺς οὐ προθύμως συστρατευομένους. Ἀψάμενος δὲ Λιβύης καὶ παραπλέων ἐντυγχάνει Σέξτῳ τῷ νεωτέρῳ τῶν Πομπηΐου παίδων ἀγγέλλοντι τὴν ἐπ' Αἰγύπτου τοῦ πατρὸς τελευτήν. Πάντες μὲν οὖν βαρέως ἤνεγκαν, οὐδεὶς δὲ μετὰ Πομπήϊον ἠξίου Κάτωνος παρόντος οὐδὲ ἀκούειν ἄλλον ἡγεμόνα. Διὸ καὶ Κάτων αἰδούμενος καὶ οἰκτείρων ἄνδρας ἀγαθοὺς καὶ πίστεως δεδωκότας πεῖραν ἐπὶ ξένης ἐρήμους καὶ ἀπόρους ἀπολιπεῖν ὑπέστη τε τὴν ἀρχὴν καὶ παρῆλθεν εἰς Κυρήνην· ἐδέξαντο γὰρ ἐκεῖνον ὀλίγαις ἡμέραις ἔμπροσθεν ἀποκλείσαντες Λαβιηνόν. Ἐνταῦθα πυνθανόμενος Σκηπίωνα τὸν Πομπηΐου πενθερὸν ὑπὸ Ἰόβα τοῦ βασιλέως ἀνειλῆφθαι καὶ Οὔαρον Ἄττιον, ὃς ἦν ὑπὸ Πομπηΐου Λιβύης ἀποδεδειγμένος ἡγεμών, εἶναι σὺν αὐτοῖς μετὰ δυνάμεως, ἐξώρμησε πεζῇ χειμῶνος ὥρᾳ, πολλοὺς μὲν ὄνους ὕδωρ κομίζοντας συναγαγών, πολλὴν δὲ λείαν ἐλαύνων, 787
ἔτι δὲ ἅρματα καὶ τοὺς καλουμένους Ψύλλους ἐπαγόμενος, οἳ τά τε δήγματα τῶν θηρίων ἰῶνται τοῖς στόμασιν ἕλκοντες τὸν ἰὸν αὐτά τε τὰ θηρία κατεπᾴδοντες ἀμβλύνουσι καὶ κηλοῦσιν. Ἡμέρας δὲ συνεχῶς ἑπτὰ τῆς πορείας γενομένης πρῶτος ἡγήσατο μήτε ἵππῳ μήτε ὑποζυγίῳ χρησάμενος. Ἐδείπνει δὲ καθήμενος ἀφ' ἧς ἡμέρας τὴν κατὰ Φάρσαλον ἧττων ἔγνω· καὶ τοῦτο τῷ λοιπῷ προσέθηκε πένθει, τὸ μὴ κατακλιθῆναι πλὴν καθεύδων. Ἐν δὲ Λιβύῃ διαγαγὼν τοῦ χειμῶνος ἐξήγαγε τὴν στρατιάν· ἦσαν δὲ μυρίων ὀλίγον ἀποδέοντες.

5, 110—11 H.

LVI. 3. ἔπλει] ἐπὶ M pr. V^{b}. ἀπιέναι Reiskius: ἀπεῖναι v. 5. σέκστω B. τῶν νεωτέρων V^{b}. 6. αἰγύπτῳ AP. 7. πατρὸς] πρεσβύτερος Sua. 11. τε om B. 14. σκηπίωνα libri plerique et deinceps: Σκιπίωνα v. ὑπὸ τοῦ ἰόβα τοῦ A. 15. Ἄττιον x post Xylandrum: ἄππιον et ἄπιον libri. 21. τὸν addiderunt APCBMV^{b}F^{a}q cum Corae. 22. ἑπτὰ] iusto minor numerus videbatur Solano. 25. ἧτταν ἔγνω APC: ἔγνω ἧτταν v. 27. διαγαγὼν τοῦ χειμῶνος cl. vers. 20 non puto integra esse. in ἐξήγαγε Emperio latere videbatur ἐξήτασε. στρατείαν CBMV^{b}ia. 28. ὀλίγω APTS.

LVII. Τὰ δὲ πράγματα κακῶς εἶχε τοῖς περὶ Σκηπίωνα καὶ Οὔαρον ἐκ διαφορᾶς καὶ στάσεως ὑποδυομένοις καὶ θεραπεύουσι τὸν Ἰόβαν, οὐκ ἀνεκτὸν ὄντα βαρύτητι φρονήματος καὶ ὄγκῳ διὰ πλοῦτον καὶ δύναμιν· ὅς γε Κάτωνι πρῶτον ἐντυγχάνειν μέλλων μέσον ἔθηκε τὸν ἑαυτοῦ θρόνον τοῦ Σκηπίωνος καὶ τοῦ Κάτωνος. Ὁ μέντοι Κάτων ὡς εἶδεν, ἄρας τὸν ἑαυτοῦ μετέθηκεν ἐπὶ θάτερα μέσον λαμβάνων τὸν Σκηπίωνα, καίπερ ἐχθρὸν ὄντα καί τι καὶ βιβλίον ἐκδεδωκότα βλασφημίας ἔχον τοῦ Κάτωνος. Εἶτα τοῦτο μὲν εἰς οὐδένα τίθενται λόγον, εἰ δὲ Φιλόστρατον ἐν Σικελίᾳ μέσον εἶχε περιπατῶν ἐπὶ τιμῇ φιλοσοφίας, ἐγκαλοῦσι. Τότε δ' οὖν καὶ τὸν Ἰόβαν ἔπαυσε μονονουχὶ σατράπας πεποιημένον ἑαυτοῦ τοὺς περὶ τὸν Σκηπίωνα κἀκείνους διήλλαξεν. Ἀξιούντων δὲ πάντων ἄρχειν αὐτὸν καὶ πρῶτον τῶν περὶ Σκηπίωνα καὶ Οὔαρον ἐξισταμένων καὶ παραδιδόντων τὴν ἡγεμονίαν οὐκ ἔφη καταλύειν τοὺς νόμους, περὶ ὧν τῷ καταλύοντι πολεμοῦσιν, οὐδὲ ἑαυτὸν ἀντιστράτηγον ὄντα παρόντος ἀνθυπάτου προτάξειν. Ἀνθύπατος γὰρ ὁ Σκηπίων ἀπεδέδεικτο καὶ θάρσος εἶχον οἱ πολλοὶ διὰ τοὔνομα κατορθώσειν, ἄρχοντος ἐν Λιβύῃ Σκηπίωνος.

LVIII. Ἐπεὶ μέντοι τὴν ἀρχὴν ὁ Σκηπίων παραλαβὼν εὐθὺς ἐβούλετο Ἰόβᾳ χαριζόμενος Ἰτυκαίους ἠβηδὸν ἀποκτεῖναι καὶ κατασκάψαι τὴν πόλιν ὡς τὰ Καίσαρος φρονοῦσαν, οὐχ ὑπέμεινεν ὁ Κάτων, ἀλλὰ μαρτυρόμενος καὶ κεκραγὼς ἐν τῷ συνεδρίῳ καὶ θεοκλυτῶν μόλις ἐξείλετο τῆς ὠμότητος αὐτῶν τοὺς ἀνθρώπους· καὶ τὰ μὲν αὐτῶν δεηθέντων, τὰ δὲ τοῦ Σκηπίωνος ἀξιοῦντος ἀνεδέξατο φρουρήσειν τὴν πόλιν, ὡς μήτε ἄκουσα μήτε ἑκοῦσα Καίσαρι προσγένοιτο. Καὶ γὰρ ἦν εἰς ἅπαντα τὸ χωρίον ὠφέλιμον καὶ διαρκὲς τοῖς

5, 111—13 H.

LVII. 1. εἶλε BV^b. 2. ὑποδυομένης M. 4. γε] καὶ A. 7. μετέθηκεν APCBMV^b: θρόνον μετέθηκεν v. ἐπὶ om BM V^{b}ia. 8. καί τοι a. 9. ἔχοντα τοῦ κάτωνος MV^{b}ia, ἔχον κατὰ τοῦ κάτωνος qVx. 14. πρώτω x. τὸν περὶ F^a. 16. καταλύειν Stephanianae ceteri. 18. προτάξειν Corais corr BMV^b fueratque in P: προστάξειν v. 19. ἀποδέδεικτο B.

LVIII. 1. τὴν om M. 4. μαρτυρόμενος Corais C: μαρτυράμενος v. 7. τοῦ om C. 8. ἄκουσα μήτε ἑκοῦσα PCBM V^{b}F^a: ἑκοῦσα μήτε ἄκουσα v. 9. εἰς ἅπαντα ἦν C.

ἔχουσιν· ἔτι δὲ μᾶλλον ὑπὸ τοῦ Κάτωνος ἐρρώσθη. Καὶ γὰρ σῖτον εἰσήγαγεν ὑπερβάλλοντα πλήθει καὶ κατεσκεύαζε τὰ τείχη πύργους ἐπαιρόμενος καὶ τάφρους ὀχυρὰς καὶ χαρακώματα πρὸ τῆς πόλεως βαλλόμενος. Ἰτυκαίων δὲ τοὺς μὲν ἡβῶντας ἐν τοῖς χαρακώμασιν ἔταξεν οἰκεῖν τὰ ὅπλα παραδόντας αὐτῷ, τοὺς δὲ ἄλλους ἐν τῇ πόλει συνεῖχεν ἰσχυρῶς ἐπιμελόμενος μὴ ἀδικεῖσθαι μηδὲ πάσχειν κακῶς ὑπὸ τῶν Ῥωμαίων. Ὅπλα δὲ πολλὰ καὶ χρήματα καὶ σῖτον ἐξέπεμψε τοῖς ἐπὶ στρατοπέδου καὶ ὅλως εἶχε τοῦ πολέμου τὴν πόλιν ταμιεῖον. Ἃ δὲ Πομπηΐῳ συνεβούλευε πρότερον καὶ τότε Σκηπίωνι, μὴ μάχεσθαι πρὸς ἄνδρα πολεμιστὴν καὶ δεινόν, ἀλλὰ τῷ χρόνῳ χρῆσθαι πᾶσαν ἀκμὴν, ᾗ τυραννὶς ἰσχύει, μαραίνοντι, τούτων ὁ Σκηπίων ὑπὸ αὐθαδείας κατεφρόνει· καί ποτε τῷ Κάτωνι δειλίαν ὀνειδίζων ἔγραψεν, εἰ μὴ μόνον αὐτὸς ἀγαπᾷ καθήμενος ἐν πόλει καὶ τείχεσιν, ἀλλὰ μηδὲ ἑτέρους ἐᾷ πρὸς τὸν καιρὸν εὐθαρσῶς χρῆσθαι τοῖς λογισμοῖς. Πρὸς ταῦτα ὁ Κάτων ἀντέγραψεν, ὡς ἕτοιμός ἐστιν οὓς ἤγαγεν αὐτὸς εἰς Λιβύην ὁπλίτας καὶ ἱππεῖς παραλαβὼν εἰς Ἰταλίαν περαιοῦν καὶ Καίσαρα μεθιστάναι καὶ τρέπειν ἀπ' ἐκείνων πρὸς αὐτόν. Ὡς δὲ καὶ τούτων ὁ Σκηπίων 788
κατεγέλα, πάνυ δῆλος ἦν ἀχθόμενος ὁ Κάτων τῇ παραχωρήσει τῆς ἀρχῆς, ὡς οὔτε τῷ πολέμῳ καλῶς τὸν Σκηπίωνα χρησόμενον οὔτε ἂν παραλόγως εὐτυχήσῃ μέτριον ἐν τῷ κρατεῖν πρὸς τοὺς πολίτας ἐσόμενον. Διὸ καὶ γνώμην εἶχεν ὁ Κάτων καὶ πρὸς τοὺς συνήθεις ἔλεγεν, οὐ χρηστὰς μὲν ἐλπίδας ἔχειν ὑπὲρ τοῦ πολέμου διὰ ἀπειρίαν καὶ θρασύτητα τῶν ἡγεμόνων, εἰ δ' οὖν εὐτυχία τις γένοιτο καὶ καταλυθείη Καῖσαρ, οὐ μενεῖν ἐν Ῥώμῃ, φεύξεσθαι δὲ τὴν χαλεπότητα καὶ πικρίαν τοῦ Σκηπίωνος ἤδη τότε δεινὰς καὶ ὑπερηφάνους ποιουμένου κατὰ πολλῶν ἀπειλάς. Ἀπέβη δὲ μᾶλλον ἢ προσεδόκα· καὶ περὶ ἑσπέραν βαθεῖαν ἥκέ τις ἀπὸ στρατοπέδου

5, 113—14 H.

11. κατεσκεύαζε Coraes: κατεσκεύασε libri. 15. τῇ πόλει] τοῖς ὅπλοις C. 17. σῖτον καὶ χρήματα PMV^{b}. 18. ἐπὶ τοῦ CB MV^{b}. ἔσχε PV^{b}F^{a}. τοῦ πολέμου om F^{a}. 21. ᾗ Bryanus: ᾗ (sic) V^{b}, ἣν v. 23. μόνος x. 29. πρὸς] ὡς C. 30. ἀχθόμενος Corais corr PCBMV^{b}: καὶ ἀχθόμενος v. 34. ἔχειν ἐλπίδας B. 35. ὑπὸ MV^{b} et B, qui in marg. ὑπὲρ. 37. μενεῖν Stephani T corr B[CMV^{b}]: legebatur μένειν. 38. καὶ κατὰ πολλῶν ὑπερηφάνους ποιουμένου BMV^{b}. 40. περὶ] πρὸς BMV^{b}.

τριταῖος ἀγγέλλων, ὅτι μάχης μεγάλης πρὸς Θάψῳ γενομένης διέφθαρται παντάπασι τὰ πράγματα καὶ κρατεῖ Καῖσαρ τῶν στρατοπέδων, Σκηπίων δὲ καὶ Ἰόβας σὺν ὀλίγοις ἐκπεφεύγασιν, ἡ δὲ ἄλλη δύναμις ἀπόλωλε.

LIX. Τούτων προσπεσόντων ἡ μὲν πόλις, οἷον εἰκὸς ἐν νυκτὶ καὶ πολέμῳ, πρὸς τοιοῦτον ἄγγελμα μικροῦ δεῖν ἔκφρων γενομένη μόλις ἑαυτὴν ἐντὸς τειχῶν κατεῖχεν, ὁ δὲ Κάτων προελθὼν τότε μὲν, ὡς ἑκάστοις ἀπήντα διαθέουσι καὶ βοῶσιν, ἐπιλαμβανόμενος καὶ παραμυθούμενος ἀφῆρει τοῦ δέους τὸ περιθαμβὲς καὶ ταραχῶδες, ὡς οὐ τηλικούτων ἴσως γεγονότων, ἀλλὰ ἐπὶ μεῖζον αἰρομένων τῷ λόγῳ, καὶ κατέστησε τὸν θόρυβον· ἅμα δ' ἡμέρᾳ τοὺς τριακοσίους, οἷς ἐχρῆτο βουλῇ, Ῥωμαίους μὲν ὄντας, ἐν δὲ Λιβύῃ πραγματευομένους ἀπὸ ἐμπορίας καὶ δανεισμῶν, εἰς ἱερὸν Διὸς ἐκήρυττε συνιέναι καὶ ὅσοι παρῆσαν ἀπὸ συγκλήτου καὶ παῖδας αὐτῶν. Ἔτι δὲ συλλεγομένων ἐκείνων προσελθὼν ἀθορύβως καὶ μετὰ εὐσταθείας, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, βιβλίον ἔχων ἐν ταῖς χερσὶν ἀνεγίνωσκεν. Ἦν δὲ ἀναγραφὴ τῶν πρὸς τὸν πόλεμον ὀργάνων, ὅπλων, σίτου, τόξων, ὁπλιτῶν. Ἐπεὶ δὲ συνῆλθον, ἀρξάμενος ἀπὸ τῶν τριακοσίων καὶ διελθὼν πολὺν ἔπαινον τῆς προθυμίας αὐτῶν καὶ τῆς πίστεως, ἣν ἐπεδείξαντο καὶ χρήμασι καὶ σώμασι καὶ βουλαῖς ὠφελιμώτατοι γενόμενοι, παρεκάλει μὴ διαλυθῆναι ταῖς ἐλπίσιν ἕκαστον αὐτῶν φυγὴν ἰδίαν ἢ ἀπόδρασίν τινα ποριζόμενον. Ἂν γὰρ ἐν ταὐτῷ συμμένωσι, καὶ πολεμούντων ἧττον καταφρονήσειν Καίσαρα καὶ φείσεσθαι μᾶλλον δεομένων. Βουλεύεσθαι δ' ἐκέλευεν αὐτοὺς ὑπὲρ αὑτῶν, οὐδέτερα μεμψόμενος, ἀλλ' εἰ μὲν τρέποιντο τῇ γνώμῃ πρὸς τὴν τύχην, τῆς ἀνάγκης θησόμενος τὴν μεταβολήν· ἰσταμέ-

5, 114—15 H.

41. μεγάλης om B. 43. σὺν ὀλίγοις om B.

LIX. 2. πρὸς om F^a. 3. ἐντὸς τειχῶν om F^a. 4. προελθὼν [ACBM] corr P corr V^bSuTV: προελθὼν v. 9. οἷς] οὓς F^a. 11. εἰσιέναι M, συνελθεῖν marg. P. 15. τὸν om F^a. 16. ὁπλιτῶν ineptum est. πελτῶν malebat Coraes. vide ne ὅπλων quod praecedit huc pertineat peperitque loco non suo positum perversum istud ὁπλιτῶν. συνῆλθεν PB$V^b$$F^a$. 20. αὐτῷ Reiskius. 21. πολεμούντων] πολεμοῦσιν corr C. 23. ἐκέλευσεν F^aV. 24. μεμψόμενος Solanus: μεμψάμενος libri, ὡς οὐδέτερα μεμψόμενος Coraes. τὴν γνώμην BMV^b.

νων δὲ πρὸς τὰ δεινὰ καὶ δεχομένων τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, οὐκ ἐπαινεσόμενος μόνον, ἀλλὰ καὶ θαυμασόμενος τὴν ἀρετὴν καὶ παρέξων ἑαυτὸν ἄρχοντα καὶ συναγωνιζόμενον, ἄχρι οὗ τὴν ἐσχάτην τύχην τῆς πατρίδος ἐξελέγξωσιν, ἣν οὐχὶ Ἰτύκην οὐδὲ Ἀδρούμητον οὖσαν, ἀλλὰ Ῥώμην, πολλάκις ἐκ χαλεπωτέρων σφαλμάτων ὑπὸ μεγέθους ἀναφέρεσθαι. Πολλῶν δ' αὐτοῖς εἰς σωτηρίαν καὶ ἀσφάλειαν ὑποκειμένων καὶ μεγίστου πρὸς ἄνδρα πολεμεῖν ἐπὶ πολλὰ τοῖς καιροῖς ἀνθελκόμενον, Ἰβηρίας τε πρὸς Πομπήϊον ἀφεστώσης τὸν νέον αὐτῆς τε τῆς Ῥώμης οὔπω δι' ἀήθειαν παντάπασι δεδεγμένης τὸν χαλινὸν, ἀλλ' ἀναξιοπαθούσης καὶ συνεξανισταμένης πρὸς πᾶσαν μεταβολὴν, οὐδὲ τὸν κίνδυνον εἶναι φευκτέον, ἀλλὰ ἔχειν διδάσκαλον τὸν πολέμιον ἀφειδοῦντα τῆς ψυχῆς ἐπὶ ταῖς μεγίσταις ἀδικίαις, οὐχ ὥσπερ ἑαυτοῖς εἰς τὸν εὐτυχέστατον βίον κατορθοῦσιν ἢ πταίουσιν εἰς τὸν εὐκλεέστατον θάνατον τὴν ἀδηλότητα τοῦ πολέμου τελευτῶν. Οὐ μὴν ἀλλ' ἐκείνους γε δεῖν ἔφη βουλεύεσθαι καθ' ἑαυτοὺς 789
συνευχόμενος ἀντὶ τῆς πρόσθεν ἀρετῆς καὶ προθυμίας αὐτοῖς τὰ δόξαντα συνενεγκεῖν.

LX. Τοιαῦτα τοῦ Κάτωνος εἰπόντος, ἦσαν μὲν οἱ καὶ τοῖς λόγοις ἀγόμενοι πρὸς τὸ θαῤῥεῖν, οἱ δὲ πλεῖστοι πρὸς τὸ ἀδεὲς καὶ γενναῖον αὐτοῦ καὶ φιλάνθρωπον ὀλίγου δεῖν ἐκλαθόμενοι τῶν παρόντων, ὡς μόνον ὄντα τοῦτον ἀήττητον ἡγεμόνα καὶ πάσης κρείττονα τύχης, ἐδέοντο χρῆσθαι καὶ σώμασιν αὐτῶν καὶ χρήμασι καὶ ὅπλοις, ὅπως αὐτὸς ἔγνωκε· κρεῖττον γὰρ ἐκείνῳ πειθομένους ἀποθανεῖν ἢ σώζεσθαι προδόντας ἀρετὴν τοσαύτην. Εἰπόντος δέ τινος, ὡς χρὴ ψηφίσασθαι δούλοις ἐλευθερίαν, καὶ τῶν πλείστων συνεπαι-

5, 115—17 H.

---

26. ὑπὲρ] περὶ F^a. 29. ἄχρι pr. APia: ἄχρις v. τύχην om BMV^b. 30. οὐχιοπκην V^b. scribendum puto οὐκ Ἰτύκην, item Coraes. ἀδρούμιτον PCBF^a, ἀδρόμητον V. 33. μεγίστου τοῦ Reiskii ceteri, sed cf. ad Philopoem. 3, 10. adde Demosthenis Philipp. 2, 3 p. 66 R. 35. ἀλήθειαν F^aV. 38. τὸν πολέμιον διδάσκαλον C. 39. μεγάλαις BMV^{b}F^a. 43. συνευχόμενος Reiskius: συνευχομένους libri.

LX. 1. ταῦτα C. 2. πλεῖστοι πρὸς τὸ ἀδεὲς καὶ πλεῖστον αὐτοῦ καὶ γενναῖον καὶ BMV^b. 8. προδιδόντας M.

νεσάντων, οὐκ ἔφη τοῦτο ποιήσειν ὁ Κάτων· οὐ γὰρ εἶναι νόμιμον οὐδὲ δίκαιον, αὐτῶν μέντοι τῶν δεσποτῶν ἀφιέντων, τοὺς ἐν ἡλικίᾳ δέχεσθαι. Γενομένων δὲ πολλῶν ὑποσχέσεων κελεύσας ἀπογράφεσθαι τὸν βουλόμενον ἀπηλλάττετο. Καὶ μετὰ μικρὸν ἦκεν αὐτῷ γράμματα παρὰ Ἰόβα καὶ Σκηπίωνος, Ἰόβα μὲν ἐν ὄρει κεκρυμμένου μετ' ὀλίγων ἐρωτῶντος, ὅ τι πράττειν δέδοκται τῷ Κάτωνι· καὶ γὰρ περιμένειν Ἰτύκην ἐκλιπόντα καὶ πολιορκουμένῳ μετὰ στρατιᾶς ἐπιβοηθήσειν, Σκηπίωνος δὲ πρὸς ἄκρᾳ τινὶ ναυλοχοῦντος οὐ πόρρω τῆς Ἰτύκης ἐπὶ τοῖς αὐτοῖς παραδοκοῦντος.

LXI. Ἔδοξεν οὖν τῷ Κάτωνι τοὺς γραμματοφόρους ἐπισχεῖν, ἄχρι οὗ βεβαιώσῃ τὰ παρὰ τῶν τριακοσίων. Οἱ μὲν γὰρ ἀπὸ βουλῆς ἦσαν πρόθυμοι καὶ τοὺς οἰκέτας εὐθὺς ἀφιέντες ἐλευθέρους ὥπλιζον. Τῶν δὲ τριακοσίων, ἅτε δὴ πλωτικῶν καὶ δανειστικῶν ἀνθρώπων καὶ τὸ πλεῖστον ἐν τοῖς οἰκέταις τῆς οὐσίας ἐχόντων, οὐ πολὺν οἱ Κάτωνος λόγοι χρόνον ἐμμείναντες ἐξερρύησαν, καθάπερ τῶν σωμάτων τὰ μάνα δέχεται ῥᾳδίως τὴν θερμότητα καὶ πάλιν μεθίησι τοῦ πυρὸς ἁπαχθέντος ψυχούμενα, παραπλησίως ἐκείνους ὁ μὲν Κάτων ὁρώμενος ἀνεζωπύρει καὶ διεθέρμαινεν, αὐτοὺς δὲ ἑαυτοῖς λόγον διδόντας ὁ Καίσαρος φόβος ἐξέκρουσε τῆς πρὸς Κάτωνα καὶ τὸ καλὸν αἰδοῦς. „Τίνες γὰρ" ἔφασαν „ὄντες, καὶ τίνι τὸ προστασσόμενον ποιεῖν ἀπαξιοῦμεν; Οὐχὶ Καῖσαρ μὲν οὗτος, εἰς ὃν ἡ Ῥωμαίων ἅπασα περιέστηκεν ἰσχύς; ἡμῶν δὲ Σκηπίων οὐδεὶς οὐδὲ Πομπήϊος οὐδὲ Κάτων. Ἀλλὰ ἐν οἷς καιροῖς πάντες ἄνθρωποι ταπεινότερα τῶν προσ-

5, 117—18 H.

10. ποιῆσαι BMV^b. 15. μετ' ὀλίγων om ia. ὀλίγον V^b. 16. περιμενεῖν Coraes.

LXI. 1. γραμματηφόρους P corr F^a. 2. ἄχρι pr. APia: ἀχρις v. βεβαιώσει CB. 4. ἐλευθέρους om C. 5. δανειστῶν corr. στικῶν P, δανειστῶν CBV^b. 7. προσμείναντες pr. PCBMV^b, προσεμείναντες F^a. καθάπερ οὖν C. si opus particula malim γὰρ cum Solano. 8. τὰ μάνα δέχεται ego secundum τὰ μάνα ἀναδέχεται Iacobsii add. ad Achill. Tat. p. 482 b: τὰ μὲν ἀναδέχεται libri. μεθίστησι BMV^{b}ia. 9. ψυχούμενα APCV^{b}STuV: τυχούμενα i, ψυχόμενα corr. B et v. ἐκείνοις F^a. 10. ἀνεθέρμαινεν C. 12. τὸν κάτωνα CF^a. 13. καὶ deleam cum Schaefero. 14. εἰς ὃν οὗτος MV^b. 15. δὲ om CBMV^b. 16. πάντες οἱ BMV^b.

ηκόντων διὰ φόβον φρονοῦσιν, ἐν τούτοις ἡμεῖς ὑπερμαχοῦντες τῆς Ῥωμαίων ἐλευθερίας πολεμοῦμεν ἐξ Ἰτύκης ᾧ Κάτων μετὰ Πομπηΐου Μάγνου φεύγων ὑφεῖτο τῆς Ἰταλίας· καὶ δούλους ἐλευθεροῦμεν κατὰ Καίσαρος, οἷς αὐτοῖς ἐλευθερίας, ὅσον ἂν ἐκεῖνος θέλῃ, μέτεστιν; Ἀλλ' ἔτι νῦν, ὦ μοχθηροί, γνόντες ἑαυτοὺς παραιτώμεθα τὸν κρατοῦντα καὶ πέμψωμεν τοὺς δεησομένους." Ταῦτα οἱ μετριώτατοι τῶν τριακοσίων παρῄνουν· οἱ δὲ πλεῖστοι τοῖς συγκλητικοῖς ἐπεβούλευον, ὡς, εἰ τούτους συλλάβοιεν, ἱλασόμενοι τὴν πρὸς αὐτοὺς ὀργὴν τοῦ Καίσαρος.

LXII. Ὁ δὲ Κάτων ὑπονοῶν τὴν μεταβολὴν οὐκ ἤλεγχε. Τῷ μέντοι Σκηπίωνι καὶ τῷ Ἰόβᾳ γράψας ἀπέχεσθαι τῆς Ἰτύκης ἀπιστίᾳ τῶν τριακοσίων ἐξέπεμψε τοὺς γραμματοφόρους. Τῶν δὲ ἱππέων οἱ διαφυγόντες ἀπὸ τῆς μάχης, ἀριθμὸς οὐκ εὐκαταφρόνητος, προσελάσαντες τῇ Ἰτύκῃ πέμπουσι πρὸς τὸν Κάτωνα τρεῖς ἄνδρας οὐ τὴν αὐτὴν γνώμην ἀπὸ πάντων ἔχοντας. Οἱ μὲν γὰρ ἀπιέναι πρὸς Ἰόβαν, οἱ δὲ τῷ Κάτωνι προσχωρεῖν ὥρμηντο, τοὺς δὲ καὶ δέος εἶχεν εἰς Ἰτύκην παριέναι. Ταῦτα ὁ Κάτων ἀκούσας τοῖς μὲν τριακοσίοις ἐκέλευσε προσέχειν Μάρκον Ῥούβριον ἀτρέμα τὰς ἀπογραφὰς 790
τῶν ἐλευθερούντων δεχόμενον καὶ μὴ προσβιαζόμενον· αὐτὸς δὲ τοὺς συγκλητικοὺς ἀναλαβὼν προῆλθεν ἔξω τῆς Ἰτύκης καὶ τοῖς ἱππάρχοις ἐνέτυχε δεύμενος μὴ προέσθαι Ῥωμαίων ἄνδρας ἀπὸ βουλῆς τοσούτους μηδὲ Ἰόβαν ἑλέσθαι στρατηγὸν ἀντὶ Κάτωνος, ἀλλὰ σώζεσθαι κοινῇ καὶ σώζειν παρελθόντας εἰς πόλιν οὔτε κατάκρας ἁλώσιμον εἰς ἔτη τε πάμπολλα σῖτον καὶ τὴν ἄλλην παρασκευὴν ἔχουσαν. Ταῦτα δὲ καὶ τῶν συγκλητικῶν δεομένων καὶ δακρυόντων οἱ μὲν ἵππαρχοι διελέγοντο τοῖς ἱππεῦσιν, ὁ δὲ Κάτων ἐπὶ χώματός

5, 118—19 H.

19. μετὰ] κατὰ MV^{b}F^{a}. ὑφεῖναι Coraes. 21. ἐκεῖνος om C. 24. παρῄνουν] hinc usque ad βουλεύσεσθαι c. 63 scripsit al. m. P folio inserto.

LXII. 3. γραμματηφόρους corr F^{a}. 4. ἀπὸ] ἐκ C. 7. ἀπεῖναι CBMV^{b}F^{a}. 8. ὥρμησαν corr. V^{b}. 9. τοὺς μὲν τριακοσίους CBV^{b}F^{a}V. 10. ἐκέλευε CF^{a}. ῥούβριον BMV^{b}. 13. ἐπάρχοις F^{a}. 16. malim κατὰ κράτος. εἰς ἔτη] εἰσέτι M pr. V^{b}B. τε Reiskii BMV^{b}: δὲ F^{a} a et v, om APC. 19. διελέγοντο corr. F^{a}x secundum Amiotum Xylandrum (‚communicavere cum equitibus'): διηλέγχοντο libri.

τινος καθίσας μετὰ τῶν συγκλητικῶν ἀνέμεινε τὰς ἀπο- 20
κρίσεις.

LXIII. Ἐν δὲ τούτῳ παρῆν ὁ Ῥούβριος σὺν ὀργῇ κατηγορῶν τῶν τριακοσίων ἀκοσμίαν πολλὴν καὶ θόρυβον, ὡς ἀφισταμένων καὶ διαταραττόντων τὴν πόλιν. Ἐφ' οἷς οἱ μὲν ἄλλοι παντάπασιν ἀπογνόντες ἑαυτῶν εἰς δάκρυα καὶ ὀδυρμοὺς ἐξέπεσον, ὁ δὲ Κάτων ἐκείνους τε θαρσύνειν ἐπει- 5
ρᾶτο καὶ πρὸς τοὺς τριακοσίους ἔπεμψεν ἀναμεῖναι κελεύων. Οἱ δὲ ἀπὸ τῶν ἱππέων ἦκον οὐ μέτρια προστάττοντες· ἔφασαν γὰρ οὔτε Ἰόβα δεῖσθαι μισθοδοτοῦντος οὔτε Καίσαρα φοβεῖσθαι Κάτωνος αὐτῶν ἄρχοντος, Ἰτυκαίοις δὲ, Φοίνιξιν ἀνθρώποις εὐμεταβόλοις, συγκαθειργνυσθαι δεινὸν εἶναι· 10
καὶ γὰρ εἰ νῦν ἀτρεμοῦσιν, ὅταν Καῖσαρ ἐπίῃ, συνεπιθήσεσθαι καὶ προδώσειν. Εἴπερ οὖν δεῖταί τις αὐτῶν συμπολεμούντων καὶ συμπαρόντων, ἐκβαλὼν ἅπαντας Ἰτυκαίους ἢ διαφθείρας, οὕτως εἰς πόλιν καθαρὰν πολεμίων καὶ βαρβάρων καλείτω. Ταῦτα ὁ Κάτων ἄγρια μὲν δεινῶς ἡγεῖτο καὶ 15
βάρβαρα, πρᾴως δὲ ἀπεκρίνατο βουλεύσεσθαι μετὰ τῶν τριακοσίων. Καὶ παρελθὼν αὖθις εἰς τὴν πόλιν ἐνετύγχανε τοῖς ἀνδράσιν οὐκέτι σκήψεις οὐδὲ παραγωγὰς πλασσομένοις ὑπ' αἰδοῦς πρὸς αὐτὸν, ἀντικρυς δὲ χαλεπαίνουσιν, εἴ τις αὐτοὺς βιάζοιτο πολεμεῖν Καίσαρι μὴ δυναμένους μηδὲ βου- 20
λομένους. Ἔνιοι δὲ καὶ παρεφθέγγοντο περὶ τῶν συγκλητικῶν, ὡς καθεκτέον ἐν τῇ πόλει, Καίσαρος παρόντος. Ἀλλὰ τοῦτο μὲν ὡς οὐκ ἀκούσας ὁ Κάτων παρῆκε· καὶ γὰρ ἦν ὑποκωφότερος· ὡς δέ τις αὐτῷ προσελθὼν ἀπήγγειλε τοὺς μὲν ἱππεῖς ἀπιέναι, φοβηθεὶς, μὴ παντάπασιν οἱ τριακόσιοι 25
κατὰ τῶν συγκλητικῶν ἀπονοηθῶσιν, ἐβάδιζε μετὰ τῶν
5, 119—20 H.

---

20. *τινος καθίσας*] προσκαθίσας BMV^{b}. *ἀνέμενε* C.

LXIII. 1. *ῥούβιος* MV^{b}. 5. *θαῤῥύνειν* CBMV^{b}F^{a}. 8. *μισθοδοτοῦντος* uV: *μισθολογοῦντος* APCBMV^{b}F^{a} et v, *μισθολογοῦντες* TSia. 11. *συνθήσεσθαι* C. 13. *καὶ συμπαρόντων* om M, *καὶ συμβαλλόντων* BV^{b}. 16. *βουλεύσεσθαι* Stephanus: *βουλεύσασθαι* libri. 17. *εἰς*] *πρὸς* BMV^{b}F^{a}. 18. *ἔτι σκήψεις* Reiskius: *ἐπισκήψεις* libri. 22. *παρόντος*] *ὄντος* libri praeter [CB] corr Pa. neutrum verum puto saltem *προσιόντος* desiderans cl. vers. 13. 24. *αὐτῶν* libri praeter a. *προσελθὼν* om M. *παρήγγειλε* MV^{b}. 26. *τῶν* om MV^{b}F^{a}.

φίλων ἐξαναστάς· καὶ θεασάμενος ἤδη προκεχωρηκότας ἵππον λαβὼν ἐδίωκε πρὸς αὐτούς. Οἱ δὲ ἰδόντες ἄσμενοι προσελαύνοντα καὶ ἐδέξαντο καὶ παρεκάλουν σώζεσθαι μετ' αὐτῶν. Τότε καὶ δακρῦσαι τὸν Κάτωνα φασὶν ὑπὲρ τῶν συγκλητικῶν δεόμενον καὶ προτείνοντα τὰς χεῖρας, ἐνίων δὲ καὶ τοὺς ἵππους ἀναστρέφοντα καὶ τῶν ὅπλων ἀντιλαμβανόμενον, μέχρι οὗ κατειργάσατο τὴν γοῦν ἡμέραν ἐκείνην ἐπιμείναντας ἀσφαλῆ τοῖς ἀνδράσι φυγὴν παρασχεῖν.

LXIV. Ὡς οὖν ἔχων αὐτοὺς ἀφίκετο καὶ τοὺς μὲν ἐπὶ τὰς πύλας κατέστησε, τοῖς δὲ τὴν ἄκραν φυλάττειν παρέδωκεν, ἔδεισαν οἱ τριακόσιοι, μὴ δίκην δῶσι τῆς μεταβολῆς· καὶ πρὸς τὸν Κάτωνα πέμποντες ἐδέοντο πάντως ἀφικέσθαι πρὸς αὐτούς. Οἱ δὲ συγκλητικοὶ περιχυθέντες οὐκ εἴων οὐδὲ ἔφασαν προήσεσθαι τὸν κηδεμόνα καὶ σωτῆρα τοῖς ἀπίστοις καὶ προδόταις. Σαφεστάτη γὰρ, ὡς ἔοικεν, αἴσθησις τότε παρέστη καὶ πόθος καὶ θαῦμα τῆς τοῦ Κάτωνος ἀρετῆς πᾶσιν ὁμαλῶς τοῖς ἐν τῇ Ἰτύκῃ γενομένοις, ὡς οὐδὲν ἄρα κίβδηλον οὐδὲ ἀπατηλὸν ἐμέμικτο τοῖς πραττομένοις ὑπ' αὐτοῦ. Πάλαι δὲ ἄνθρωπος ἑαυτὸν ἐγνωκὼς ἀνελεῖν δεινοὺς πόνους ἐπόνει καὶ φροντίδας καὶ ὠδῖνας εἶχεν ὑπὲρ ἄλλων, ὅπως εἰς ἀσφαλὲς καταστήσας ἅπαντας ἀπαλλάξαιτο τοῦ ζῆν. Οὐ γὰρ ἦν ἄδηλος ἡ πρὸς τὸν θάνατον αὐτοῦ φορὰ, 791 καίπερ οὐ φάσκοντος. Ὑπήκουσεν οὖν τότε τοῖς τριακοσίοις

5, 120—21 H.

---

27. ἀναστὰς BMV^b. προσκεχωρηκότας B. 28. προσελαύνοντα ἄσμενοι C. 29. καὶ ante ἐδέξαντο om F^a. μετ' αὐτῶν] ‚legitur etiam πρὸς αὐτὸν' Stephanus V. 30. φησιν MV^b. 32. ἀντιβάνων al. m. λαμβανομενον P, ἀντιλαμβάνοντα MV^b. μέχρι pr. APBV^{b}ia: μέχρις v. 34. φυγὴν] φρουρὰν C et F^a, φρουρὰν corr PMV^b ‚exemplaria quaedam' Stephani.

LXIV. 4. πάντες CBMV^b. 8. θαυμαστῆς τοῦ ACB. 10. οὐδὲ Corais C corr P: οὔτε v. πρασσομένοις BV^b. 11. ἄνθρωπος] cf. ad Pomp. 61. 14. οὐ γὰρ ἦν praeter ceteros libros ‚vet. exempl.' Stephani uS: καὶ γὰρ ἦν F^a a et v. 15. καίπερ οὐ φάσκοντος x: καίπερ οὐ πάσχοντος v, καίπερ πάσχοντος corr PC, καὶ περιπάσχοντος i. illam scripturam recepi cum nuperis, non quod veram esse confiderem, sed ne omni locus intellectu careret. fortasse aliquid excidit. Amiotus: ‚car il estoit aisé à voir qu'il avoit resolu de mourir, encore qu'il n'en monstrast au dehors aucuns signes de coeur dolent et affligé.' scribam ὑπήκουσε δ' οὖν.

παραμυθησάμενος τοὺς συγκλητικούς· καὶ μόνος ἦκε πρὸς αὐτοὺς χάριν ἔχειν ὁμολογοῦντας καὶ δεομένους τὰ μὲν ἄλλα χρῆσθαι καὶ πιστεύειν, εἰ δὲ Κάτωνες οὐκ εἰσὶν οὐδὲ τὸ Κάτωνος φρόνημα χωροῦσιν, οἰκτείρειν τὴν ἀσθένειαν αὐτῶν· ἐγνωκότες δ' οὖν Καίσαρος δεῖσθαι καὶ πέμπειν πρὸς αὐτὸν ὑπὲρ ἐκείνου μάλιστα καὶ πρώτου ποιήσεσθαι δέησιν· εἰ δὲ μὴ πείθοιεν, οὐδ' αὐτοῖς διδομένην δέξεσθαι τὴν χάριν, ἀλλ' ἄχρι ἂν ἐμπνέωσι πολεμήσειν ὑπὲρ ἐκείνου. Πρὸς ταῦτα ὁ Κάτων ἐπαινέσας τὴν εὔνοιαν ἔφη χρῆναι τῆς αὐτῶν σωτηρίας ἕνεκα πέμπειν κατὰ τάχος, ὑπὲρ αὐτοῦ δὲ μὴ δεῖσθαι· κεκρατημένων γὰρ εἶναι δέησιν καὶ ἀδικούντων παραίτησιν· αὐτὸς δὲ οὐ μόνον ἀήττητος γεγονέναι παρὰ πάντα τὸν βίον, ἀλλὰ καὶ νικᾶν ἐφ' ὅσον ἐβούλετο καὶ κρατεῖν Καίσαρος τοῖς καλοῖς καὶ δικαίοις· ἐκεῖνον δ' εἶναι τὸν ἑαλωκότα καὶ νενικημένον· ἃ γὰρ ἠρνεῖτο πράττων κατὰ τῆς πατρίδος πάλαι, νῦν ἐξηλέγχθαι καὶ πεφωρᾶσθαι.

LXV. Τοιαῦτα διαλεχθεὶς τοῖς τριακοσίοις ἀπηλλάττετο· καὶ πυθόμενος Καίσαρα πᾶσαν ἄγοντα τὴν στρατιὰν ἤδη καθ' ὁδὸν εἶναι „Παπαὶ" εἶπεν „ὡς ἐπ' ἄνδρας ἡμᾶς ἐκεῖνος." Καὶ τραπόμενος πρὸς τοὺς συγκλητικοὺς ἐκέλευε μὴ μέλλειν, ἀλλ' ἕως παραμένουσιν οἱ ἱππεῖς σώζεσθαι. Καὶ τὰς μὲν ἄλλας ἀπέκλεισε θύρας, μιᾷ δὲ τῇ πρὸς θάλασσαν φερούσῃ τά τε πλοῖα τοῖς ὑφ' ἑαυτὸν διένειμε καὶ τάξεως ἐπεμελεῖτο παύων τὰς ἀδικίας καὶ διαλύων τοὺς θορύβους καὶ τοὺς ἀπόρως ἔχοντας ἐφοδιάζων. Ἐπεὶ δὲ Μάρκος

5, 122 H.

---

18. χρῆσθαι] χρὴ F^a. 20. ἐγνωκότας Coraes. 21. ποιήσεσθαι — δέξεσθαι Coraes, prius cum C: ποιήσασθαι — δέξασθαι v. 22. δεδομένην C. τὴν om ia. 23. ἄχρι pr. APBia: ἄχρις v. πνέωσι BMV^b. 29. ‚post καλοῖς in quibusdam exempl. scriptum est τὸν βίον' Stephanus. 30. ἤρειτο marg. $PCMV^b$ pr. F^a. πράττειν C. 31. πάλιν $PCMV^bF^a$. ἐξελελέγχθαι B. ἐξηλέχθαι F^a.

LXV. 1. τοιαῦτα $PCBV^bF^a$: ταῦτα v. δὲ λεχθεὶς V^b. 2. στρατείαν $CBMV^bF^a$. 4. πεμπόμενος B, πεμπόμενος V^b. μέλλειν al. m. 5. ἀμέλειν P. 7. φερούσῃ] ἐχρῆτο πρὸς ἔξοδον addit C, quae coarguit hiatus. fortasse ante μιᾷ excidit praepositio. 9. τοὺς ante ἀπόρως om C.

Ὀκτάβιος ἄγων δύο τάγματα πλησίον κατεστρατοπέδευσε καὶ πέμπων ἠξίου τὸν Κάτωνα περὶ ἀρχῆς διορίσασθαι πρὸς αὐτὸν, ἐκείνῳ μὲν οὐθὲν ἀπεκρίνατο, πρὸς δὲ τοὺς φίλους εἶπεν „Εἶτα θαυμάζομεν, ὅπως ἀπόλωλε τὰ πράγματα, τὴν φιλαρχίαν ὁρῶντες ἡμῖν ἐν αὐτῷ τῷ ὀλέθρῳ βεβηκόσι παραμένουσαν;“ Ἐν τούτῳ δὲ τοὺς ἱππεῖς ἀκούσας ἀπιόντας ἤδη φέρειν καὶ ἄγειν τὰ τῶν Ἰτυκαίων ὥσπερ λάφυρα δρόμῳ συνέτεινε πρὸς αὐτοὺς καὶ τοῖς πρώτοις ἐντυχὼν ἀφῃρεῖτο, τῶν δὲ ἄλλων ἕκαστος ἔφθανε ῥίπτων καὶ κατατιθέμενος, πάντες δὲ ὑπ' αἰσχύνης σιωπῇ καὶ κάτω βλέποντες ἀπῄεσαν. Ὁ δὲ Κάτων εἰς τὴν πόλιν τοὺς Ἰτυκαίους συναγαγὼν ἐδεῖτο περὶ τῶν τριακοσίων, μὴ παροξῦναι Καίσαρα κατ' αὐτῶν, ἀλλὰ καὶ κοινῇ τὴν σωτηρίαν πράττειν ἀλλήλοις. Εἶτα πάλιν τραπόμενος πρὸς τὴν θάλατταν ἐπεσκόπει τοὺς ἐμβαίνοντας καὶ τῶν φίλων καὶ ξένων ὅσους ἔπεισεν ἠσπάζετο καὶ προὔπεμπε. Τὸν δὲ υἱὸν οὐκ ἔπεισε λαβεῖν πλοῖον οὐδὲ ᾤετο δεῖν ἀποτρέπειν περιεχόμενον τοῦ πατρός. Ἦν δέ τις Στατύλλιος, ἀνὴρ τῇ μὲν ἡλικίᾳ νέος, ἰσχυρὸς δὲ τῇ γνώμῃ βουλόμενος εἶναι καὶ τοῦ Κάτωνος ἀπομιμεῖσθαι τὴν ἀπάθειαν. Τοῦτον ἠξίου πλεῖν· καὶ γὰρ ἦν καταφανὴς μισοκαῖσαρ· ὡς δὲ οὐκ ἤθελεν, Ἀπολλωνίδῃ τῷ Στωϊκῷ καὶ Δημητρίῳ τῷ Περιπατητικῷ προσβλέψας ὁ Κάτων „Ὑμέτερον“ εἶπεν „ἔργον οἰδοῦντα τοῦτον μαλάξαι καὶ καταρτίσαι πρὸς τὸ συμφέρον.“ Αὐτὸς δὲ τοὺς λοιποὺς συνεκπέμπων καὶ χρηματίζων τοῖς δεομένοις τήν τε νύκτα διέτριβε περὶ ταῦτα καὶ τῆς ἐπιούσης ἡμέρας τὸ πλεῖστον μέρος.

LXVI. Ἐπεὶ δὲ Λεύκιος Καῖσαρ, οἰκεῖος μὲν ὢν Καίσαρος ἐκείνου, μέλλων δὲ πρεσβεύειν ὑπὲρ τῶν τριακοσίων, παρεκάλει τὸν Κάτωνα λόγον αὐτῷ συνυποθέσθαι πιθανὸν, ᾧ χρήσεται περὶ ἐκείνων, „ὑπὲρ σοῦ μὲν γὰρ αὐτοῦ καὶ χειρῶν ἐμοὶ καλὸν ἅψασθαι καὶ γόνασι προσπεσεῖν Καίσαρος,“

5, 122—23 H.

---

14. βεβηκόσι om C. 15. δὴ BV^b. 20. τοὺς ἰτυκαίους εἰς τὴν πόλιν C. 21. παροξῦναι V^{b}ia: παροξύναι v. 22. καὶ delet Coraes. 23. πρὸς] εἰς M. 24. τῶν ξένων M. 25. προὔπεμπε Corais corr. B: προὔπεμψε v. 26. ἀποβλέπειν MV^b. 32. καταρτύσαι PCi. 35. ἡμέρας om P.

LXVI. 4. περὶ] ὑπὲρ C. ὑπὲρ] περὶ C. μὲν om C. ἔλεγεν post γὰρ addit C. 5. προσπεσὼν A.

792 οὐκ εἴα ταῦτα ποιεῖν ὁ Κάτων αὐτόν. „Ἐμοὶ γὰρ“ εἶπεν „εἰ σώζεσθαι χάριτι Καίσαρος ἐβουλόμην, αὐτῷ βαδιστέον ἦν πρὸς ἐκεῖνον μόνον. Οὐ βούλομαι δὲ τῷ τυράννῳ χάριν ἔχειν ὑπὲρ ὧν παρανομεῖ. Παρανομεῖ δὲ σώζων ὡς κύριος ὢν αὐτῷ δεσπόζειν οὐδὲν προσῆκεν. Ὅπως μέντοι παραιτήσῃ τοὺς τριακοσίους κοινῇ σκοπῶμεν, εἰ βούλει.“ Γενόμενος δὲ πρὸς τούτῳ μετὰ τοῦ Λευκίου τὸν υἱὸν αὐτῷ συνέστησε καὶ τοὺς ἑταίρους ἀπιόντι· καὶ προπέμψας ἐκεῖνον καὶ δεξιωσάμενος ἐπανῆλθεν οἴκαδε καὶ τὸν υἱὸν καὶ τοὺς φίλους συναγαγὼν ἄλλα τε πολλὰ διελέχθη καὶ πολιτείας ἀπεῖπεν ἅψασθαι τῷ μειρακίῳ· τὸ μὲν γὰρ ἀξίως Κάτωνος οὐκέτι τὰ πράγματα δέξασθαι· τὸ δὲ ἄλλως αἰσχρὸν εἶναι. Καὶ περὶ ἑσπέραν ἤδη τρέπεται πρὸς τὸ βαλανεῖον. Ἐν δὲ τῷ λούεσθαι τοῦ Στατυλλίου μνησθεὶς καὶ μέγα φθεγξάμενος „Ἐξέπεμψας“ εἶπεν „ὦ Ἀπολλωνίδη, τὸν Στατύλλιον ἀπὸ τοῦ φρονήματος ἐκείνου καθελών; καὶ πέπλευκεν ὁ ἀνὴρ μηδὲ ἀσπασάμενος ἡμᾶς;“ „Πόθεν;“ εἶπεν ὁ Ἀπολλωνίδης „καίτοι πολλὰ διελέχθημεν· ἀλλὰ ὑψηλός ἐστι καὶ ἄτρεπτος καὶ μένειν φησὶ καὶ πράττειν ὅ τι ἂν σὺ πράττῃς.“ Πρὸς ταῦτα φασὶ τὸν Κάτωνα μειδιᾶσαι καὶ εἰπεῖν· „Ἀλλὰ τοῦτο μὲν αὐτίκα φανεῖται.“

LXVII. Λουσάμενος δὲ μετὰ πολλῶν ἐδείπνει καθήμενος, ὥσπερ εἰώθει μετὰ τὴν μάχην· οὐ γὰρ κατεκλίθη πλὴν καθεύδων· συνεδείπνουν δὲ πάντες οἱ ἑταῖροι καὶ τῶν Ἰτυκαίων οἱ ἄρχοντες. Καὶ μετὰ τὸ δεῖπνον ὁ πότος ἔσχε μοῦσαν πολλὴν καὶ χάριν, ἄλλων ἐπ' ἄλλοις λόγων φιλοσόφων κυκλούντων, ἄχρι οὗ περιῆλθεν ἡ ζήτησις εἰς ταῦτα δὴ τὰ παράδοξα καλούμενα τῶν Στωϊκῶν, τὸ μόνον εἶναι τὸν ἀγαθὸν ἐλεύθερον, δούλους δὲ τοὺς φαύλους ἅπαντας. Ἐνταῦθα δή, ὡς εἰκός, ἀντιβάντος τοῦ Περιπατητικοῦ, σφοδρὸς ἐμπεσὼν ὁ Κάτων καὶ τόνον προσθεὶς καὶ τραχύτητα

5, 123—24 H.

---

12. τοῦτο corr. PBMV^{b}F^{a}. καὶ τὸν F^{a}. 14. ἀπῆλθεν pr. F^{a}. 15. διειλέχθη C. ἅπτεσθαι P. 17. δέξεσθαι Coraes. 24. μένειν φασὶ M. 25. φησὶ τὸν AV^{b}i. μειδιᾶσαι Aia: μειδιάσαι v.

LXVII. 2. οὐ — καθεύδων fortasse ex c. 56 hic ab interprete addita. πλὴν] πρὶν M. 5. ἄλλον — λόγον corr. BMV^{b}. φιλοσόφων λόγων C. 6. ἄχρις [BMV^{b}]. 8. τοὺς φίλους F^{a}. 9. ἀντιβάντος ὡς εἰκὸς C. περιβάντος BMV^{b}. σφοδρῶς PBMV^{b}.

φωνῆς ἀπέτεινε ῥῥώτατα τὸν λόγον ἀγῶνι θαυμαστῷ χρησάμενος, ὥστε μηδένα λαθεῖν, ὅτι τῷ βίῳ πέρας ἔγνωκεν ἐπιθεὶς ἀπαλλάττεσθαι τῶν παρόντων. Διὸ καὶ μετὰ τὸν λόγον σιωπῆς καὶ κατηφείας γενομένης ἐν πᾶσιν ἀναλαμβάνων αὐτοὺς καὶ ἀπάγων τῆς ὑποψίας ὁ Κάτων αὖθις ὑπὲρ τῶν παρόντων ἐνέβαλλεν ἐρωτήματα καὶ φροντίδας, ὡς δεδιὼς μὲν ὑπὲρ τῶν πλεόντων, δεδιὼς δὲ ὑπὲρ τῶν ὀδευόντων ἐρημίαν ἄνυδρον καὶ βάρβαρον.

LXVIII. Οὕτω δὲ διαλύσας τὸ σύνδειπνον καὶ περιπατήσας μετὰ τῶν φίλων τὸν συνήθη μετὰ τὸ δεῖπνον περίπατον καὶ τοῖς ἄρχουσι τῶν φυλάκων, ἃ καιρὸς ἦν προστάξας, ἀπιὼν εἰς τὸ δωμάτιον ἤδη τόν τε παῖδα καὶ τῶν φίλων ἕκαστον μᾶλλον ἢ πρότερον εἰώθει προσαγαγόμενος καὶ φιλοφρονηθεὶς πάλιν ὑποψίαν παρέσχε τοῦ μέλλοντος. Εἰσελθὼν δὲ καὶ κατακλιθεὶς ἔλαβεν εἰς χεῖρας τῶν Πλάτωνος διαλόγων τὸν περὶ ψυχῆς· καὶ διελθὼν τοῦ βιβλίου τὸ πλεῖστον καὶ ἀναβλέψας ὑπὲρ κεφαλῆς, ὡς οὐκ εἶδε κρεμάμενον τὸ ξίφος (ὑφῄρητο γὰρ ὁ παῖς ἔτι δειπνοῦντος αὐτοῦ), καλέσας οἰκέτην ἠρώτησεν, ὅστις λάβοι τὸ ἐγχειρίδιον. Σιωπῶντος δὲ ἐκείνου πάλιν ἦν πρὸς τὸ βιβλίον· καὶ μικρὸν διαλιπὼν, ὥσπερ οὐ σπεύδων οὐδὲ ἐπειγόμενος, ἄλλως δὲ τὸ ξίφος ἐπιζητῶν, ἐκέλευσε κομίσαι. Διατριβῆς δὲ γινομένης καὶ μηδενὸς κομίζοντος, ἐξαναγνοὺς τὸ βιβλίον αὖθις ἐκάλει καθ' ἕνα τῶν οἰκετῶν καὶ μᾶλλον ἐνέτεινε τὴν φωνὴν τὸ ξίφος ἀπαιτῶν· ἑνὸς δὲ καὶ πὺξ τὸ στόμα πατάξας ἤμαξε τὴν αὐτοῦ χεῖρα χαλεπαίνων καὶ βοῶν ἤδη μέγα παραδίδοσθαι τῷ πολεμίῳ γυμνὸς ὑπὸ τοῦ παιδὸς αὐτοῦ καὶ τῶν οἰκετῶν, ἄχρι οὗ κλαίων ὁ υἱὸς εἰσέδραμε μετὰ τῶν φίλων καὶ περιπεσὼν ὠδύρετο καὶ καθικέτευεν. Ὁ δὲ Κάτων ἐξ- 793
ναστὰς |ἐνέβλεψέ τε δεινὸν καὶ „Πότε“ εἶπεν „ἐγὼ καὶ ποῦ

5, 124—26 H.

---

11. φωνῆς προσθεὶς καὶ ταχύτητα C. 12. ἔγνωκε περιθεὶς BMV^b. 16. ἐνέβαλεν CBF^a. 17. ὑπὲρ ὀδευόντων F^a.

LXVIII. 2. τὸ om P. 5. ἤπερ εἰώθει πρότερον C. 11. αὐτὸ B. 12. τῷ βιβλίῳ PCBMV^{b}F^a. cf. Wyttenbachium in S. N. V. p. 21. 13. διαλιπὼν — τὸ om BMV^b. 14. γενομένης BV^{b}F^a. 15. ἐπαναγνοὺς M. δὲ τὸ AMV^{b}i. 16. ἐπέτεινε F^a. 18. παραδιδόσθαι (sic) P. 19. αὐτοῦ libri: αὑτοῦ v. 20. ἄχρις [BMV^b]. 22. ἐνέβλεψε Coraes: ἀνέβλεψε libri. τε om P.

λέληθα παρανοίας ἡλωκὼς, ὅτι διδάσκει μὲν οὐδεὶς οὐδὲ μεταπείθει περὶ ὧν δοκῶ κακῶς βεβουλεῦσθαι, κωλύομαι δὲ χρῆσθαι τοῖς ἐμαυτοῦ λογισμοῖς καὶ παροπλίζομαι; Τί δ' οὐχὶ καὶ συνδεῖς, ὦ γενναῖε, τὸν πατέρα καὶ τὰς χεῖρας ἀποστρέφεις, μέχρι ἂν ἐλθὼν Καῖσαρ εὕρῃ με μηδὲ ἀμυνασθαι δυνάμενον; Οὐ γὰρ ἐπ' ἐμαυτόν γε δέομαι ξίφους, ὅπου καὶ τὸ πνεῦμα βραχὺν χρόνον ἐπισχόντα καὶ τὴν κεφαλὴν ἅπαξ πατάξαντα πρὸς τὸν τοῖχον ἀποθανεῖν ἔνεστι."

LXIX. Ταῦτα λέγοντος αὐτοῦ τὸ μὲν μειράκιον ἐξῆλθε μετὰ κλαυθμοῦ καὶ πάντες οἱ λοιποί· τῷ δὲ Δημητρίῳ καὶ τῷ Ἀπολλωνίδῃ μόνοις ὑπολειφθεῖσι πρότερον ἤδη λαλῶν „Ἦ που καὶ ὑμῖν" ἔφη „δέδοκται βίᾳ κατέχειν ἄνδρα τοσοῦτον ἡλικίας ἐν τῷ βίῳ καὶ καθημένους αὐτοῦ σιωπῇ παραφυλάσσειν, ἢ λόγον ἥκετε κομίζοντες, ὡς οὐ δεινὸν οὐδὲ αἰσχρόν ἐστιν ἀποροῦντα σωτηρίας ἑτέρας Κάτωνα τὴν ἀπὸ τοῦ πολεμίου περιμένειν; Τί οὖν οὐ λέγετε πείθοντες ἡμᾶς ταῦτα καὶ μεταδιδάσκοντες, ἵνα τὰς προτέρας δόξας ἐκείνας καὶ λόγους, οἷς συμβεβιώκαμεν, ἐκβαλόντες καὶ γενόμενοι διὰ Καίσαρα σοφώτεροι μείζονα χάριν εἰδῶμεν αὐτῷ; Καίτοι βεβούλευμαι μὲν οὐθὲν ἔγωγε περὶ ἐμαυτοῦ· δεῖ δέ με βουλευσάμενον εἶναι κύριον οἷς ἔγνωκα χρῆσθαι. Βουλεύσομαι δὲ τρόπον τινὰ μεθ' ὑμῶν βουλευόμενος μετὰ τῶν λόγων, οἷς καὶ ὑμεῖς φιλοσοφοῦντες χρῆσθε. Θαῤῥοῦντες οὖν ἄπιτε καὶ κελεύετε τὸν υἱὸν ἃ μὴ δύναται τὸν πατέρα πείθειν μὴ βιάζεσθαι."

LXX. Πρὸς ταῦτα μηθὲν ἀντειπόντες οἱ περὶ τὸν Δημήτριον, ἀλλὰ δακρύσαντες ὑπεξῆλθον. Εἰσπέμπεται δὲ διὰ

5, 126—27 H.

---

24. δοκῶ om A. 27. μέχρις [BMV^b]. 29. ὅπου γε καὶ P. 30. ἔξεστι x.

LXIX. 3. ἀπολλοδώρῳ C. 4. ἡμῖν V^b. 5. προήκοντα post βίῳ addit C. προβεβηκότα post ἡλικίας desideraverat Reiskius. nec hoc nec ἡλικίαν aut ἡλικίᾳ aliorum opus. 7. τὸν κάτωνα corr PCF^{a}V. 8. οὐ om BMV^b. 9. ἐκείνας δόξας C. 12. μηθὲν C. ἔγωγε om C. περὶ αὐτοῦ BMV^b. με] μου MV^b. 13. κύριον εἶναι corr. P· ἔγνω V^b. 14. βουλευσόμενος i. 15. φιλοσοφοῦντες Corais C: φιλοσοφεῖτε v, οἱ φιλόσοφοι x. χρῆσθε AVx: χρῆσθαι v. fortasse scribendum ὑμεῖς οἱ φιλόσοφοι κέχρησθε. de κέχρησθε cf. Lys. 18, 12. mor. 98 c. 16. κελεύσετε C.

LXX. 1. μηδὲν C.

παιδίου μικροῦ τὸ ἐγχειρίδιον· καὶ λαβὼν ἐσπάσατο καὶ κατενόησεν. Ὡς δὲ εἶδεν ἑστῶτα τὸν ἀθέρα καὶ τὴν ἀκμὴν διαμένουσαν, εἰπών· „Νῦν ἐμός εἰμι," τὸ μὲν ξίφος ἔθηκε, τὸ δὲ βιβλίον αὖθις ἀνεγίνωσκε καὶ λέγεται δὶς ὅλον διεξελθεῖν. Εἶτα κοιμηθεὶς ὕπνον βαθὺν, ὥστε τοὺς ἐκτὸς αἰσθέσθαι, περὶ μέσας νύκτας ἐκάλει τῶν ἀπελευθέρων Κλεάνθην τὸν ἰατρὸν καὶ Βούταν, ᾧ μάλιστα πρὸς τὰς πολιτικὰς πράξεις ἐχρῆτο. Καὶ τοῦτον μὲν ἐπὶ θάλατταν ἔπεμψεν, ὅπως σκεψάμενος, εἰ πάντες ἀνηγμένοι τυγχάνουσι, φράσοι πρὸς αὐτόν· τῷ δὲ ἰατρῷ τὴν χεῖρα φλεγμαίνουσαν ὑπὸ τῆς πληγῆς, ἣν ἔπληξε τὸν οἰκέτην, ἐπιδῆσαι παρέσχε. Καὶ τοῦτ' ἐποίησεν ἡδίους ἅπαντας, ὡς ζωτικῶς ἔχοντος αὐτοῦ. Μετ' ὀλίγον δὲ παρῆν ὁ Βούτας ἀπαγγέλλων τοὺς μὲν ἄλλους ἀνῆχθαι, Κράσσον δὲ λείπεσθαι ὑπὸ ἀσχολίας τινός, ὅσον δὲ οὔπω καὶ τοῦτον ἐμβαίνειν, πολὺν δὲ χειμῶνα καὶ μέγα πνεῦμα κατέχειν τὴν θάλατταν. Τοῦτο ἀκούσας ὁ Κάτων ἐστέναξεν οἴκτῳ τῶν πλεόντων καὶ πάλιν ἔπεμψε τὸν Βούταν ἐπὶ θάλατταν, εἴ τις ἄρα παλινδρομήσας δέοιτό τινος τῶν ἀναγκαίων, ἀπαγγελοῦντα πρὸς αὐτόν. Ἤδη δὲ ὄρνιθες ᾖδον καὶ μικρὸν αὖθις κατηνέχθη πρὸς ὕπνον. Ἐπανελθόντος δὲ τοῦ Βούτα καὶ φράσαντος πολλὴν ἡσυχίαν περὶ τοὺς λιμένας εἶναι, προσέταξεν αὐτῷ τὴν θύραν κλεῖσαι καὶ καθῆκεν ἑαυτὸν εἰς τὸ κλινίδιον ὡς τὸ λοιπὸν ἔτι τῆς νυκτὸς ἀναπαυσόμενος. Ἐξελθόντος δὲ τοῦ Βούτα σπασάμενος τὸ ξίφος ἔωσε μὲν ὑπὸ τὸ στῆθος, τῇ δὲ χειρὶ κουφότερον διὰ τὴν φλεγμονὴν χρησάμενος οὐκ εὐθὺς ἀπήλλαξεν ἑαυτὸν, ἀλλὰ δυσθανατῶν ἐξέπεσε τῆς κλίνης καὶ ψόφον ἐποίησε καταβαλὼν ἀβάκιόν τι τῶν γεωμετρικῶν παρακείμενον, ὥστε τοὺς θεράποντας αἰσθομένους ἀναβοῆσαι καὶ τὸν υἱὸν αὐτίκα

5, 127–28 H.

---

3. ἐπαύσατο i. 4. αἰθέρα PCMV^{b}. 5. κατέθηκε C. 9. βοῦταν C. 10. ἐπὶ] εἰς C. θάλατταν CV^{b}: θάλασσαν v. 11. τυγχάνουσι Schaeferi CBV^{b}: τυγχάνωσι v. φράσοι corr PCMV^{b}F^{a}: φράση B, φράσει v. 16. λείπεσθαι ὑπὸ non puto scripsisse Plutarchum. 18. θάλατταν C: θάλασσαν v. 19. βοῦταν C. 20. scribebatur θάλασσαν. 23. πάλιν πολλὴν CF^{a}V cod. Stephani (‚legitur etiam'). 25. ἐπὶ τοῦ κλινιδίου corr C, ἀνὰ τὸ κλινίδιον BMV^{b} pr. F^{a}. 27. κωφότερον Emperius.

794 καὶ τοὺς φίλους ἐπεισελθεῖν. Ἰδόντες δὲ πεφυρμένον αἵματι καὶ τῶν ἐντέρων τὰ πολλὰ προπεπτωκότα, ζῶντα δ' αὐτὸν ἔτι καὶ βλέποντα, δεινῶς μὲν ἅπαντες ἔσχον, ὁ δὲ ἰατρὸς προσελθὼν ἐπειρᾶτο τῶν ἐντέρων ἀτρώτων διαμεινάντων ταῦτά τε καθιστάναι καὶ τὸ τραῦμα διαῤῥάπτειν. Ὡς οὖν ἀνήνεγκεν ὁ Κάτων καὶ συνεφρόνησε, τὸν μὲν ἰατρὸν ἀπεώσατο, ταῖς χερσὶ δὲ τὰ ἔντερα σπαράξας καὶ τὸ τραῦμα ἐπαναῤῥήξας ἀπέθανεν.

LXXI. Ἐν ᾧ δὲ οὐκ ἄν τις ᾤετο χρόνῳ τοὺς κατὰ τὴν οἰκίαν πάντας ᾐσθῆσθαι τὸ πάθος, ἐπὶ ταῖς θύραις ἦσαν οἱ τριακόσιοι καὶ μικρὸν ὕστερον ὁ δῆμος ἅθροιστο τῶν Ἰτυκαίων μιᾷ φωνῇ τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἐλεύθερον καὶ μόνον ἀήττητον καλούντων. Καὶ ταῦτα ἔπραττον ἀγγελλομένου προσιέναι Καίσαρος· ἀλλ' οὔτε φόβος αὐτοὺς οὔτε κολακεία τοῦ κρατοῦντος οὔτε ἡ πρὸς ἀλλήλους διαφορὰ καὶ στάσις ἀμβλυτέρους ἐποίησε τῆς πρὸς Κάτωνα τιμῆς. Κοσμήσαντες δὲ τὸ σῶμα λαμπρῶς καὶ πομπὴν ἐπιφανῆ παρασχόντες καὶ θάψαντες παρὰ τὴν θάλασσαν, οὗ νῦν ἀνδριὰς ἐφέστηκεν αὐτοῦ ξιφήρης, οὕτως ἐτράποντο πρὸς τὸ σώζειν ἑαυτοὺς καὶ τὴν πόλιν.

LXXII. Καῖσαρ δὲ πυνθανόμενος παρὰ τῶν ἀφικνουμένων ὑπομένειν ἐν Ἰτύκῃ τὸν Κάτωνα μηδὲ φεύγειν, ἀλλὰ τοὺς ἄλλους προπέμπειν, αὐτὸν δὲ καὶ τοὺς ἑταίρους καὶ τὸν υἱὸν ἀδεῶς ἀναστρέφεσθαι, δυστέκμαρτον ἡγεῖτο τὴν γνώμην τοῦ ἀνδρὸς, ἅτε δὲ τὸν πλεῖστον λόγον ἔχων ἐκείνου προσῄγε μετὰ τῆς δυνάμεως ἐπειγόμενος. Ὡς δὲ ἤκουσε τὸν θάνατον αὐτοῦ, λέγεται τοσοῦτον εἰπεῖν· „Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ ἐμοὶ σὺ τῆς σαυτοῦ σωτηρίας ἐφθόνησας.“ Τῷ γὰρ ὄντι σωθῆναι Κάτων ἀνασχόμενος ὑπὸ Καίσαρος οὐκ ἂν οὕτω δοκεῖ καταισχῦναι τὴν αὐτοῦ

5, 128—29 H.

32. ἐπεισελθεῖν Corais cod. 1678: ὑπεισελθεῖν v. 36. καθιστάναι PBF^{a}V: καθιστᾶναι MV^{b}u, καθιστᾶν v.

LXXI. 2. εὐθὺς οὖν post πάθος addit C. 5. ταῦτ' C. 8. στάσις] πάσης MV^b. τῆς — τιμῆς corr PGBMV^{b}F^{a}V cod. Stephani (, vet. exempl.^{1}): τῇ τιμῇ v. 10. παρὰ] ἐπὶ BMV^b.

LXXII. 1. παρὰ] hinc usque ad finem scripsit m. rec. P. 5. δὲ Reiskius: δὴ libri. ἐκείνου Bryanus: ἐκείνου καὶ libri. 8. αὐτοῦ C, αὐτοῦ V^b. 10. ὑπὸ καίσαρος ἀνασχόμενος CF^a. δοκῇ M.

δόξαν, ὡς κοσμῆσαι τὴν ἐκείνου. Τὸ δὲ πραχθὲν ἂν ἄδηλον· εἰκάζεται δὲ τὰ χρηστότερα περὶ Καίσαρος.

LXXIII. Ἐτελεύτησε δὲ Κάτων ἔτη δυεῖν δέοντα πεντήκοντα βεβιωκώς. Ὁ δὲ υἱὸς αὐτοῦ ὑπὸ Καίσαρος μὲν οὐδὲν ἠδικήθη· λέγεται δὲ ῥᾳθυμος γενέσθαι καὶ περὶ γυναῖκας οὐκ ἀνεπίληπτος. Ἐν δὲ Καππαδοκίᾳ ξένῳ τινὶ χρησάμενος Μαρφαδάτῃ τῶν βασιλικῶν ἔχοντι γύναιον εὐπρεπὲς καὶ πλείονα παρ' αὐτοῖς ἢ καλῶς εἶχε διατρίβων χρόνον ἐσκώπτετο τοιαῦτα γραφόντων εἰς αὐτόν·

Αὔριον Κάτων βαδίζει μετὰ τριάκονθ' ἡμέρας.

Καί·

Πόρκιος καὶ Μαρφαδάτης, δύο φίλοι, ψυχὴ μία.

Ψυχὴ γὰρ ἐκαλεῖτο τοῦ Μαρφαδάτου τὸ γύναιον. Καὶ ἔτι·

Εὐγενὴς καὶ λαμπρὸς ὁ Κάτων· βασιλικὴν ψυχὴν ἔχει.

Ἀλλὰ πᾶσάν γε τὴν τοιαύτην ἐξήλειψε καὶ ἠφάνισε τῷ θανάτῳ δύσκλειαν. Ἀγωνιζόμενος γὰρ ἐν Φιλίπποις πρὸς Καίσαρα καὶ Ἀντώνιον ὑπὲρ τῆς ἐλευθερίας καὶ κλινομένης τῆς φάλαγγος, οὔτε φυγεῖν οὔτε λαθεῖν ἀξιώσας, ἀλλὰ προκαλούμενος τοὺς πολεμίους ἔμπροσθεν ἑαυτὸν ἐμφανίζων καὶ συνεξορμῶν τοὺς συμμένοντας ἔπεσε θαῦμα τῆς ἀρετῆς τοῖς ἐναντίοις παρασχών. Ἔτι δὲ μᾶλλον ἡ θυγάτηρ τοῦ Κάτωνος οὔτε σωφροσύνης οὔτε ἀνδρίας ἀπολειφθεῖσα (Βρούτῳ γὰρ συνῴκει τῷ κτείναντι Καίσαρα) αὐτῆς τε τῆς συνωμοσίας μετέσχε καὶ προήκατο τὸν βίον ἀξίως τῆς εὐγενείας καὶ ἀρετῆς, ὡς ἐν τοῖς περὶ Βρούτου γέγραπται. Στατύλλιος δὲ φήσας μιμεῖσθαι Κάτωνα τότε μὲν ὑπὸ τῶν φιλοσόφων ἐκωλύθη βουλόμενος ἑαυτὸν ἀνελεῖν, ὕστερον δὲ τῷ Βρούτῳ πιστότατον ἑαυτὸν παρασχὼν καὶ χρησιμώτατον ἐν Φιλίπποις ἀπέθανεν.

5, 129—30 H.

---

11. δόξαν om F^a. ἂν addebat Reiskius. 12. παρὰ APV.

LXXIII. 1. ὁ κάτων MV^b. δυοῖν CF^a. 2. αὐτοῦ ὑπὸ vitii arguit hiatus. 3. δὲ om P. 5. φαρμαδάτῃ BMV^b et postea, μαρφράδατῃ F^a et postea. 6. διατρίψας C. 8. τριάκοντα AP. 10. πόρκια M. 11. τῷ μαρφαδάτῃ ia. 12. ἔχειν APia, ἔχων C. 16. οὔτε λαθεῖν οὔτε φυγεῖν C. 18. ἐμμένοντας V^b. 20. ἀνδρίας CBMV^bia: ἀνδρείας v. 21. γὰρ om C. 24. μιμήσασθαι PMV^b. 25. τὸν βροῦτον F^a.

ΑΓΙΣ ΚΑΙ ΚΛΕΟΜΕΝΗΣ.

795 I. *Οὐκ ἀτόπως τινὲς οὐδὲ φαύλως συγκεῖσθαι πρὸς τοὺς φιλοδόξους ὑπονοοῦσι τὸν ἐπὶ τῷ Ἰξίονι μῦθον, ὡς δὴ λαβόντι τὴν νεφέλην ἀντὶ τῆς Ἥρας καὶ τῶν Κενταύρων οὕτως γενομένων. Καὶ γὰρ οὗτοι τῆς ἀρετῆς ὥσπερ εἰδώλῳ τινὶ τῇ δόξῃ συνόντες οὐδὲν εἰλικρινὲς οὐδ' ὡμολογημένον, ἀλλὰ* 5
νόθα καὶ μικτὰ πολλὰ πράττουσιν, ἄλλοτε ἄλλας φορὰς φερόμενοι, ζήλοις καὶ πάθεσιν ἑπακολουθοῦντες, ὅπερ οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν·

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
Καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν. 10

Ὅπερ ἀληθῶς οἱ πρὸς ἐπιθυμίας ὄχλων καὶ ὁρμὰς πολιτευόμενοι πάσχουσι δουλεύοντες καὶ ἀκολουθοῦντες, ἵνα δημαγωγοὶ καὶ ἄρχοντες ὀνομάζωνται. Καθάπερ γὰρ οἱ πρωρεῖς τὰ ἔμπροσθεν προορώμενοι τῶν κυβερνητῶν ἀφορῶσι πρὸς

---

ad Agidem et Cleomenem usus sum codice Sangermanensi (S^{g}) olim in usum Bryani cum Stephaniana, nuper C. Fr. Schoemanno a Fr. Duebnero cum Tauchnitiana, Palatino 283 (P) a me cum Hutteniana, Parisinis 1671 (A) 1672 (B) 1673 (C) 1679 (G) ab Heldio item cum Hutteniana collatis. Parisinos AB item contulerat Duebnerus, Palatinum C. Fr. Hermannus. accesserunt excerptae a Mureto scripturae ex codicibus RTS$\pi\eta$q. nullum usum praebuit Parisinus 1674 cuius lectiones apponere nihil attinebat.

I. 1. ‚in margine S^{g} e regione *κατὰ φιλοδόξους* eadem manu exaratum est.‘ 2. *ἰξίωνι* pr. S^{g}Gia. *οὕτω* corr. AB. 5. *εἰλικρινὲς* G. *ὡμολογημένον* S^{g}: *ὁμολογούμενον* v. 6. *μικρὰ* ia. *ἄλλοστε* pr. A. *πολλάκις* C. 7. *πάθεσιν*] *γρ. πλήθεσιν* m. rec. marg. A. 8. *λέγουσι* CG. ad *Ποιμένες* fabulam rettulit Brunckius. 12. *πάσχουσιν* P.

ἐκείνους καὶ τὸ προστασσόμενον ὑπ' ἐκείνων ποιοῦσιν, οὕτως οἱ πολιτευόμενοι καὶ πρὸς δόξαν ὁρῶντες ὑπηρέται μὲν τῶν πολλῶν εἰσιν, ὄνομα δὲ ἀρχόντων ἔχουσιν.

II. Ὁ μὲν γὰρ ἀπηκριβωμένος καὶ τελείως ἀγαθὸς οὐδ' ἂν ὅλως δόξης δέοιτο, πλὴν ὅση πάροδον ἐπὶ τὰς πράξεις καὶ διὰ τοῦ πιστεύεσθαι δίδωσι· νέῳ δὲ ἔτι ὄντι καὶ φιλοτίμῳ δοτέον ἀπὸ τῶν καλῶν ἔργων καὶ δόξῃ τι καλλωπίσασθαι καὶ κομπάσαι. Φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι τό τε κατορθούμενον, ὥς φησι Θεόφραστος, ἐκβεβαιοῦνται τοῖς ἐπαίνοις καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι. Τὸ δὲ ἄγαν παντοχοῦ μὲν ἐπισφαλές, ἐν δὲ ταῖς πολιτικαῖς φιλοτιμίαις ὀλέθριον. Ἐκφέρει γὰρ εἰς μανίαν καὶ παραφροσύνην ὕπαιθρον ἐξουσίας μεγάλης ἐπιλαβομένους, ὅταν μὴ τὸ καλὸν ἔνδοξον εἶναι θέλωσιν, ἀλλ' ἀγαθὸν ἡγῶνται τὸ ἔνδοξον εἶναι. Ὥσπερ οὖν Φωκίων πρὸς Ἀντίπατρον ἀξιοῦντά τι παρ' αὐτοῦ τῶν μὴ καλῶν „Οὐ δύνασαι“ εἶπεν „ἅμα καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι“ τοῦτο λεκτέον ἢ ὅμοιόν τι τούτῳ πρὸς τοὺς πολλούς· „Οὐ δύνασθε τὸν αὐτὸν ἔχειν καὶ ἄρχοντα καὶ ἀκόλουθον.“ Ἐπὶ συμβαίνει γε καὶ οὕτως τὸ τοῦ δράκοντος, οὗ φησὶν ὁ μῦθος τὴν οὐρὰν τῇ κεφαλῇ στασιάσασαν ἀξιοῦν ἡγεῖσθαι παρὰ μέρος καὶ μὴ διὰ παντὸς ἀκολου- 796
θεῖν ἐκείνῃ, λαβοῦσαν δὲ τὴν ἡγεμονίαν αὐτήν τε κακῶς ἀπαλλάττειν ἀνοίᾳ πορευομένην καὶ τὴν κεφαλὴν καταξαίνειν τυφλοῖς καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἔπεσθαι. Τοῦτο πολλοὺς τῶν πρὸς χάριν ἅπαντα πεπολιτευμένων ὁρῶμεν πεπονθότας. Ἐξαρτήσαντες γὰρ αὑτοὺς ὄχλων εἰκῇ φερομένων οὔτ' ἀναλαβεῖν ὕστερον οὔτ' ἐπιστῆ-

5, 131—32 H.

16. τῶν πολλῶν μέν εἰσιν ia et v.

II. 1. ἀπηκριβωμένος S^gPGia: ἀπηκριβωμένως v. 2. ὅσοι G. 3. καὶ cum Bryano delent nuperi praeter Schoemannum. τοῦ] τοῦτο BCG et A Heldii, τὸ A. Duebneri. δίδωσιν P. 5. καλλωπίσασθαι S^gPABC: καλλωπίζεσθαι G, καλλωπίζεσθαι v. 7. ἐκβεβαιοῦνται S^gPABC: ἐπιβεβαιοῦνται v. 8. ἐπαιρόμενοι G. 12. ὅπερ pr. S^g. 13. ὁ φωκίων C. 16. δύνασθαι P. ἔχειν καὶ] ἔχειν ABC. 17. οὕτω corr AB. 20. λαβοῦσαν τὲ ABC. 21. ἀνοσία marg. A, unde ἀνοδίᾳ Car. Keilius, cf. ad Mar. 37, 30. 23. πεπολιτευμένων S^gPABC: πολιτευμένων G, πολιτευομένων v. 25. οὔτ' — οὔτ' Coraes: οὐδ' — οὐδ' libri.

σαι τὴν ἀταξίαν ἐδυνήθησαν. Ταῦτα δὲ ἡμῖν εἰς τὴν παρὰ τῶν πολλῶν δόξαν ἐπῆλθεν εἰπεῖν ἐννοήσασιν, ἡλίκην ἔχει δύναμιν, ἐκ τῶν Τιβερίῳ καὶ Γαΐῳ τοῖς Γράγχοις συμπεσόντων, οὓς κάλλιστα μὲν φύντας, κάλλιστα δὲ τραφέντας, καλλίστην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας ἀπώλεσεν οὐχ οὕτως ἐπιθυμία δόξης ἄμετρος, ὡς φόβος ἀδοξίας ἐκ προφάσεως οὐκ ἀγεννοῦς πεφυκώς. Μεγάλην γὰρ εὔνοιαν προειληφότες παρὰ τῶν πολιτῶν ἠσχύνθησαν ἐγκαταλιπεῖν ὥσπερ χρέος· ἀμιλλώμενοι δ' ἀεὶ πολιτεύμασι χρηστοῖς τὰς τιμὰς ὑπερβάλλεσθαι καὶ τιμώμενοι μᾶλλον ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως καὶ τοῦτον τὸν τρόπον ἴσῃ φιλοτιμίᾳ πρός τε τὸν δῆμον ἑαυτοὺς καὶ τὸν δῆμον πρὸς ἑαυτοὺς ἐκκαύσαντες ἔλαθον ἁψάμενοι πραγμάτων, ἐν οἷς οὐκέτ' ἦν τὸ ἐπεὶ μὴ καλὸν, αἰσχρὸν ἤδη τὸ παύσασθαι. Ταῦτα μὲν οὖν ἐπικρινεῖς αὐτὸς ἐκ τῆς διηγήσεως. Παραβάλωμεν δὲ αὐτοῖς Λακωνικὸν ζεῦγος δημαγωγῶν, Ἄγιν καὶ Κλεομένην τοὺς βασιλεῖς. Καὶ γὰρ οὗτοι τὸν δῆμον αὔξοντες, ὥσπερ ἐκεῖνοι, καὶ πολιτείαν καλὴν καὶ δικαίαν ἐκλελοιπυῖαν πολὺν χρόνον ἀναλαμβάνοντες ὁμοίως ἀπηχθάνοντο τοῖς δυνατοῖς μὴ βουλομένοις ἀφεῖναι τὴν συνήθη πλεονεξίαν. Ἀδελφοὶ μὲν οὖν οὐκ ἦσαν ἀλλήλων οἱ Λάκωνες, συγγενοῦς δὲ καὶ ἀδελφῆς ἥψαντο πολιτείας ἀρχὴν τοιαύτην λαβόντες.

5, 132—33 H.

---

28. *γράγχοις* libri omnes constanter et in Gracchis et mor. 456 a. item Strabonis libri 3 p. 163 Dionysii t. 4 p. 2046 R. ubi cf. Sylburgius, Appiani b. c. 1, 2 cum annotatione Schweighaeuseri. 32. *προειληφότες* Bryanus (non P): *προσειληφότες* libri. 34. *δ'* om ABC. 35. *καὶ τιμώμενοι*] *προτιμώμενοι* corr P. 37. *ἐγκαύσαντες* pr. AC. 38. *ἐλάνθανον* P. *ἐν οἷς οὐκέτ' ἦν*] *ἐν οἷς οὐκ ἦν εἰπεῖν, τῶν οὐκέτι καλῶν αἰσχρὸν ἤδη τὸ μὴ παύσασθαι* x, *ἐν οἷς, ἐπεὶ μὴ καλὸν, οὐκ αἰσχρὸν ἤδη τὸ παύσασθαι* Stephanus, *ἐν οἷς ἐπεὶ οὐκέτ' ἦν τὸ προβῆναι καλὸν, αἰσχρὸν ἤδη τὸ παύσασθαι* Reiskius, *ἐν οἷς οὐκέτ' ἦν εἰπεῖν, μὴ καλὸν, οὐκ αἰσχρὸν δὲ τὸ παύσασθαι* Claviger ad Amiotum t. 7 p. 498, *ἐν οἷς οὐκ ἦν εἰπεῖν, ἐπεὶ μηκέτι καλὸν, αἰσχρὸν ἤδη τὸ μὴ παύσασθαι* Coraes Schaeferus, nisi quod hic *τὸ παύσασθαι*. his omnibus probabilius Schoemannus: *ἐν οἷς οὐκέτ' ἦν τὸ ἐπιμεῖναι καλὸν, αἰσχρὸν δ' ἤδη τὸ πεπαῦσθαι (παύσασθαι)*. 39. *τὸ παύσασθαι* S^gP: *τοπάσασθαι* v, *τὸ πεπαῦσθαι* ABCSπV. 40. *ἐκ τῆς*] *ἐκτὸς τῆς* B (non *ἐκτὸς*). 41. *Ἄγιν* Schaeferus et passim liber unus et alter: *Ἄγιν* v et deinceps. 43. *ἐκλελοιπύιαν* S^g. 44. *ἀπεχθάνοντο* pr. S^gP. 45. *οὖν* om C.

III. Ἐπεὶ παρεισέδυ πρῶτον εἰς τὴν πόλιν ἀργύρου καὶ χρυσοῦ ζῆλος καὶ συνηκολούθησε τοῦ πλούτου τῇ μὲν κτήσει πλεονεξία καὶ μικρολογία, τῇ δὲ χρήσει καὶ ἀπολαύσει τρυφὴ καὶ μαλακία καὶ πολυτέλεια, τῶν πλείστων ἐξέπεσεν ἡ Σπάρτη καλῶν καὶ ταπεινὰ πράττουσα παρ' ἀξίαν διετέλει μέχρι τῶν χρόνων ἐκείνων, ἐν οἷς Ἄγις καὶ Λεωνίδας ἐβασίλευον, Ἄγις μὲν Εὐρυπωντίδης καὶ Εὐδαμίδα παῖς, ἕκτος ἀπὸ Ἀγησιλάου τοῦ διαβάντος εἰς τὴν Ἀσίαν καὶ μέγιστον Ἑλλήνων δυνηθέντος· ἦν γὰρ Ἀγησιλάου μὲν Ἀρχίδαμος ὁ περὶ Μανδόνιον τῆς Ἰταλίας ὑπὸ Μεσσαπίων ἀποθανών, Ἀρχιδάμου δὲ πρεσβύτερος μὲν υἱὸς Ἄγις, Εὐδαμίδας δὲ νεώτερος, ὃς, Ἄγιδος ὑπὸ Ἀντιπάτρου περὶ Μεγάλην πόλιν ἀναιρεθέντος ἀτέκνου, τὴν βασιλείαν ἔσχε, τούτου δὲ Ἀρχίδαμος, Ἀρχιδάμου δὲ ἕτερος Εὐδαμίδας, Εὐδαμίδα δὲ Ἄγις, περὶ οὗ τάδε γέγραπται· Λεωνίδας δὲ ὁ Κλεωνύμου τῆς μὲν ἑτέρας οἰκίας ἦν Ἀγιάδης, ὄγδοος δὲ ἀπὸ Παυσανίου τοῦ νικήσαντος ἐν Πλαταιαῖς μάχῃ Μαρδόνιον. Παυσανίας γὰρ υἱὸν ἔσχε Πλειστώνακτα, Πλειστῶναξ δὲ Παυσανίαν, οὗ φυγόντος εἰς Τεγέαν ἐκ Λακεδαίμονος ὅ τε πρεσβύτερος υἱὸς Ἀγησίπολις ἐβασίλευσε καὶ τούτου τελευτήσαντος ἀτέκνου Κλεόμβροτος ὁ νεώτερος. Ἐκ δὲ Κλεομβρότου πάλιν ἄλλος Ἀγησίπολις ἦν καὶ Κλεομένης, ὧν Ἀγησίπολις μὲν οὔτε ἦρξε πολὺν χρόνον οὔτε παῖδας ἔσχε, Κλεομένης δὲ βασιλεύσας μετὰ Ἀγησίπολιν τὸν μὲν πρεσβύτερον τῶν υἱῶν Ἀκρότατον ἔτι ζῶν ἀπέβαλε, νεώτερον δὲ Κλεώνυμον κατέλιπεν, ὃς οὐκ ἐβασίλευσεν, ἀλλ' Ἄρεως νιωνὸς ὢν Κλεομένους, Ἀκροτάτου δ' υἱός· Ἄρεως δὲ πεσόντος περὶ Κόρινθον υἱὸς ὢν Ἀκρότατος τὴν βασιλείαν κατέσχεν. Ἀπέθανε δὲ καὶ οὗτος ἥττη- 797

5, 133—34 H.

III. 2. τοῦ πλούτου om C. 7. Εὐρυπωντίδης Coraes: εὐρυτιώνδης libri, Εὐρυτιωνίδης v. 9. μανδώνιον Sg. sed utrumque corruptum. Μανδύριον corrigebat Cellarius geogr. ant. 1 p. 902. cf. Stephanum Byz. s. v. Livii 27, 15. Plinii h. n. 2, 103 (106). 10. Μεσσαπίων Reiskiana: μασσαπίων libri, cf. Pyrrh. 13. 15. 14. περὶ] ἐπὶ Stephaniana. 15. δὲ post Λεωνίδας om AB. 16. Ἀγιάδης Xylander Stephanus: ἀπάδης libri. 17. μάχῃ μαρδόνιον ἐν πλαταιαῖς C. 18. Πλειστῶναξ Schaeferus: Πλειστώναξ v. 19. τέγεαν AB et, ut videtur, corr. Sg. ἀγησίπολος P. 24. πρεσβύτατον ABC. 25. ἐπέβαλεν P. 26. Ἄρευς] cf. ad Pyrrh. 26, 59. 27. υἱὸς Coraes: υἱὸς Ἄρεως libri.

ὑτεὶς μάχῃ περὶ Μεγάλην πόλιν ὑπὸ Ἀριστοδήμου τοῦ τυράννου, καταλιπὼν ἐγκύμονα τὴν γυναῖκα. Παιδίου δὲ ἄῤῥενος γενομένου Λεωνίδας ὁ Κλεωνύμου τὴν ἐπιτροπὴν ἔσχεν, εἶτα πρὶν ἐν ἡλικίᾳ γενέσθαι τελευτήσαντος, οὕτως εἰς αὐτὸν ἡ βασιλεία περιῆλθεν οὐ πάνυ τοῖς πολίταις εὐάρμοστον ὄντα. Καίπερ γὰρ ἐγκεκλικότων ἤδη τῇ διαφθορᾷ τοῦ πολιτεύματος ὁμαλῶς ἁπάντων, ἦν τις ἐν τῷ Λεωνίδᾳ τῶν πατρώων ἐπιφανὴς ἐκδιαίτησις, ἅτε δὴ χρόνον εἰλινδημένῳ πολὺν ἐν αὐλαῖς σατραπικαῖς καὶ τεθεραπευκότι Σέλευκον, εἶτα τὸν ἐκεῖθεν ὄγκον εἰς Ἑλληνικὰ πράγματα καὶ νόμιμον ἀρχὴν οὐκ ἐμμελῶς μεταφέροντι.

IV. Ὁ δ' Ἄγις οὕτω πολὺ παρήλλαττεν εὐφυΐᾳ καὶ φρονήματι ψυχῆς οὐ μόνον τοῦτον, ἀλλὰ σχεδὸν ἅπαντας, ὅσοι μετ' Ἀγησίλαον τὸν μέγαν ἐβασίλευσαν, ὥστε μηδέπω γεγονὼς εἰκοστὸν ἔτος, ἐντεθραμμένος δὲ πλούτοις καὶ τρυφαῖς γυναικῶν, τῆς τε μητρὸς Ἀγησιστράτας καὶ τῆς μάμμης Ἀρχιδαμίας, αἳ πλεῖστα χρήματα Λακεδαιμονίων ἐκέκτηντο, πρός τε τὰς ἡδονὰς εὐθὺς ἀπισχυρίσασθαι καὶ τὸν ἐπιπρέψαι μάλιστα τῇ χάριτι τῆς μορφῆς ὡραϊσμὸν δοκοῦντα περισπάσας τοῦ σώματος καὶ πᾶσαν ἐκδὺς καὶ διαφυγὼν πολυτέλειαν ἐγκαλλωπίζεσθαι τῷ τριβωνίῳ καὶ δεῖπνα καὶ λουτρὰ καὶ διαίτας Λακωνικὰς ζητεῖν καὶ λέγειν, ὡς οὐδὲν δέοιτο τῆς βασιλείας, εἰ μὴ δι' αὐτὴν ἀναλήψοιτο τοὺς νόμους καὶ τὴν πάτριον ἀγωγήν.

V. Ἀρχὴν μὲν οὖν διαφθορᾶς καὶ τοῦ νοσεῖν ἔσχε τὰ πράγματα τῶν Λακεδαιμονίων σχεδὸν ἀφ' οὗ τὴν Ἀθηναίων καταλύσαντες ἡγεμονίαν χρυσίου τε καὶ ἀργυρίου κατέπλησαν ἑαυτούς. Οὐ μὴν ἀλλὰ καὶ τὸν οἴκων ὃν ὁ Λυκοῦργος ὥρισε

5, 134—36 H.

---

34. γὰρ om P. ἐγκεκλικότων Bryani ABC: ἐκκεκλικότων v. διαφορᾷ PGi. 35. κλεωνίδᾳ S^{g}ABC. exspectes πατρίων, quamquam cf. Aem. P. 3, 6. 36. εἰλινδημένῳ pr. S^{g}: ἡλινδημένῳ corr S^{g}ABC, εἰλινδημένῳ v, εἰλινδημένον G.

IV. 3. μηδέπω PABC: μηδέ πω S^{g}, μήπω v. 6. ἀρχιδαμείας pr. S^{g}BC. 7. τὸν ἐπιπρέψαι Bryanus: τὸ μὴ ἐπιτρέψαι libri. 11. ζητεῖν] καλεῖν AB, ζητεῖν καὶ om C. 12. αὐτὴν S^{g}PABCGSTη cod. Stephani (‚legitur etiam') x: αὐτὸν v.

V. 1. διαφορᾶς libri praeter a. 3. ἀργύρου AB. 4. τὸν οἴκων ὃν ego: τὸν οἶκον ὃν libri praeter A qui τὸν οἶκον ὃν et S

φυλαττόντων ἀριθμὸν ἐν ταῖς διαδοχαῖς καὶ πατρὸς παιδὶ τὸν κλῆρον ἀπολείποντος ἀμωσγέπως ἡ τάξις αὕτη καὶ ἰσότης διαμένουσα τὴν πόλιν ἐκ τῶν ἄλλων ἀνέφερεν ἁμαρτημάτων. Ἐφορεύσας δέ τις ἀνὴρ δυνατὸς, αὐθάδης δὲ καὶ χαλεπὸς τὸν τρόπον, Ἐπιτάδευς ὄνομα, πρὸς τὸν υἱὸν αὐτῷ γενομένης διαφορᾶς ῥήτραν ἔγραψεν ἐξεῖναι τὸν οἶκον αὐτοῦ καὶ τὸν κλῆρον ᾧ τις ἐθέλοι καὶ ζῶντα δοῦναι καὶ καταλιπεῖν διατιθέμενον. Οὗτος μὲν οὖν αὐτοῦ τινα θυμὸν ἀποπιμπλὰς ἴδιον εἰσήνεγκε τὸν νόμον· οἱ δὲ ἄλλοι πλεονεξίας ἕνεκα δεξάμενοι καὶ κυρώσαντες ἀπώλεσαν τὴν ἀρίστην κατάστασιν. Ἐκτῶντο γὰρ ἀφειδῶς ἤδη παρωθοῦντες οἱ δυνατοὶ τοὺς προσήκοντας ἐκ τῶν διαδοχῶν· καὶ ταχὺ τῆς εὐπορίας εἰς ὀλίγους συῤῥυείσης πενία τὴν πόλιν κατέσχεν ἀσχολίαν τῶν καλῶν καὶ ἀνελευθερίαν ἐπιφέρουσα μετὰ φθόνου καὶ δυσμενείας πρὸς τοὺς ἔχοντας. Ἀπελείφθησαν οὖν ἑπτακοσίων οὐ πλείονες Σπαρτιᾶται, καὶ τούτων ἴσως ἑκατὸν ἦσαν οἱ γῆν κεκτημένοι καὶ κλῆρον· ὁ δ' ἄλλος ὄχλος ἄπορος καὶ ἄτιμος ἐν τῇ πόλει παρεκάθητο, τοὺς μὲν ἔξωθεν πολέμους ἀργῶς καὶ ἀπροθύμως ἀμυνόμενος, ἀεὶ δέ τινα καιρὸν ἐπιτηρῶν μεταβολῆς καὶ μεταστάσεως τῶν παρόντων.

VI. Διὰ ταῦτα δὴ καλὸν ὁ Ἄγις, ὥσπερ ἦν, ποιούμενος, ἐξισῶσαι καὶ ἀναπληρῶσαι τὴν πόλιν ἐπειρᾶτο τῶν ἀνθρώπων. Οἱ μὲν οὖν νέοι ταχὺ καὶ παρ' ἐλπίδας ὑπήκουσαν αὐτῷ καὶ συναπεδύσαντο πρὸς τὴν ἀρετὴν ὥσπερ ἐσθῆτα τὴν δίαιταν ἐπ' ἐλευθερίᾳ συμμεταβάλλοντες. Τῶν δὲ πρεσβυτέρων, ἅτε δὴ πόῤῥω διαφθορᾶς γεγονότων, συνέβαινε τοῖς πλείστοις ὥσπερ ἐπὶ δεσπότην ἀγομένους ἐκ δρασμοῦ δεδιέναι καὶ τρέμειν τὸν Λυκοῦργον, καὶ καθήπτοντο τοῦ Ἄγιδος ὀδυρομένου τὰ παρόντα πράγματα καὶ τὸ πα- 798

5, 136—37 H.

Muretі qui item ex corr τῶν οἴκων ὤν, et sic Vx. 5. φυλαττόντων Reiskius: φυλάττειν τὸν libri. 6. ἀπολείποντος Coraes: ἀπολιπόντος v. ἀμωσγέπως $S^{g}AB$: ἀμωσγέπως v. 8. δὲ καὶ] καὶ ABC. 11. ζῶν C. 12. ἀποπιπλὰς P pr. A, ἐμπιπλὰς B. 17. ῥυείσης G. ἀσχολίαν τῶν καλῶν καὶ ἀνελευθερίαν Schoemannus: ἀνελευθερίαν τῶν καλῶν καὶ ἀσχολίαν libri, ἀνελευθερίαν καὶ τῶν καλῶν ἀσχολίαν Bryanus, ἀνελευθερίαν καὶ ἀσχολίαν τῶν καλῶν videtur voluisse x. 20. οὐ om pr. ABV, οἱ C. 21. ὄχλος om ia, praeter ceteros praestant STR. ἄτιμος καὶ ἄπορος ABC.

VI. 4. αὐτῶν P. 6. τῆς διαφθορᾶς C.

λαιὸν ἀξίωμα τῆς Σπάρτης ἐπιποθοῦντος. Λύσανδρος δὲ ὁ Λίβυος καὶ Μανδροκλείδας ὁ Ἐκφάνους, ἔτι δὲ Ἀγησίλαος ἀπεδέξαντο καὶ συμπαρώρμησαν αὐτοῦ τὴν φιλοτιμίαν. Ἦν δὲ Λύσανδρος μὲν ἐν δόξῃ μάλιστα τῶν πολιτῶν, Μανδροκλείδας δὲ δεινότατος Ἑλλήνων πράγματα συσκευάσασθαι καὶ τὸ συνετὸν τοῦτο καὶ δολερὸν τόλμῃ μεμιγμένον ἔχων· Ἀγησίλαον δὲ θεῖον ὄντα τοῦ βασιλέως καὶ δυνατὸν εἰπεῖν, ἄλλως δὲ μαλακὸν καὶ φιλοχρήματον, ἐμφανῶς μὲν ὁ υἱὸς Ἱπομέδων ἐκίνει καὶ παρεθάρρυνεν, εὐδόκιμος ἐν πολλοῖς πολέμοις ἀνὴρ καὶ μέγα δι' εὔνοιαν τῶν νέων δυνάμενος, ἡ δὲ ἀληθῶς ἀναπείσασα τὸν Ἀγησίλαον αἰτία τῶν πραττομένων μετασχεῖν ὀφλημάτων πλῆθος ἦν, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι μεταβάλλων τὴν πολιτείαν. Ὡς οὖν τάχιστα προσηγάγετο τοῦτον ὁ Ἄγις, εὐθὺς ἐπιχειρεῖ μετ' αὐτοῦ τὴν μητέρα πείθειν, ἀδελφὴν οὖσαν τοῦ Ἀγησιλάου, πλήθει δὲ πελατῶν καὶ φίλων καὶ χρεωστῶν μέγα δυναμένην ἐν τῇ πόλει καὶ πολλὰ τῶν κοινῶν διαπραττομένην.

VII. Ἡ δὲ ἀκούσασα τὸ μὲν πρῶτον ἐξεπλάγη καὶ κατέπαυε τὸ μειράκιον ὡς οὔτε δυνατῶν οὔτε λυσιτελῶν ἐφιέμενον. Ἐπεὶ δὲ ταῦτα μὲν ὁ Ἀγησίλαος ἐδίδασκεν ὡς καλῶς ἕξει καὶ πραχθήσεται συμφερόντως, αὐτὸς δὲ ὁ βασιλεὺς ἐδεῖτο τῆς μητρὸς ἐπιδοῦναι πρὸς δόξαν αὐτῷ καὶ φιλοτιμίαν τὸν πλοῦτον, ὡς χρήμασι μὲν οὐ δυνάμενος πρὸς τοὺς ἄλλους βασιλεῖς ἐξισωθῆναι (σατραπῶν γὰρ οἰκέτας καὶ δούλους ἐπιτρόπων Πτολεμαίου καὶ Σελεύκου κεκτῆσθαι πλείονα συμπάντων ὁμοῦ τῶν ἐν Σπάρτῃ βασιλέων), ἐὰν δὲ σωφροσύνῃ καὶ λιτότητι καὶ μεγαλοψυχίᾳ τὰς ἐκείνων ὑπερβαλλόμενος τρυφὰς ἰσότητα καὶ κοινωνίαν καταστήσῃ τοῖς πολίταις, ὄνομα καὶ δόξαν ὡς ἀληθῶς βασιλέως μεγάλου κτησόμενος, οὕτω μετέπεσον ταῖς γνώμαις αἱ γυναῖκες ὑπὸ τῆς φιλοτιμίας ἐπαρθεῖσαι τοῦ νεανίσκου καὶ τοσαύτῃ κατεσχέ-

5, 137—38 H.

---

11. ἐκφαίους a, Ἐκφανοῦς Stephanus. 13. μανδροκλείδης hic quidem P. 14. δυνατώτατος C. 16. δὲ Schaeferi post Ἀγησίλαον C: μὲν v, μέντοι Schoemannus. 24. πλήθει τε C.

VII. 2. κατέπαυσε AB. 7. γὰρ] δὲ C. 9. ἐὰν] ἐν P. 10. ἐκείνου a et v. ὑπερβαλόμενος Corais C. 11. κατακτήσῃ] κατέλιπε P. 12. μεγάλου om ABCV. 14. τοσαῦται ABV, τοσοῦτον C.

θησαν οἷον ἐπιπνοίᾳ πρὸς τὸ καλὸν, ὥστε τὸν μὲν Ἄγιν συνεξορμᾶν καὶ συνεπιταχύνειν, μεταπεμπομένας δὲ τοὺς φίλους παρακαλεῖν καὶ ταῖς ἄλλαις διαλέγεσθαι γυναιξὶν, ἅτε δὴ τοὺς Λακεδαιμονίους ἐπισταμένας κατηκόους ὄντας ἀεὶ τῶν γυναικῶν καὶ πλεῖον ἐκείναις τῶν δημοσίων ἢ τῶν ἰδίων αὐτοῖς πολυπραγμονεῖν διδόντας. Ἦν δὲ τότε τῶν Λακωνικῶν πλούτων ἐν ταῖς γυναιξὶ τὸ πλεῖστον, καὶ τοῦτο τὴν πρᾶξιν τῷ Ἄγιδι δύσεργον καὶ χαλεπὴν ἐποίησεν. Ἀντέστησαν γὰρ αἱ γυναῖκες οὐ μόνον τρυφῆς ἐκπίπτουσαι δι' ἀπειροκαλίαν εὐδαιμονιζομένης, ἀλλὰ καὶ τιμὴν καὶ δύναμιν, ἣν ἐκ τοῦ πλουτεῖν ἐκαρποῦντο, περικοπτομένην αὐτῶν ὁρῶσαι. Καὶ πρὸς τὸν Λεωνίδαν τραπόμεναι παρεκάλουν ὄντα πρεσβύτερον ἐπιλαμβάνεσθαι τοῦ Ἄγιδος καὶ τὰ πραττόμενα διακωλύειν. Ἐβούλετο μὲν οὖν ὁ Λεωνίδας τοῖς πλουσίοις βοηθεῖν, δεδιὼς δὲ τὸν δῆμον ἐπιθυμοῦντα τῆς μεταβολῆς οὐδὲν ἀντέπραττε φανερῶς, λάθρα δὲ τὴν πρᾶξιν ἐζήτει κακουργεῖν καὶ διαφθείρειν ἐντυγχάνων τοῖς ἄρχουσι καὶ διαβάλλων τὸν Ἄγιν, ὡς τυραννίδος μισθὸν τοῖς πένησι τὰ τῶν πλουσίων προτείνοντα καὶ γῆς μεταδόσεσι καὶ χρεῶν ἀφέσεσι πολλοὺς ὠνούμενον ἑαυτῷ δορυφόρους, οὐ τῇ Σπάρτῃ πολίτας.

VIII. Οὐ μὴν ἀλλὰ διαπραξάμενος ὁ Ἄγις ἔφορον γενέσθαι τὸν Λύσανδρον εὐθὺς εἰσέφερε δι' αὐτοῦ ῥήτραν εἰς τοὺς γέροντας, ἧς ἦν κεφάλαια, χρεῶν μὲν ἀφεθῆναι τοὺς ὀφείλοντας, τῆς δὲ γῆς ἀναδασθείσης τὴν μὲν ἀπὸ τοῦ κατὰ Πελλήνην χαράδρου πρὸς τὸ Ταΰγετον καὶ Μαλέαν καὶ Σελασίαν κλήρους γενέσθαι τετρακισχιλίους πεντακοσίους, τὴν δ' ἔξω μυρίους πεντακισχιλίους· καὶ ταύτην μὲν τοῖς 799
ὅπλα φέρειν δυναμένοις τῶν περιοίκων μερισθῆναι, τὴν δὲ

5, 138—39 H.

---

24. εὐδαιμονιζομένης corr A ‚vetusta exemplaria' Stephani x: εὐδαιμονιζομένην v. 25. αὐτὴν Gia. 33. μεταδόσεσι — ἀφέσεσι Reiskius: μετάδοσιν — ἄφεσιν libri.

VIII. 2. εἰσέφερε δι' αὐτοῦ S^g: εἰσέφερε δι' ἑαυτοῦ ABCSπV, εἰσέφερεν ἑαυτοῦ v. 3. κεφάλαιον P. 5. πρὸς τὴν τέγεαν P. sed marg. γρ. πρὸς τὸ ταΰγετον. μαλλέαν pr. S^gia. 6. σελαρίαν S^gABC: Σελλασίαν v. κλήρου G. τετρακισχιλίους μυρίους πεντακοσίους (sic) P. 7. ταῦτα PGia et v. 8. ὅπλα φέρειν S^g: ὁπλοφορεῖν v

ἐντὸς αὐτοῖς Σπαρτιάταις· ἀναπληρωθῆναι δὲ τούτους ἔκ τε περιοίκων καὶ ξένων, ὅσοι τροφῆς μετεσχηκότες ἐλευθερίου καὶ χαρίεντες ἄλλως τοῖς σώμασι καὶ καθ' ἡλικίαν ἀκμάζοντες εἶεν· σύνταξιν δὲ τούτων εἰς πεντεκαίδεκα γενέσθαι φιδίτια κατὰ τετρακοσίους καὶ διακοσίους καὶ δίαιταν ἣν εἶχον οἱ πρόγονοι διαιτᾶσθαι.

IX. Γραφείσης δὲ τῆς ῥήτρας καὶ τῶν γερόντων εἰς ταὐτὸ ταῖς γνώμαις οὐ συμφερομένων, ἐκκλησίαν συναγαγὼν ὁ Λύσανδρος αὐτός τε διελέχθη τοῖς πολίταις καὶ Μανδροκλείδας καὶ Ἀγησίλαος ἐδέοντο, μὴ δι' ὀλίγους ἐντρυφῶντας αὐτοῖς περιϊδεῖν ἐῤῥιμμένον τὸ ἀξίωμα τῆς Σπάρτης, ἀλλὰ τῶν τε προτέρων χρησμῶν μνημονεῦσαι, τὴν φιλοχρημοσύνην, ὡς ὀλέθριον τῇ Σπάρτῃ, φυλάττεσθαι διακελευομένων, καὶ τῶν ἔναγχος ἐκ Πασιφάας κεκομισμένων αὐτοῖς. Ἱερὸν δὲ Πασιφάας καὶ μαντεῖον ἦν ἐν Θαλάμαις τιμώμενον, ἣν τινὲς μὲν ἱστοροῦσι τῶν Ἀτλαντίδων μίαν οὖσαν ἐκ Διὸς τὸν Ἄμμωνα τεκεῖν, τινὲς δὲ Κασάνδραν τὴν Πριάμου τελευτήσασαν ἐνταῦθα καὶ διὰ τὸ πᾶσι φαίνειν τὰ μαντεῖα Πασιφάαν προσαγορευθεῖσαν. Ὁ δὲ Φύλαρχος Ἀμύκλα θυγατέρα Λάφνην τοὔνομα φησὶν ὑποφεύγουσαν Ἀπόλλωνα βουλόμενον αὐτῇ μιγῆναι καὶ μεταβαλοῦσαν εἰς τὸ φυτὸν ἐν τιμῇ τοῦ θεοῦ γενέσθαι καὶ μαντικὴν λαβεῖν δύναμιν. Ἔφασαν οὖν καὶ τὰ παρὰ ταύτης μαντεῖα προστάττειν τοῖς Σπαρτιάταις ἔσους γενέσθαι πάντας καθ' ὃν ὁ Λυκοῦργος ἐξ ἀρχῆς ἔταξε νόμον. Ἐπὶ πᾶσι δὲ βασιλεὺς Ἄγις εἰς μέσον παρελθὼν καὶ βραχέα διαλεχθεὶς ἔφη συμβολὰς διδόναι τῇ πολιτείᾳ μεγίστας, ἣν καθίστησι· τὴν γὰρ αὐτοῦ πρῶτον οὐσίαν εἰς μέσον τιθέναι, πολλὴν μὲν οὖσαν ἐν τοῖς γεωργουμένοις καὶ νεμομένοις, ἄνευ δὲ τούτων ἑξακόσια τάλαντα νομίσματος
5, 139—41 H.

---

11. χαρίεντες x: χαρίεντος libri, χάριτος Stephaniana.

IX. 2. αὐτὸ pr. S^{g}PGia. 3. διειλέχθη C. 5. ἐριμμένον PGia, ἐῤῥιμένον B. 6. τε addidit Reiskius. 8. τῶν] τὸν S^{g}P, τὸ ABC. κεκομισμένον αὐτοῖς v omissa addiderunt S^{g} (qui κεκοσμημένον) ABCV, correxit Coraes. 9. Θαλάμαις Xylander: Θαλαμίαις libri. 10. ἐκ Reiskius: τῶν ἐκ libri. 14. ὑποφυγοῦσαν Schaeferus. 15. μεταβαλοῦσαν Coraes: μεταβάλλουσαν libri. εἰς om B. τῷ θεῷ C. 19. προελθὼν S^{g}, προελθὼν P.

ἔχουσαν· τὸ δὲ αὐτὸ καὶ τὰς μητέρας ποιεῖν καὶ τοὺς φίλους καὶ οἰκείους πλουσιωτάτους ὄντας Σπαρτιατῶν.

X. Ὁ μὲν οὖν δῆμος ἐξεπλάγη τὴν μεγαλοψυχίαν τοῦ νεανίσκου καὶ περιχαρὴς ἦν, ὡς δι' ἐτῶν ὁμοῦ τριακοσίων πεφηνότος ἀξίου τῆς Σπάρτης βασιλέως· ὁ δὲ Λεωνίδας τότε δὴ μάλιστα πρὸς τοὐναντίον ἐφιλονείκησε. Λογιζόμενος γὰρ, ὅτι ταὐτὰ μὲν ἀναγκασθήσεται ποιεῖν, οὐ τὴν αὐτὴν δὲ χάριν ἕξει παρὰ τοῖς πολίταις, ἀλλὰ πάντων ὁμοίως ἃ κέκτηνται κατατιθεμένων μόνῳ τῷ ἀρξαμένῳ προσθήσουσι τὴν τιμὴν, ἠρώτα τὸν Ἄγιν, εἰ δίκαιον ἄνδρα καὶ σπουδαῖον ἡγεῖται γεγονέναι Λυκοῦργον. Ὁμολογήσαντος δ' ἐκείνου „Ποῦ τοίνυν" ἔφη „Λυκοῦργος ἢ χρεῶν ἀποκοπὰς ἔδωκεν ἢ ξένους κατέταξεν εἰς τὴν πολιτείαν, ὃς οὐδὲ ὅλως ἐνόμιζεν ὑγιαίνειν τὴν πόλιν μὴ χρωμένην ξενηλασίαις;" Ὁ δὲ Ἄγις ἀπεκρίνατο μὴ θαυμάζειν τὸν Λεωνίδαν, εἰ τεθραμμένος ἐν ξέρῃ καὶ πεπαιδοποιημένος ἐκ γάμων σατραπικῶν ἀγνοεῖ τὸν Λυκοῦργον, ὅτι τὸ μὲν ὀφείλειν καὶ δανείζειν ἅμα τῷ νομίσματι συνεξέβαλεν ἐκ τῆς πόλεως, τῶν δ' ἐν ταῖς πόλεσι ξένων τοὺς τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις ἀσυμφύλους μᾶλλον ἐδυσχέραινε· καὶ γὰρ ἐκείνους ἤλαυνεν οὐ τοῖς σώμασι πολεμῶν, ἀλλὰ τοὺς βίους αὐτῶν καὶ τοὺς τρόπους διώς, μὴ συναναχρωννύμενοι τοῖς πολίταις τρυφῆς καὶ μαλακίας καὶ πλεονεξίας ἐντέκωσι ζῆλον· ἐπεὶ Τέρπανδρόν τε καὶ Θάλητα καὶ Φερεκύδην ξένους ὄντας, ὅτι τὰ αὐτὰ τῷ Λυκούργῳ διέτελουν ᾄδοντες καὶ φιλοσοφοῦντες, ἐν Σπάρτῃ τιμηθῆναι διαφερόντως. „Σὺ δὲ Ἐκπρέπη μὲν" ἔφησεν, „ἐπαινεῖς, ὃς ἐφορεύων Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἑννέα χορδῶν ἐξέτεμε, καὶ τοὺς ἐπὶ Τιμοθέῳ πάλιν τὸ αὐτὸ τοῦτο πράξαντας, ἡμᾶς δὲ μέμφῃ τρυφὴν καὶ 800
πολυτέλειαν καὶ ἀλαζονείαν ἐκ τῆς Σπάρτης ἀναιροῦντας, ὥσπερ οὐχὶ κἀκείνων τὸ ἐν μουσικῇ σοβαρὸν καὶ περιττὸν, ὅπως ἐνταῦθα μὴ προέλθῃ, φυλαττομένων, ὅπου γενομένων

5, 141—42 H.

---

25. καὶ οἰκείους καὶ τοὺς φίλους S^g. τῶν σπαρτιατῶν C.

X. 5. ταὐτὰ Reiskii ut videtur pr. S^g: ταῦτα v. 11. ξένους] πράξεις P. 12. ὑγιαίνειν τὴν πόλιν ἐνόμιζε C. ξυνηλασίαις P. 21. τε] γε Reiskii nuperi. 24. Ἐκπρέπη Coraes: Ἐκπρεπῆ v. μὲν ἔφησεν ἐπαινεῖς S^gPABC: μὲν ἐπαινεῖς ἔφησεν v. 30. προελθῃ Reiskii non confirmant libri. ὅπου γενομένων] nec

βίων καὶ τρόπων ἀμετρία καὶ πλημμέλεια τὴν πόλιν ἀσύμφωνον καὶ ἀνάρμοστον ἑαυτῇ πεποίηκεν.“

XI. Ἐκ τούτου τῷ μὲν Ἄγιδι τὸ πλῆθος ἐπηκολούθησεν, οἱ δὲ πλούσιοι τόν τε Λεωνίδαν παρεκάλουν μὴ σφᾶς προέσθαι καὶ τοὺς γέροντας, οἷς τὸ κράτος ἦν ἐν τῷ προβουλεύειν, δεόμενοι καὶ πείθοντες ἴσχυσαν, ὅσον ἐνὶ πλείονας γενέσθαι τοὺς ἀποψηφισαμένους τὴν ῥήτραν. Ὁ δὲ Λύσανδρος ἔτι τὴν ἀρχὴν ἔχων ὥρμησε τὸν Λεωνίδαν διώκειν κατὰ δή τινα νόμον παλαιὸν, ὃς οὐκ ἐᾷ τὸν Ἡρακλείδην ἐκ γυναικὸς ἀλλοδαπῆς τεκνοῦσθαι, τὸν δὲ ἀπελθόντα τῆς Σπάρτης ἐπὶ μετοικισμῷ πρὸς ἑτέρους ἀποθνήσκειν κελεύει. Ταῦτα κατὰ τοῦ Λεωνίδα λέγειν ἑτέρους διδάξας αὐτὸς παρεφύλαττε μετὰ τῶν συναρχόντων τὸ σημεῖον. Ἔστι δὲ τοιόνδε· δι' ἐτῶν ἐννέα λαβόντες οἱ ἔφοροι νύκτα καθαρὰν καὶ ἀσέληνον σιωπῇ καθέζονται πρὸς οὐρανὸν ἀποβλέποντες. Ἐὰν οὖν ἐκ μέρους τινὸς εἰς ἕτερον μέρος ἀστὴρ διάξῃ, κρίνουσι τοὺς βασιλεῖς ὡς περὶ τὸ θεῖον ἐξαμαρτάνοντας καὶ καταπαύουσι τῆς ἀρχῆς, μέχρις ἂν ἐκ Δελφῶν ἢ Ὀλυμπίας χρησμὸς ἔλθῃ τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν. Τοῦτο δὴ τὸ σημεῖον αὐτῷ γεγονέναι λέγων ὁ Λύσανδρος κρίσιν τῷ Λεωνίδᾳ προὔθηκε καὶ μάρτυρας παρεῖχεν, ὡς ἐκ γυναικὸς Ἀσιανῆς, ἣν τῶν Σελεύκου τινὸς ὑπάρχων αὐτῷ συνοικίσαντος ἔσχε, τεκνώσαιτο δύο παιδία· δυσχεραινόμενος δὲ καὶ μισούμενος ὑπὸ τῆς γυναικὸς ἐπανέλθοι παρὰ γνώμην οἴκαδε καὶ διαδοχῆς ἔρημον ἀνέλοιτο βασιλειον. Ἅμα δε τῇ δίκῃ Κλεόμβροτον ἔπειθε τῆς βασιλείας ἀντιποιεῖσθαι γαμ

5, 142—43 H.

ὅπου γενομένη τῶν Emperii nec ὅπου γε νῦν ἡ τῶν Schoemanni puto opus esse. 31. πλημμελεία corr A.

XI. 1. τῷ] τὸ C. 2. τε om B. σφᾶς P. 3. προϊέσθαι B, προΐεσθαι ASTV. οἷς τὸ κράτος S^g[ABC]: οἷς τὸ κράτιστον PG et v, ὧν τὸ κράτιστον marg. A, ὧν τὸ κράτος Sη marg. PVx. 5. ῥῆτραν pr. S^g, ῥητρὰν corr S^g. 10. λεωνίδα S^gPABC: Λεωνίδου v. διδάξας ἑτέρους P. 14. δι' — 13 ἀποβλέποντες om C. 13. πρὸς S^g: πρὸς τὸν v. 12. οὖν om C. 16. ὀλυμπιάσι pr. ABCπT, ὀλυμπιὰς V. 17. χρησμὸς om G. 20. ἦν] καὶ C. ἱππάρχων corr S^g. συνοικισαντος Bryani [PABC]: συνοικήσαντος v. 21. τεκνώσαιτο S^gPRTVx: τεκνῶσαι τὰ ABCV, τεκνῶσαι v. 23. ἀνέλοιτο S^g: ἀνέλοι τὸ v, praestat fortasse ἀνέλοιτο τὸ Schoemanni.

βρὸν ὄντα τοῦ Λεωνίδα, γένους δὲ τοῦ βασιλικοῦ. Φοβηθεὶς οὖν ὁ Λεωνίδας ἱκέτης γίνεται τῆς Χαλκιοίκου, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρὶ τὸν Κλεόμβροτον ἀπολιποῦσα. Καλουμένου δὲ πρὸς τὴν δίκην αὐτοῦ καὶ μὴ καταβαίνοντος, ἐκεῖνον ἀποψηφισάμενοι τὴν βασιλείαν τῷ Κλεομβρότῳ παρέδωκαν.

XII. Ἐν τούτῳ δὲ τῆς ἀρχῆς ὁ Λύσανδρος ἀπηλλάγη τοῦ χρόνου διελθόντος. Οἱ δὲ κατασταθέντες ἔφοροι τὸν μὲν Λεωνίδαν ἀνέστησαν ἱκετεύοντα, τῷ δὲ Λυσάνδρῳ καὶ τῷ Μανδροκλείδᾳ δίκην ἐπῆγον ὡς παρὰ τὸν νόμον χρεῶν ἀποκοπὰς καὶ γῆν ἀναδάσασθαι ψηφισαμένοις. Κινδυνεύοντες οὖν ἐκεῖνοι πείθουσι τοὺς βασιλεῖς ὁμοῦ γενομένους χαίρειν ἐᾶν τὰ τῶν ἐφόρων βουλεύματα· τοῦτο γὰρ τὸ ἀρχεῖον ἰσχύειν ἐκ διαφορᾶς τῶν βασιλέων τῷ τὰ βελτίονα λέγοντι προστιθέμενον τὴν ψῆφον, ὅταν ἄτερος ἐρίζῃ πρὸς τὸ συμφέρον· ἀμφοῖν δὲ ταὐτὰ βουλευομένων ἄλυτον εἶναι τὴν ἐξουσίαν καὶ παρανόμως μαχεῖσθαι πρὸς τοὺς βασιλεῖς, ὧν μαχομένων διαιτᾶν καὶ βραβεύειν αὐτοῖς εἶναι προσῆκον, οὐχὶ πολυπραγμονεῖν ὁμοφρονούντων. Οὕτω δὴ πεισθέντες ἀμφότεροι καὶ μετὰ τῶν φίλων εἰς ἀγορὰν καταβάντες ἀνέστησαν μὲν ἐκ τῶν δίφρων τοὺς ἐφόρους, ἄλλους δ' ἀντ' αὐτῶν ἀπέδειξαν, ὧν εἷς ἦν Ἀγησίλαος. Ὁπλίσαντες δὲ τῶν νέων πολλοὺς καὶ λύσαντες τοὺς δεδεμένους ἐγένοντο φοβεροὶ τοῖς ὑπεναντίοις, ὡς πολλοὺς ἀποκτενοῦντες. Ἀπέθανε δὲ οὐδεὶς ὑπ' αὐτῶν, ἀλλὰ καὶ Λεωνίδαν εἰς Τεγέαν ὑπεξιόντα βουληθέντος διαφθεῖραι τοῦ Ἀγησιλάου καὶ πέμψαντος ἐπ' αὐτὸν εἰς τὴν ὁδὸν ἄνδρας πυθόμενος ὁ Ἄγις ἑτέρους ἀπέστειλε πιστούς, οἳ τὸν Λεωνίδαν περισχόντες ἀσφαλῶς εἰς Τεγέαν κατέστησαν.

XIII. Οὕτω δὲ τῆς πράξεως αὐτοῖς ὁδῷ βαδιζούσης καὶ μηδενὸς ἐνισταμένου μηδὲ διακωλύοντος, εἷς ἀνὴρ, Ἀγησί- 801

5, 143—45 H.

25. λεωνίδα S^{E}: *Λεωνίδου* v. 29. *ἐκεῖνον* ego: *ἐκείνου* libri. *ψηφισάμενοι* C.

XII. 1. *τῆς* om ia et v. 2. *καταθέντες* i. 5. *ψηφισαμένους* BC. 10. *ταὐτὰ* Stephaniana: *ταῦτα* libri. 12. *προσῆκον* Stephaniana: *προσῆκεν* libri. 15. *ἐκ* om ia, praeter ceteros *σχόντες* addunt TπηS. 19. *τέγεαν* PAB et mox. 22. *περιστάντες* P.

XIII. 2. *μηδὲ* Coraes: *μὴ δὲ* ABC, *μήτε* v.

λαος, ἀνέτρεψε πάντα καὶ διελυμήνατο κάλλιστον διανόημα καὶ Λακωνικώτατον αἰσχίστῳ νοσήματι τῇ φιλοπλουτίᾳ διαφθείρας. Ἐπειδὴ γὰρ ἐκέκτητο μὲν ἐν τοῖς μάλιστα πολλὴν καὶ ἀγαθὴν χώραν, ὤφειλε δὲ πάμπολλα, μήτε διαλῦσαι δυνάμενος τὰ χρέα μήτε τὴν χώραν προέσθαι βουλόμενος ἔπεισε τὸν Ἄγιν, ὡς ἀμφοτέρων μὲν ἅμα πραττομένων μέγας ἔσοιτο περὶ τὴν πόλιν ὁ νεωτερισμός, εἰ δὲ τῇ τῶν χρεῶν ἀφέσει θεραπευθεῖεν οἱ κτηματικοὶ πρότερον, εὐκόλως ἂν αὐτῶν καθ' ἡσυχίαν ὕστερον ἐνδεξομένων τὸν ἀναδασμόν. Ταῦτα δὲ καὶ τοῖς περὶ Λύσανδρον ἐδόκει συνεξαπατωμένοις ὑπὸ τοῦ Ἀγησιλάου. Καὶ τὰ παρὰ τῶν χρεωστῶν γραμματεῖα συνενέγκαντες εἰς ἀγορὰν, ἃ κλάρια καλοῦσι, καὶ πάντα συνθέντες εἰς ἓν συνέπρησαν. Ἀρθείσης δὲ φλογὸς οἱ μὲν πλούσιοι καὶ δανειστικοὶ περιπαθοῦντες ἀπῆλθον, ὁ δὲ Ἀγησίλαος ὥσπερ ἐφυβρίζων οὐκ ἔφη λαμπρότερον ἑωρακέναι φῶς οὐδὲ πῦρ ἐκείνου καθαρώτερον. Ἀξιούντων δὲ τῶν πολλῶν καὶ τὴν γῆν εὐθὺς νέμεσθαι καὶ τῶν βασιλέων οὕτω ποιεῖν κελευόντων, ἀσχολίας τινὰς ἐμβάλλων ὁ Ἀγησίλαος ἀεὶ καὶ προφάσεις λέγων παρῆγε τὸν χρόνον, ἄχρι οὗ στρατεία συνέβη τῷ Ἄγιδι, μεταπεμπομένων τῶν Ἀχαιῶν συμμάχων ὄντων βοήθειαν ἐκ Λακεδαίμονος. Αἰτωλοὶ γὰρ ἦσαν ἐπίδοξοι διὰ τῆς Μεγαρικῆς ἐμβαλοῦντες εἰς Πελοπόννησον· καὶ τοῦτο κωλύσων Ἄρατος ὁ τῶν Ἀχαιῶν στρατηγὸς ἠθροιζε δύναμιν καὶ τοῖς ἐφόροις ἔγραφεν.

XIV. Οἱ δὲ τὸν Ἄγιν εὐθὺς ἐξέπεμπον ἐπηρμένον τῇ φιλοτιμίᾳ καὶ προθυμίᾳ τῶν συστρατευομένων. Νέοι γὰρ ὄντες οἱ πλεῖστοι καὶ πένητες καὶ τὴν μὲν ἀπὸ τῶν χρεῶν

5, 145—46 H.

3. *διανόημα* S^{g} marg. P: *νόμον* marg. S^{g} et v. 4. *τῇ*] *καὶ* C. 9. *περὶ*] *πρὸς* C. ὁ addidit S^{g} et AB [?] Duebneri. 10. *ἀφέσει* S^{g}: *ἀφαιρέσει* v. 11. *καθ'* PABC cl. Coriol. 14. Timol. 20. Dion. 4. Demetr. 38. Artax. 8. praef. ad Themist. p. 58: *καὶ καθ'* v. 12. *δὲ* om P. *περὶ* S^{g} pr. P: *περὶ τὸν* v. 13. *παρὰ*] *περὶ* ABC. 14. *συνενέγκαντες* S^{g}PABCGπRηTV: *συνειςενέγκαντες* v. *κλάριοι* C. 15. *συνέπρησαν* S^{g}PABCV: *ἐνέπρησαν* v. *τῆς φλογὸς* B. 18. *τῶν* om ABC. 20. *ἐμβάλλων* S^{g}PABC: *ἐμβάλων* G, *ἐμβαλὼν* v. 21. *παρῆγε* S^{g}ABCV: *παρήγαγε* v. *ἄχρι* S^{g}P pr. A: *ἄχρις* v. 25. *ὁ Ἄρατος* ὁ PABC.

XIV. 1. *ἐπηρμένοι* S^{g}PABCGV. 2. *νέοι*] *ξένοι* BV. 3. *μὲν* addiderunt S^{g}PABCGπRηTV.

ἄδειαν ἔχοντες ἤδη καὶ λελυμένοι, τοὺς δὲ ἀγροὺς ἐλπίζοντες, ἂν ἐπανέλθωσιν ἐκ τῆς στρατείας, νεμηθήσεσθαι, θαυμαστοὺς τῷ Ἄγιδι παρεῖχον ἑαυτούς· καὶ θέαμα ταῖς πόλεσιν ἦσαν ἀβλαβῶς καὶ πράως καὶ μονονοὺκ ἀψοφητὶ διαπορευόμενοι τὴν Πελοπόννησον, ὥστε θαυμάζειν καὶ διαλογίζεσθαι τοὺς Ἕλληνας, οἷος ἦν ἄρα κόσμος Λακωνικοῦ στρατεύματος Ἀγησίλαον ἔχοντος ἢ Λύσανδρον ἐκεῖνον ἢ Λεωνίδαν τὸν παλαιὸν ἡγούμενον, ὅπου πρὸς μειράκιον ὀλίγου δεῖν νεώτατον ἁπάντων αἰδὼς τοσαύτη καὶ φόβος ἐστὶ τῶν στρατευομένων. Καὶ μέντοι καὶ αὐτὸς ὁ νεανίσκος εὐτελείᾳ καὶ φιλοπονίᾳ καὶ τῷ μηδὲν ἰδιώτου λαμπρότερον ἠμφιέσθαι καὶ ὡπλίσθαι σεμνυνόμενος ἀξιοθέατος ἦν καὶ ζηλωτὸς ὑπὸ τῶν πολλῶν· ἐπεὶ τοῖς γε πλουσίοις οὐκ ἤρεσκεν ὁ νεωτερισμὸς αὐτοῦ δεδιόσι, μὴ κίνημα καὶ παράδειγμα τοῖς πανταχόσε δήμοις γένηται.

XV. Συμμίξας δὲ τῷ Ἀράτῳ περὶ Κόρινθον ὁ Ἄγις ἔτι βουλευομένῳ περὶ μάχης καὶ παρατάξεως πρὸς τοὺς πολεμίους ἐπεδείξατο καὶ προθυμίαν πολλὴν καὶ τόλμαν οὐ μανικὴν οὐδὲ ἀλόγιστον. Ἔφη γὰρ αὐτῷ μὲν δοκεῖν διαμάχεσθαι καὶ μὴ παριέναι τὸν πόλεμον εἴσω τὰς πύλας τῆς Πελοποννήσου προεμένους, ποιήσειν δὲ τὸ δοκοῦν Ἀράτῳ· καὶ γὰρ πρεσβύτερόν τε εἶναι καὶ στρατηγεῖν Ἀχαιῶν, οἷς οὐχὶ προστάξων οὐδὲ ἡγησόμενος, ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων. Ὁ δὲ Σινωπεὺς Βάτων αὐτὸν οὐκ ἐθέλειν μάχεσθαί φησι τὸν Ἄγιν Ἀράτου κελεύοντος, οὐκ ἐντετυχηκὼς οἷς Ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος, ὅτι βέλτιον ἡγεῖτο, τοὺς καρποὺς σχεδὸν ἅπαντας συγκεκομισμένων ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμίους ἢ μάχῃ διακινδυνεῦσαι περὶ τῶν ὅλων. Ἐπεὶ δ' οὖν Ἄρατος ἀπέγνω μάχεσθαι καὶ τοὺς συμμάχους ἐπαινέσας διαφῆκε, θαυμασθεὶς ὁ Ἄγις ἀνεζεύγνυεν ἤδη τῶν ἔνδον ἐν Σπάρτῃ θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν. 802

XVI. Ὁ γὰρ Ἀγησίλαος ἐφορεύων ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον

5, 146–47 H.

4. καὶ λελυμένοι] ἀπολελυμένοι pr. P. 7. μονονοὺκ S^g: μονονοῦ οὐκ P, μονοῦ καὶ v.

XV. 3. καὶ ante προθυμίαν om ABC. 7. προσάξων BV. 8. συστρατευόμενος AB. καὶ om ABC. 11. ἔγραφε C.

XVI. 1. ὁ] οὐ S^g.

ἀδικήματος, ἀλλὰ μῆνα τρισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων ἐνέβαλε τοῖς τέλεσι καὶ παρέπραττε. Λεδιὼς δὲ τοὺς ἀδικουμένους καὶ μισούμενος ὑπὸ πάντων ἔτρεφε μαχαιροφόρους καὶ φυλαττόμενος ὑπὸ τούτων κατέβαινεν εἰς τὸ ἀρχεῖον. Καὶ τῶν βασιλέων τοῦ μὲν ὅλως καταφρονεῖν, τὸν δὲ Ἄγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον ἢ διὰ τὴν βασιλείαν ἔν τινι τιμῇ τίθεσθαι. Διέδωκε δὲ λόγον ὡς καὶ αὖθις ἐφορεύσων. Διὸ καὶ θᾶσσον ἀποκινδυνεύσαντες οἱ ἐχθροὶ καὶ συστάντες ἐκ Τεγέας ἀναφανδὸν τὸν Λεωνίδαν ἐπὶ τὴν ἀρχὴν κατήγαγον, ἡδέως καὶ τῶν πολλῶν θεασαμένων· ὠργίζοντο γὰρ πεφενακισμένοι τῆς χώρας μὴ νεμηθείσης. Τὸν μὲν οὖν Ἀγησίλαον ὁ υἱὸς Ἱππομέδων δεύμενος τῶν πολιτῶν καὶ πᾶσι προσφιλὴς ὢν δι' ἀνδραγαθίαν ὑπεξήγαγε καὶ διέσωσε. Τῶν δὲ βασιλέων ὁ μὲν Ἄγις ἐπὶ τὴν Χαλκίοικον κατέφυγεν, ὁ δὲ Κλεόμβροτος εἰς τὸ τοῦ Ποσειδῶνος ἱερὸν ἐλθὼν ἱκέτευε· καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ Λεωνίδας χαλεπὸς εἶναι, καὶ παρεὶς τὸν Ἄγιν ἐπὶ τοῦτον ἀνέβη στρατιώτας ἔχων· καὶ κατηγόρει μετ' ὀργῆς, ὅτι γαμβρὸς ὢν ἐπεβούλευσεν αὐτῷ καὶ τὴν βασιλείαν ἀφείλετο καὶ συνεξέβαλε τῆς πατρίδος.

XVII. Ὁ μὲν οὖν Κλεόμβροτος οὐδὲν εἶχεν εἰπεῖν, ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν· ἡ δὲ Χιλωνὶς, ἡ τοῦ Λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ συνηδικεῖτο, καὶ τοῦ Κλεομβρότου τὴν βασιλείαν παραλαβόντος ἀποστᾶσα τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε, καὶ παρόντι μὲν συνικέτευε, φεύγοντος δὲ πενθοῦσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν Κλεόμβροτον διετέλει, τότε δὲ αὖ πάλιν ταῖς τύχαις συμμεταβάλλουσα μετὰ τοῦ ἀνδρὸς ἱκέτις ὤφθη καθεζομένη, περιβεβληκυῖα τὰς χεῖρας ἐκείνῳ καὶ τῶν παιδίων τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν ὑφ' αὑτὴν ἔχουσα. Θαυμαζόντων δὲ πάντων καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ

5, 147—48 H.

---

4. τότε] ἤδη P. τῶν χρόνων om C. 10. ὡς καὶ] ὡς ABC. 11. διὸ καὶ S^{g}PG: διὸ v. 15. μὲν om C.

XVII. 1. οὐθὲν C. 2. χιλωνὶς corr S^{g}PABC: Χειλωνὶς v. 4. την βασιλείαν τοῦ κλεομβρότου ABC. 8. μεταβάλλουσα C. ἱκέτης S^{g}C. 9. τὰς addidit S^{g}. τὸν μὲν — τὸν δὲ P. 10. ὑφ' αὑτὴν Coraes: ὑπ' αὑτὴν libri.

τῆς γυναικὸς, ἀψαμένη τῶν πέπλων καὶ τῆς κόμης ἀτημελῶς ἐχόντων „Τοῦτο“ εἶπεν „ὦ πάτερ, ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν οὐχ ὁ Κλεομβρότου περιτέθεικεν ἔλεος, ἀλλ' ἀπὸ τῶν σῶν κακῶν καὶ τῆς σῆς φυγῆς μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. Πότερον οὖν δεῖ με σοῦ βασιλεύοντος ἐν Σπάρτῃ καὶ νικῶντος ἐγκαταβιῶναι ταύταις ταῖς συμφοραῖς ἢ λαβεῖν ἐσθῆτα λαμπρὰν καὶ βασιλικὴν ἐπιδοῦσαν ὑπὸ σοῦ τὸν παρθένιον ἄνδρα φονευόμενον; ὃς εἰ μὴ παραιτεῖταί σε μηδὲ πείθει τέκνων καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν ἢ σὺ βούλει δίκην ὑφέξει τῆς κακοβουλίας ἐπιδὼν ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανοῦσαν. Τίνι γὰρ ἐμὲ δεῖ ζῆν παῤῥησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ᾗ μήτε παρ' ἀνδρὸς δεομένῃ μήτε παρὰ πατρὸς ἔλεός ἐστιν; ἀλλα καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατιμάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. Τούτῳ μὲν οὖν εἰ καί τις ἦν λόγος εὐπρεπὴς, ἐγὼ τοῦτον ἀφειλόμην τότε σοὶ συνεξετασθεῖσα καὶ καταμαρτυρήσασα τῶν ὑπὸ τούτου γενομένων· σὺ δὲ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐαπολόγητον οὕτω μέγα καὶ περιμάχητον ἀποφαίνων τὸ βασιλεύειν, ὥστε δι' αὐτὸ καὶ γαμβροὺς φονεύειν καὶ τέκνων ἀμελεῖν εἶναι δίκαιον.“

XVIII. Ἡ μὲν Χιλωνὶς τοιαῦτα ποτνιωμένη τό τε πρόσωπον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τοῦ Κλεομβρότου καὶ τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης περιήνεγκεν εἰς τοὺς παρόντας. Ὁ δὲ Λεωνίδας διαλεχθεὶς τοῖς φίλοις 803
τὸν μὲν Κλεόμβροτον ἐκέλευσεν ἀναστάντα φεύγειν, τῆς δὲ παιδὸς μένειν ἐδεῖτο καὶ μὴ καταλιπεῖν ἑαυτὸν οὕτω φιλοῦντα καὶ δεδωκότα χάριν τὴν τοῦ ἀνδρὸς αὐτῇ σωτηρίαν. Οὐ μὴν ἔπεισεν, ἀλλ' ἀνισταμένῳ τῷ ἀνδρὶ θάτερον τῶν παιδίων ἐγχειρίσασα, θάτερον δ' ἀναλαβοῦσα καὶ προσκυνήσασα τὸν βωμὸν τῆς θεοῦ συνεξῆλθεν· ὥστε, εἰ μὴ πάνυ διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ Κλεόμβροτος, εὐτύχημα ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας μεῖζον εἶναι διὰ

5, 148—50 H.

---

14. περιέθηκεν ABC. 18. ὑπὸ] ἐπὶ G. 23. γυναῖκας om P. 26. λόγος ἦν C. 27. σοὶ AB: σοι v. 28. τούτῳ error Reiskianae.

XVIII. 1. χιλωνὶς corr S^{g}PABC: Χειλωνὶς v. 6. ἑαυτὸν S^{g}ABV: αὐτὸν v. 7. αὐτῇ addiderunt S^{g}PABCπST ‚quidam‘ Stephani V. 10. τοῦ θεοῦ Bryanus cl. c. 16.

τὴν γυναῖκα. Μεταστησάμενος δὲ τὸν Κλεόμβροτον ὁ Λεωνίδας καὶ τοὺς πρώτους ἐφόρους ἐκβαλὼν τῆς ἀρχῆς, ἑτέρους δὲ ποιησάμενος, εὐθὺς ἐπεβούλευε τῷ Ἄγιδι. Καὶ πρῶτον μὲν ἔπειθεν αὐτὸν ἀναστῆναι καὶ συμβασιλεύειν, ὡς δεδωκότων συγγνώμην τῶν πολιτῶν· συνεξηπατῆσθαι γὰρ ὑπὸ τοῦ Ἀγησιλάου νέον ὄντα καὶ φιλότιμον. Ἐκείνου δὲ ὑφορωμένου καὶ κατὰ χώραν μένοντος αὐτὸς μὲν ἐπαύσατο φενακίζων καὶ κατειρωνευόμενος, Ἀμφάρης δὲ καὶ Δαμοχάρης καὶ Ἀρκεσίλαος ἀναβαίνοντες εἰώθεσαν αὐτῷ διαλέγεσθαι· καί ποτε καὶ παραλαβόντες ἐπὶ λουτρὸν ἀπὸ τοῦ ἱεροῦ κατήγαγον καὶ λουσάμενον πάλιν εἰς τὸ ἱερὸν κατέστησαν. Καὶ ἦσαν πάντες μὲν αὐτῷ συνήθεις, ὁ δὲ Ἀμφάρης καὶ κεχρημένος ἔναγχος ἱμάτια καὶ ποτήρια τῶν πολυτελῶν παρὰ τῆς Ἀγησιστράτας ἐπεβούλευε διὰ ταῦτα τῷ βασιλεῖ καὶ ταῖς γυναιξὶν ὡς ἀποστερήσων. Καὶ μάλιστά γε αὐτὸς ὑπακοῦσαι τῷ Λεωνίδᾳ λέγεται καὶ παροξῦναι τοὺς ἐφόρους, ὢν καὶ αὐτὸς εἷς ἦν.

XIX. Ἐπεὶ δὲ ὁ Ἄγις τὸν μὲν ἄλλον ἐν τῷ ἱερῷ διέτριβε χρόνον, εἰώθει δὲ καταβαίνειν, ὅτε τύχοι, πρὸς τὸ λουτρὸν, ἐκεῖ συλλαβεῖν αὐτὸν ἔγνωσαν, ὅταν ἔξω τοῦ ἱεροῦ γένηται. Καὶ παραφυλάξαντες λελουμένον ἀπήντησαν καὶ ἠσπάσαντο καὶ συμπροῆγον ἅμα διαλεγόμενοι καὶ παίζοντες ὡς πρὸς συνήθη καὶ νέον. Ἐκτροπὴν δέ τινα τῆς ὁδοῦ πλαγίαν πρὸς τὸ δεσμωτήριον ἐχούσης, ὡς ἐγένοντο κατ' αὐτὴν βαδίζοντες, ὁ μὲν Ἀμφάρης διὰ τὸ ἄρχειν ἀψάμενος τοῦ Ἄγιδος „Ἄγω σε“ εἶπεν „ἐπὶ τοὺς ἐφόρους, ὦ Ἄγι, λόγον ὑφέξοντα τῶν πεπολιτευμένων·“ ὁ δὲ Δαμοχάρης, εὔρωστος ὢν καὶ μέγας, τὸ ἱμάτιον περιβαλὼν περὶ τὸν τράχηλον εἵλκεν. Ἄλλων δὲ ἐπωθούντων ὄπισθεν ἐκ παρασκευῆς, οὐδενὸς βοηθοῦντος, ἀλλ' ἐρημίας οὔσης, ἐμβάλλουσιν αὐτὸν

5, 150—51 H.

---

14. *προτέρους* Schaeferus. 15. *δὲ* om C. 20. *δαμοχάρης* S^gPABC: *Δημοχάρης* v. 21. *εἰώθασαν* B, *εἰώθασιν* ACia, *εἰώθασιν* G. 22. *ἐπὶ* S^gPABCG: *ἐπὶ τὸ* v. 26. *δὲ διὰ* AB, *καὶ διὰ* C. *ταῦτα*] *πάντα* ABV. 28. *λέγεται τῷ λεωνίδᾳ* C 29. *εἷς* om C.

XIX. 6. *πλατεῖαν* C. 9. *ἀγώνι σε* P. 10. *δαμοχάρης* S^gPABC: *Δημοχάρης* v. 11. *περὶ*] *ἐπὶ* C. 13. *οὐδενὸς* S^g: *οὐδενὸς δὲ* v.

εἰς τὸ δεσμωτήριον. Εὐθὺς δὲ παρῆν ὁ μὲν Λεωνίδας μισθοφόρους ἔχων πολλοὺς καὶ τὸ οἴκημα περιέσχεν ἔξωθεν, οἱ δὲ ἔφοροι πρὸς τὸν Ἄγιν εἰσῆλθον καὶ τῶν γερόντων εἰς τὸ οἴκημα μεταπεμψάμενοι τοὺς ταὐτὰ βουλομένους, ὡς δὴ κρίσεως αὐτῷ γινομένης, ἐκέλευον ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι. Γελάσαντος δὲ τοῦ νεανίσκου πρὸς τὴν εἰρωνείαν αὐτῶν, ὁ μὲν Ἀφάρης οἰμωξόμενον ἐκάλει καὶ δίκην ὑφέξοντα τῆς ἰταμότητος· ἄλλος δὲ τῶν ἐφόρων, οἷον ἐνδιδοὺς τῷ Ἄγιδι καὶ δεικνύων ἀποφυγὴν τῆς αἰτίας, ἠρώτησεν, εἰ ταῦτα ἔπραξεν ὑπὸ Λυσάνδρου καὶ Ἀγησιλάου βιασθείς. Ἀποκριναμένου δὲ τοῦ Ἄγιδος, ὡς βιασθεὶς μὲν ὑπ' οὐδενός, ζηλῶν δὲ καὶ μιμούμενος τὸν Λυκοῦργον ἐπὶ τὴν αὐτὴν ἔλθοι πολιτείαν, πάλιν ὁ αὐτὸς ἠρώτησεν, εἰ μετανοεῖ τοῖς πεπραγμένοις. Φήσαντος δὲ τοῦ νεανίσκου μὴ μετανοεῖν ἐπὶ τοῖς κάλλιστα βεβουλευμένοις, κἂν τὰ ἔσχατα πεισόμενον αὐτὸν ἴδῃ, θάνατον αὐτοῦ κατεψηφίσαντο καὶ τοὺς ὑπηρέτας ἐκέλευον ἄγειν εἰς τὴν καλουμένην Δεχάδα. Τοῦτο δὲ ἐστὶν οἴκημα τῆς εἱρκτῆς, ἐν ᾧ θανατοῦσι τοὺς καταδίκους ἀποπνίγοντες. Ὁρῶν δὲ τοὺς ὑπηρέτας ὁ Δαμοχάρης οὐ τολμῶντας ἅψασθαι τοῦ Ἄγιδος, ὁμοίως δὲ καὶ τῶν μισθοφόρων τοὺς παρεστῶτας ἀποστρεφομένους καὶ φεύγοντας τὸ ἔργον, ὡς οὐ θεμιτὸν οὐδὲ νενομισμένον βασιλέως σώματι 804
τὰς χεῖρας προσφέρειν, διαπειλησάμενος αὐτοῖς καὶ λοιδορηθεὶς εἵλκεν αὐτὸς εἰς τὸ οἴκημα τὸν Ἄγιν. Ἤδη γὰρ ᾔσθηντο πολλοὶ τὴν σύλληψιν, καὶ θόρυβος ἦν ἐπὶ ταῖς θύραις καὶ φῶτα πολλὰ καὶ παρῆσαν ἥ τε μήτηρ τοῦ Ἄγιδος καὶ ἡ μάμμη βοῶσαι καὶ δεόμεναι τὸν βασιλέα τῶν Σπαρτιατῶν λόγου καὶ κρίσεως τυχεῖν ἐν τοῖς πολίταις. Διὸ καὶ μάλιστα κατήπειξαν τὴν ἀναίρεσιν, ὡς ἐξαρπαγησομένου νυκτὸς, ἂν πλείονες ἐπέλθωσιν.

XX. Ὁ μὲν οὖν Ἄγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντα,

5, 151—52 H.

---

16. ἦλθον P. 17. ταῦτα corr S^gPABC. 18. γενομένης C. 19. εἰρωνίαν B. 29. ἀπάγειν ἐκέλευον C. 30. ἄγειν S^g: δ ἀπάγειν v. δεχάδα marg. S^gPABC: κεκάδα S^g, κεκάδα G, Λεκάδα v. 32. δημοχάρης C. 33. καὶ om ABC. 37. ἤσθοντο CV. 39. μήτηρ S^g: μήτηρ ἡ v.

XX. 2. εἶδε τινὰ S^gAB.

„Παῦσαί με“ εἶπεν „ὦ ἄνθρωπε, κλαίων· καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλύμενος κρείττων εἰμὶ τῶν ἀναιρούντων·“ καὶ ταῦτ᾽ εἰπὼν παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. Ὁ δὲ Ἀμφάρης προελθὼν ἐπὶ τὰς θύρας καὶ τὴν Ἀγησιστράταν προσπεσοῦσαν αὐτῷ διὰ συνήθειαν καὶ φιλίαν ἀναστήσας οὐδὲν ἔφη περὶ τὸν Ἅγιν ἔσεσθαι βίαιον οὐδὲ ἀνήκεστον· ἐκέλευε δὲ κἀκείνην, εἰ βούλοιτο, πρὸς τὸν υἱὸν εἰσελθεῖν. Ἐκείνης δὲ καὶ τὴν μητέρα μετ᾽ αὐτῆς παρεῖναι δεομένης οὐδὲν ἔφη κωλύειν ὁ Ἀμφάρης· καὶ δεξάμενος ἀμφοτέρας καὶ πάλιν κλεῖσαι τὰς θύρας τοῦ δεσμωτηρίου κελεύσας προτέραν μὲν τὴν Ἀρχιδαμίαν παρέδωκεν, ἤδη σφόδρα πρεσβῦτιν οὖσαν καὶ καταγεγηρακυῖαν ἐν ἀξιώματι μεγίστῳ τῶν πολιτίδων, ἀποθανούσης δὲ ἐκείνης ἐκέλευσε τὴν Ἀγησιστράταν ἔσω βαδίζειν. Ὡς δὲ εἰσελθοῦσα τόν τε υἱὸν ἐθεάσατο χαμαὶ κείμενον καὶ τὴν μητέρα νεκρὰν ἐκ τοῦ βρόχου κρεμαμένην, ἐκείνην μὲν αὐτὴ τοῖς ὑπηρέταις συγκαθεῖλε καὶ παρεκτείνασα τῷ Ἅιδι τὸ σῶμα περιέστειλε καὶ κατεκάλυψε· τῷ δὲ υἱῷ προσπεσοῦσα καὶ φιλήσασα τὸ πρόσωπον „Ἡ πολλή σε“ εἶπεν „ὦ παῖ, εὐλάβεια καὶ τὸ πρᾶον καὶ φιλάνθρωπον ἀπώλεσε μεθ᾽ ἡμῶν.“ Ὁ δὲ Ἀμφάρης ἀπὸ τῆς θύρας ὁρῶν τὰ γινόμενα καὶ τὰς φωνὰς ἀκούων ἐπεισῆλθε καὶ πρὸς τὴν Ἀγησιστράταν μετ᾽ ὀργῆς εἶπεν· „Εἰ τοίνυν“ ἔφη „ταὐτὰ ἐδοκίμαζες τῷ υἱῷ, ταὐτὰ καὶ πείσῃ.“ Καὶ ἡ Ἀγησιστράτα πρὸς τὸν βρόχον ἀνισταμένη „Μόνον“ ἔφη „συνενέγκαι ταῦτα τῇ Σπάρτῃ.“

XXI. Τοῦ δὲ πάθους εἰς τὴν πόλιν ἐξαγγελθέντος καὶ τῶν τριῶν σωμάτων ἐκκομιζομένων οὐκ ἦν ὁ φόβος οὕτω

5, 152—53 H.

---

3. οὕτω pr. AC. 6. προσελθὼν S^gABC. 8. φιλίαν καὶ συνήθειαν C. 9. ἐκέλευσε pr. S^g. βούλει S^g. 13. ἀρχιδαμίαν pr. S^g: Ἀρχιδάμειαν v. πρεσβῦτιν Schaeferus: πρεσβύτιν v. 15. πολιτίδων x haud dubie ex Amioto (‚en plus grand honneur et plus de dignité que nulle autre Dame de la ville‘): πολιτικῶν libri (etiam S^g), in quo potest etiam πολιτῶν latere. 16. εἴσω C. 17. κείμενον χαμαὶ C. 18. αὖτη S^gABC. 21. ὦ παῖ εἶπεν P. καὶ φιλάνθρωπον om C. καὶ τὸ φιλάνθρωπον S^gP. 23. γινόμενα S^gPABC: γιγνόμενα v. 24. εἶπεν· εἰ τοίνυν ἔφη S^gABC: εἶπεν· εἰ τοίνυν P, ἔφη· εἰ τοίνυν v. 25. prius ταὐτὰ Reiskius: ταῦτα libri. ἡ om G. 26. ἀγησίστρατα pr. S^g. 27. συνενέγκη C.

μέγας, ὥστε μὴ καταφανεῖς εἶναι τοὺς πολίτας ἀλγοῦντας μὲν ἐπὶ τοῖς γεγονόσι, μισοῦντας δὲ τὸν Λεωνίδαν καὶ τὸν Ἀμφάρην, μηδὲν δεινότερον μηδὲ ἀνοσιώτερον ἐξ οὗ Δωριεῖς Πελοπόννησον οἰκοῦσιν οἰομένους ἐν Σπάρτῃ πεπρᾶχθαι. Βασιλεῖ γὰρ, ὡς ἔοικε, Λακεδαιμονίων οὐδὲ οἱ πολέμιοι ῥᾳδίως ἐν ταῖς μάχαις ἀπαντῶντες προσέφερον τὰς χεῖρας, ἀλλ' ἀπετρέποντο δεδιότες καὶ σεβόμενοι τὸ ἀξίωμα. Διὸ καὶ πολλῶν γεγονότων Λακεδαιμονίοις ἀγώνων πρὸς Ἕλληνας εἷς μόνος ἀνῃρέθη πρὸ τῶν Φιλιππικῶν δόρατι πληγεὶς περὶ Λεῦκτρα Κλεόμβροτος. Μεσσηνίων δὲ καὶ Θεόπομπον ὑπ' Ἀριστομένους πεσεῖν λεγόντων οὔ φασι Λακεδαιμόνιοι, πληγῆναι δὲ μόνον. Ἀλλὰ ταῦτα μὲν ἔχει τινὰς ἀμφιλογίας. Ἐν δὲ Λακεδαίμονι πρῶτος Ἄγις βασιλεύων ὑπὸ ἐφόρων ἀπέθανε, καλὰ μὲν ἔργα καὶ πρέποντα τῇ Σπάρτῃ προελόμενος, ἡλικίᾳ δὲ γεγονὼς, ἐν ᾗ ἁμαρτάνοντες ἄνθρωποι συγγνώμης τυγχάνουσι, μεμφθεὶς δὲ ὑπὸ τῶν φίλων δικαιότερον ἢ τῶν ἐχθρῶν, ὅτι καὶ Λεωνίδαν περιέσωσε καὶ τοῖς ἄλλοις ἐπίστευσεν ἡμερώτατος καὶ πραότατος γενόμενος.

5, 153—54 H.

XXI. 3. ἀλλ' ἀλγοῦντας ABCV. 4. λεωνίδα G. 5. ἀμφάρην S^g corr AB: ἀμφαρῆ P, Ἀμφάρη v. μηδὲν δὲ [B]V. μηδὲν ἀνοσιώτερον Gia. ἀνομώτερον P. δωριεῖς εἰς ABC. 10. Λακεδαιμονίοις om Gia. 11. φιλικῶν C. 12. μεσσηνίων S^gA: Μεσηνίων v. 14. ἀμφιλογίας S^gPABCTπηV: ἀμφιβολίας v. 15. πρῶτον ia. 17. malim ἡλικίας Schaeferi cl. Lyc. 29, 28. γενομένας] ‚post has voces mora seu distinctio (in S^g). quod tamen sequitur verbum ἀποθ. novam lineam non orditur.' Agidem nullo interiecto spatio excipit Cleomenes in PABCG.

ΚΛΕΟΜΕΝΗΣ.

805 I. Ἀποθανόντος δὲ αὐτοῦ τὸν μὲν ἀδελφὸν Ἀρχίδαμον οὐκ ἔφθη συλλαβεῖν ὁ Λεωνίδας εὐθὺς ἐκφυγόντα· τὴν δὲ γυναῖκα παιδίον ἔχουσαν νεογνὸν ἐκ τῆς οἰκίας ἀπαγαγὼν βίᾳ Κλεομένει τῷ υἱῷ συνῴκισεν οὐ πάνυ γάμων ὥραν ἔχοντι, τὴν δὲ ἄνθρωπον ἄλλῳ δοθῆναι μὴ βουλόμενος. Ἦν γὰρ οὐσίας τε μεγάλης ἐπίκληρος ἡ Ἀγιᾶτις Γυλίππου τοῦ πατρὸς, ὥρᾳ τε καὶ κάλλει πολὺ τῶν Ἑλληνίδων διαφέρουσα καὶ τὸν τρόπον ἐπιεικής. Διὸ πολλὰ μὲν ἐποίησεν, ὥς φασι, μὴ βιασθῆναι δεομένη, συνελθοῦσα δὲ εἰς ταὐτὸ τῷ Κλεομένει τὸν μὲν Λεωνίδαν ἐμίσει, περὶ δὲ αὐτὸν τὸν νεανίσκον ἦν ἀγαθὴ γυνὴ καὶ φιλόστοργος ἐρωτικῶς ἅμα τῷ λαβεῖν πρὸς αὐτὴν διατεθέντα καί τινα τρόπον συμπαθοῦντα τῇ πρὸς τὸν Ἄγιν εὐνοίᾳ καὶ μνήμῃ τῆς γυναικός, ὥστε καὶ πυνθάνεσθαι πολλάκις περὶ τῶν γεγονότων καὶ προσέχειν ἐπιμελῶς διηγουμένης ἐκείνης, ἣν ὁ Ἄγις ἔσχε διάνοιαν καὶ προαίρεσιν. Ἦν δὲ καὶ φιλότιμος μὲν καὶ μεγαλόφρων ὁ Κλεομένης καὶ πρὸς ἐγκράτειαν καὶ ἀφέλειαν οὐχ ἧττον τοῦ Ἄγιδος εὖ πεφυκὼς, τὸ δὲ εὐλαβὲς ἄγαν ἐκεῖνο καὶ πρᾷον οὐκ εἶχεν, ἀλλὰ κέντρον τι θυμοῦ τῇ φύσει προσέκειτο καὶ μετὰ σφοδρότητος ὁρμὴ πρὸς τὸ φαινόμενον ἀεὶ καλόν. Ἐφαίνετο δὲ κάλλιστον

5, 154—55 H.

I. 3. ἀγαγὼν ABC. 6. τε om ABC. Ἀγιᾶτις Schaeferus: Ἀγιάτις v. 7. πολὺ om C. τὸν om C. 8. ὡς φασὶ S^gAB. 9. δεομένην AB. 12. συμπαθοῦντα] ‚συμπεισθέν: τα, litera ante τα deleta, pr. S^g, teste Duebnero: nam Solanus συμπαθοῦντα scriptum fuisse refert. a correctore συντεθέντα repositum est‘ Schoemannus. 17. τοῦ ἅγιδος οὐχ ἧττον C. 18. ἐκεῖνο S^gPC: ἐκείνῳ AB, ἐκείνου v.

μὲν αὐτῷ κρατεῖν ἑκόντων, καλὸν δὲ καὶ μὴ πειθομένων περιεῖναι πρὸς τὸ βέλτιον ἐκβιαζόμενον.

II. Οὐκ ἤρεσκε μὲν οὖν αὐτῷ τὰ κατὰ τὴν πόλιν, ἀπραγμοσύνῃ καὶ ἡδονῇ κατακεκηλημένων τῶν πολιτῶν καὶ τοῦ βασιλέως πάντα τὰ πράγματα χαίρειν ἐῶντος, εἰ μηδεὶς αὐτὸν ἐνοχλοίη σχολάζειν ἐν ἀφθόνοις καὶ τρυφᾷν βουλόμενον, ἀμελουμένων δὲ τῶν κοινῶν, κατ' οἰκίαν ἑκάστου πρὸς αὑτὸν ἕλκοντος τὸ κερδαλέον, ἀσκήσεως δὲ καὶ σωφροσύνης νέων καὶ καρτερίας καὶ ἰσότητος, οὐδὲ ἀσφαλὲς ἦν τούτων τῶν περὶ Ἄγιν ἀπολωλότων μνημονεύειν. Λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν Κλεομένη μετασχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρου τοῦ Βορυσθενίτου παραβάλλοντος εἰς τὴν Λακεδαίμονα καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους οὐκ ἀμελῶς διατρίβοντος. Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν, καὶ τοῦ Κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν. Λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέναι Τυρταῖος, εἰπεῖν· „Ἀγαθὸς νέων ψυχὰς κακκανῆν.“ Ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ παρὰ τὰς μάχας ἠφείδουν ἑαυτῶν. Ὁ δὲ Στωϊκὸς λόγος ἔχει ἵτι πρὸς τὰς μεγάλας φύσεις καὶ ὀξείας ἐπισφαλὲς καὶ παρά-

5, 155—56 H.

21. καὶ om ABC.

II. 2. κατακεκλημένων P. 5. κατ' οἰκίαν] ‚lubenter scriberem καὶ κατ' ἰδίαν ἑκάστου' Stephanus. probant nuperi. 6. τὸ om ia. 7. ἰσότητας C. τούτῳ S^gP et v, τούτω ia, τοῦτο ACBV, τότε Corais nuperi, τούτων τοὺς περὶ τὸν Ἄγιν x. scripsi τούτων, quod videndum ne ad ἀπολωλότων sit referendum deletis τῶν περὶ Ἄγιν, quum περὶ Ἄγιν om pr. ABC, τῶν autem fortasse ortum ex τούτῳ. 9. κλεομένη pr. A: Κλεομένην v. 14. post φύσεως in P supra scriptum τὶ. ante ἀγαπῆσαι in P additum fuit καὶ, sed rursus deletum. 16. αὐτὸς pr. ABV. 17. κακκανῆν S^g cuius correxi accentum: κακκανλῆν P, κακκανὰν pr. A, κακτανεῖν corr A et in marg. κακκτανεῖν ἤτοι κατακτανεῖν, κακκανεῖν C, κακκτανεῖν BV, αἰκάλειν Gia, αἰκάλλειν Stephanus et editores ceteri, multum illi a vero aberrantes, quod quale esset intellexit auctor glossae in A. in eamdem speciem corrigam mor. 235 f κακανεῖν νέων ψυχάς. sed 959 a: νέων ψυχὰς καλλύνειν, scribendum suspicor καταλύειν. cf. diurn. Halens. a. 1842. n. 51. 18. τῶν om C.

βολον, βαθεῖ δὲ καὶ πράῳ κεραννύμενος ἤθει μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν.

III. Ἐπεὶ δὲ τελευτήσαντος τοῦ Λεωνίδου τὴν βασιλείαν παρέλαβε καὶ τοὺς πολίτας τότε δὴ παντάπασιν ἐκλελυμένους ἑώρα, τῶν μὲν πλουσίων καθ' ἡδονὰς ἰδίας καὶ πλεονεξίας παρορώντων τὰ κοινά, τῶν δὲ πολλῶν διὰ τὸ πράττειν κακῶς περὶ τὰ οἰκεῖα καὶ πρὸς τὸν πόλεμον ἀπροθύμων καὶ πρὸς τὴν ἀγωγὴν ἀφιλοτίμων γεγονότων, αὐτοῦ δὲ ὄνομα βασιλεύοντος ἦν μόνον, ἡ δὲ ἀρχὴ πᾶσα τῶν ἐφόρων, εὐθὺς μὲν εἰς νοῦν ἔθετο τὰ παρόντα μεθιστάναι καὶ κινεῖν. Ὄντος δὲ αὐτῷ φίλου Ξενάρους, ἐραστοῦ γεγονότος (τοῦτο δὲ ἐμπνεῖσθαι Λακεδαιμόνιοι καλοῦσιν), ἀπεπειρᾶτο τούτου διαπυνθανόμενος τὸν Ἄγιν, ὁποῖος γένοιτο βασιλεὺς καὶ τίνι τρόπῳ καὶ μετὰ τίνων ἐπὶ ταύτην ἔλθοι τὴν ὁδόν. Ὁ δὲ Ξενάρης τὸ μὲν πρῶτον οὐκ ἀηδῶς ἐμέμνητο τῶν πρα-
806 γμάτων ἐκείνων, ὡς ἐπράχθη καθ' ἕκαστα μυθολογῶν καὶ διηγούμενος, ὡς δὲ ἦν καταφανὴς [αὐτῷ] ὁ Κλεομένης ἐμπαθέστερον προσέχων καὶ κινούμενος ὑπερφυῶς πρὸς τὴν καινοτομίαν τοῦ Ἄγιδος καὶ ταὐτὰ πολλάκις ἀκούειν βουλόμενος, ἐπέπληξεν αὐτῷ πρὸς ὀργὴν ὁ Ξενάρης ὡς οὐχ ὑγιαίνοντι καὶ τέλος ἀπέστη τοῦ διαλέγεσθαι καὶ φοιτᾶν πρὸς αὐτόν, οὐδενὶ μέντοι τὴν αἰτίαν ἔφρασε τῆς διαφορᾶς, ἀλλ' αὐτὸν ἔφη γινώσκειν ἐκεῖνον. Οὕτω δὲ τοῦ Ξενάρους ἀντικρούσαντος ὁ Κλεομένης καὶ τοὺς ἄλλους ὁμοίως ἔχειν ἡγούμενος αὐτὸς ἐν ἑαυτῷ συνετίθει τὴν πρᾶξιν. Οἰόμενος δ' ἂν ἐν πολέμῳ μᾶλλον ἢ κατ' εἰρήνην μεταστῆσαι τὰ παρόντα συνέκρουσε πρὸς τοὺς Ἀχαιοὺς τὴν πόλιν, αὐτοὺς διδόντας ἐγκλημάτων προφάσεις. Ὁ γὰρ Ἄρατος ἰσχύων μέγιστον ἐν τοῖς Ἀχαιοῖς ἐβούλετο μὲν ἐξ ἀρχῆς εἰς μίαν σύνταξιν ἀγαγεῖν Πελοποννησίους, καὶ τοῦτο τῶν πολλῶν στρατηγιῶν αὐτῷ καὶ τῆς μακρᾶς πολιτείας ἦν τέλος ἡγουμένῳ μόνως ἂν οὕτως ἀνεπιχειρήτους ἔσεσθαι τοῖς ἐκτὸς πολεμίοις. Ἐπεὶ
5, 156—57 H.

III. 9. ὄντως G. αὐτοῦ AB. 15. [αὐτῷ] om G, aut hoc verum putem aut deleam ὁ. 17. ταῦτα ABC. 22. ἔχειν ὁμοίως AB. 23. ἐν τῷ C. 25. αὐτὸς corr A. 28. περὶ ante πελοποννησίους sed punctis a m. sec. circumdatum addit A et B.

δὲ, τῶν ἄλλων σχεδὸν ἁπάντων αὐτῷ προσγεγονότων, ἀπελείποντο Λακεδαιμόνιοι καὶ Ἠλεῖοι καὶ ὅσοι Λακεδαιμονίοις Ἀρκάδων προσεῖχον; ἅμα τῷ τὸν Λεωνίδαν ἀποθανεῖν παρηνώχλει τοῖς Ἀρκάσι καὶ περιέκοπτεν αὐτῶν μάλιστα τοὺς τοῖς Ἀχαιοῖς ὁμοροῦντας ἀποπειρώμενος τῶν Λακεδαιμονίων καὶ τοῦ Κλεομένους ὡς νέου καὶ ἀπείρου καταφρονῶν.

IV. Ἐκ τούτου Κλεομένη πρῶτον οἱ ἔφοροι πέμπουσι καταληψόμενον τὸ περὶ τὴν Βελβίναν Ἀθήναιον. Ἐμβολὴ δὲ τῆς Λακωνικῆς τὸ χωρίον ἐστὶ, καὶ τότε πρὸς τοὺς Μεγαλοπολίτας ἦν ἐπίδικον. Καταλαβόντος δὲ τοῦτο καὶ τειχίσαντος τοῦ Κλεομένους ὁ Ἄρατος οὐθὲν ἐγκαλέσας, ἀλλὰ νυκτὸς ἐκστρατεύσας ἐπεχείρησε Τεγεάταις καὶ Ὀρχομενίοις. Τῶν δὲ προδοτῶν ἀποδειλιασάντων, ὁ μὲν Ἄρατος ἀνεχώρησε λεληθέναι νομίζων, ὁ δὲ Κλεομένης εἰρωνείᾳ χρώμενος ἔγραψε πρὸς αὐτὸν, ὡς δὴ παρὰ φίλου πυνθανόμενος, ποῦ τῆς νυκτὸς ἐξέλθοι. Τοῦ δὲ ἀντιγράψαντος, ὡς ἐκεῖνον Βέλβιναν μέλλειν τειχίζειν ἀκούσας καταβαίη τοῦτο κωλύσων, πάλιν ὁ Κλεομένης ἀποστείλας τοῦτο μὲν οὕτως ἔχειν ἔφη πεπεῖσθαι· „τοὺς δὲ φανοὺς καὶ τὰς κλίμακας“ εἶπεν „εἰ μή τί τοι διαφέρει γράψον ἡμῖν, ἐπὶ τί σοι παρηκολούθουν.“ Τοῦ δὲ Ἀράτου πρὸς τὸ σκῶμμα γελάσαντος καὶ πυνθανομένου, ποῖός τις ὁ νεανίσκος εἴη, Δαμοκράτης ὁ Λακεδαιμόνιος φυγὰς „Εἴ τι πράττεις“ ἔφη „πρὸς Λακεδαιμονίους, ὥρα σοι ταχύνειν πρὸ τοῦ κέντρα φῦσαι τοῦτον τὸν νεοσσόν.“ Ἐκ τούτου Κλεομένει μετὰ ἱππέων ὀλίγων καὶ πεζῶν τριακοσίων ἐν Ἀρκαδίᾳ στρατοπεδευομένῳ προσέταξαν ἀναχωρεῖν οἱ ἔφοροι φοβούμενοι τὸν πόλεμον. Ἐπεὶ δὲ ἀναχωρήσαντος αὐτοῦ Καφύας ἔλαβεν ὁ Ἄρατος, αὖθις ἐξέπεμπον τὸν Κλεομένη. Λαβόντος δὲ αὐτοῦ Μεθύδριον καὶ τὴν Ἀργολικὴν καταδραμόντος, ἐξεστράτευσαν οἱ Ἀχαιοὶ δισμυ-

5, 157—59 H.

---

31. ἀπελίποντο C. 34. περιέσκοπτεν B. 36. καταφρονῶν] καταγελῶσιν corr P.

IV. 1. κλεομένη S^gPC: κλεομένει, ut videtur, pr. AB, κλεομένην corr A et v. 2. καταλεψόμενοι pr. AB. Βέλβιναν Coraes: βελβῖναν AB, βεβλίναν G, Βελβίναν v. τὸ ἀθήναιον περὶ τὴν βελβίναν π, ἀθήναιον τὸν βελβίναν V. ἀθηναῖον ABC. 9. ποῖ C. 11. βεβλίναν ia, ceteri ut vers. 2. 16. δαμοκράτης S^g: Δημοκράτης v. 18. τυγχάνειν pr. ABC, τυγχάνει V. 20. στρατευομένῳ C. 23. κλεομένη S^gP: Κλεομένην v.

ρίοις πεζοῖς καὶ χιλίοις ἱππεῦσιν Ἀριστομάχου στρατηγοῦντος. Ἀπαντήσαντος δὲ περὶ Παλλάντιον Κλεομένους καὶ βουλομένου μάχεσθαι, φοβηθεὶς τὴν τόλμαν ὁ Ἄρατος οὐκ εἴασε διακινδυνεῦσαι τὸν στρατηγὸν, ἀλλ' ἀπῆλθε λοιδορούμενος μὲν ὑπὸ τῶν Ἀχαιῶν, χλευαζόμενος δὲ καὶ καταφρονούμενος ὑπὸ τῶν Λακεδαιμονίων οὐδὲ πεντακισχιλίων τὸ πλῆθος ὄντων. Μέγας οὖν τῷ φρονήματι γεγονὼς ὁ Κλεομένης ἐθρασύνετο πρὸς τοὺς πολίτας καὶ τῶν παλαιῶν τινος αὐτοὺς ἀνεμίμνησκε βασιλέων εἰπόντος, ὅτι μάτην Λακεδαιμόνιοι πυνθάνονται περὶ τῶν πολεμίων, οὐ πόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν.

V. Ἐπεὶ δὲ τοῖς Ἠλείοις πολεμουμένοις ὑπὸ τῶν Ἀχαιῶν βοηθήσας καὶ περὶ τὸ Λύκαιον ἀπιοῦσιν ἤδη τοῖς Ἀχαιοῖς
807 ἐπιβαλὼν ἅπαν μὲν ἐτρέψατο καὶ διεπτόησεν αὐτῶν τὸ στράτευμα, συχνοὺς δὲ ἀνεῖλε καὶ ζῶντας ἔλαβεν, ὥστε καὶ περὶ Ἀράτου φήμην ἐκπεσεῖν εἰς τοὺς Ἕλληνας ὡς τεθνηκότος, ὁ μὲν Ἄρατος ἄριστα τῷ καιρῷ χρησάμενος ἐκ τῆς τροπῆς ἐκείνης εὐθὺς ἐπὶ Μαντίνειαν ἦλθε καὶ μηδενὸς ἂν προσδοκήσαντος εἶλε τὴν πόλιν καὶ κατέσχε. Τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων καὶ τῷ Κλεομένει πρὸς τὰς στρατείας ἐνισταμένων ὥρμησε μεταπέμπεσθαι τὸν Ἄγιδος ἀδελφὸν Ἀρχίδαμον ἐκ Μεσσήνης, ᾧ βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας ἦν προσῆκον, οἰόμενος ἀμβλυτέραν τὴν τῶν ἐφόρων ἀρχὴν ἔσεσθαι τῆς βασιλείας ἰσορρόπου καὶ ὁλοκλήρου γενομένης. Οἱ δὲ ἀνηρηκότες πρότερον τὸν Ἄγιν αἰσθόμενοι τοῦτο καὶ φοβηθέντες, μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα καὶ συγκατῆγον, εὐθὺς δὲ ἀπέκτειναν, εἴτε ἄκοντος τοῦ Κλεομένους, ὡς οἴεται Φύλαρχος, εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον
5, 159—60 H.

---

26. παλλάντιον S^gPC: Παλάντιον v. 33. αὐτοὺς τινὸς ABC. ὅτι μάτην suspecta editoribus propter mor. 190 c. 215 d. iniuria, opinor. nempe Agidis dictum festive rei praesenti accommodavit Cleomenes.

V. 2. λύκειον ABCV. 3. ἅπαν μὲν ἐπτόησε καὶ ἐτρέψατο αὐτῶν C. διεπτοίησεν ABV. 6. μὲν S^g: μὲν οὖν v. 7. προσδοκήσαντος pr. S^g. 11. μεσσήνης S^gABC: Μεσήνης v. 12. ἀμβλύτερον PG.

αὐτοῖς. Τῆς γὰρ αἰτίας τὸ πλεῖστον ἐπ' ἐκείνους ἦλθε βεβιάσθαι τὸν Κλεομένη δοκοῦντας.

VI. Οὐ μὴν ἀλλὰ κινεῖν εὐθὺς ἐγνωκὼς τὰ κατὰ τὴν πόλιν ἔπεισε τοὺς ἐφόρους χρήμασιν, ὅπως αὐτῷ ψηφίσωνται στρατείαν. Ἐθεράπευσε δὲ καὶ τῶν ἄλλων συχνοὺς διὰ τῆς μητρὸς Κρατησικλείας ἀφειδῶς συγχορηγούσης καὶ συμφιλοτιμουμένης, ἥ γε καὶ γάμου μὴ δεομένη λέγεται διὰ τὸν υἱὸν ἄνδρα λαβεῖν πρωτεύοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν. Ἐξαγαγὼν δὲ τὴν στρατείαν καταλαμβάνει τῆς Μεγαλοπολίτιδος χωρίον Λεῦκτρα· καὶ γενομένης πρὸς αὐτὸν ὀξείας τῶν Ἀχαιῶν βοηθείας, Ἀράτου στρατηγοῦντος, ὑπὸ τὴν πόλιν αὐτὴν παραταξάμενος ἡττήθη μέρει τινὶ τοῦ στρατεύματος. Ἐπεὶ δὲ χαράδραν τινὰ βαθεῖαν οὐκ εἴασε διαβῆναι τοὺς Ἀχαιοὺς ὁ Ἄρατος, ἀλλ' ἐπέστησε τὴν δίωξιν, ἀγανακτῶν δὲ Λυδιάδας ὁ Μεγαλοπολίτης συνεξώρμησε τοὺς περὶ αὐτὸν ἱππεῖς καὶ διώκων εἰς χωρίον ἀμπέλων καὶ τάφρων καὶ τειχῶν μεστὸν ἐνσείσας καὶ διασπασθεὶς περὶ ταῦτα κακῶς ἀπήλλαττε, κατιδὼν ὁ Κλεομένης ἀνῆκε τοὺς Ταραντίνους καὶ τοὺς Κρῆτας ἐπ' αὐτόν, ὑφ' ὧν ὁ Λυδιάδας ἀμυνόμενος εὐρώστως ἔπεσε. Πρὸς τοῦτο θαρρήσαντες οἱ Λακεδαιμόνιοι μετὰ βοῆς ἐνέβαλον τοῖς Ἀχαιοῖς καὶ τροπὴν ὅλου τοῦ στρατεύματος ἐποίησαν. Ἀποθανόντων δὲ συχνῶν τοὺς μὲν ἄλλους ὑποσπόνδους ὁ Κλεομένης ἀπέδωκε, τὸν δὲ Λυδιάδαν νεκρὸν ἀχθῆναι πρὸς αὐτὸν κελεύσας κοσμήσας πορφυρίδι καὶ στέφανον ἐπιθεὶς πρὸς τὰς πύλας τῶν Μεγαλοπολιτῶν ἀπέστειλεν. Οὗτος ἦν Λυδιάδας ὁ καταθέμενος τὴν τυραννίδα καὶ τοῖς πολίταις ἀποδοὺς τὴν ἐλευθερίαν καὶ τὴν πόλιν προσκομίσας Ἀχαιοῖς.

VII. Ἐκ τούτου Κλεομένης μέγα φρονῶν ἤδη καὶ πεπεισμένος, ἂν ὡς βούλεται τοῖς πράγμασι χρώμενος πολεμῇ

5, 160—61 H.

---

20. βεβιᾶσθαι pr. S^{g}. 21. κλεομένη pr. A: Κλεομένην v.

VI. 4. συγχωρούσης AB (non συγχορηγούσης). καὶ φιλοτιμουμένης ABCV. 7. στρατιὰν Reiskius (non P). 8. αὐτὸ C. 13. λυσιάδας C constanter, Αὐσιάδας (sic) x, cf. Schweighaeuserum in Polybii 2, 44, 5. 15. τοίχων error Reiskianae propagatus a ceteris praeter Schoemannum. 18. οἱ λακεδαιμόνιοι θαρρήσαντες ABC. 22. λυδιάδαν P (non λυδιάδου) AB: λυδιάδην S^{g}, Λυδιάδου v. 24. οὗτος δ' C. καταθέμενος S^{g}[PABCG]: καθέμενος v. 25. τοῖς ἐλευθερίαν G. 26. τοῖς ἀχαιοῖς AB.

πρὸς τοὺς Ἀχαιοὺς, ῥᾳδίως ἐπικρατήσειν, ἐδίδασκε τὸν τῆς μητρὸς ἄνδρα Μεγιστόνουν, ὡς χρὴ τῶν ἐφόρων ἀπαλλαγέντας εἰς μέσον θεῖναι τὰ κτήματα τοῖς πολίταις καὶ τὴν Σπάρτην ἴσην γενομένην ἐγείρειν καὶ προάγειν ἐπὶ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. Πεισθέντος δ' ἐκείνου δύο τῶν ἄλλων φίλων ἢ τρεῖς προσέλαβε. Συνέβη δὲ περὶ τὰς ἡμέρας ἐκείνας καὶ τῶν ἐφόρων ἕνα κοιμώμενον ἐν Πασιφάας ὄναρ ἰδεῖν θαυμαστόν. Ἐδόκει γὰρ ἐν ᾧ τόπῳ τοῖς ἐφόροις [ἔθος] ἐστὶ καθεζομένοις χρηματίζειν ἕνα δίφρον κεῖσθαι, τοὺς δὲ τέτταρας ἀνηρῆσθαι καὶ θαυμάζοντος αὐτοῦ φωνὴν ἐκ τοῦ ἱεροῦ γενέσθαι φράζουσαν, ὡς τοῦτο τῇ Σπάρτῃ λῷόν ἐστι.
808 Ταύτην τὴν ὄψιν διηγουμένου τοῦ ἐφόρου πρὸς τὸν Κλεομένη, τὸ μὲν πρῶτον διεταράχθη καθ' ὑποψίαν τινὰ πειράζεσθαι δοκῶν· ὡς δὲ ἐπείσθη μὴ ψεύδεσθαι τὸν διηγούμενον, ἐθάῤῥησε. Καὶ λαβὼν ὅσους ὑπώπτευε μάλιστα τῶν πολιτῶν ἐναντιώσεσθαι πρὸς τὴν πρᾶξιν Ἡραίαν καὶ Ἄλσαίαν τὰς πόλεις ταττομένας ὑπὸ τοῖς Ἀχαιοῖς εἶλε, καὶ σῖτον εἰσήγαγεν Ὀρχομενίοις καὶ Μαντινείᾳ παρεστρατοπέδευσε, καὶ ὅλως ἄνω καὶ κάτω μακραῖς πορείαις ἀποτρύσας τοὺς Λακεδαιμονίους ἀπέλιπεν αὐτῶν δεηθέντων τοὺς πολλοὺς ἐν Ἀρκαδίᾳ, τοὺς δὲ μισθοφόρους ἔχων αὐτὸς ἐπὶ τὴν Σπάρτην ἐχώρει. Καὶ καθ' ὁδὸν οἷς ἐπίστευε μάλιστα καλῶς πρὸς αὐτὸν ἔχειν ἀνεκοινοῦτο τὴν γνώμην καὶ προῇει σχέδην, ὡς περὶ τὸ δεῖπνον οὖσι τοῖς ἐφόροις ἐπιπέσοι.

VIII. Γενόμενος δὲ τῆς πόλεως ἐγγὺς Εὐρυκλείδαν μὲν εἰς τὸ τῶν ἐφόρων συσσίτιον ἀπέστειλεν ὥς τινα παρ' αὐτοῦ λόγον ἀπὸ στρατιᾶς κομίζοντα, Θηρυκίων δὲ καὶ Φοῖβις καὶ δύο τῶν συντρόφων τοῦ Κλεομένους, οὓς μόθακας καλοῦσιν,
5, 161—63 H.

VII. 8. φίλους ABCV. δὲ καὶ περὶ C. 11. πασιφάαι S^g. 10. ἔθος addebat Reiskius. 14. κλεομένην libri. 17. ὑπώπτευε S^g: ὑπώπτευσε v. 18. ἥραιαν P. Ἀλέαν Xylander cl. Pausaniae 8, 23, 1 aut 27, 3. de Ἀσέᾳ vel Ἀσαίᾳ cogitabat Schoemannus cl. Pausaniae 8, 44, 2. Strabonis 8, 3, p. 343. 21. καὶ ἄλλως C. ἀποτρύνας P. 22. ἀπέλειπεν pr. S^g. 25. ἔχειν πρὸς αὐτὸν C. σχεδὸν S^gABCV. 26. περὶ] ἐπὶ C.

VIII. 3. στρατιᾶς S^g et AB Duebneri: στρατείας v. Θηρυκίων Bryanus: θηρικίων libri. praestatne Θηρικύων cl. v. l. c. 31? 4. μόθακας Valckenarius diatr. in Eurip. fr. p. 223: σαμοθρᾷκας libri.

ἐπηκολούθουν στρατιώτας ὀλίγους ἔχοντες. Ἔτι δὲ τοῦ Εὐρυκλείδα διαλεγομένου τοῖς ἐφόροις ἐπιδραμόντες ἐσπασμέναις ταῖς μαχαίραις ἔπαιον αὐτούς. Ὁ μὲν οὖν πρῶτος Ἀγύλαιος, ὡς ἐπλήγη, πεσὼν καὶ τεθνάναι δόξας ἀτρέμα συναγαγὼν καὶ παρέλκων ἑαυτὸν ἐκ τοῦ οἰκήματος ἔλαθεν εἴς τι δωμάτιον εἰσερπύσας μικρὸν, ὃ Φόβου μὲν ἦν ἱερὸν, ἄλλως δὲ κεκλεισμένον ἀεὶ, τότε δὲ ἐκ τύχης ἀνεῳγμένον ἐτύγχανεν. Εἰς τοῦτο συνεισενεγκὼν ἑαυτὸν ἀπέκλεισε τὸ θύριον. Οἱ δὲ τέσσαρες ἀνῃρέθησαν καὶ τῶν ἐπιβοηθούντων αὐτοῖς πλείονες ἢ δέκα. Τοὺς γὰρ ἡσυχίαν ἄγοντας οὐκ ἔκτειναν οὐδὲ τοὺς ἀπιόντας ἐκ τῆς πόλεως ἐκώλυον. Ἐφείσαντο δὲ καὶ τοῦ Ἀγυλαίου μεθ' ἡμέραν ἐκ τοῦ ἱεροῦ προελθόντος.

IX. Ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά. Τιμῶσι δὲ τὸν Φόβον οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας ἡγούμενοι βλαβερὸν, ἀλλὰ τὴν πολιτείαν μάλιστα συνέχεσθαι φόβῳ νομίζοντες. Διὸ καὶ προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησὶ, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος, οἶμαι, προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι. Καὶ τὴν ἀνδρίαν δέ μοι δοκοῦσιν οὐκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν. Οἱ γὰρ δειλότατοι πρὸς τοὺς νόμους θαῤῥαλεώτατοι πρὸς τοὺς πολεμίους εἰσί· καὶ τὸ παθεῖν ἥκιστα δεδίασιν οἱ μάλιστα φοβούμενοι τὸ κακῶς ἀκοῦσαι. Διὸ καὶ καλῶς ὁ εἰπών·

— — ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

καὶ Ὅμηρος·

Αἰδοῖός τέ μοι ἐσσὶ, φίλε ἑκυρὲ, δεινός τε.

5, 163—64 H.

---

8. ἀγυλλαῖος pr. S^g, Ἀγησίλαος et v. 16 Ἀγησιλάου Stephaniana. 9. εἰς τὸ PGia. 11. κεκλειμένον P. δὲ post τότε delet Coraes. 12. συνεισενεγκὼν S^g: συνενεγκὼν v. 14. immo οὐ πλείονες cum Schoemanno. ἔκτειναν ABTSV: ἔκτεινον v. 16. ἀγυλλαίου pr. S^g.

IX. 1. δὲ καὶ Stephaniana. 5. φόβῳ] νόμῳ ia et v. 8. χαλεποὶ ὦσιν] cf. de S. N. V. p. 25 Wytt. 9. σμικρότατα C. 10. ἀνδρίαν ABC. 11. δέους S^g. 12. θαῤῥαλεώτεροι S^g. 14. καλὸς pr. S^gP. 15. cf. Stobaei florileg. 2 p. 35 Gaisfordi. γὰρ om ABC. 16. Iliad. 3, 172.

καί·

Σιγῇ δειδιότες σημάντορας.

Τὸ γὰρ αἰσχύνεσθαι μάλιστα συμβαίνει πρὸς οὓς καὶ τὸ δεδοικέναι τοῖς πολλοῖς. Διὸ καὶ παρὰ τὸ τῶν ἐφόρων συσσίτιον τὸν Φόβον ἵδρυνται Λακεδαιμόνιοι μοναρχίας ἐγγυτάτω κατασκευασάμενοι τὸ ἀρχεῖον.

X. Ὁ δ' οὖν Κλεομένης ἡμέρας γενομένης προέγραψεν ὀγδοήκοντα τῶν πολιτῶν, οὓς ἔδει μεταστῆναι, καὶ τοὺς δίφρους ἀνεῖλε τῶν ἐφόρων πλὴν ἑνός, ἐν ᾧ καθήμενος ἔμελλεν αὐτὸς χρηματίζειν. Ἐκκλησίαν δὲ ποιήσας ἀπελογεῖτο περὶ τῶν πεπραγμένων. Ἔφη γὰρ ὑπὸ τοῦ Λυκούργου τοῖς βασιλεῦσι συμμιχθῆναι τοὺς γέροντας καὶ πολὺν χρόνον οὕτω διοικεῖσθαι τὴν πόλιν οὐδὲν ἑτέρας ἀρχῆς δεομένην, ὕστερον δὲ τοῦ πρὸς Μεσσηνίους πολέμου μακροῦ γενομένου τοὺς βασιλεῖς διὰ τὰς στρατείας ἀσχόλους ὄντας αὐτοὺς πρὸς τὸ κρίνειν αἱρεῖσθαί τινας ἐκ τῶν φίλων καὶ ἀπολει-
809 πειν τοῖς πολίταις ἀνθ' ἑαυτῶν ἐφόρους προσαγορευθέντας, καὶ διατελεῖν τε τούτους τὸ πρῶτον ὑπηρέτας τῶν βασιλέων ὄντας, εἶτα κατὰ μικρὸν εἰς ἑαυτοὺς τὴν ἐξουσίαν ἐπιστρέφοντας οὕτως λαθεῖν ἴδιον ἀρχεῖον κατασκευασαμένους. Σημεῖον δὲ τούτου τὸ μέχρι νῦν μεταπεμπομένων τὸν βασιλέα τῶν ἐφόρων τὸ πρῶτον ἀντιλέγειν καὶ τὸ δεύτερον, τὸ δὲ τρίτον καλούντων ἀναστάντα βαδίζειν πρὸς αὐτούς· καὶ τὸν πρῶτον ἐπισφοδρύναντα τὴν ἀρχὴν καὶ ἀνατεινάμενον Ἀστερωπὸν ἡλικίαις ὕστερον πολλαῖς ἔφορον γενέσθαι. Μετριάζοντας μὲν οὖν αὐτοὺς (ἔφη) κρεῖττον ἦν ὑπομένειν, ἐξουσίᾳ δὲ ἐπιθέτῳ τὴν πάτριον καταλύοντας ἀρχήν, ὥστε τῶν βασιλέων τοὺς μὲν ἐξελαύνειν, τοὺς δὲ ἀποκτιννύναι ἀκρίτους,

5, 1 4—65 H.

---

19. Iliad. 4, 431. *δεδιώτες* S^g. 22. *τὸν φόβον ἱδρυνται λακεδαιμόνιοι* S^g: *ἱδρύσαντο τὸν φόβον ἐν λακεδαίμονι* v.

X. 7. *διακεῖσθαι* C. *δεομένην* S^{g}P[ABCG]πSRTVx: *δεομένης* v. 8. *τοῦ*] *τοὺς* B. *μεσηνίους* P. 12. vel *καὶ* vel *τε* delendum puto. *τούτοις* AC. 14. *οὕτως* Schaeferi C: *καὶ οὕτως* v. *καὶ οὕτω* corr AB. *κατασκευασαμένους* S^{g}PABCG: *κατεσκευασμένους* v. 16. *τὸ πρῶτον* G. 18. *ἐπισφοδρύναντα*, vet. cod. Stephani [AB]πTS: *ἐπισφοδρύνοντα* S^{g}PC, *ἐπιφαιδρύνοντα* Gia. 20. *ἔφη* addiderunt S^g[PABCG]TπiV. 22. scribam *ἀποκτιννύειν* cl. Artax. 30. Galb. 27. *ἀκρίτους* ego cl. Coriol. 18 Agesil. 32 Caes. 7 Cat. min. 22 Tib. Gr. 20 C. Gr. 3. 18. Cic.

ἀπειλεῖν δὲ τοῖς ποθοῦσιν αὖθις ἐπιδεῖν τὴν καλλίστην καὶ θειοτάτην ἐν Σπάρτῃ κατάστασιν, οὐκ ἀνεκτόν. Εἰ μὲν οὖν δυνατὸν ἦν ἄνευ σφαγῆς ἀπαλλάξαι τὰς ἐπεισάκτους τῆς Λακεδαίμονος κῆρας, τρυφὰς καὶ πολυτελείας καὶ χρέα καὶ δανεισμοὺς καὶ τὰ πρεσβύτερα τούτων κακά, πενίαν καὶ πλοῦτον, εὐτυχέστατον ἂν ἡγεῖσθαι πάντων βασιλέων ἑαυτὸν, ὥσπερ ἰατρὸν ἀνωδύνως ἰασάμενον τὴν πατρίδα· νῦν δὲ τῆς ἀνάγκης ἔχειν συγγνώμονα τὸν Λυκοῦργον, ὃς οὔτε βασιλεὺς ὢν οὔτε ἄρχων, ἰδιώτης δὲ βασιλεύειν ἐπιχειρῶν ἐν τοῖς ὅπλοις προῆλθεν εἰς ἀγοράν, ὥστε δείσαντα τὸν βασιλέα Χάριλλον ἐπὶ βωμὸν καταφυγεῖν. Ἀλλ' ἐκεῖνον μὲν, ὄντα χρηστὸν καὶ φιλόπατριν, ταχὺ τῷ Λυκούργῳ τῶν πραττομένων μετασχεῖν καὶ τὴν μεταβολὴν δέξασθαι τῆς πολιτείας, ἔργῳ δὲ μαρτυρῆσαι τὸν Λυκοῦργον, ὅτι πολιτείαν μεταβαλεῖν ἄνευ βίας καὶ φόβου χαλεπόν ἐστιν, οἷς αὐτὸν ἔφη μετριώτατα κεχρῆσθαι τοὺς ἐνισταμένους τῇ σωτηρίᾳ τῆς Λακεδαίμονος ἐκποδὼν ποιησάμενον. Τοῖς δὲ ἄλλοις ἔφη πᾶσι τήν τε γῆν ἅπασαν εἰς μέσον τιθέναι καὶ χρεῶν τοὺς ὀφείλοντας ἀπαλλάττειν καὶ τῶν ξένων κρίσιν ποιεῖν καὶ δοκιμασίαν, ὅπως οἱ κράτιστοι γενόμενοι Σπαρτιᾶται σώζωσι τὴν πόλιν τοῖς ὅπλοις καὶ παυσώμεθα τὴν Λακωνικὴν Αἰτωλῶν καὶ Ἰλλυριῶν λείαν οὖσαν ἐρημίᾳ τῶν ἀμυνόντων ἐφορῶντες.

XI. Ἐκ τούτου πρῶτον μὲν αὐτὸς εἰς μέσον τὴν οὐσίαν ἔθηκε καὶ Μεγιστόνους ὁ πατρῳὸς αὐτοῦ καὶ τῶν ἄλλων φίλων ἕκαστος, ἔπειτα καὶ οἱ λοιποὶ πολῖται πάντες, ἡ δὲ χώρα διενεμήθη. Κλῆρον δὲ καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων φυγάδων ἀπένειμεν ἑκάστῳ καὶ κατάξειν ἅπαντας ὡμολόγησε τῶν πραγμάτων ἐν ἡσυχίᾳ γενομένων. Ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεστάτοις τῶν περιοίκων ὁπλίτας τετρακισχιλίους ἐποίησε, καὶ διδάξας αὐτοὺς ἀντὶ δόρατος

5, 165—66 H.

30: ἀκρίτως libri. 27. τὰ addiderunt S^gPABCGTπV. 33. χάριλλον S^gABC: Χαρίλαον v. 37. φόνου Reiskii non confirmant libri, nam Duebneri silentium Heldii refellit collatio. cf. Lyc. 5, 24. ἄτοπον P. μετριώτατον κεχρημένον corr P. 39. ἐκποδῶν P pr. AC. 43. παυσώμεθα Reiskius: παύσωμεν v. 44. ἠρεμίᾳ C. ἀφορῶντες ABCV.

XI. 2. πατρῶος P. 4. χῶρα pr. S^g. κλῆρον τὲ corr S^g. 5. ἀπένειμαν ABC. καὶ κατὰ τάξιν pr. S^gABC.

χρῆσθαι σαρίσσῃ δι' ἀμφοτέρων καὶ τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης, μὴ διὰ πόρπακος, ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη καὶ τὴν λεγομένην ἀγωγήν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη, ταχὺ τὸν προσήκοντα τῶν τε γυμνασίων καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανόντων καὶ συστελλομένων ὀλίγων μὲν ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων εἰς τὴν εὐγενῆ καὶ Λακωνικὴν ἐκείνην διαιταν. Ὅμως δὲ τὸ τῆς μοναρχίας ὄνομα παραμυθούμενος ἀπέδειξε μεθ' ἑαυτοῦ βασιλέα τὸν ἀδελφὸν Εὐκλειδαν. Καὶ τότε μόνον Σπαρτιάταις ἐκ μιᾶς οἰκίας συνέβη δύο σχεῖν βασιλέας.

XII. Αἰσθόμενος δὲ τοὺς Ἀχαιοὺς καὶ τὸν Ἄρατον, ὡς ἐπισφαλῶς αὐτῷ τῶν πραγμάτων ἐχόντων διὰ τὸν νεωτερισμὸν, οὐκ ἂν οἰομένους προελθεῖν ἔξω τῆς Λακεδαίμονος οὐδὲ ἀπολιπεῖν μετέωρον ἐν κινήματι τηλικούτῳ τὴν πόλιν, οὐκ ἀγεννὲς οὐδὲ ἄχρηστον ἡγήσατο την ἐπιθυμίαν καὶ προθυμιαν τοῦ στρατεύματος ἐπιδεῖξαι τοῖς πολεμίοις. Ἐμβαλὼν οὖν εἰς την Μεγαλοπολιτικὴν ὠφελείας τε μεγάλας
810 ἤθροισε καὶ φθορὰν πολλὴν ἀπειργάσατο τῆς χώρας. Τέλος δὲ τοὺς περὶ τὸν Διόνυσον τεχνίτας ἐκ Μεσσήνης διαπορευομένους λαβὼν καὶ πηξάμενος θέατρον ἐν τῇ πολεμίᾳ καὶ προθεὶς ἀπὸ τετταράκοντα μνῶν ἀγῶνα μίαν ἡμέραν ἐθεᾶτο καθήμενος, οὐ δεόμενος θέας, ἀλλ' οἷον ἐντρυφῶν τοῖς πολεμίοις καὶ περιουσίαν τινὰ τοῦ κρατεῖν πολὺ τῷ καταφρονεῖν ἐπιδεικνύμενος. Ἐπεὶ ἄλλως γε τῶν Ἑλληνικῶν καὶ βασιλικῶν στρατευμάτων ἐκεῖνο μόνον οὐ μίμους παρακολουθοῦντας εἶχεν, οὐ θαυματοποιούς, οὐκ ὀρχηστριδας, οὐ ψαλτρίας, ἀλλὰ πάσης ἀκολασίας καὶ βωμολοχίας καὶ πανηγυρισμοῦ καθαρὸν ἦν, τὰ μὲν πολλὰ μελετώντων τῶν νέων
5, 166—68 H.

---

9. σαρίσῃ corr S^gPGia. 11. διαγωγὴν S^g ,sed punctis supra primas duas litt., et spir. len. supra ᾱ positis.' 12. αὐτὸς C. τὸν] τῶν C. 13. ἀναλαμβανόντων S^gP[ABC]πηTx: ἀντιλαμβανόντων V, ἀναλαμβανομένων v. 15. εὐμενῆ C, scribam εὐτελῆ cum Emperio, cf. c. 32. 17. εὐκλειδην ABC.

XII. 4. οὐδ' Coraes: οὔτε libri. 5. ἐπιθυμίαν καὶ malim deleri cum Corae Schaefero quam εὐπειθειαν καὶ corrigi cum Schoemanno. καὶ προθυμίαν om Stephaniana. 9. μεσήνης P. 11. προσθεὶς AB. 13. πολὺ malim abesse aut corrigi πολλῷ τῷ καταφρονεῖν vel πολὺ τὸ καταφρονεῖν. 14. ἐπεὶ ἄλλως] cf. comp. Pericl. c. Fab. 2, 3.

καὶ τῶν πρεσβυτέρων διδασκόντων, τὰς δὲ παιδιάς, ὁπότε σχολάζοιεν, ταῖς συνήθεσιν εὐτραπελίαις καὶ τῷ λέγειν τι χάριεν καὶ Λακωνικὸν πρὸς ἀλλήλους διατιθεμένων. Ἣν δὲ ἔχει τὸ τοιοῦτον τῆς παιδιᾶς εἶδος ὠφέλειαν, ἐν τῷ Λυκούργου βίῳ γέγραπται.

XIII. Πάντων δ' αὐτὸς ἐγίγνετο διδάσκαλος, εὐτελῆ καὶ ἀφελῆ καὶ φορτικὸν οὐδὲν οὐδὲ ὑπὲρ τοὺς πολλοὺς ἔχοντα τὸν ἑαυτοῦ βιον ὥσπερ παράδειγμα σωφροσύνης ἐν μέσῳ θέμενος· ὃ καὶ πρὸς τὰς Ἑλληνικὰς πράξεις ῥοπήν τινα παρέσχεν αὐτῷ. Τοῖς μὲν γὰρ ἄλλοις ἐντυγχάνοντες οἱ ἄνθρωποι βασιλεῦσιν οὐχ οὕτω κατεπλήττοντο τοὺς πλούτους καὶ τὰς πολυτελείας, ὡς ἐβδελύττοντο τὴν ὑπερηφίαν αὐτῶν καὶ τὸν ὄγκον ἐπαχθῶς καὶ τραχέως προσφερομένων τοῖς ἐντυγχάνουσι· πρὸς δὲ Κλεομένη βαδίζοντες, ὄντα τε δὴ βασιλέα καὶ καλούμενον, εἶτα ὁρῶντες οὐ πορφύρας τινὰς οὐ χλαίνας περὶ αὐτὸν οὐδὲ κλινιδίων καὶ φορείων κατασκευάς, οὐδ' ὑπ' ἀγγέλων ὄχλου καὶ θυρωρῶν ἢ διὰ γραμματείων χρηματίζοντα χαλεπῶς καὶ μόλις, ἀλλ' αὐτὸν ἐν ἱματίῳ τῷ τυχόντι πρὸς τὰς δεξιώσεις ἀπαντῶντα καὶ διαλεγόμενον καὶ σχολάζοντα τοῖς χρῄζουσιν ἱλαρῶς καὶ φιλανθρώπως, ἐκηλοῦντο καὶ κατεδημαγωγοῦντο καὶ μόνον ἀφ' Ἡρακλέους ἐκεῖνον ἔφασαν γεγονέναι. Τῶν δὲ δείπνων αὐτοῦ τὸ μὲν καθημερινὸν ἦν ἐν τρικλίνῳ σφύδρα συνεσταλμένον καὶ Λακωνικόν, εἰ δὲ πρέσβεις ἢ ξένους δέχοιτο, δύο μὲν ἄλλαι προσπαρεβάλλοντο κλῖναι, μικρῷ δὲ μᾶλλον οἱ ὑπηρέται τὴν τράπεζαν ἐπελάμπρυνον, οὐ καρυκείαις τισὶν οὐδὲ πέμμασιν, ἀλλ' ὥστε ἀφθονωτέρας εἶναι τὰς παραθέσεις καὶ φιλανθρωπότερον τὸν οἶνον. Καὶ γὰρ ἐπετίμησέ τινι τῶν φίλων ἀκούσας, ὅτι ξένους ἑστιῶν ζωμὸν αὐτοῖς μέλανα καὶ μάζαν, ὥσπερ ἔθος ἦν ἐν τοῖς φιδιτίοις, παρέθηκεν· οὐ γὰρ ἔφη δεῖν ἐν τούτοις

5, 168—69 H.

19. τὰς δὲ Reiskius: τάς τε libri. 20. σχολάζοι ἐν Gia. τὸ λέγειν libri, corrigebat Stephanus Vx.

XIII. 1. ἐγενετο ABC. 9. κλεομένην S^gPABCG. βαδίζοντας C. τε om S^g Duebneri et ABC. δὴ om S^g pr. P. 10. οὐ χλαίνας S^g: οὐδὲ χλαίνας v. 11. καὶ κατασκευὰς C. 12. ὄχλων P. γραμματείων S^gABR: γραμματίων v. χρηματίζονται P. 13. τῷ om ia. 19. προσπαρελαμβάνοντο C. 20. οἱ om C. 21. ὑπελάμπρυνον C. ὥσπερ ABC. 25. φιτιδίοις P.

οὐδὲ πρὸς τοὺς ξένους λίαν ἀκριβῶς λακωνίζειν. Ἀπαρθείσης δὲ τῆς τραπέζης εἰσεκομίζετο τρίπους κρατῆρα χαλκοῦν ἔχων οἴνου μεστὸν καὶ φιάλας ἀργυρᾶς δικοτύλους δύο καὶ ποτήρια τῶν ἀργυρῶν ὀλίγα παντάπασιν, ἐξ ὧν ἔπινεν ὁ βουλόμενος, ἄκοντι δὲ οὐδεὶς ποτήριον προσέφερεν. Ἀκρόαμα δὲ οὔτ' ἦν οὔτ' ἐπεζητεῖτο· ἐπαιδαγώγει γὰρ αὐτὸς ὁμιλίᾳ τὸν πότον, τὰ μὲν ἐρωτῶν, τὰ δὲ διηγούμενος, οὔτε τὴν σπουδὴν ἀηδῆ τῶν λόγων τήν τε παιδιαν ἐπίχαριν καὶ ἀσόλοικον ἐχόντων. Ἃς μὲν γὰρ οἱ λοιποὶ τῶν βασιλέων ἐπὶ τοὺς ἀνθρώπους θήρας ἐποιοῦντο χρήμασι καὶ δωρεαῖς δελεάζοντες αὐτοὺς καὶ διαφθείροντες, ἀτέχνους καὶ ἀδίκους ἐνόμιζεν εἶναι· τὸ δὲ ὁμιλίᾳ καὶ λόγῳ χάριν ἔχοντι καὶ πίστιν οἰκειοῦσθαι καὶ προσάγεσθαι τοὺς ἐντυγχάνοντας ἐφαίνετο κάλλιστον αὐτῷ καὶ βασιλικώτατον, ὡς οὐδενὶ φίλου διαφέροντα μισθωτὸν ἢ τῷ τὸν μὲν ἥθει καὶ λόγῳ, τὸν δὲ ὑπὸ χρημάτων ἁλίσκεσθαι.

XIV. Πρῶτον μὲν οὖν οἱ Μαντινεῖς αὐτὸν ἐπηγάγοντο· καὶ νύκτωρ εἰς τὴν πόλιν παρεισπεσόντι τὴν φρουρὰν τὴν Ἀχαιῶν συνεκβαλόντες ἐνεχείρισαν αὐτούς. Ὁ δὲ καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πολιτείαν ἀποδοὺς αὐθημερὸν ἀπῆλθεν εἰς Τεγέαν. Ὀλίγῳ δ' ὕστερον ἐκπεριελθὼν δι' Ἀρκαδίας κατέβαινεν ἐπὶ τὰς Ἀχαϊκὰς Φερὰς βουλόμενος ἢ μάχην θέσθαι πρὸς τοὺς Ἀχαιοὺς ἢ διαβάλλειν τὸν Ἄρατον ὡς ἀποδιδράσκοντα καὶ προϊέμενον αὐτῷ τὴν χώραν. Ἐστρατήγει μὲν γὰρ Ὑπερβατᾶς τότε, τοῦ δὲ Ἀράτου τὸ πᾶν ἦν κράτος ἐν τοῖς Ἀχαιοῖς. Ἐξελθόντων δὲ πανδημεὶ τῶν Ἀχαιῶν καὶ στρατοπεδευσαμένων ἐν Λύμαις περὶ τὸ Ἑκατόμ-

5, 169—70 H.

---

26. ἀπαρθείσης Schaeferus: ἐπαρθείσης libri, ‚quamquam in S^{g} utrum ἀπαρθείσης sit an ἐπαρθείσης non satis discerni potest.‘ 28. ἔχων om AB, post ἀργυρῶν v. 29 ponit C. 30. προσέφερε ποτήριον C. 32. τὸν πότον S^{g}[ABC]Tπx: τὸ πότον P, τὸ ποτὸν v. 35. θῆρας pr. S^{g}B. 37. τῷ δὲ AB. 39. διαφέροντι pr. ABGi.

XIV. 2. παρεισπεσόντι S^{g}PABCGTηSVx: παρεισπεσόντες v. τὴν] τῶν ABSπ. 3. συνεκβάλλοντες C. 4. νόμους αὐτοῖς S^{g}G: νόμους αὐτοὺς PABC, νόμους v. πολιτείαν S^{g}PABCG: πολιτείαν αὐτοῖς v. διὰ καρδίας S^{g}. 6. τὰς om P. φερὰς B. 9. ὑπερβατᾶς P, ὑπερβάτας S^{g}ABC. 11. δύμαις S^{g}PABCπTV: Λυμαίαις ℵ

βαιον, ἐπελθὼν ὁ Κλεομένης ἔδοξε μὲν οὐ καλῶς ἐν μέσῳ τῆς τε Δυμαίων πόλεως, πολεμίας οὔσης, καὶ τοῦ στρατεύματος τῶν Ἀχαιῶν αὐλίσασθαι· τολμηρῶς δὲ προκαλούμενος τοὺς Ἀχαιοὺς ἠνάγκασε συμβαλεῖν, καὶ νικήσας κατὰ κράτος καὶ τρεψάμενος τὴν φάλαγγα πολλοὺς μὲν ἐν τῇ μάχῃ διέφθειρεν αὐτῶν, πολλῶν δὲ καὶ ζώντων ἐκυρίευσεν, ἐπελθὼν δὲ Λάγγωνι καὶ τῶν Ἀχαιῶν τοὺς φρουροῦντας ἐξελάσας ἀπέδωκεν Ἠλείοις τὴν πόλιν.

XV. Οὕτω δὲ συντετριμμένοις τοῖς Ἀχαιοῖς ὁ μὲν Ἄρατος, εἰωθὼς παρ' ἑνιαυτὸν ἀεὶ στρατηγεῖν, ἀπείπατο τὴν ἀρχὴν καὶ παρῃτήσατο καλούντων καὶ δεομένων· οὐ καλῶς, οἷον ἐν χειμῶνι πραγμάτων μείζονι, μεθεὶς ἑτέρῳ τὸν οἴακα καὶ προέμενος τὴν ἐξουσίαν. Ὁ δὲ Κλεομένης πρῶτον μὲν μέτρια τοῖς Ἀχαιοῖς ἐδόκει πρέσβεσιν ἐπιτάττειν, ἑτέρους δὲ πέμπων ἐκέλευεν αὐτῷ παραδιδόναι τὴν ἡγεμονίαν, ὡς τἆλλα μὴ διοισόμενος πρὸς αὐτούς, ἀλλὰ καὶ τοὺς αἰχμαλώτους εὐθὺς ἀποδώσων καὶ τὰ χωρία. Βουλομένων δὲ τῶν Ἀχαιῶν ἐπὶ τούτοις δέχεσθαι τὰς διαλύσεις καὶ τὸν Κλεομένη καλούντων εἰς Λέρναν, ὅπου τὴν ἐκκλησίαν ἔμελλον ἔχειν, ἔτυχε τὸν Κλεομένη συντόνως ὁδεύσαντα καὶ χρησάμενον παρὰ καιρὸν ὑδροποσίᾳ αἵματος πλῆθος ἀνενεγκεῖν καὶ τὴν φωνὴν ἀποκοπῆναι. Διὸ τῶν μὲν αἰχμαλώτων ἀπέπεμψε τοῖς Ἀχαιοῖς τοὺς ἐπιφανεστάτους, τὸν δὲ σύλλογον ὑπερθέμενος ἀνεχώρησεν εἰς Λακεδαίμονα.

XVI. Τοῦτο διελυμήνατο τὰ πράγματα τῆς Ἑλλάδος, ἀμωσγέπως ἐκ τῶν παρόντων ἀναλαβεῖν αὐτὴν ἔτι καὶ διαφυγεῖν τὴν Μακεδόνων ὕβριν καὶ πλεονεξίαν δυναμένην. Ὁ γὰρ Ἄρατος, εἴτε ἀπιστίᾳ καὶ φόβῳ τοῦ Κλεομένους, εἴτε φθονῶν εὐτυχοῦντι παρ' ἐλπίδα καὶ νομίζων, ἔτη τρία καὶ

5, 170—71 H.

14. προσκαλούμενος corr S^gia. 17. ἐπελθὼν καὶ i, unde ἐπελθὼν δὲ καὶ Reiskius et nuperi. 18. Λάγγωνι] λάγγων C, Λασιῶνι Manso Spartae 3, 1, p. 318 cl. Polybii 4, 72.

XV. 7. τἆλλα S^gAB: τἄλλα v. 10. κλεομένη S^gP: Κλεομένην v. 11. ἔμελλεν B. 12. κλεομένη S^gP pr. A: Κλεομένην v. 13. ψυχροποσίᾳ marg. P corr ηV. scribam πλῆθος αἵματος, cf. c. 30 extr.

XVI. 1. δ' ἐλυμήνατο C. 2. ἀμωσγέπως Schaeferus: ἄλλως γέ πως S^g, ἄλλως τέ πως ceteri et v. ἔτι om ABC. 3. δυναμένης Bakius bibl. crit. nov. 2, 94 et Schaeferus.

τριάκοντα πρωτεύοντος αὐτοῦ, δεινὸν εἶναι τὴν δόξαν ἅμα καὶ τὴν δύναμιν ἐπιρρύτα νέον ἄνδρα καθελεῖν καὶ παραλαβεῖν πραγμάτων ηὐξημένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων χρόνον τοσοῦτον ἀρχήν, πρῶτον μὲν ἐπειρᾶτο τοὺς Ἀχαιοὺς παραβιάζεσθαι καὶ διακωλύειν· ὡς δὲ οὐ προσεῖχον αὐτῷ τοῦ Κλεομένους ἐκπεπληγμένοι τὸ θράσος, ἀλλὰ καὶ δικαίαν ἐποιοῦντο τὴν ἀξίωσιν τῶν Λακεδαιμονίων εἰς τὸ πάτριον σχῆμα κοσμούντων τὴν Πελοπόννησον, τρέπεται πρὸς ἔργον οὐδενὶ μὲν τῶν Ἑλλήνων προσῆκον, αἴσχιστον δ' ἐκείνῳ καὶ τῶν πεπραγμένων ὑπ' αὐτοῦ καὶ πεπολιτευμένων ἀναξιώτατον, Ἀντίγονον ἐπὶ τὴν Ἑλλάδα καλεῖν καὶ Μακεδόνων ἐμπιπλάναι τὴν Πελοπόννησον, οὓς αὐτοὺς ἐκ Πελοποννήσου μειράκιον ὢν ἐξήλασεν ἐλευθερώσας τὸν Ἀκροκόρινθον καὶ πᾶσι μὲν τοῖς βασιλεῦσιν ὕποπτος καὶ διάφορος γενόμενος, τουτονὶ δὲ αὐτὸν Ἀντίγονον εἰρηκὼς κακὰ μυρία δι' ὧν ἀπολέλοιπεν ὑπομνημάτων. Καίτοι πολλὰ παθεῖν καὶ παραβαλέσθαι φησὶν αὐτὸς ὑπὲρ Ἀθηναίων, ὅπως ἡ πόλις ἀπαλλαγείη φρουρᾶς καὶ Μακεδόνων· εἶτα τούτους ἐπὶ τὴν πατρίδα καὶ τὴν ἑστίαν τὴν ἑαυτοῦ μεθ' ὅπλων εἰσήγαγεν ἄχρι τῆς γυναικωνίτιδος· τὸν δὲ ἀφ' Ἡρακλέους γεγονότα καὶ
812 βασιλεύοντα Σπαρτιατῶν καὶ τὴν πάτριον πολιτείαν, ὥσπερ ἁρμονίαν ἐκλελυμένην, ἀνακρουόμενον αὖθις ἐπὶ τὸν σώφρονα καὶ Δώριον ἐκεῖνον τοῦ Λυκούργου νόμον καὶ βίον, οὐκ ἠξίου Σικυωνίων ἡγεμόνα καὶ Τριταιέων γράφεσθαι, φεύγων δὲ τὴν μάζαν καὶ τὸν τρίβωνα καὶ, τὸ δεινότατον ὧν κατηγόρει Κλεομένους, ἀναίρεσιν πλούτου καὶ πενίας ἐπανόρθωσιν, διαδήματι καὶ πορφύρᾳ καὶ Μακεδονικοῖς καὶ σατραπικοῖς προστάγμασιν ὑπέρριψε μετὰ τῆς Ἀχαΐας αὐτὸν, ἵνα μὴ Κλεομένει ποιεῖν δοκῇ τὸ προσταττόμενον, Ἀντιγόνεια θύων καὶ παιᾶνας ᾄδων αὐτὸς ἐστεφανωμένος εἰς ἄνθρωπον ὑπὸ φθόης κατασηπόμενον. Ἀλλὰ ταῦτα μὲν οὐκ
5, 171—72 H.

7. καὶ καθελεῖν P. 8. ὑπ'] παρ' ABC. 9. χρόνων τοσούτων corr S^g. 11. ἐκπληττόμενοι P. θάρσος corr S^g. 13. πρὸς τὸ AB. 15. ἀξιώτατον pr. A. 18. ὃν CG. 28. ἐκείνου C. τὸν λυκούργου AB. 29. Τριταιέων Solanus, cf. Arat. 11: τρικκαίων P, τρικκαίων ceteri et v. 33. ἑαυτὸν C. 34. δοκῇ ποιεῖν C. Ἀντιγόνεια Stephani corr S^g: ἀντιγόνια pr. S^gPAB CGi, ἀντιγόνοια a.

Ἀράτου βουλόμενοι κατηγορεῖν γράφουμεν (ἐν πολλοῖς γὰρ ὁ ἀνὴρ οὗτος Ἑλληνικὸς γέγονε καὶ μέγας), οἰκτείροντες δὲ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, εἰ μηδὲ ἐν ἤθεσιν οὕτως ἀξιολόγοις καὶ διαφόροις πρὸς ἀρετὴν ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον.

XVII. Ἐλθόντων δὲ Ἀχαιῶν εἰς Ἄργος αὖθις ἐπὶ τὸν σύλλογον καὶ τοῦ Κλεομένους ἐκ Τεγέας καταβεβηκότος ἐλπὶς ἦν πολλὴ τῶν ἀνθρώπων ἔσεσθαι τὴν διάλυσιν. Ὁ δὲ Ἄρατος, ἤδη διωμολογημένων αὐτῷ πρὸς τὸν Ἀντίγονον τῶν μεγίστων, φοβούμενος τὸν Κλεομένη, μὴ πάντα διαπράξηται καθομιλήσας τὸ πλῆθος ἢ καὶ βιασάμενος, ἠξίου λαβόντα τριακοσίους ὁμήρους μόνον εἰσιέναι πρὸς αὐτοὺς ἢ κατὰ γυμνάσιον ἔξωθεν τὸ Κυλλαράβιον προσελθόντα μετὰ τῆς δυνάμεως διαλέγεσθαι. Ταῦτ' ἀκούσας ὁ Κλεομένης ἄδικα πάσχειν ἔφασκε· δεῖν γὰρ εὐθὺς αὐτῷ τότε προειπεῖν, οὐ νῦν, ἥκοντος ἐπὶ τὰς θύρας τὰς ἐκείνων, ἀπιστεῖν καὶ ἀπελαύνειν. Γράψας δὲ περὶ τούτων ἐπιστολὴν πρὸς τοὺς Ἀχαιούς, ἧς ἦν τὸ πλεῖστον Ἀράτου κατηγορία, πολλὰ δὲ καὶ τοῦ Ἀράτου λοιδορήσαντος αὐτὸν πρὸς τὸ πλῆθος, ἀνέζευξε διὰ ταχέων καὶ κήρυκα πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς ἔπεμψεν, οὐκ εἰς Ἄργος, ἀλλ' εἰς Αἴγιον, ὥς φησιν Ἄρατος, ὅπως φθάσῃ τὴν παρασκευὴν αὐτῶν. Ἐγεγόνει δὲ κίνημα τῶν Ἀχαιῶν καὶ πρὸς ἀπόστασιν ὥρμησαν αἱ πόλεις, τῶν μὲν δήμων νομήν τε χώρας καὶ χρεῶν ἀποκοπὰς ἐλπισάντων, τῶν δὲ πρώτων πολλαχοῦ βαρυνομένων τὸν Ἄρατον, ἐνίων δὲ καὶ δι' ὀργῆς ἐχόντων ὡς ἐπάγοντα τῇ Πελοποννήσῳ Μακεδόνας. Διὸ τούτοις ἐπαρθεὶς ὁ Κλεομένης εἰς Ἀχαΐαν ἐνέβαλε· καὶ πρῶτον μὲν εἷλε Πελλήνην ἐξαπίνης ἐπιπεσὼν καὶ τοὺς φρου-

5, 172—74 H.

---

37. βουλόμενοι κατηγορεῖν S^gPABCG: κατηγορεῖν βουλόμενοι v. 39. μηδὲν ἐν C.

XVII. 2. κατεληλυθότος ABCπS, καταλελυθότος V. 5. κλεομένη S^gP pr. A: Κλεομένην v. πράξηται C. 6. καθομολογήσας ‚vet. cod.' Stephani. τὸ πλῆθος] τὸν δῆμον C. καὶ om ABC. 8. κυλλάραβιν P. ἐλθόντα corr P. 12. γράψας S^gPABC: καὶ γράψας v. τοὺς om ABC. 13. ἀράτου κατηγορία S^g: κατηγορία Ἀράτου v. 15. προαιροῦντα Gia. 16. φασιν AB. 19. τε S^gPABCG: τῆς v. ἀποκοπὴν C. 20. ‚in quibusdam scriptum est νῦν δὲ pro ἐνίων δὲ' Stephanus.

ροῦντας ἐξέβαλε μετὰ τῶν Ἀχαιῶν· μετὰ δὲ ταῦτα Φενεὸν προσηγάγετο καὶ Πεντέλειον. Ἐπεὶ δὲ φοβηθέντες οἱ Ἀχαιοὶ προδοσίαν τινὰ πραττομένην ἐν Κορίνθῳ καὶ Σικυῶνι τοὺς ἱππεῖς καὶ τοὺς ξένους ἀπέστειλαν ἐξ Ἄργους ἐκεῖ παραφυλάξοντας, αὐτοὶ δὲ τὰ Νέμεια καταβάντες εἰς Ἄργος ἦγον, ἐλπίσας, ὅπερ ἦν, ὁ Κλεομένης ὄχλου πανηγυρικοῦ καὶ θεατῶν τὴν πόλιν γέμουσαν ἀπροσδοκήτως ἐπελθὼν μᾶλλον ταράξειν, νυκτὸς ἦγε πρὸς τὰ τείχη τὸ στράτευμα καὶ τὸν περὶ τὴν Ἀσπίδα τόπον καταλαβὼν ὑπὲρ τοῦ θεάτρου χαλεπὸν ὄντα καὶ δυσπρόσοδον οὕτως τοὺς ἀνθρώπους ἐξέπληξεν, ὥστε μηδένα τραπέσθαι πρὸς ἀλκήν, ἀλλὰ καὶ φρουρὰν λαβεῖν καὶ δοῦναι τῶν πολιτῶν ὁμήρους εἴκοσι καὶ γενέσθαι συμμάχους Λακεδαιμονίων, ἔχοντος ἐκείνου τὴν ἡγεμονίαν.

XVIII. Οὐ μικρὸν οὖν τοῦτο καὶ πρὸς δόξαν αὐτῷ καὶ δύναμιν ὑπῆρχεν. Οὔτε γὰρ οἱ πάλαι βασιλεῖς Λακεδαιμονίων πολλὰ πραγματευσάμενοι προσαγαγέσθαι τὸ Ἄργος βεβαίως ἠδυνήθησαν, ὅ τε δεινότατος τῶν στρατηγῶν Πύρρος εἰσελθὼν καὶ βιασάμενος οὐ κατέσχε τὴν πόλιν, ἀλλ' ἀπέθανε καὶ πολὺ συνδιεφθάρη μέρος αὐτῷ τῆς δυνάμεως.
813 Ὅθεν ἐθαύμαζον τὴν ὀξύτητα καὶ διάνοιαν τοῦ Κλεομένους· καὶ οἱ πρότερον αὐτοῦ τὸν Σόλωνα καὶ τὸν Λυκοῦργον ἀπομιμήσασθαι φάσκοντες ἐν τῇ τῶν χρεῶν ἀφέσει καὶ τῇ τῶν κτημάτων ἐξισώσει καταγελῶντες, τότε παντελῶς ἐπείθοντο τοῦτο αἴτιον γεγονέναι τῆς περὶ τοὺς Σπαρτιάτας μεταβολῆς. Οὕτω γὰρ ἔπραττον τὸ πρὶν ταπεινὰ καὶ βοηθεῖν αὑτοῖς ἀδυνάτως εἶχον, ὥστε πέντε μυριάδας ἀνδραπόδων ἐμβαλόντας εἰς τὴν Λακωνικὴν Αἰτωλοὺς ἀπαγαγεῖν· ὅτε φασὶν εἰπεῖν τινα τῶν πρεσβυτέρων Σπαρτιατῶν, ὡς ὤνησαν οἱ
5, 174—75 H.

---

24. ἐξέβαλλε ia. φονεὸν S^g. 25. πεντέλλιον S^g, πεντέλιον ABC. 27. ἐκεῖ — 28 εἰς om pr. A. 28. νέμια pr. S^gPCGia. 33. οὕτως S^gPCG: οὕτω v. 34. ὡς μηδένα AB.

XVIII. 2. καὶ πρὸς δύναμιν C. 4. ἐδυνήθησαν C. 6. διεφθάρη C. 7. θαυμάζοντες ABCV. διάνοιαν] βίαν m. rec. marg. S^gABCV. 8. καὶ οἱ S^g: καὶ v. 9. φάσκοντες S^gABC: φάσκοντος v. 10. κτημάτων S^gABCG: χρημάτων x. ἀξιώσει P. ὑπειδοντο ABCV. 11. τοῦτον] τοῦ PGia. γεγονέναι S^g: εἶναι v. τῆς] τοὺς P, τοὺς pr. A. τοὺς σπαρτιάτας S^gPABCGVx: τῶν Σπαρτιατῶν v. 12. τὸ πρὶν Reiskius: τε πρὶν v. 13. ἀδυνάτοις G.

πολέμιοι τὴν Λακωνικὴν ἀποκουφίσαντες. Ὀλίγου δὲ χρόνου διελθόντος ἀφῄμενοι μόνον τῶν πατρίων ἐθῶν καὶ καταστάντες εἰς ἴχνος ἐκείνης τῆς ἀγωγῆς ὥσπερ παρόντι καὶ συμπολιτευομένῳ τῷ Λυκούργῳ πολλὴν ἐπίδειξιν ἀνδρείας ἐποιοῦντο καὶ πειθαρχίας, τὴν τῆς Ἑλλάδος ἀναλαμβάνοντες ἡγεμονίαν τῇ Λακεδαίμονι καὶ ἀνακτώμενοι τὴν Πελοπόννησον.

XIX. Ἐαλωκότος δὲ Ἄργους καὶ κατόπιν εὐθὺς προσθεμένων τῷ Κλεομένει Κλεωνῶν καὶ Φλιοῦντος, ἐτύγχανε μὲν ὁ Ἄρατος ἐν Κορίνθῳ ποιούμενός τινα τῶν λεγομένων λακωνίζειν ἐξέτασιν· ἀγγελίας δὲ περὶ τούτων προσπεσούσης διαταραχθεὶς καὶ τὴν πόλιν ἀποκλίνουσαν αἰσθόμενος πρὸς τὸν Κλεομένη καὶ τῶν Ἀχαιῶν ἀπαλλαγῆναι βουλομένην, ἐκάλει μὲν εἰς τὸ βουλευτήριον τοὺς πολίτας, ἔλαθε δὲ διολισθὼν ἄχρι τῆς πύλης. Ἐκεῖ δὲ, τοῦ ἵππου προσαχθέντος, ἀναβὰς ἔφυγεν εἰς Σικυῶνα. Τῶν δὲ Κορινθίων ἀμιλλωμένων εἰς Ἄργος πρὸς τὸν Κλεομένη φησὶν ὁ Ἄρατος τοὺς ἵππους πάντας ῥαγῆναι· τὸν δὲ Κλεομένη μέμφεσθαι τοὺς Κορινθίους μὴ συλλαβόντας αὐτὸν, ἀλλ' ἐάσαντας διαφυγεῖν· οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτὸν ἐλθεῖν Μεγιστόνους παρὰ τοῦ Κλεομένους δεομένου παραλαβεῖν τὸν Ἀκροκόρινθον (εἶχε γὰρ φρουρὰν Ἀχαιῶν) καὶ πολλὰ χρήματα διδόντος· ἀποκρίνασθαι δὲ αὐτὸν, ὡς οὐκ ἔχει τὰ πράγματα, μᾶλλον δὲ ὑπὸ τῶν πραγμάτων αὐτὸς ἔχεται. Ταῦτα μὲν ὁ Ἄρατος γέγραφεν. Ὁ δὲ Κλεομένης ἐκ τοῦ Ἄργους ἐπελθὼν καὶ προσαγαγόμενος Τροιζηνίους, Ἐπιδαυρίους, Ἑρμιονέας, ἦκεν εἰς Κόρινθον· καὶ τὴν μὲν ἄκραν περιεχαράκωσε, τῶν Ἀχαιῶν οὐ βουλομένων ἐκλιπεῖν, τοῦ δὲ Ἀράτου τοὺς φίλους καὶ

5, 175—76 H.

---

17. *μόνον* Bryani pr. S^{g} (ut videtur) *η*: *μόνων* v. 19. *ἀνδρίας* C. 20. *πειθαρχίας* Schoemannus: *πειθαρχίαν* libri. 21. *τῇ λακεδαίμονι* S^{g}ABCTπSVx: *τὴν λακεδαίμονι* P, *τὴν λακεδαίμονα* Gia et v.

XIX. 2. *φιλοῦντος* Pi. 4. *ἐπίτασιν* m. rec. marg. S^{g} marg. P pr. ABV. 6. *κλεομένη* S^{g}: *Κλεομένην* v. *βουλομένην* S^{g}x: *βουλομένων* v. 7. *πρὸς τοὺς* ABV. *διολισθὼν* ABC: *διολισθῶν* S^{g}P, *διολισθήσας* v. 10. *πρὸς* om ia. *κλεομένη* S^{g}P pr. AC et mox: *Κλεομένην* v. 13. *παρὰ τοῦ* Schaeferi ABC: *παρ' αὐτοῦ* v. 15. *διδόντας* P. 18. *ἐπελθὼν* om P. 20. *μὲν* om C.

τοὺς ἐπιτρόπους μεταπεμψάμενος ἐκέλευσε τὴν οἰκίαν καὶ τὰ χρήματα λαβόντας φυλάττειν καὶ διοικεῖν. Τριτύμαλλον δὲ πάλιν τὸν Μεσσήνιον ἀπέστειλε πρὸς αὐτὸν ἀξιῶν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Λακεδαιμονίων ὁμοῦ φυλάττεσθαι τὸν Ἀκροκόρινθον, ἰδίᾳ δὲ τῷ Ἀράτῳ διπλῆν ἐπαγγελλόμενος τὴν σύνταξιν, ἧς ἐλάμβανε παρὰ Πτολεμαίου τοῦ βασιλέως. Ἐπεὶ δὲ ὁ Ἄρατος οὐχ ὑπήκουσεν, ἀλλὰ τόν τε υἱὸν ἔπεμψε πρὸς τὸν Ἀντίγονον μετὰ τῶν ἄλλων ὁμήρων καὶ ψηφίσασθαι τοὺς Ἀχαιοὺς ἔπεισεν Ἀντιγόνῳ παραδιδόναι τὸν Ἀκροκόρινθον, οὕτως ὁ Κλεομένης τήν τε Σικυωνίαν ἐμβαλὼν ἐπόρθησε καὶ τὰ χρήματα τοῦ Ἀράτου, τῶν Κορινθίων αὐτῷ ψηφισαμένων, δωρεὰν ἔλαβε.

XX. Τοῦ δὲ Ἀντιγόνου μετὰ πολλῆς δυνάμεως τὴν Γεράνειαν ὑπερβάλλοντος οὐκ ᾤετο δεῖν τὸν Ἰσθμὸν, ἀλλὰ τὰ Ὄνεια χαρακώσας καὶ τειχίσας φυλάττειν καὶ τοπομαχῶν ἀποτρίβεσθαι τοὺς Μακεδόνας μᾶλλον ἢ συμπλέκεσθαι πρὸς φάλαγγα συνησκημένην. Καὶ τούτοις χρώμενος τοῖς λογισμοῖς εἰς ἀπορίαν καθίστη τὸν Ἀντίγονον. Οὔτε γὰρ σῖτον εἶχεν ἐκ παρασκευῆς ἱκανὸν οὔτε βιάσασθαι τὴν πάροδον, καθημένου τοῦ Κλεομένους, ἦν ῥᾴδιον· ἐπιχειρήσας δὲ παραδύεσθαι διὰ τοῦ Λεχαίου νυκτὸς ἐξέπεσε καί τινας ἀπέβαλε τῶν στρατιωτῶν, ὥστε παντάπασι θαῤῥῆσαι τὸν Κλεομένη
814 καὶ τοὺς περὶ αὐτὸν ἐπηρμένους τῇ νίκῃ τραπέσθαι πρὸς τὸ δεῖπνον, ἀθυμεῖν δὲ τὸν Ἀντίγονον εἰς οὐκ εὐπόρους κατακλειόμενον ὑπὸ τῆς ἀνάγκης λογισμούς. Ἐβουλεύετο γὰρ ἐπὶ τὴν ἄκραν ἀναζευγνύναι τὸ Ἡραῖον κἀκεῖθεν εἰς Σικυῶνα πλοίοις περαιῶσαι τὴν δύναμιν· ὃ καὶ χρόνου πολλοῦ καὶ παρασκευῆς ἦν οὐ τῆς τυχούσης. Ἤδη δὲ πρὸς ἑσπέραν ἦκον ἐξ Ἄργους κατὰ θάλατταν ἄνδρες Ἀράτου φίλοι καλοῦντες

5, 176—78 H.

---

22. τὰ χρήματα καὶ οἰκίαν C. 23. Τριτύμαλλον] Τρίπυλον Arat. 41. 24. μεσήνιον P. 25. ὁμοῦ καὶ τῶν λακεδαιμονίων C. 27. σύσταξιν S^g. 28. ἀπέπεμψε C. 30. παραδοῦναι C. 31. ἐμβάλλων P.

XX. 2. γεράνειαν S^g Duebneri ABC: γερανείαν S^g Solani P, Γερανίαν v. 3. Ὄνεια Coraes: ὄνια pr. S^g, Ὤνεια x, Ὤνια v. 4. ἀποτρέπεσθαι P. 10. κλεομένη S^gP pr. A: Κλεομένην v. 11. πρὸς τὸν AB, πρὸς B. 13. ἐβουλεύετο P corr ABRqTVx: ἐβουλεῦετο S^g, ἐβούλευετο i, ἐβούλετο v.

αὐτὸν, ὡς ἀφισταμένων τῶν Ἀργείων τοῦ Κλεομένους. Ὁ δὲ πράττων ἦν τὴν ἀπόστασιν Ἀριστοτέλης· καὶ τὸ πλῆθος οὐ χαλεπῶς ἔπεισεν ἀγανακτοῦν, ὅτι χρεῶν ἀποκοπὰς οὐκ ἐποίησεν αὐτοῖς ὁ Κλεομένης ἐλπίσασι. Λαβὼν οὖν ὁ Ἄρατος παρ' Ἀντιγόνου στρατιώτας χιλίους καὶ πεντακοσίους παρέπλευσεν εἰς Ἐπίδαυρον. Ὁ δὲ Ἀριστοτέλης ἐκεῖνον οὐ περιέμενεν, ἀλλὰ τοὺς πολίτας παραλαβὼν προσεμάχετο τοῖς φρουροῦσι τὴν ἀκρόπολιν· καὶ παρῆν αὐτῷ Τιμόξενος μετὰ τῶν Ἀχαιῶν ἐκ Σικυῶνος βοηθῶν.

XXI. Ταῦτα περὶ δευτέραν φυλακὴν τῆς νυκτὸς ἀκούσας ὁ Κλεομένης μετεπέμψατο Μεγιστόνουν καὶ πρὸς ὀργὴν ἐκέλευσεν εὐθὺς εἰς Ἄργος βοηθεῖν· ὁ γὰρ ὑπὲρ τῶν Ἀργείων μάλιστα καταπιστωσάμενος πρὸς αὐτὸν ἐκεῖνος ἦν, καὶ διεκώλυσεν ἐκβαλεῖν τοὺς ὑπόπτους. Ἀπολύσας οὖν τὸν Μεγιστόνουν μετὰ δισχιλίων στρατιωτῶν αὐτὸς προσεῖχε τῷ Ἀντιγόνῳ καὶ τοὺς Κορινθίους παρεθάρρυνεν, ὡς οὐδενὸς μεγάλου περὶ τὸ Ἄργος, ἀλλὰ ταραχῆς τινος ἀπ' ἀνθρώπων ὀλίγων γεγενημένης. Ἐπεὶ δὲ ὁ Μεγιστόνους τε παρεισπεσὼν εἰς τὸ Ἄργος ἀνῃρέθη μαχόμενος καὶ μόγις ἀντεῖχον οἱ φρουροὶ καὶ διεπέμποντο συχνοὺς πρὸς τὸν Κλεομένη, φοβηθεὶς, μὴ τοῦ Ἄργους οἱ πολέμιοι κρατήσαντες καὶ τὰς παρόδους ἀποκλείσαντες αὐτοὶ πορθῶσιν ἀδεῶς τὴν Λακωνικὴν καὶ πολιορκῶσι τὴν Σπάρτην ἔρημον οὖσαν, ἀπῆγεν ἐκ Κορίνθου τὸ στράτευμα. Καὶ ταύτης μὲν εὐθὺς ἐστέρητο τῆς πόλεως εἰσελθόντος Ἀντιγόνου καὶ φρουρὰν καταστήσαντος· ἐπιβαλὼν δὲ τῷ Ἄργει κατὰ τὸ τεῖχος ἐπεχείρησε μὲν εἰσαλέσθαι καὶ συνέστρεψεν ἐκ τῆς πορείας τὴν δύναμιν, ἐκκόψας δὲ τὰς ὑπὸ τὴν Ἀσπίδα ψαλίδας ἀνέβη καὶ συνέμιξε τοῖς ἔνδον ἔτι πρὸς τοὺς Ἀχαιοὺς ἀντέχουσι, καὶ τῶν ἐντὸς ἕνια κλίμακας προσθεὶς κατέλαβε καὶ τοὺς στενωποὺς ἐρήμους πολεμίων ἐποίησε τοῖς βέλεσι χρήσασθαι προστάξας τοὺς Κρῆτας. Ὡς δὲ κατεῖδε τὸν Ἀντίγονον ἀπὸ τῶν ἄκρων εἰς τὸ πεδίον καταβαίνοντα μετὰ τῆς φάλαγγος, τοὺς δὲ ἱππεῖς ἤδη ῥύδην

5, 178—79 H.

19. μὲν ἦν S^gPABCV. 22. καὶ τετρακοσίους C. 23. περιέμενεν S^g: περιέμεινεν v. 25. μετὰ τῶν Ἀχαιῶν om C.

XXI. 10. μόλις ABC. 11. κλεομένη S^g: Κλεομένην v. 17. μὲν om Stephaniana. εἰσαλέσθαι S^gPABCπηTV: εἰσάλεσθαι Gia, εἰσάλλεσθαι v. 24. ῥύδην ἤδη ABC.

ἐλαύνοντας εἰς τὴν πόλιν, ἀπέγνω κρατήσειν· καὶ συναγαγὼν ἅπαντας πρὸς αὐτὸν ἀσφαλῶς κατέβη καὶ παρὰ τὸ τεῖχος ἀπηλλάττετο, μεγίστων μὲν ἐν ἐλαχίστῳ χρόνῳ πραγμάτων ἐπικρατήσας, καὶ μετὰ μικρὸν ὅλης ὁμοῦ τι μιᾷ περιόδῳ Πελοποννήσου κύριος γενέσθαι δείσας, ταχὺ δ' αὖθις ἐκπεσὼν ἁπάντων. Οἱ μὲν γὰρ εὐθὺς ἀπεχώρησαν αὐτοῦ τῶν στρατευομένων, οἱ δὲ ὀλίγον ὕστερον τῷ Ἀντιγόνῳ τὰς πόλεις παρέδωκαν.

XXII. Οὕτω δ' αὐτῷ πεπραχότι κατὰ τὴν στρατείαν καὶ ἀπαγαγόντι τὴν δύναμιν ἑσπέρας ἤδη περὶ Τεγέαν ἀφίκοντό τινες ἐκ Λακεδαίμονος οὐκ ἐλάττονα τῆς ἐν χερσὶ δυστυχίαν ἀπαγγέλλοντες, τεθνάναι τὴν γυναῖκα, δι' ἣν οὐδὲ ταῖς πάνυ κατορθουμέναις ἐκεῖνος ἐνεκαρτέρει στρατείαις, ἀλλὰ συνεχῶς κατέβαινεν εἰς Σπάρτην ἐρῶν τῆς Ἀγιάτιδος καὶ περὶ πλείστου ποιούμενος ἐκείνην. Ἐπλήγη μὲν οὖν καὶ ἤλγησεν, ὡς εἰκὸς ἦν νέον ἄνδρα καλλίστης καὶ σωφρονεστάτης ἀφῃρημένον γυναικός, οὐ μὴν κατῄσχυνεν οὐδὲ προήκατο τῷ πάθει τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς, ἀλλὰ καὶ φωνὴν καὶ σχῆμα καὶ μορφὴν ἐν ᾧ πρότερον εἶχεν ἤθει διαφυλάττων τά τε προστάγματα τοῖς ἡγεμόσιν ἐδίδου καὶ περὶ τῆς ἀσφαλείας τῶν Τεγεατῶν ἐφρόντιζεν. Ἅμα δὲ ἡμέρᾳ κατέβαινεν εἰς Λακεδαίμονα, καὶ μετὰ τῆς μητρὸς οἴκοι καὶ τῶν παίδων ἀπαλγήσας τὸ πένθος εὐθὺς ἦν ἐν τοῖς περὶ τῶν ὅλων λογισμοῖς. Ἐπεὶ δὲ Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπαγγελλόμενος αὐτῷ βοήθειαν ἡξίου λαβεῖν ὅμηρα τοὺς παῖδας καὶ τὴν μητέρα, χρόνον μέν συχνὸν ᾐσχύνετο φράσαι τῇ μητρὶ καὶ πολλάκις εἰσελθὼν καὶ πρὸς αὐτῷ γενόμενος τῷ λόγῳ κατεσιώπησεν, ὥστε κἀκείνην ὑπονοεῖν καὶ παρὰ τῶν φίλων αὐτοῦ διαπυνθάνεσθαι, μή τι κατοκνεῖ βουλόμενος ἐντυχεῖν αὐτῇ. Τέλος δὲ τοῦ

5, 179—80 H.

---

27. μὲν] δὲ C. 28. μετὰ om V. nimirum Muretus: ‚τὸ μετὰ ἴσως παρέλκει'. cave probes μικροῦ Schaeferi. ὁμοῦ τῇ S^gPCq.

XXII. 2. ἀπάγοντι C. 4. δυστυχίαν S^g et quantum legi potuit P: δυστυχίας v. ἀναγγέλλοντες ABC. 7. Ἀγιάτιδος Stephaniana post Amiotum Xylandrum: ἄγιδος libri. 8. καλλίστης om ABC. 12. πράγματα m. rec. marg. S^gABCV. 15. τῶν S^gPABC: μετὰ τῶν v. 16. ἐν om C. 19. συχνὸν S^gPABCπηT: τινα συχνὸν v. 22. κατοκνῇ pr. S^gPB, κατοκνῇ AC.

Κλεομένους ἀποτολμήσαντος εἰπεῖν, ἐξεγέλασέ τε μέγα καὶ, „Τοῦτο ἦν“ εἶπεν „ὃ πολλάκις ὁρμήσας λέγειν ἀπεδειλίασας; Οὐ θᾶττον ἡμᾶς ἐνθέμενος εἰς πλοῖον ἀποστελεῖς, ὅπου ποτὲ τῇ Σπάρτῃ νομίζεις τὸ σῶμα τοῦτο χρησιμώτατον ἔσεσθαι, πρὶν ὑπὸ γήρως αὐτοῦ καθήμενον διαλυθῆναι;“ Πάντων οὖν ἑτοίμων γενομένων ἀφίκοντο μὲν εἰς Ταίναρον πεζῇ καὶ προὔπεμψεν ἡ δύναμις αὐτοὺς ἐν τοῖς ὅπλοις· μέλλουσα δὲ τῆς νεὼς ἐπιβαίνειν ἡ Κρατησίκλεια τὸν Κλεομένη μόνον εἰς τὸν νεὼν τοῦ Ποσειδῶνος ἀπήγαγε καὶ περιβαλοῦσα καὶ κατασπασαμένη διαλγοῦντα καὶ συντεταραγμένον „Ἄγε“ εἶπεν „ὦ βασιλεῦ Λακεδαιμονίων, ὅπως, ἐὰν ἔξω γενώμεθα, μηδεὶς ἴδῃ δακρύοντας ἡμᾶς μηδὲ ἀνάξιόν τι τῆς Σπάρτης ποιοῦντας. Τοῦτο γὰρ ἐφ' ἡμῖν μόνον· αἱ τύχαι δὲ, ὅπως ἂν ὁ δαίμων διδῷ, πάρεισι.“ Ταῦτα δ' εἰποῦσα καὶ καταστήσασα τὸ πρόσωπον ἐπὶ τὴν ναῦν ἐχώρει τὸ παιδίον ἔχουσα καὶ διὰ τάχους ἐκέλευσεν ἀπαίρειν τὸν κυβερνήτην. Ἐπεὶ δὲ εἰς Αἴγυπτον ἀφίκετο καὶ τὸν Πτολεμαῖον ἐπύθετο λόγους παρ' Ἀντιγόνου καὶ πρεσβείας δεχόμενον, περὶ δὲ τοῦ Κλεομένους ἤκουσεν, ὅτι, τῶν Ἀχαιῶν προκαλουμένων αὐτὸν εἰς διαλύσεις, φοβοῖτο δι' ἐκείνην ἄνευ Πτολεμαίου καταθέσθαι τὸν πόλεμον, ἐπέστειλεν αὐτῷ τὰ τῇ Σπάρτῃ πρέποντα καὶ συμφέροντα πράττειν καὶ μὴ διὰ μίαν γραῦν καὶ παιδάριον ἀεὶ δεδιέναι Πτολεμαῖον. Αὕτη μὲν οὖν παρὰ τὰς τύχας τοιαύτη λέγεται γεγενῆσθαι.

XXIII. Τοῦ δὲ Ἀντιγόνου Τεγέαν μὲν παραλαβόντος, Ὀρχομενὸν δὲ καὶ Μαντίνειαν διαρπάσαντος, εἰς αὐτὴν τὴν Λακωνικὴν συνεσταλμένος ὁ Κλεομένης τῶν μὲν εἰλώτων τοὺς πέντε μνᾶς Ἀττικὰς καταβαλόντας ἐλευθέρους ἐποίει καὶ τάλαντα πεντακόσια συνέλεξε, δισχιλίους δὲ προσκαθοπλίσας Μακεδονικῶς ἀντίταγμα τοῖς παρ' Ἀντιγόνου λευκ-

5, 180—81 H.

24. εἰπεῖν PABia. λέγειν ὁρμήσας ABC. ἀπεδειλίας C. 25. εἰς πλοῖον ἐνθέμενος ABC. 26. τὸ σῶμα τοῦτο S^gPABCG: τοῦτο τὸ σῶμα v. 29. προὔπεμψεν corr S^gABC: προὔπεμπεν v. αὐτοὺς ἡ δύναμις ABC. ἐν S^g: σὺν v. 30. τῆς om C. 31. κλεομένη S^g pr. A: Κλεομένην v. 33. ὅπως om C. 37. παιδία et vers. 44 παιδάρια Reiskii propter vers. 18 et c. 38 in. non probem. 38. ἀπαίρειν ἐκέλευσε ABC. 40. παρ'] παρὰ τοῦ C. περὶ τοῦ δὲ τοῦ (sic) P. 41. ἤκουεν PBCV, ἤκουσα i. 43. τῇ om ABC. 44. cf. ad vers. 37.

ἄσπισιν ἔργον ἐπὶ νοῦν βάλλεται μέγα καὶ πᾶσιν ἀπροσδόκητον. Ἡ Μεγάλη πόλις ἦν μὲν τότε καὶ καθ' ἑαυτὴν οὐδέν τι μείων οὐδὲ ἀσθενεστέρα τῆς Λακεδαίμονος· εἶχε δὲ τὴν ἀπὸ τῶν Ἀχαιῶν καὶ τοῦ Ἀντιγόνου βοήθειαν ἐν πλευραῖς καθεζομένου καὶ δοκοῦντος ὑπὸ τῶν Ἀχαιῶν ἐπικεκλῆσθαι, μάλιστα τῶν Μεγαλοπολιτῶν σπουδασάντων. Ταύτην διαρπάσαι διανοηθεὶς ὁ Κλεομένης (οὐ γὰρ ἔστιν ᾧ μᾶλλον ἔοικε τὸ ταχὺ καὶ ἀπροσδόκητον ἐκείνης τῆς πράξεως) ἡμερῶν πέντε σιτία λαβεῖν κελεύσας ἐξῆγε τὴν δύναμιν ἐπὶ τὴν Σελασίαν, ὡς τὴν Ἀργολικὴν κακουργήσων· ἐκεῖθεν δὲ καταβὰς ἐπὶ τὴν Μεγαλοπολιτικὴν καὶ δειπνοποιησάμενος περὶ τὸ Ῥοίτειον εὐθὺς ἐπορεύετο τὴν δι' Ἑλικοῦντος ἐπὶ τὴν πόλιν· ἀποσχὼν δ' οὐ πολὺ Παντέα μὲν ἔχοντα δύο τάγματα τῶν Λακεδαιμονίων ἀπέστειλε καταλαβέσθαι κελεύσας μεσοπύργιον, ὃ τῶν τειχῶν ἐρημότατον εἶναι τοῖς Μεγαλοπολίταις ἐπυνθάνετο, τῇ δὲ ἄλλῃ δυνάμει σχολαίως ἐπηκολούθει. Τοῦ δὲ Παντέως οὐ μόνον ἐκεῖνον τὸν τόπον, ἀλλὰ καὶ πολὺ μέρος τοῦ τείχους ἀφύλακτον εὑρόντος καὶ τὰ μὲν καθαιροῦντος εὐθύς, τὰ δὲ διασκάπτοντος, τῶν δὲ φρουρῶν, οἷς
816 ἐνέτυχε, πάντας ἀποκτείναντος, ἔφθασε προσμίξας ὁ Κλεομένης καὶ πρὶν αἰσθέσθαι τοὺς Μεγαλοπολίτας ἔνδον ἦν μετὰ τῆς δυνάμεως.

XXIV. Φανεροῦ δὲ μόλις τοῦ κακοῦ γενομένου τοῖς κατὰ τὴν πόλιν, οἱ μὲν εὐθὺς ἐξέπιπτον ὅσα τυγχάνοι τῶν χρημάτων λαμβάνοντες, οἱ δὲ συνεστρέφοντο μετὰ τῶν ὅπλων καὶ τοῖς πολεμίοις ἐνιστάμενοι καὶ προσβάλλοντες ἐκείνους μὲν οὐκ ἴσχυσαν ἐκκροῦσαι, τοῖς δὲ φεύγουσι τῶν πολιτῶν

5, 181—82 H.

XXIII. 8. καὶ ante καθ' om ABC. 9. δὲ S^gPABC: δὲ καὶ v. 11. ἐπικεκλεῖσθαι ABC. 12. ταύτην S^gPABCG qSRπTVx: ταῦτα v. 15. σελασίαν S^gABCia: Σελλασίαν v. 16. ἐκεῖθεν τε S^g. 17. δειπνοποιησάμενος S^gPABC ‚vet. cod.' Stephani Vx: δεῖπνα ποιησάμενος v. ῥοίτειον S^gPABC: Ῥοίτιον v, Ζοίτιον post Cellarium nuperi praeter Schoemannum cl. Pausaniae 8, 27, 3. 35, 5. 18. τὴν δι'] δι' C. Ἑλίσσοντος (Ἑλισσόνος) Lubinus, Ἑλισσῶντος Coraes cl. Pausaniae 5, 7. 8, 3. 19. παντέαν S^gPGia. τάγματα τῶν] ταγμάτων S^gABCV. 24. τοῦ S^gPABC: ἐκείνου τοῦ v.

XXIV. 4. προσβάλλοντες corr S^gABC: προσβάλοντες pr. S^g, προσβαλόντες v.

ἀσφαλῶς ἀπελθεῖν παρέσχον, ὥστε μὴ πλείονα τῶν χιλίων ἐγκαταληφθῆναι σώματα, τοὺς δὲ ἄλλους ἅπαντας ὁμοῦ μετὰ τέκνων καὶ γυναικῶν φθάσαι διαφυγόντας εἰς Μεσσήνην. Ἐσώθη δὲ καὶ τῶν προσβοηθούντων καὶ μαχομένων τὸ πλῆθος· ὀλίγοι δὲ παντάπασιν ἥλωσαν, ὧν ἦν Λυσανδρίδας τε καὶ Θεαρίδας, ἄνδρες ἔνδοξοι καὶ δυνατοὶ μάλιστα τῶν Μεγαλοπολιτῶν. Διὸ καὶ λαβόντες αὐτοὺς εὐθὺς οἱ στρατιῶται τῷ Κλεομένει προσῆγον. Ὁ δὲ Λυσανδρίδας ὡς εἶδε τὸν Κλεομένη πόρρωθεν, ἀναβοήσας „Ἔξεστί σοι νῦν“ εἶπεν „ὦ βασιλεῦ Λακεδαιμονίων, ἔργον ἀποδειξαμένῳ τοῦ πεπραγμένου κάλλιον καὶ βασιλικώτατον ἐνδοξοτάτῳ γενέσθαι.“ Ὁ Κλεομένης δὲ ὑποτοπήσας αὐτοῦ τὴν ἔντευξιν „Τί δὲ“ εἶπεν „ὦ Λυσανδρίδα, λέγεις; Οὐ γὰρ δή πού με τὴν πόλιν ὑμῖν ἀποδοῦναι κελεύεις;“ Καὶ ὁ Λυσανδρίδας „Αὐτὸ μὲν οὖν“ ἔφη „λέγω καὶ συμβουλεύω μὴ διαφθεῖραι πόλιν τηλικαύτην, ἀλλ' ἐμπλῆσαι φίλων καὶ συμμάχων πιστῶν καὶ βεβαίων ἀποδόντα Μεγαλοπολίταις τὴν πατρίδα καὶ σωτῆρα δήμου τοσούτου γενόμενον.“ Μικρὸν οὖν ὁ Κλεομένης διασιωπήσας „Χαλεπὸν“ ἔφη „τὸ πιστεῦσαι ταῦτα, νικάτω δὲ τὸ πρὸς δόξαν ἀεὶ μᾶλλον ἢ τὸ λυσιτελὲς παρ' ἡμῖν.“ Καὶ ταῦτα εἰπὼν ἀπέστειλε τοὺς ἄνδρας εἰς Μεσσήνην καὶ κήρυκα παρ' ἑαυτοῦ τοῖς Μεγαλοπολίταις ἀποδιδοὺς τὴν πόλιν ἐπὶ τῷ συμμάχους εἶναι καὶ φίλους ἀποστάντας Ἀχαιῶν. Οὕτω δὲ τοῦ Κλεομένους εὐγνώμονα καὶ φιλάνθρωπα προτείναντος οὐκ εἴασε τοὺς Μεγαλοπολίτας ὁ Φιλο-

5, 182—84 H.

---

7. ἐγκαταληφθῆναι Reiskii PRη: καταληφθῆναι S^g, ἐγκαταλειφθῆναι v. 8. ὁμοῦ post γυναικῶν repetit C. ἐς A. μεσήνην corr S^{g}Pia. 9. ἐσώθησαν ABCV. τῶν βοηθούντων καὶ προσμαχομένων ABCV. καὶ μαχομένων πλῆθος S^g. 10. οὐκ ὀλίγοι P. 11. τε addiderunt S^{g}AC. 13. κλεομένη S^g pr. A: Κλεομένην v. 15. ἀποδειξαμένῳ S^{g}PAB: ἐπιδειξαμένῳ v. 16. βασιλικώτερον x. ἐνδοξοτέρῳ ABC. 17. ὁ κλεομένης δὲ S^{g}PABCGi: ὁ δὲ κλεομένης δὲ a, ὁ δὲ Κλεομένης v. ὑποτοπήσας i. 18. οὖ — 19 κελεύεις om C. 19. κελεύεις corr S^g PAB: κελεύσεις pr. S^g et v. 20. οὖν addiderunt S^{g}PABCG. 24. διασωπήσας P. χαλεπὸν S^g: χαλεπὸν μὲν v. τὸ πιστεῦσαι ταῦτα S^g: ταῦτα τὸ πιστεῦσαι PABDπRη, ταῦτα πιστεῦσαι C, ταῦτα τῷ πιστεῦσαι v. 26. ἀπέστειλε S^{g}ABCV: ἀπέστελλε v. μεσήνην S^{g}PG. 27. ἀποδιδοὺς S^g: ἀποδοὺς v.

ποίμην ἐγκαταλιπεῖν τὴν πρὸς τοὺς Ἀχαιοὺς πίστιν, ἀλλὰ κατηγορῶν τοῦ Κλεομένους, ὡς οὐ ζητοῦντος ἀποδοῦναι τὴν πόλιν, ἀλλὰ προσλαβεῖν τοὺς πολίτας, ἐξέβαλε τὸν Θεαρίδαν καὶ τὸν Λυσανδρίδαν ἐκ τῆς Μεσσήνης. Οὗτος ἦν Φιλοποίμην ὁ πρωτεύσας ὕστερον Ἀχαιῶν καὶ μεγίστην κτησάμενος ἐν τοῖς Ἕλλησι δόξαν, ὡς ἰδίᾳ περὶ αὐτοῦ γέγραπται.

XXV. Τούτων δὲ ἀπαγγελθέντων τῷ Κλεομένει, τετηρηκὼς τὴν πόλιν ἄθικτον καὶ ἀκέραιον, ὥστε μηδένα λαθεῖν μηδὲ τοὐλάχιστον λαβόντα, τότε παντάπασι τραχυνθεὶς καὶ ἀγανακτήσας τὰ μὲν χρήματα διήρπασεν, ἀνδριάντας δὲ καὶ γραφὰς ἀπέστειλεν εἰς Σπάρτην, τῆς δὲ πόλεως τὰ πλεῖστα καὶ μέγιστα μέρη κατασκάψας καὶ διαφθείρας ἀνέζευξεν ἐπ' οἴκου φοβούμενος τὸν Ἀντίγονον καὶ τοὺς Ἀχαιούς. Ἐπράχθη δὲ οὐδὲν ἀπ' αὐτῶν. Ἐτύγχανον μὲν γὰρ ἐν Αἰγίῳ βουλὴν ἔχοντες· ἐπεὶ δὲ Ἄρατος ἀναβὰς ἐπὶ τὸ βῆμα πολὺν μὲν χρόνον ἔκλαιε τὴν χλαμύδα θέμενος πρὸ τοῦ προσώπου, θαυμαζόντων δὲ καὶ λέγειν κελευόντων εἶπεν, ὅτι Μεγάλη πόλις ἀπόλωλεν ὑπὸ Κλεομένους, ἡ μὲν σύνοδος εὐθὺς διελύθη τῶν Ἀχαιῶν καταπλαγέντων τὴν ὀξύτητα καὶ τὸ μέγεθος τοῦ πάθους, ὁ δὲ Ἀντίγονος ἐπιχειρήσας βοηθεῖν, εἶτα βραδέως αὐτῷ τῆς δυνάμεως ἐκ τῶν χειμαδίων ἀνισταμένης, ταύτην μὲν αὖθις ἐκέλευσε κατὰ χώραν μένειν, αὐτὸς δὲ παρῆλθεν εἰς Ἄργος οὐ πολλοὺς ἔχων στρατιώτας μεθ' ἑαυτοῦ. Διὸ καὶ τὸ δεύτερον ἐγχείρημα τοῦ Κλεομένους ἔδοξε μὲν τετολμῆσθαι παραβόλως καὶ μανικῶς, ἐπράχθη δὲ μετὰ πολλῆς προνοίας, ὥς φησι Πολύβιος. Εἰδὼς γὰρ εἰς
817 τὰ χειμάδια διεσπαρμένους κατὰ πόλιν, ὥς φησι, τοὺς Μακεδόνας καὶ τὸν Ἀντίγονον οὐ πολλοὺς ἔχοντα μισθοφόρους ἐν Ἄργει διαχειμάζοντα μετὰ τῶν φίλων, ἐνέβαλεν εἰς τὴν

5, 184—85 H.

---

31. ἐγκαταλιπεῖν — 34 Φιλοποίμην in textu omissa in marg. supplevit m. rec. S^{g}. 34. μεσήνης PG. ὁ φιλοποίμην ὁ S^{g}, sed cf. c. 6. Aem. P. 22, 25. Pelop. 26, 27. Arat. 67.

XXV. 2. ἄθεικτον pr. S^{g}. 6. κατακόψας ABCV. 10. τὴν δὲ ABC. πρὸ τοῦ προσώπου θέμενος C. 12. ὑπὸ τοῦ ABC. μὲν S^{g}PG: μὲν οὖν v. 16. ἀνιστάμενος V. 17. οὐ in libris omissum addiderunt Tudertinus Xylander x. 20. Πολύβιος] 2, 64. 3. 21. κατὰ πόλεις x, cf. ad Themist. p. 85. ὥς φησι suspectantibus non accedo.

Ἀργείαν λογιζόμενος ἢ δι' αἰσχύνην τοῦ Ἀντιγόνου παροξυνθέντος ἐπικρατήσειν ἢ μὴ τολμήσαντα μάχεσθαι διαβαλεῖν πρὸς τοὺς Ἀργείους. Ὃ καὶ συνέβη. Διαφθειρομένης γὰρ τῆς χώρας ὑπ' αὐτοῦ καὶ πάντων ἀγομένων καὶ φερομένων, οἱ μὲν Ἀργεῖοι δυσανασχετοῦντες ἐπὶ τὰς θύρας συνεστρέφοντο τοῦ βασιλέως καὶ κατεβόων μάχεσθαι κελεύοντες ἢ τοῖς κρείττοσιν ἐξίστασθαι τῆς ἡγεμονίας· ὁ δὲ Ἀντίγονος, ὡς ἔδει στρατηγὸν ἔμφρονα, τὸ κινδυνεῦσαι παραλόγως καὶ προέσθαι τὴν ἀσφάλειαν αἰσχρὸν, οὐ τὸ κακῶς ἀκοῦσαι παρὰ τοῖς ἐκτὸς ἡγούμενος, οὐ προῆλθεν, ἀλλ' ἐνέμενε τοῖς αὐτοῦ λογισμοῖς. Ὁ δὲ Κλεομένης ἄχρι τῶν τειχῶν τῷ στρατῷ προσελθὼν καὶ καθυβρίσας καὶ διαλυμηνάμενος ἀδεῶς ἀνεχώρησεν.

XXVI. Ὀλίγῳ δὲ ὕστερον αὖθις εἰς Τεγέαν ἀκούσας προϊέναι τὸν Ἀντίγονον, ὡς ἐκεῖθεν εἰς τὴν Λακωνικὴν ἐμβαλοῦντα, ταχὺ τοὺς στρατιώτας ἀναλαβὼν καὶ καθ' ἑτέρας ὁδοὺς παραλλάξας ἅμ' ἡμέρᾳ πρὸς τῇ πόλει τῶν Ἀργείων ἀνεφάνη πορθῶν τὸ πεδίον καὶ τὸν σῖτον οὐ κείρων, ὥσπερ οἱ λοιποὶ, δρεπάναις καὶ μαχαίραις, ἀλλὰ κόπτων ξύλοις μεγάλοις εἰς σχῆμα ῥομφαίας ἀπειργασμένοις, ὡς ἐπὶ παιδιᾷ χρωμένους ἐν τῷ πορεύεσθαι σὺν μηδενὶ πόνῳ πάντα συγκαταῤῥῖψαι καὶ διαφθεῖραι τὸν καρπόν. Ὡς μέντοι κατὰ τὴν Κυλλάραβιν γενόμενοι τὸ γυμνάσιον ἐπεχείρουν προσφέρειν πῦρ, ἐκώλυσεν, ὡς καὶ τῶν περὶ Μεγάλην πόλιν ὑπ' ὀργῆς μᾶλλον ἢ καλῶς αὐτῷ πεπραγμένων. Τοῦ δὲ Ἀντιγόνου πρῶτον μὲν εὐθὺς εἰς Ἄργος ἀναχωρήσαντος, ἔπειτα τὰ ὄρη καὶ τὰς ὑπερβολὰς πάσας φυλακαῖς καταλαβόντος, ἀμελεῖν καὶ καταφρονεῖν προσποιούμενος ἔπεμψε κήρυκας

5, 185—86 H.

---

24. παροξυθέντος C. 25. μαχέσασθαι C. διαβαλεῖν Sᵍ: διαβάλλειν v. 26. ὃ καὶ συνέβη om C. 28. συνεστρέφοντο Sᵍ [ABC] cod. Stephani (‚est et alia lectio') cl. Polybii 2, 64, 6: ἐστρέφοντο C, ἀνεστρέφοντο v. 30. ἀφίστασθαι C. 33. ἐνέμενεν corr Sᵍ: ἐνέμεινεν ἐν v.

XXVI. 5. ἐφάνη C. 7. ὡς] οἷς x. ἐπὶ] ἐν C. 8. σὺν οὐδενὶ C. πάντα om B. συγκαταῤῥῖψαι PGi, συγκαταῤῥῖψαι a, καταῤῥῖψαι C, συγκατατρῖψαι Stephanus. 10. κυλλάραβιν PAB ἄραβιν m. sec cl. c. 17: κυλλάβαριν Sᵍ, Κυλλάβαριν v. εἰς τὸ C. 11. τὸ πῦρ P. 12. κακῶς ABCV.

τὰς κλεῖς ἀξιῶν τοῦ Ἡραίου λαβεῖν, ὅπως ἀπαλλάττοιτο τῇ θεῷ θύσας. Οὕτω δὲ παίξας καὶ κατειρωνευσάμενος καὶ τῇ θεῷ θύσας ὑπὸ τὸν νεὼν κεκλεισμένον ἀπήγαγεν εἰς Φλιοῦντα τὸν στρατόν· ἐκεῖθεν δὲ τοὺς φρουροῦντας τὸν Ὀλίγυρτον ἐξελάσας κατέβη παρὰ τὸν Ὀρχομενὸν οὐ μόνον τοῖς πολίταις φρόνημα καὶ θάρσος ἐμπεποιηκὼς, ἀλλὰ καὶ τοῖς πολεμίοις ἀνὴρ ἡγεμονικὸς δοκῶν εἶναι καὶ πραγμάτων μεγάλων ἄξιος. Τὸ γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενον ὁμοῦ τῇ Μακεδόνων δυνάμει καὶ Πελοποννησίοις ἅπασι καὶ χορηγίᾳ βασιλικῇ πολεμεῖν καὶ μὴ μόνον ἄθικτον διαφυλάττοντα τὴν Λακωνικὴν, ἀλλὰ καὶ χώραν κακῶς ποιοῦντα τὴν ἐκείνων καὶ πόλεις αἱροῦντα τηλικαύτας, οὐ τῆς τυχούσης ἐδόκει δεινότητος εἶναι καὶ μεγαλοφροσύνης.

XXVII. Ἀλλ' ὁ πρῶτος τὰ χρήματα νεῦρα τῶν πραγμάτων προσειπὼν εἰς τὰ τοῦ πολέμου πράγματα μάλιστα βλέψας τοῦτ' εἰπεῖν ἔοικε. Καὶ Δημάδης, τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτε τῶν Ἀθηναίων κελευόντων, χρήματα δ' οὐκ ἐχόντων „Πρότερόν ἐστιν" ἔφη „τοῦ πρωρατεῦσαι τὸ φυρᾶσαι." Λέγεται δὲ καὶ Ἀρχίδαμος ὁ παλαιὸς ὑπὸ τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου, κελευόντων εἰσφορὰς τάξαι τῶν συμμάχων αὐτὸν, εἰπεῖν, ὡς ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. Καθάπερ γὰρ οἱ σεσωμασκηκότες ἀθληταὶ τῷ χρόνῳ καταβαροῦσι καὶ καταγωνίζονται τοὺς εὐρύθμους καὶ τεχνίτας, οὕτως καὶ ὁ Ἀντίγονος ἐκ πολλῆς ἀναφέρων δυνάμεως πρὸς τὸν πόλεμον ἐξεπόνει καὶ κατήθλει

5, 186—88 H.

---

17. οὕτω — θύσας om P. 18. νεὼ pr. AGia. κεκλειμένον P. φιλοῦντα P. 19. δὲ om ia. τὸ Ὀλίγυρτον O. Muellerus hist. Dor. 2 p. 439 cl. Polybii 4, 11, 5. 70, 1, quod τὸν scripsi cum Schoemanno: τὸν ὀνόγυρτον S^g, τὸν ὀλόγουτον ABC, τὸν ὀλόγουντον P, τὸ ὀλόγουτον V, τὸ ὀλόγυντον Tπ, τὸ Ὀλόγουντον v.

XXVII. 1. πρώτως ABC. 2. πράγματα μάλιστα S^gPABCG ‚quidam' Stephani: τὰ μάλιστα v. 4. ποτε om C. 5. πρωρατεῦσαι corr S^g: προρατεῦσαι pr. S^g, πρωράτου ‚vet. cod.' Stephani, πρῶρα A et v, πρωρα P, πρώρα C, τῆς πρώρας V, ὀπτᾶν x, ἀρτοπτεῦσαι G. Hermannus, τὸ προδεῦσαι τοῦ Schoemannus, cf. Zimmermanni mus. antiq. stud. 1838 n. 43. 6. τὸ φυρᾶσαι Schaeferus: τὸ φυράσαι v, τὸ φωράσαι ‚vet. cod.' Stephani, τοῦ φυρᾶσαι ABC. 9. καὶ καθάπερ οἱ ABV. 11. οὕτω corr ABC. καὶ addiderunt S^g[PABC]V.

τὸν Κλεομένη γλίσχρως καὶ μόλις πορίζοντα τοῖς ξένοις μισθὸν καὶ τροφὴν τοῖς πολίταις. Ἐπεὶ τἆλλα γε πρὸς τοῦ Κλεομένους ὁ χρόνος ἦν, τῶν οἴκοι πραγμάτων ἀνιστάντων τὸν Ἀντίγονον. Βάρβαροι γὰρ περιέκοπτον ἀπόντος καὶ κατέτρεχον τὴν Μακεδονίαν, καὶ τότε δὴ πολὺς ἄνωθεν Ἰλλυριῶν 818
ἐμβεβλήκει στρατὸς, ὑφ' οὗ πορθούμενοι μετεπέμποντο τὸν Ἀντίγονον οἱ Μακεδόνες. Καὶ παρ' ὀλίγον πρὸ τῆς μάχης συνέτυχε ταῦτα τὰ γράμματα κομισθῆναι πρὸς αὐτόν· ὧν κομισθέντων εὐθὺς ἂν ἀπῆλθε μακρὰ χαίρειν φράσας Ἀχαιοῖς. Ἀλλ' ἡ τὰ μέγιστα τῶν πραγμάτων κρίνουσα τῷ παρὰ μικρὸν τύχη τηλικαύτην ἀπεδείξατο ῥοπὴν καιροῦ καὶ δύναμιν, ὥστε, τῆς μάχης ἐν Σελασίᾳ γενομένης καὶ τοῦ Κλεομένους ἀποβεβληκότος τὴν δύναμιν καὶ τὴν πόλιν, εὐθὺς παρεῖναι τοὺς καλοῦντας τὸν Ἀντίγονον. Ὃ καὶ μάλιστα τὴν δυστυχίαν τοῦ Κλεομένους οἰκτροτέραν ἐποίησεν. Εἰ γὰρ ἡμέρας δύο μόνας ἐπέσχε καὶ παρήγαγε φυγομαχῶν, οὐκ ἂν ἐδέησεν αὐτῷ μάχης, ἀλλ' ἐφ' οἷς ἐβούλετο διηλλάγη πρὸς τοὺς Ἀχαιοὺς, ἀπελθόντων τῶν Μακεδόνων· νῦν δὲ, ὥσπερ εἴρηται, διὰ τὴν ἀχρηματίαν ἐν τοῖς ὅπλοις τὸ πᾶν θέμενος ἠναγκάσθη δισμυρίοις, ὡς Πολύβιός φησι, πρὸς τρισμυρίους ἀντιπαρατάξασθαι.

XXVIII. Καὶ θαυμαστὸν μὲν ἐν τῷ κινδύνῳ παρασχὼν ἑαυτὸν στρατηγὸν, ἐκθύμοις δὲ χρησάμενος τοῖς πολίταις, οὐ μὴν οὐδὲ τῶν ξένων μεμπτῶς ἀγωνισαμένων, τῷ τρόπῳ τῆς ὁπλίσεως καὶ τῷ βάρει τῆς ὁπλιτικῆς φάλαγγος ἐξεθλίβη. Φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῷ Κλεομένει τὰ πράγματα διεργασαμένην. Τοῦ γὰρ Ἀντιγόνου τοὺς Ἰλλυριοὺς καὶ τοὺς Ἀκαρνᾶνας ἐκπερι-

5, 188—89 H.

---

13. κλεομένη S^{g} pr. A: *Κλεομένην* v. 14. *τἆλλα* S^{g}AB: *τἄλλα* v. *γε* om ABπT. 15. *ἀνιστάντων* S^{g}: *ἀνθιστάντων* PABCG, *ἀντιστάντων* v. 19. *οἱ μακεδόνες τὸν ἀντίγονον* C. *πρὸ* S^{g} PABC pr. GπTqS: *εἰ πρὸ* v. 21. *φράσας ἀχαιοῖς χαίρειν* ABC. 22. *τύχη τῷ παρὰ μικρὸν* ABC. *τῷ*] *τὸ* S^{g}. 23. *καιροῦ ῥοπὴν* ABC. *καὶ* om G. 24. *σελασίᾳ* S^{g}ABC: *Σελλασίᾳ* v. 26. *παρεῖναι τοὺς καλοῦντας* S^{g}: *παραγεγόνασιν οἱ καλοῦντες* v. 28. *μόνας ἐπέσχε δύο* C. 29. *ἐβούλετο* S^{g}ABC: *ἠβούλετο* v. 32. *δισμυρίους* S^{g}. *Πολύβιος*] 2, 65, 5 et 7. 33. *ἀντιπαράξασθαι* B.

XXVIII. 5. *ἐξεβλήθη* ABCV. 7. *ἀκαρνάνας* pr. S^{g}.

ελθεῖν κρύφα κελεύσαντος καὶ κυκλώσασθαι θάτερον κέρας, ἐφ᾽ οὗ τεταγμένος ἦν Εὐκλείδας ὁ τοῦ Κλεομένους ἀδελφὸς, εἶτα τὴν ἄλλην ἐπὶ μάχῃ δύναμιν ἐκτάττοντος, ἀπὸ σκοπῆς θεωρῶν ὁ Κλεομένης, ὡς οὐδαμοῦ τὰ ὅπλα τῶν Ἰλλυριῶν καὶ τῶν Ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη, μὴ πρός τι τοιοῦτον αὐτοῖς ὁ Ἀντίγονος κέχρηται. Καλέσας δὲ Δαμοτέλη τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾷν ἐκέλευσε καὶ ζητεῖν, ὅπως ἔχει τὰ κατὰ νώτου καὶ κύκλῳ τῆς παρατάξεως. Τοῦ δὲ Δαμοτέλους (ἦν γὰρ, ὡς λέγεται, χρήμασιν πρότερον ὑπ᾽ αὐτοῦ διεφθαρμένος) ἀμελεῖν ἐκείνων εἰπόντος ὡς καλῶς ἐχόντων, τοῖς δὲ συνάπτουσιν ἐξ ἐναντίας προσέχειν καὶ τούτους ἀμύνεσθαι, πιστεύσας ἐπὶ τὸν Ἀντίγονον ἐχώρει καὶ τῇ ῥύμῃ τῶν περὶ αὐτὸν Σπαρτιατῶν ὡσάμενος τὴν φάλαγγα τῶν Μακεδόνων ἐπὶ πέντε που σταδίους ὑποχωρούντων ἐκβιαζόμενος καὶ κρατῶν ἠκολούθησεν. Εἶτα τῶν περὶ τὸν Εὐκλείδαν ἀπὸ θατέρου κυκλωθέντων ἐπιστὰς καὶ κατιδὼν τὸν κίνδυνον „Οἴχῃ μοι, φίλτατε ἀδελφὲ“ εἶπεν „οἴχῃ, γενναῖος ὢν καὶ παισὶ ζηλωτὸς Σπαρτιατῶν καὶ γυναιξὶν ἀοίδιμος.“ Οὕτω δὲ τῶν περὶ τὸν Εὐκλείδαν ἀναιρεθέντων καὶ τῶν ἐκεῖθεν, ὡς ἐκράτουν, ἐπιφερομένων ταραττομένους ὁρῶν τοὺς στρατιώτας καὶ μένειν οὐκέτι τολμῶντας ἔσωζεν ἑαυτόν. Ἀποθανεῖν δὲ καὶ τῶν ξένων πολλοὺς λέγουσι καὶ Λακεδαιμονίους ἅπαντας πλὴν διακοσίων ἑξακισχιλίους ὄντας.

XXIX. Ἐπεὶ δὲ εἰς τὴν πόλιν ἀφίκετο, τοῖς μὲν ἀπαντήσασι τῶν πολιτῶν παρῄνει δέχεσθαι τὸν Ἀντίγονον, αὐτὸς δὲ εἶπεν εἴτε ζῶν εἴτε ἀποθανὼν, ὃ μέλλοι τῇ Σπάρτῃ συνοίσειν, τοῦτο πράξειν. Ὁρῶν δὲ τὰς γυναῖκας τοῖς μετ᾽ αὐτοῦ πεφευγόσι προστρεχούσας καὶ δεχομένας τὰ ὅπλα καὶ ποτὸν προσφερούσας, αὐτὸς εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, τῆς δὲ παιδίσκης, ἣν εἶχεν, ἐλευθέραν οὖσαν ἐκ Μεγάλης

5, 189—90 H.

---

8. κυκλώσαντος ABC. 13. δαμοτελῆ PGi, δαμοτέλην corr AB. 14. κρυπτίας pr. S^gPABC. cf. Lyc. 28. ἐκέλευσε S^gPABC: ἐκέλευε v. 15. ἔχη AC. 16. δαμοτελοῦς PGi. 16. χρήμασι πρότερον S^gPABC: πρότερον χρήμασι v. ὑπ᾽ Ἀντιγόνου Solanus. 18. τούτοις PABGi. 29. ἑαυτόν S^g: αὐτόν v. 30. λακεδαιμονίων ABC.

XXIX. 3. ὃ μέλλοι S^gAC: εἰ μέλλοι B, μέλλοι v. 5. φεύγουσι ABC.

πόλεως ἀνειληφὼς μετὰ τὴν τῆς γυναικὸς τελευτήν, ὡς εἴθιστο, προσιούσης καὶ βουλομένης ἀπὸ στρατείας ἥκοντα θερα-
πεύειν, οὔτε πιεῖν ἐκδεδιψηκὼς ὑπέμεινεν οὔτε καθίσαι κεκμηκὼς, ἀλλ', ὥσπερ ἐτύγχανε, τεθωρακισμένος τῶν κιόνων τινὶ 819
τὴν χεῖρα προσβαλὼν πλαγίαν καὶ τὸ πρόσωπον ἐπὶ τὸν πῆχυν ἐπιθεὶς καὶ χρόνον οὐ πολὺν οὕτω διαναπαύσας τὸ σῶμα καὶ τῇ διανοίᾳ περιδραμὼν ἅπαντας τοὺς λογισμοὺς
ὥρμησε μετὰ τῶν φίλων εἰς τὸ Γύθιον. Κἀκεῖθεν ἐπιβάντες ἐπ' αὐτὸ τοῦτο παρεσκευασμένων πλοίων ἀνήχθησαν.

XXX. Ὁ δὲ Ἀντίγονος ἐξ ἐφόδου παραλαβὼν τὴν πόλιν καὶ χρησάμενος τοῖς Λακεδαιμονίοις φιλανθρώπως καὶ τὸ ἀξίωμα τῆς Σπάρτης οὐ προπηλακίσας οὐδ' ἐνυβρίσας, ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς καὶ τοῖς θεοῖς θύσας ἀνε-
χώρησεν ἡμέρᾳ τρίτῃ πυθόμενος ἐν Μακεδονίᾳ πολὺν πόλεμον εἶναι καὶ πορθεῖσθαι τὴν χώραν ὑπὸ τῶν βαρβάρων. Ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν καὶ κατάῤῥουν σύντονον. Οὐ μὴν ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας ὅσον ἐπὶ νίκῃ μεγίστῃ
καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερον ἀποθανεῖν, ὡς μὲν εἰκός ἐστι καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναῤῥήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς „Ὦ
καλῆς ἡμέρας“ πλῆθος αἵματος ἀνήγαγε καὶ πυρέξας συντό-
νως ἐτελεύτησε. Ταῦτα μὲν τὰ περὶ Ἀντίγονον.

XXXI. Κλεομένης δὲ πλέων ἀπὸ Κυθήρων εἰς νῆσον ἑτέραν, Αἰγιαλίαν, κατέσχεν. Ὅθεν εἰς Κυρήνην περαιοῦ-
σθαι μέλλοντος αὐτοῦ τῶν φίλων εἷς ὄνομα Θηρυκίων, ἀνὴρ πρός τε τὰς πράξεις φρονήματι κεχρημένος μεγάλῳ καὶ τοῖς
λόγοις γεγονώς τις ὑψηλὸς ἀεὶ καὶ μεγάλαυχος, ἐντυχὼν

5, 190—91 H.

8. ἥσθητο corr S^gABC. 13. πόλυν οὕτω διαναπαύσας S^gABCV: πολὺν διαναπαυσάμενος v. 16. αὐτῷ τούτῳ B.

XXX. 1. ὁ δὴ — ἐτελεύτησε paucis omissis et mutatis habet Photius Bekkeri p. 399 b. 3. οὐδὲ ὑβρίσας S^g. 4. νόμον ABCV. 8. σύντονον x (‚un violent caterre‘ Amiotus. ‚defluxumque humoris ex capite continentem‘ Xylander): συντεῖνον libri et Photius, ἐλεεινὸν ‚in quibusdam‘ Stephani. 12. ταῖς λέσχαις x, cf. ad Pericl. p. 241. 15. τὸν ἀντίγονον PABC.

XXXI. 2. Αἰγιλίαν Coraes, cf. Schoemannum. 3. θηρικύων pr. S^gPAB, θηρικίων C, cf. c. 8.

αὐτῷ κατ' ἰδίαν „Τὸν μὲν κάλλιστον" εἶπεν „ὦ βασιλεῦ, θάνατον ἐν τῇ μάχῃ προηκάμεθα· καίτοι πάντες ἤκουσαν ἡμῶν λεγόντων, ὡς οὐχ ὑπερβήσεται τὸν βασιλέα τῶν Σπαρτιατῶν Ἀντίγονος, εἰ μὴ νεκρόν. Ὁ δὲ δεύτερος δόξῃ καὶ ἀρετῇ νῦν ἔτι πάρεστιν ἡμῖν. Ποῖ πλέομεν ἀλογίστως ἀποφεύγοντες ἐγγὺς ὂν κακὸν καὶ μακρὰν διώκοντες; Εἰ γὰρ οὐκ αἰσχρόν ἐστι δουλεύειν τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου τοὺς ἀφ' Ἡρακλέους, πλοῦν πολὺν κερδανοῦμεν Ἀντιγόνῳ παραδόντες ἑαυτούς, ὃν εἰκός ἐστι Πτολεμαίου διαφέρειν ὅσον Αἰγυπτίων Μακεδόνας. Εἰ δὲ ὑφ' ὧν κεκρατήμεθα τοῖς ὅπλοις οὐκ ἀξιοῦμεν ἄρχεσθαι, τί τὸν μὴ νενικηκότα δεσπότην ποιοῦμεν αὐτῶν, ἵνα ἀνθ' ἑνὸς δυεῖν κακίους φανῶμεν, Ἀντίγονον μὲν φεύγοντες, Πτολεμαῖον δὲ κολακεύοντες; Ἢ διὰ τὴν μητέρα φήσομεν εἰς Αἴγυπτον ἥκειν; Καλὸν μεντἂν αὐτῇ θέαμα γένοιο καὶ ζηλωτὸν ἐπιδεικνυμένῃ ταῖς Πτολεμαίου γυναιξὶν αἰχμάλωτον ἐκ βασιλέως καὶ φυγάδα τὸν υἱόν. Οὐχ ἕως ἔτι τῶν ἰδίων ξιφῶν ἄρχομεν καὶ τὴν Λακωνικὴν ἀφορῶμεν, ἐνταῦθα τῆς τύχης ἀπαλλάξαντες ἑαυτοὺς ἀπολογησόμεθα τοῖς ἐν Σελασίᾳ κειμένοις ὑπὲρ τῆς Σπάρτης, ἀλλ' ἐν Αἰγύπτῳ καθεδούμεθα πυνθανόμενοι, τίνα τῆς Λακεδαίμονος σατράπην Ἀντίγονος ἀπολέλοιπε;" Τοιαῦτα τοῦ Θηρυκίωνος εἰπόντος ὁ Κλεομένης ἀπεκρίνατο „Τῶν ἀνθρωπίνων τὸ ῥᾷστον, ὦ πονηρέ, καὶ πᾶσιν ἐν ἑτοίμῳ διώκων, ἀποθανεῖν, ἀνδρεῖος εἶναι δοκεῖς φεύγων αἰσχίονα φυγὴν τῆς πρότερον; Πολεμίοις μὲν γὰρ ἐνέδωκαν ἤδη καὶ κρείττονες ἡμῶν ἢ τύχῃ σφαλέντες ἢ βιασθέντες ὑπὸ πλήθους· ὁ δὲ πρὸς πόνους καὶ ταλαιπωρίας ἢ ψόγους καὶ δόξας ἀνθρώπων ἀπαγορεύων ἡττᾶται τῆς αὑτοῦ μαλακίας. Δεῖ γὰρ τὸν αὐθαίρετον θάνατον οὐ φυγὴν εἶναι πράξεων, ἀλλὰ

10. ἔτι addiderunt S^gPABCηπTV. ἀποφεύγομεν ia. 11. ὃν κακὸν καὶ S^g: ὄντια καὶ v. μακρὸν S^g, μακρὰ Francofurtana. 13. κερδανοῦμεν S^gABC: κερδάνωμεν v. 14. παραδιδόντες ABC. 16. μὴ] μὲν P. 17. δυεῖν S^gPAB: δυοῖν v. 20. καλὸν ἦ μᾶλλον i. μὲν τἂν S^g, μέν τ' ἂν P, μέντ' ἂν ia: μὲν ἂν v. 24. σελασίᾳ S^gABC: Σελλασίᾳ v. 26. ἀπολέλοιπεν PG, καταλέλοιπεν ABC. 27. θηρικύωνος S^gPAB, θηρικίωνος C. ὁ addiderunt S^gABC. 28. ἐν ἑτοίμῳ S^gPABCGRTηSV: ἑτοίμω i, ἑτοιμώτατον a, ἑτοιμότατον v. 32. ψόγους καὶ δόξας S^gPABCG: δόξας καὶ ψόγους v. 33. αὐτοῦ C: αὑτοῦ S^gPABia, ἑαυτοῦ v.

πρᾶξιν. Αἰσχρὸν γὰρ ζῆν μόνοις ἑαυτοῖς καὶ ἀποθνήσκειν· ἐφ' ὃ σὺ νῦν παρακαλεῖς ἡμᾶς σπεύδων ἀπαλλαγῆναι τῶν παρόντων, καλὸν δὲ οὐδὲν οὐδὲ χρήσιμον ἄλλο διαπραττόμενος. Ἐγὼ δὲ καὶ σὲ καὶ ἐμαυτὸν οἴομαι δεῖν τὰς ὑπὲρ τῆς πατρίδος ἐλπίδας μὴ καταλιπεῖν· ὅπου δ' ἂν ἡμᾶς ἐκεῖναι καταλίπωσι, ῥᾷστα βουλομένοις ἀποθανεῖν ὑπάρξει." Πρὸς ταῦτα Θηρυκίων οὐδὲν ἀντειπών, ὅτε πρῶτον ἔσχε καιρὸν ἀποστῆναι τοῦ Κλεομένους, ἐκτραπόμενος παρὰ τὸν αἰγιαλὸν ἔσφαξεν ἑαυτόν. 820

XXXII. Ὁ δὲ Κλεομένης ἀπὸ τῶν Αἰγιαλῶν ἀναχθεὶς τῇ Λιβύῃ προσέβαλε· καὶ διὰ τῶν βασιλικῶν παραπεμπόμενος ἦκεν εἰς Ἀλεξάνδρειαν. Ὀφθεὶς δὲ τῷ Πτολεμαίῳ κατ' ἀρχὰς μὲν ἐτύγχανε κοινῶς φιλανθρώπου καὶ μετρίου πρὸς αὐτόν· ἐπεὶ δὲ γνώμης διδοὺς πεῖραν ἀνὴρ ἐφαίνετο ἔμφρων, καὶ τῆς καθ' ἡμέραν ὁμιλίας αὐτοῦ τὸ Λακωνικὸν καὶ ἀφελὲς τὴν χάριν ἐλευθέριον εἶχε, καὶ τὴν εὐγένειαν οὐδαμῇ καταισχύνων οὐδὲ καμπτόμενος ὑπὸ τῆς τύχης, τῶν πρὸς ἡδονὴν καὶ κολακείαν διαλεγομένων πιθανώτερος ἐφαίνετο, πολλὴ μὲν αἰδὼς καὶ μετάνοια τὸν Πτολεμαῖον εἶχεν ἀνδρὸς ἀμελήσαντα τοιούτου καὶ προέμενον τῷ Ἀντιγόνῳ, δόξαν ἅμα κεκτημένῳ τηλικαύτην καὶ δύναμιν, ἀναλαμβάνων δὲ τιμαῖς καὶ φιλοφροσύναις τὸν Κλεομένη παρεθάρρυνεν, ὡς μετὰ νεῶν καὶ χρημάτων ἀποστελῶν αὐτὸν εἰς τὴν Ἑλλάδα καὶ καταστήσων εἰς τὴν βασιλείαν. Ἐδίδου δὲ καὶ σύνταξιν αὐτῷ τέσσαρα καὶ εἴκοσι τάλαντα καθ' ἕκαστον ἐνιαυτόν. Ἀφ' ὧν ἐκεῖνος αὐτὸν καὶ τοὺς φίλους εὐτελῶς καὶ σωφρόνως διοικῶν τὰ πλεῖστα κατανήλισκεν εἰς φιλανθρωπίας καὶ μεταδόσεις τῶν ἀπὸ τῆς Ἑλλάδος εἰς Αἴγυπτον ἐκπεπτωκότων.

XXXIII. Ὁ μὲν οὖν πρεσβύτερος Πτολεμαῖος πρὶν ἐκτελέσαι τῷ Κλεομένει τὴν ἔκπεμψιν ἐτελεύτησε· τῆς δὲ βα-

5, 193—94 H.

35. αὐτοῖς ABC. 36. ἐφ' ὃν i. σὺ νῦν ABC: νῦν σὺ v. 38. καὶ σὲ] σὲ B. 40. καταλίπωσι S^gPABC: καταλείπωσι v. 41. θηρικύων S^gP corr A, θηρικίων C.

XXXII. 1. Αἰγιλῶν Coraes, cf. ad 31, 2. 5. scribam ἔμφρων ἐφαίνετο. 7. οὐδαμῆι S^g: οὐδαμῇ PABC, οὐδαμοῦ v. 8. γναμπτόμενος S^g, fortasse recte, cf. ad Arat. 13. τῆς om C. 12. τηλικαύτην κεκτημένῳ C. 13. κλεομένη S^g corr A: Κλεομένην v. 15. δὲ om ABC. 17. ἐκεῖνον C.

XXXIII. 1. ὁ πτολεμαῖος P.

σιλείας εὐθὺς εἰς πολλὴν ἀσέλγειαν καὶ παροινίαν καὶ γυναικοκρασίαν ἐμπεσούσης ἠμελεῖτο καὶ τὰ τοῦ Κλεομένους. Ὁ μὲν γὰρ βασιλεὺς αὐτὸς οὕτω διέφθαρτο τὴν ψυχὴν ὑπὸ γυναικῶν καὶ πότων, ὥστε, ὁπότε νήφοι μάλιστα καὶ σπουδαιότατος αὐτοῦ γένοιτο, τελετὰς τελεῖν καὶ τύμπανον ἔχων ἐν τοῖς βασιλείοις ἀγείρειν, τὰ δὲ μέγιστα τῆς ἀρχῆς πράγματα διοικεῖν Ἀγαθόκλειαν τὴν ἐρωμένην τοῦ βασιλέως καὶ τὴν ταύτης μητέρα καὶ πορνοβοσκὸν Οἰνάνθην. Ὅμως δ' οὖν ἔδοξέ τις ἐν ἀρχῇ καὶ τοῦ Κλεομένους χρεία γεγονέναι. Δεδιὼς γὰρ Μάγαν τὸν ἀδελφὸν Πτολεμαῖος, ὡς ἰσχύοντα διὰ τῆς μητρὸς ἐν τῷ στρατιωτικῷ, τὸν Κλεομένη προσελάμβανε καὶ μετεδίδου τῶν ἀπορρήτων συνεδρίων βουλευόμενος ἀνελεῖν τὸν ἀδελφόν. Ὁ δὲ, καίπερ ἁπάντων τοῦτο πράττειν κελευόντων, μόνος ἀπηγόρευσεν εἰπὼν, ὡς μᾶλλον, εἰ δυνατὸν ἦν, ἔδει φῦσαι τῷ βασιλεῖ πλείονας ἀδελφοὺς πρὸς ἀσφάλειαν καὶ διαμονὴν τῶν πραγμάτων. Σωσιβίου δὲ τοῦ πλεῖστον ἐν τοῖς φίλοις δυναμένου φήσαντος οὐκ εἶναι τὰ τῶν μισθοφόρων αὐτοῖς βέβαια, τοῦ Μάγα ζῶντος, ἀμελεῖν ἐκέλευσεν ὁ Κλεομένης ἕνεκά γε τούτου· πλείους γὰρ ἢ τρισχιλίους τῶν ξένων εἶναι Πελοποννησίους προσέχοντας αὐτῷ κἂν μόνον νεύσῃ προθύμως μετὰ τῶν ὅπλων παρεσομένους. Οὗτος ὁ λόγος τότε μὲν οὐ μικρὰν τῷ Κλεομένει καὶ πίστιν εὐνοίας καὶ δόκησιν ἰσχύος προσέθηκεν, ὕστερον δὲ, τοῦ Πτολεμαίου τῆς ἀσθενείας ἐπιτεινούσης τὴν δειλίαν καὶ, καθάπερ εἴωθεν ἐν τῷ μηδὲν φρονεῖν, τοῦ πάντα δεδοικέναι καὶ πᾶσιν ἀπιστεῖν ἀσφαλεστάτου δοκοῦντος εἶναι, φοβερὸν ἐποίει τὸν Κλεομένη τοῖς αὐλικοῖς, ὡς ἰσχύοντα παρὰ τοῖς ξένοις· καὶ πολλῶν ἦν ἀκούειν λεγόντων ὅτι „Οὗτος ὁ λέων ἐν τούτοις τοῖς προβάτοις ἀναστρέφεται.“ Τῷ γὰρ ὄντι

5, 194—95 H.

---

4. ἐκπεσούσης Reiskii ‚in S^g Duebnerus sibi invenire visus est'. 8. ἀγύρειν C. 9. ἀγαθοκλείαν S^g Duebneri, Ἀγαθοκλέαν Stephaniana. 10. πορνοβόσκον ia et v. 11. καὶ] τῇ C. 12. μέγαν V. πτολεμαῖον B. 13. κλεομένη S^{g}P corr A: Κλεομένην v. 17. ἦν om C. 18. διαμονὴν Reiskius: διανομὴν libri. 19. ἐν τοῖς φίλοις] τοῖς ἐν φίλοις Stephaniana. 20. τοῦ μέγα ia. ἐκέλευσεν corr S^{g}ABC: ἐκέλευεν v. 21. τρισχιλίων Gia. 24. μικρὰν S^{g}PABC: σμικρὰν v. 29. κλεομένη S^{g}P pr. A: Κλεομένην v. ὡς om ABCπ. 31. τούτοις τούτοις P.

τοιοῦτον διέφαινεν ἦθος ἐν τοῖς βασιλικοῖς ὑποβλέπων ἀτρέμα 821
καὶ παρεπισκοπῶν τὰ πραττόμενα.

XXXIV. Ναῦς μὲν οὖν αἰτῶν καὶ στρατείαν ἀπεῖπε· πυνθανόμενος δὲ τεθνάναι τὸν Ἀντίγονον, Αἰτωλικῷ δὲ πολέμῳ συμπεπλέχθαι τοὺς Ἀχαιούς, τὰ δὲ πράγματα ποθεῖν αὐτὸν καὶ παρακαλεῖν ἐκεῖνον, ἐν ταραχῇ καὶ διασπασμῷ τῆς Πελοποννήσου γεγενημένης, ἠξίου μὲν μόνος ἀποσταλῆναι μετὰ τῶν φίλων, ἔπειθε δὲ οὐδένα, τοῦ μὲν βασιλέως οὐκ εἰσακούοντος, ἀλλ' ἐν γυναιξὶ καὶ θιάσοις καὶ κώμοις συνέχοντος ἑαυτόν, ὁ δὲ τῶν ὅλων προεστηκὼς καὶ προβουλεύων Σωσίβιος μένοντα μὲν τὸν Κλεομένη παρὰ γνώμην ἠγεῖτο δυσμεταχείριστον εἶναι καὶ φοβερόν, ἀφεθέντα δὲ τολμηρόν, ἄνδρα καὶ μεγαλοπράγμονα καὶ τῆς βασιλείας νοσούσης θεατὴν γεγενημένον. Οὐδὲ γὰρ αἱ δωρεαὶ κατεπράϋνον αὐτόν, ἀλλ' ὥσπερ τὸν Ἄπιν ἐν ἀφθόνοις διαιτώμενον καὶ τρυφᾷν δοκοῦντα τοῦ κατὰ φύσιν βίου καὶ δρόμων ἀφέτων καὶ σκιρτήσεων ἵμερος ἔχει καὶ δῆλός ἐστι δυσανασχετῶν τὴν ἐν ταῖς χερσὶ τῶν ἱερέων διατριβήν, οὕτως ἐκεῖνον οὐδὲν ἤρεσκε τῶν μαλθακῶν,

ἀλλὰ φθινύθεσκε φίλον κῆρ,
ὥσπερ Ἀχιλλεύς,
αὖθι μένων, ποθέεσκε δ' ἀὐτήν τε πτόλεμόν τε.

XXXV. Τοιούτων δὲ τῶν κατ' αὐτὸν ὄντων πραγμάτων ἀφικνεῖται Νικαγόρας ὁ Μεσσήνιος εἰς Ἀλεξάνδρειαν, ἀνὴρ μισῶν μὲν τὸν Κλεομένη, προσποιούμενος δὲ φίλος εἶναι· χωρίον δέ ποτε καλὸν αὐτῷ πεπρακὼς [διὰ πονηρίαν, ὡς 5, 195—96 H.

---

33. παρεπισκοπῶν S^{g}PABC cod. Stephani (‚scriptum invenitur'): περισκοπῶν v.

XXXIV. 4. αὐτὰ Schoemannus, nisi probandum sit ἐκεῖ Bryani vel ἐκεῖσε Solani pro ἐκεῖνον. cf. Cic. 31 et annot. in Themist. γεγε p. 146. διαπλασμῷ C. 5. γεγενημένης S^{g}PABCπRη: γενομένης G, γενομένης v. 8. τῶν ἄλλων V. 9. κλεομένη S^{g}P corr A: Κλεομένην v. 12. κατεπράϋναν C. 13. Ἄπιν Schaeferus: Ἄπιν v. 14. ἀνέτων C. 16. τῶν ἱερέων S^{g}PABCηπR cod. Stephani (‚scribitur etiam') V: τοῦ ἱερέως v. 18. Homeri Iliad. 1, 491 s. 20. τε om C. πόλεμον ABC.

XXXV. 1. δὲ] τε S^{g}PABC. 2. μεσήνιος pr. S^{g}PG. 3. κλεομένη S^{g}P pr. A: Κλεομένην v. 4. διὰ πονηρίαν, ὡς οἶμαι

οἶμαι,] καὶ δι' ἀσχολίαν, ὡς ἔοικε, καὶ διὰ πολέμους οὐκ ἀπειληφὼς τὸ ἀργύριον. Τοῦτον οὖν ἐκβαίνοντα τότε τῆς ὁλκάδος ἰδὼν ὁ Κλεομένης (ἔτυχε γὰρ ἐν τῇ κρηπῖδι τοῦ λιμένος περιπατῶν) ἠσπάζετο προθύμως καὶ, τίς αὐτὸν εἰς Αἴγυπτον ἄγοι πρόφασις, ἠρώτα. Τοῦ δὲ Νικαγόρου φιλοφρόνως ἀντασπαζομένου καὶ φήσαντος ἵππους ἄγειν τῷ βασιλεῖ καλοὺς τῶν πολεμιστηρίων, γελάσας ὁ Κλεομένης „Ἐβουλόμην ἄν" ἔφη „σε μᾶλλον ἥκειν ἄγοντα σαμβυκιστρίας καὶ κιναίδους· ταῦτα γὰρ νῦν μάλιστα κατεπείγει τὸν βασιλέα." Καὶ ὁ Νικαγόρας τότε μὲν ἐμειδίασεν· ἡμέραις δὲ ὕστερον ὀλίγαις ὑπομνήσας τοῦ χωρίου τὸν Κλεομένην νῦν γοῦν ἐδεῖτο τὴν τιμὴν ἀπολαβεῖν, ὡς οὐκ ἂν ἐνοχλήσας, εἰ μὴ περὶ τὴν τῶν φορτίων διάθεσιν μετρίως ἐζημιοῦτο. Τοῦ δὲ Κλεομένους φήσαντος οὐδὲν αὐτῷ περιεῖναι τῶν δεδομένων, λυπηθεὶς ὁ Νικαγόρας ἐκφέρει τῷ Σωσιβίῳ τὸ σκῶμμα τοῦ Κλεομένους. Ὁ δὲ καὶ τοῦτο μὲν ἀσμένως ἔλαβεν, ἐκ δὲ μείζονος αἰτίας τὸν βασιλέα παροξῦναι ζητῶν ἔπεισε τὸν Νικαγόραν ἐπιστολὴν γράψαντα κατὰ τοῦ Κλεομένους ἀπολιπεῖν, ὡς ἐγνωκότος, εἰ λάβοι τριήρεις καὶ στρατιώτας παρ' αὐτοῦ, Κυρήνην κατασχεῖν. Ὁ μὲν οὖν Νικαγόρας ταῦτα γράψας ἀπέπλευσε· τοῦ δὲ Σωσιβίου μετὰ τέσσαρας ἡμέρας τὴν ἐπιστολὴν πρὸς τὸν Πτολεμαῖον ἀνενεγκόντος ὡς ἀρτίως αὐτῷ δεδομένην καὶ παροξύναντος τὸ μειράκιον, ἔδοξεν εἰς οἰκίαν μεγάλην εἰσαγαγεῖν τὸν Κλεομένη καὶ τὴν ἄλλην ὁμοίως παρέχοντας δίαιταν ἐξόδων εἴργειν.

XXXVI. Ἦν μὲν οὖν καὶ ταῦτα λυπηρὰ τῷ Κλεομένει, μοχθηροτέρας δὲ τὰς περὶ τοῦ μέλλοντος ἐλπίδας ἔσχεν ἐκ τοιαύτης συντυχίας. Πτολεμαῖος ὁ Χρυσέρμου φίλος ὢν τοῦ βασιλέως πάντα τὸν χρόνον ἐπιεικῶς διείλεκτο τῷ Κλεομένει καὶ συνήθειά τις ὑπῆρχεν αὐτοῖς καὶ παῤῥησία πρὸς ἀλλήλους. Οὗτος οὖν τότε, τοῦ Κλεομένους δεηθέντος ἐλθεῖν

5, 196—98 H.

S^{g}ABC: *δι' ἀπορίαν, οἶμαι* v. sed utrumque ab interprete profectum puto cum Schaefero. 5. *καὶ* post *ἔοικε* om ABC. 12. *ἔφη σε*] *ἔφησε* S^{g}ia. *σαβυκιστρίας* G. 21. *παροξύναι τὸν βασιλέα* C. 28. *κλεομένη* S^{g} pr. A: *Κλεομένην* v. 29. *παρέχοντα* ABCV. *εἴργειν* A.

XXXVI. 2. *ἔσχεν* om C.

πρὸς αὐτὸν, ἦλθε μὲν καὶ διελέχθη μέτρια τὸ ὕποπτον ἐξαιρῶν καὶ περὶ τοῦ βασιλέως ἀπολογούμενος· ἀπιὼν δὲ πάλιν ἐκ τῆς οἰκίας καὶ μὴ προνοήσας ἐξόπισθεν ἄχρι τῶν θυρῶν ἐπακολουθοῦντα τὸν Κλεομένη πικρῶς ἐπετίμησε τοῖς φύλαξιν, ὡς δὴ μέγα θηρίον καὶ δυστήρητον ἀμελῶς φυλάττουσι καὶ ῥᾳθύμως. Τούτων ὁ Κλεομένης αὐτήκοος γενόμενος καὶ πρὶν αἰσθέσθαι τὸν Πτολεμαῖον ἀναχωρήσας ἔφρασε τοῖς φίλοις. Εὐθὺς οὖν πάντες ἃς πρότερον εἶχον ἐλπίδας ἐκβαλόντες πρὸς ὀργὴν ἐβουλεύσαντο τοῦ Πτολεμαίου τὴν ἀδικίαν ἀμυνάμενοι καὶ τὴν ὕβριν ἀξίως τῆς Σπάρτης ἀποθανεῖν καὶ μὴ περιμένειν ὥσπερ ἱερεῖα πιανθέντας κατακοπῆναι· δεινὸν γὰρ, εἰ τὰς πρὸς Ἀντίγονον, ἄνδρα πολεμιστὴν καὶ δραστήριον, διαλύσεις ὑπεριδὼν Κλεομένης κάθηται μητραγύρτου βασιλέως σχολὴν ἀναμένων, ὅταν πρῶτον ἀπόθηται τὸ τύμπανον καὶ καταπαύσῃ τὸν θίασον, ἀποκτενοῦντος αὐτόν. 822

XXXVII. Ἐπεὶ δὲ ἔδοξε ταῦτα καὶ κατὰ τύχην ὁ Πτολεμαῖος εἰς Κάνωβον ἐξώρμησε, πρῶτον μὲν διέδωκαν λόγον, ὡς παραλύοιτο τῆς φυλακῆς ὑπὸ τοῦ βασιλέως· ἔπειτα, ἔκ τινος ἔθους βασιλικοῦ τοῖς μέλλουσιν ἐξ εἱρκτῆς ἀπολύεσθαι δείπνου τε πεμπομένου καὶ ξενίων, οἱ φίλοι πολλὰ τοιαῦτα τῷ Κλεομένει παρασκευάσαντες ἔξωθεν εἰσέπεμψαν ἐξαπατῶντες τοὺς φύλακας οἰομένους ὑπὸ τοῦ βασιλέως ἀπεστάλθαι. Καὶ γὰρ ἔθυε καὶ μετεδίδου τούτων ἀφθόνως αὐτοῖς καὶ ἐπιτιθεὶς στεφάνους καὶ κατακλιθεὶς εἱστιᾶτο μετὰ τῶν φίλων. Λέγεται δὲ τάχιον ἢ διεγνώκει πρὸς τὴν πρᾶξιν ὁρμῆσαι συναισθόμενος οἰκέτην, ἕνα τῶν συνειδότων τὴν πρᾶξιν, ἔξω παρὰ γυναικὶ κεκοιμημένον, ἧς ἦρα. Καὶ φοβηθεὶς μήνυσιν, ἐπειδὴ μέσον ἡμέρας ἦν καὶ τοὺς φύλακας ᾔσθετο καθεύδοντας ὑπὸ τῆς μέθης, ἐνδυσάμενος τὸν χιτῶνα

5, 198–99 H.

---

7. διελέχθη S^g: διηλέχθη ia, διειλέχθη PABC et v. ἐξαιρῶν Coraes: ἐξαίρων v. 10. κλεομένη S^{g}P pr. A: Κλεομένην v. 11. δυστήρητον S^{g}CV: δυσθήρητον v. 13. αἴσθεσθαι corr S^g. 16. ἀμυνάμενοι pr. S^{g}PABCπηTVx: ἀμυνόμενοι v. 17. πιανθέντας S^{g}PABC: πιανθέντα v. 21. ἀποκτενοῦντας C.

XXXVII. 1. καὶ om A pr. B pr. C. ὁ om ABC. 5. πεμπομένων C. 9. κατακλιθεὶς S^g: κατακλινθεὶς ABC, κατακλινεὶς v. 13. ἐπειδὴ] ἐπεὶ δὲ C.

καὶ τὴν ῥαφὴν ἐκ τοῦ δεξιοῦ παραλυσάμενος ὤμου γυμνῷ τῷ ξίφει μετὰ τῶν φίλων ἐξεπήδησεν ἐξεσκευασμένων ὁμοίως, δεκατριῶν ὄντων. Ἱππίτας δὲ χωλὸς ὢν τῇ μὲν πρώτῃ συνεξέπεσεν ὁρμῇ προθύμως, ὡς δὲ ἑώρα σχολαίτερον πορευομένους δι' αὐτὸν, ἐκέλευσεν ἀνελεῖν καὶ μὴ διαφθείρειν τὴν πρᾶξιν ἄχρηστον ἄνθρωπον περιμένοντας. Ἔτυχε δὲ τῶν Ἀλεξανδρέων τις ἵππον ἄγων παρὰ τὰς θύρας· τοῦτον ἀφελόμενοι καὶ τὸν Ἱππίταν ἀναβαλόντες ἐφέροντο δρόμῳ διὰ τῶν στενωπῶν καὶ παρεκάλουν τὸν ὄχλον ἐπὶ τὴν ἐλευθερίαν. Τοῖς δὲ τοσοῦτον, ὡς ἔοικεν, ἀλκῆς μετῆν, ὅσον ἐπαινεῖν καὶ θαυμάζειν τὴν τοῦ Κλεομένους τόλμαν, ἀκολουθεῖν δὲ καὶ βοηθεῖν οὐδεὶς ἐθάρρει. Τὸν μὲν οὖν τοῦ Χρυσέρμου Πτολεμαῖον ἐκ τῆς αὐλῆς ἐξιόντα τρεῖς εὐθὺς προσπεσόντες ἀπέκτειναν· ἑτέρου δὲ Πτολεμαίου τοῦ φυλάσσοντος τὴν πόλιν ἐλαύνοντος ἅρματι πρὸς αὐτοὺς, ὁρμήσαντες ἐναντίοι τοὺς μὲν ὑπηρέτας καὶ δορυφόρους διεσκέδασαν, αὐτὸν δὲ κατασπάσαντες ἀπὸ τοῦ ἅρματος ἀπέκτειναν. Εἶτα πρὸς τὴν ἄκραν ἐχώρουν ἀναῤῥῆξαι διανοούμενοι τὸ δεσμωτήριον καὶ χρήσασθαι τῷ πλήθει τῶν δεδεμένων. Ἔφθασαν δὲ φραξάμενοι καλῶς οἱ φύλακες, ὥστε καὶ ταύτης ἀποκρουσθέντα τῆς πείρας τὸν Κλεομένη διαφέρεσθαι καὶ πλανᾶσθαι κατὰ τὴν πόλιν, οὐδενὸς αὐτῷ προσχωροῦντος, ἀλλὰ φευγόντων καὶ φοβουμένων ἁπάντων. Οὕτως οὖν ἀποστὰς καὶ πρὸς τοὺς φίλους εἰπὼν „Οὐδὲν ἦν ἄρα θαυμαστὸν ἄρχειν γυναῖκας ἀνθρώπων φευγόντων τὴν ἐλευθερίαν,“ παρεκάλεσε πάντας ἀξίως αὐτοῦ καὶ τῶν πεπραγμένων τελευτῆσαι. Καὶ πρῶτος μὲν Ἱππίτας ὑπὸ τῶν νεωτέρων τινὸς ἐπλήγη δεηθείς, ἔπειτα τῶν ἄλλων ἕκαστος εὐκόλως καὶ ἀδεῶς ἑαυτὸν ἀποσφάττει, πλὴν Παντέως τοῦ πρώτου Μεγάλην πόλιν καταλαβόντος. Τοῦτον δὲ κάλλιστον ὥρᾳ καὶ πρὸς τὴν ἀγωγὴν

5, 199—200 H.

---

15. παραδυσάμενος S^g pr. ACV. 17. δεκατριῶν] δὲ καὶ τριῶν S^g, ἓξ καίδεκα Photius Bekkeri p. 399 b. ἱππίτας S^gPABCGV et deinceps cl. Polybii 5, 37, 8: Ἱππότας v. 21. περὶ ABCπV. 22. ἱππιτίαν (sic) hic quidem P. ἀναβαλόντες Solanus: ἀναλαβόντες libri, item Artax. 10. 26. τοῦ addiderunt S^gPABC. 29. τὸ ἅρματι (sic) C. ἐναντίον error Huttenianae propagatus a nuperis. 33. ἔφραξαν δὲ φθάσαντες marg. P. 35. κλεομένη S^gP pr. A: Κλεομένην v. 41. πρῶτον P.

εὐφυέστατον τῶν νέων γενόμενον ἐρώμενον ἐσχηκὼς ὁ βασιλεὺς ἐκέλευσεν, ὅταν αὐτόν τε καὶ τοὺς ἄλλους ἴδῃ πεπτωκότας, οὕτω τελευτᾷν. Ἤδη δὲ κειμένων ἁπάντων ἐπιπορευ- 823
ὁμενος ὁ Παντεὺς καὶ τῷ ξιφιδίῳ παραπτόμενος καθ' ἕκαστον ἀπεπειρᾶτο, μή τις διαλανθάνοι ζῶν. Ἐπεὶ δὲ καὶ τὸν Κλεομένη νύξας παρὰ τὸ σφυρὸν εἶδε συστρέψαντα τὸ πρόσωπον, ἐφίλησεν αὐτόν, εἶτα παρεκάθισε· καὶ τέλος ἔχοντος ἤδη περιβαλὼν τὸν νεκρὸν ἑαυτὸν ἐπικατέσφαξε.

XXXVIII. Κλεομένης μὲν οὖν ἑκκαίδεκα τῆς Σπάρτης βασιλεύσας ἔτη καὶ τοιοῦτος ἀνὴρ γενόμενος οὕτω κατέστρεψε. Τῆς δὲ φήμης εἰς τὴν πόλιν ὅλην σκεδασθείσης, ἡ μὲν Κρατησίκλεια, καίπερ οὖσα γενναία γυνή, προὔδωκε τὸ φρόνημα πρὸς τὸ τῆς συμφορᾶς μέγεθος καὶ περιβαλοῦσα τὰ παιδία τοῦ Κλεομένους ὠλοφύρετο. Τὸ δὲ παιδίον τὸ πρεσβύτερον ἀποπηδῆσαν, οὐδενὸς ἂν προσδοκήσαντος, ἀπὸ τοῦ τέγους ἐπὶ κεφαλὴν ἐρρίψεν ἑαυτό· καὶ κακῶς μὲν ἔσχεν, οὐ μὴν ἀπέθανεν, ἀλλ' ἤρθη βοῶν καὶ ἀγανακτοῦν ἐπὶ τῷ διακωλύεσθαι τελευτᾷν. Ὁ δὲ Πτολεμαῖος, ὡς ἔγνω ταῦτα, προσέταξε τὸ μὲν σῶμα τοῦ Κλεομένους κρεμάσαι καταβυρσώσαντας, ἀποκτεῖναι δὲ τὰ παιδία καὶ τὴν μητέρα καὶ τὰς περὶ αὐτὴν γυναῖκας. Ἐν δὲ ταύταις ἦν καὶ Παντέως γυνὴ καλλίστη καὶ γενναιοτάτη τὸ εἶδος. Ἔτι δὲ αὐτοῖς νεογάμοις οὖσιν ἐν ἀκμαῖς ἐρώτων αἱ τύχαι συνέβησαν. Εὐθὺς μὲν οὖν συνεκπλεῦσαι τῷ Παντεῖ βουλομένην αὐτὴν οὐκ εἴασαν οἱ γονεῖς, ἀλλὰ βίᾳ κατακλείσαντες ἐφύλαττον· ὀλίγῳ δὲ ὕστερον ἵππον ἑαυτῇ παρασκευάσασα καὶ χρυσίδιον οὐ πολὺ νυκτὸς ἀπέδρα καὶ διώξασα συντόνως ἐπὶ Ταίναρον, ἐκεῖθεν ἐπέβη νεὼς εἰς Αἴγυπτον πλεούσης· καὶ διεκομίσθη πρὸς τὸν ἄνδρα καὶ συνδιήνεγκεν αὐτῷ τὸν ἐπὶ ξένης βίον ἀλύπως καὶ

5, 200—2 H.

---

46. ἐκέλευσεν S^{g}PABCGV: ἐκέλευεν v. 49. διαλανθάνη C. κλεομένη S^{g}P pr. A: Κλεομένην v. 52. τὸν νεκρὸν om ia. praeter ceteros addunt etiam ηT.

XXXVIII. 2. οὕτω S^{g}PABC: οὕτως v. κατέτρεψε i. 6. τὸ δὲ παιδίον ABCπTV: τῶν δὲ παιδίων v. 8. ἐπὶ τὴν κεφαλὴν ABCπT. ἑαυτὸ ἔρριψεν P. 9. ἐπὶ τὸ S^{g}. 11. ,pro καταβυρσώσαντας legitur etiam καταμυρώσαντας' Stephanus. sic suprascr. in A. 12. μητέρα] γυναῖκα C. 17. ἀλλὰ καὶ βίᾳ ABπ. ὀλίγον ABV. 19. διώξασα συντόνως] διώξασασα sic) P. συντόνως om G. 20. συνδιεκομίσθη C.

ἱλαρῶς. Αὕτη τότε τὴν Κρατησίκλειαν ὑπὸ τῶν στρατιωτῶν ἐξαγομένην ἐχειραγώγει τόν τε πέπλον αὐτῆς ὑπολαμβάνουσα καὶ θαῤῥεῖν παρακαλοῦσα μηδέν τι μηδ' αὐτὴν ἐκπεπληγμένην τὸν θάνατον, ἀλλ' ἓν μόνον αἰτουμένην, πρὸ τῶν παιδίων ἀποθανεῖν. Ἐπεὶ δὲ ἦλθον εἰς τὸν τόπον, ἐν ᾧ ταῦτα δρᾶν εἰώθεσαν οἱ ὑπηρέται, πρῶτον μὲν τὰ παιδία, τῆς Κρατησικλείας ὁρώσης, ἔσφαττον, εἶτα ἐκείνην, ἓν τοῦτο μόνον ἐπὶ τηλικούτοις φθεγξαμένην πάθεσιν „Ὦ τέκνα, ποῖ ἐμόλετε"; Ἡ δὲ Παντέως γυνὴ περιζωσαμένη τὸ ἱμάτιον εὔρωστος οὖσα καὶ μεγάλη τῶν ἀποθνησκουσῶν ἑκάστην σιωπῇ καὶ μεθ' ἡσυχίας ἐθεράπευε καὶ περιέστελλεν ἐκ τῶν ἐνδεχομένων. Τέλος δὲ μετὰ πάσας ἑαυτὴν κοσμήσασα καὶ καταγαγοῦσα τὴν περιβολὴν καὶ μηδένα προσελθεῖν ἐάσασα μηδὲ ἰδεῖν ἄλλον ἢ τὸν ἐπὶ τῆς σφαγῆς τεταγμένον ἡρωϊκῶς κατέστρεψεν, οὐδενὸς δεηθεῖσα κοσμοῦντος καὶ περικαλύπτοντος μετὰ τὴν τελευτήν. Οὕτω παρέμεινε τῷ θανάτῳ τὸ κόσμιον τῆς ψυχῆς καὶ διεφύλαξεν ἣν ζῶσα φρουρὰν τῷ σώματι περιέθηκεν.

XXXIX. Ἡ μὲν οὖν Λακεδαίμων ἐφαμίλλως ἀγωνισαμένη τῷ γυναικείῳ δράματι πρὸς τὸ ἀνδρεῖον ἐν τοῖς ἐσχάτοις καιροῖς ἐπέδειξε τὴν ἀρετὴν ὑβρισθῆναι μὴ δυναμένην ὑπὸ τῆς τύχης. Ὀλίγαις δὲ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. Ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος ἄλλων καθαρμῶν ταῖς γυναιξὶν ἀρχὴν παρασχὼν, ὡς ἀνδρὸς ἀνηρημένου θεοφιλοῦς καὶ κρείττονος τὴν φύσιν. Οἱ δὲ Ἀλεξανδρεῖς καὶ προσετρέποντο φοιτῶντες ἐπὶ τὸν τό-

5, 202—3 H.

---

27. εἰώθεσαν S^gPABC corr G: εἰώθασιν v. 28. τοῦτο om C. 29. φθεγξαμένην ἐπὶ τηλικούτοις C. 30. παντέως S^g: τοῦ Παντέως v. 31. ἀποθνησκόντων S^gPGia, ἀποθανουσῶν πST. ἑκαστη P. 35. μηδὲ ἰδεῖν] μηδὲ θιγεῖν?

XXXIX. 4. ὀλίγαις — 19 συνῳκείωσαν paucis mutatis et omissis habet Photius Bekkeri p. 399 b. 9. ἄλλων] πολλῶν Coraes, ἀλλοκότων Bryanus. 11. καὶ om S^g. προσετρέποντο C Photius: προσεστρέφοντο S^g, προεστρέφοντο ACV, προετρέποντο PGRηV, προτρέποντο V, προέτρεπον v.

που ἥρωα τὸν Κλεομένη καὶ θεῶν παῖδα προσαγορεύοντες, ἄχρι οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι διδόντες λόγον, ὡς μελίττας μὲν βόες, σφῆκας δὲ ἵπποι κατασαπέντες ἐξαν- 824
θοῦσι, κάνθαροι δὲ ὄνων τὸ αὐτὸ παθόντων ζωογονοῦνται· τὰ δὲ ἀνθρώπινα σώματα, τῶν περὶ τὸν μυελὸν ἰχώρων συρροήν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων, ὄφεις ἀναδίδωσι. Καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ μάλιστα τῶν ζώων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

5, 203 H.

---

12. *κλεομένη* S^{s}P pr. A: *Κλεομένην* v. 13. *ἄχρις* S^{s} corr P corr A. *αὐτοὺς* om C. *διδόντες*] cf. annot. ad Themist. p. 64. 14. *ἀποσαπέντες* Photius. 15. *ταὐτὸ* C. 17. *αὐτοῖς* C.

ΤΙΒΕΡΙΟΣ ΚΑΙ ΓΑΙΟΣ ΓΡΑΓΧΟΙ.

824 I. Ἡμεῖς δὲ τὴν πρώτην ἱστορίαν ἀποδεδωκότες ἔχομεν οὐκ ἐλάττονα πάθη τούτων ἐν τῇ Ῥωμαϊκῇ συζυγίᾳ θεωρῆσαι τὸν Τιβερίου καὶ Γαΐου βίον ἀντιπαραβάλλοντες. Οὗτοι Τιβερίου Γράγχου παῖδες ἦσαν, ᾧ τιμητῇ τε Ῥωμαίων γενομένῳ καὶ δὶς ὑπατεύσαντι καὶ θριάμβους δύο καταγαγόντι λαμπρότερον ἦν τὸ ἀπὸ τῆς ἀρετῆς ἀξίωμα. Διὸ καὶ τὴν Σκηπίωνος τοῦ καταπολεμήσαντος Ἀννίβαν θυγατέρα Κορνηλίαν οὐκ ὢν φίλος, ἀλλὰ καὶ διάφορος τῷ ἀνδρὶ γεγονὼς λαβεῖν ἠξιώθη μετὰ τὴν ἐκείνου τελευτήν. Λέγεται δέ ποτε συλλαβεῖν αὐτὸν ἐπὶ τῆς κλίνης ζεῦγος δρακόντων, τοὺς δὲ μάντεις σκεψαμένους τὸ τέρας ἄμφω μὲν οὐκ ἐᾶν ἀνελεῖν οὐδὲ ἀφεῖναι, περὶ δὲ θατέρου διαιρεῖν, ὡς ὁ μὲν ἄρρην τῷ Τιβερίῳ φέροι θάνατον ἀναιρεθείς, ἡ δὲ θήλεια τῇ Κορνηλίᾳ. Τὸν οὖν Τιβέριον καὶ φιλοῦντα τὴν γυναῖκα καὶ μᾶλλον αὐτῷ προσήκειν, ὄντι πρεσβυτέρῳ, τελευτᾶν ἡγούμε-

5, 203—4 H.

ad Gracchos usus sum codicibus Sangermanensi (S^g) Bodleiano quinto (B^e) cum Stephaniana, Palatino 283 (P) a me cum Hutteniana, Parisinis 1671 (A) 1672 (B) 1673 (C) 1679 (G) ab Heldio item cum Hutteniana collatis. accedunt excerptae Mureti scripturae ex codicibus RπTqS.

τιβέριος καὶ γάϊος γράγχοι libri praeter C qui *τιβέριος* et ia quae *Τιβέριος καὶ Γάιος*, *Τιβέριος καὶ Γάϊος Γράκχοι* v. ceterum *γράγχος* scripturam pro *Γράκχος* a Stephano edito libros constanter exhibere semel annotasse satis habeo. cf. ad Agid. c. 2.

I. 1. *ὑμεῖς* a. 4. *τε* om ABCB^e. 6. *καὶ* om ABCB^e. 7. *Σκιπίωνος* Stephaniana et postea. 12. *διαιρεῖν* S^{g}P[AB]B^e STq: *διερεῖν* v, *ἀνειρεῖν* C. 15. *καὶ τελευτᾶν* corr S^{g}AB.

νον, ἔτι νέας οὔσης ἐκείνης, τὸν μὲν ἄῤῥενα κτεῖναι τῶν δρακόντων, ἀφεῖναι δὲ τὴν θήλειαν· εἶτα ὕστερον οὐ πολλῷ χρόνῳ τελευτῆσαι δεκαδύο παῖδας ἐκ τῆς Κορνηλίας αὐτῷ γεγονότας καταλιπόντα. Κορνηλία δὲ ἀναλαβοῦσα τοὺς παῖδας καὶ τὸν οἶκον οὕτω σώφρονα καὶ φιλότεκνον καὶ μεγαλόψυχον αὐτὴν παρέσχεν, ὥστε μὴ κακῶς δόξαι βεβουλεῦσθαι τὸν Τιβέριον ἀντὶ τοιαύτης γυναικὸς ἀποθανεῖν ἑλόμενον, ᾗ γε καὶ Πτολεμαίου τοῦ βασιλέως κοινουμένου τὸ διάδημα καὶ μνωμένου τὸν γάμον αὐτῆς ἠρνήσατο, καὶ χηρεύουσα τοὺς μὲν ἄλλους ἀπέβαλε παῖδας, μίαν δὲ τῶν θυγατέρων, ᾗ Σκηπίωνι τῷ νεωτέρῳ συνῴκησε, καὶ δύο υἱούς, περὶ ὧν τάδε γέγραπται, Τιβέριον καὶ Γάϊον, διαγενομένους οὕτω φιλοτίμως ἐξεθρεψεν, ὥστε πάντων εὐφυεστάτους Ῥωμαίων ὁμολογουμένως γεγονότας πεπαιδεῦσθαι δοκεῖν βέλτιον ἢ πεφυκέναι πρὸς ἀρετήν.

II. Ἐπεὶ δέ, ὥσπερ ἡ τῶν πλασσομένων καὶ γραφομένων Διοσκούρων ὁμοιότης ἔχει τινὰ τοῦ πυκτικοῦ πρὸς τὸν δρομικὸν ἐπὶ τῆς μορφῆς διαφορὰν, οὕτω τῶν νεανίσκων ἐκείνων ἐν πολλῇ τῇ πρὸς ἀνδρίαν καὶ σωφροσύνην, ἔτι δὲ ἐλευθεριότητα καὶ λογιότητα καὶ μεγαλοψυχίαν ἐμφερείᾳ, μεγάλαι περὶ τὰ ἔργα καὶ τὰς πολιτείας οἷον ἐξήνθησαν καὶ διεφάνησαν ἀνομοιότητες, οὐ χεῖρον εἶναί μοι δοκεῖ ταύτας προεκθέσθαι. Πρῶτον μὲν οὖν ἰδέᾳ προσώπου καὶ βλέμματι καὶ κινήματι πρᾷος καὶ καταστηματικὸς ἦν ὁ Τιβέριος, ἔντονος δὲ καὶ σφοδρὸς ὁ Γάϊος, ὥστε καὶ δημηγορεῖν τὸν μὲν ἐν μιᾷ χώρᾳ βεβηκότα κοσμίως, τὸν δὲ Ῥωμαίων πρῶτον ἐπὶ τοῦ βήματος περιπάτῳ τε χρήσασθαι καὶ περισπάσαι τὴν τήβεννον ἐξ ὤμου λέγοντα, καθάπερ Κλέωνα τὸν Ἀθη- 825
ναῖον ἱστόρηται περισπάσαι τε τὴν περιβολὴν καὶ τὸν μηρὸν ἀλοῆσαι πρῶτον τῶν δημηγορούντων. Ἔπειτα ὁ λόγος τοῦ

5, 204—5 H

---

23. καὶ τὸ πτολεμαίου A. 30. πεφυκέναι] γεγονέναι C.

II. 2. τοῦ ποιητικοῦ S^g. 4. ἀνδρίαν ABC: ἀνδρείαν v. 6. περὶ] πρὸς $B^e V$. 13. λέγοντα excidit Francofurtanae. καθάπερ Coraes: καθαπερεὶ corr S^g, καθὰ περὶ pr. S^g cum ceteris et v. κλέωνα τὸν ἀθηναῖον libri praeter [G]ia, qui κλέωνος τοῦ ἀθηναίου et sic v. 14. ἱστόρηται $S^g C$: ἱστορῆται AB, ἱστορεῖται v. περισπάσαι] γρ. καὶ λῦσαι ead. m. marg. S^g, γρ. λῦσαί τε marg. PABCB^eV. 15. ἀλοῆσαι Stephanianae P: ἀλοῆσαι pr. Gia, πατάξαι ceteri et marg. P, quod convenit cum Nic. 7, 23:

μὲν Γαΐου φοβερὸς καὶ περιπαθὴς εἰς δείνωσιν, ἡδίων δὲ ὁ τοῦ Τιβερίου καὶ μᾶλλον ἐπαγωγὸς οἴκτου· τῇ δὲ λέξει καθαρὸς καὶ διαπεπονημένος ἀκριβῶς ἐκεῖνος, ὁ δὲ Γαΐου πιθανὸς καὶ γεγανωμένος. Οὕτω δὲ καὶ περὶ δίαιταν καὶ τράπεζαν εὐτελὴς καὶ ἀφελὴς ὁ Τιβέριος, ὁ δὲ Γάϊος τοῖς μὲν ἄλλοις παραβαλεῖν σώφρων καὶ αὐστηρὸς, τῇ δὲ πρὸς τὸν ἀδελφὸν διαφορᾷ νεοπρεπὴς καὶ περίεργος, ὡς οἱ περὶ Δροῦσον ἤλεγχον, ὅτι δέλφικας ἀργυροῦς ἐπρίατο τιμῆς εἰς ἑκάστην λίτραν δραχμῶν χιλίων καὶ διακοσίων πεντήκοντα. Τῷ δὲ ἤθει κατὰ τὴν τοῦ λόγου διαφορὰν ὁ μὲν ἐπιεικὴς καὶ πρᾷος, ὁ δὲ τραχὺς καὶ θυμοειδὴς, ὥστε καὶ παρὰ γνώμην ἐν τῷ λέγειν ἐκφερόμενον πολλάκις ὑπ' ὀργῆς τήν τε φωνὴν ἀποξύνειν καὶ βλασφημεῖν καὶ συνταράττειν τὸν λόγον. Ὅθεν καὶ βοήθημα τῆς ἐκτροπῆς ἐποιήσατο ταύτης τὸν Λικίννιον, οἰκέτην οὐκ ἀνόητον, ὃς ἔχων φωνασκικὸν ὄργανον, ᾧ τοὺς φθόγγους ἀναβιβάζουσιν, ὄπισθεν ἑστὼς τοῦ Γαΐου λέγοντος, ὁπηνίκα τραχυνόμενον αἴσθοιτο τῇ φωνῇ καὶ παραῤῥηγνύμενον δι' ὀργὴν, ἐνεδίδου τόνον μαλακὸν, ᾧ τὸ σφοδρὸν εὐθὺς ἐκεῖνος ἅμα τοῦ πάθους καὶ τῆς φωνῆς ἀνιεὶς ἐπραΰνετο καὶ παρεῖχεν ἑαυτὸν εὐανάκλητον.

III. Αἱ μὲν οὖν διαφοραὶ τοιαῦταί τινες ἦσαν αὐτῶν· ἀνδραγαθία δὲ πρὸς τοὺς πολεμίους καὶ πρὸς τοὺς ὑπηκόους δικαιοσύνη καὶ πρὸς τὰς ἀρχὰς ἐπιμέλεια καὶ πρὸς τὰς ἡδονὰς ἐγκράτεια, ἀπαράλλακτος. Ἦν δὲ πρεσβύτερος ἐνιαυτοῖς ἐννέα ὁ Τιβέριος· καὶ τοῦτο τὴν ἑκατέρου πολιτείαν ἀπηρτημένην τοῖς χρόνοις ἐποίησε καὶ τὰς πράξεις οὐχ ἥκιστα διελυμήνατο, μὴ συνακμασάντων μηδὲ συμβαλόντων εἰς τὸ αὐτὸ τὴν δύναμιν, μεγάλην ἂν ἐξ ἀμφοῖν ὁμοῦ καὶ ἀνυπέρ-

5, 205—6 H.

ἐν τῷ δημηγορεῖν ἀνακραγων καὶ περισπάσας τὸ ἱμάτιον καὶ τὸν μηρὸν πατάξας, sed interpretamento hoc similius videtur quam illud. 19. καὶ ante περὶ om ABCB^{e}. δίαιταν S^{g}PABCG: τὴν δίαιταν v. 23. δέλφικας Coraes cl. Etymol. m. p. 255, 10 post Amiotum (‚Autres lisent en ce lieu Delphicàs, c'est à dire tables d'argent de l'ouvrage de Delphe'): δελφῖνας libri. 26. ταχὺς ABV. 29. ἐποιήσατο ταύτης S^{g}: ταύτης ἐποιήσατο v. 34. εὐθὺς ἐκεῖνος S^{g}: ἐκεῖνος εὐθὺς v. 35. ἀφεὶς B^{e}.

III. 2. ἀνδραγαθία ABCTπV: ἀνδραγαθίαι v. 4. ἐγκράτεια, ἀπαράλλακτος] cf. Benselerum de hiatu p. 377. 5. ὁ deleo.

βλητον γενομένην. Λεκτέον οὖν ἰδίᾳ περὶ ἑκατέρου καὶ περὶ τοῦ πρεσβυτέρου πρότερον.

IV. Ἐκεῖνος τοίνυν εὐθὺς ἐκ παίδων γενόμενος οὕτως ἦν περιβόητος, ὥστε τῆς τῶν Αὐγούρων λεγομένης ἱερωσύνης ἀξιωθῆναι δι' ἀρετὴν μᾶλλον ἢ διὰ τὴν εὐγένειαν. Ἐδήλωσε δὲ Ἄππιος Κλαύδιος, ἀνὴρ ὑπατικὸς καὶ τιμητικὸς καὶ προγεγραμμένος κατ' ἀξίωμα τῆς Ῥωμαίων βουλῆς καὶ πολὺ φρονήματι τοὺς καθ' αὑτὸν ὑπεραίρων. Ἑστιωμένων γὰρ ἐν ταὐτῷ τῶν ἱερέων προσαγορεύσας τὸν Τιβέριον καὶ φιλοφρονηθεὶς αὐτὸς ἐμνᾶτο τῇ θυγατρὶ νυμφίον. Δεξαμένου δὲ ἀσμένως ἐκείνου καὶ τῆς καταινέσεως οὕτω γενομένης, εἰσιὼν ὁ Ἄππιος οἴκαδε πρὸς αὑτὸν ἀπὸ τῆς θύρας εὐθὺς ἐκάλει τὴν γυναῖκα μεγάλῃ τῇ φωνῇ βοῶν „Ὦ Ἀντιστία, τὴν Κλαυδίαν ἡμῶν ἀνδρὶ καθωμολόγηκα.“ Κἀκείνη θαυμάσασα „Τίς“ εἶπεν „ἡ σπουδὴ ἢ τί τὸ τάχος; εἰ δὲ Τιβέριον αὐτῇ Γράγχον εὑρήκεις νυμφίον;“ Οὐκ ἀγνοῶ δὲ ὅτι τοῦτό τινες ἐπὶ τὸν πατέρα τῶν Γράγχων Τιβέριον καὶ Σκηπίωνα τὸν Ἀφρικανὸν ἀναφέρουσιν, ἀλλ' οἱ πλείους ὡς ἡμεῖς γράφομεν ἱστοροῦσι, καὶ Πολύβιος μετὰ τὴν Σκηπίωνος Ἀφρικανοῦ τελευτὴν τοὺς οἰκείους φησὶν ἐκ πάντων προκρίναντας τὸν Τιβέριον δοῦναι τὴν Κορνηλίαν, ὡς ὑπὸ τοῦ πατρὸς ἀνέκδοτον καὶ ἀνέγγυον ἀπολειφθεῖσαν. Ὁ δ' οὖν νεώτερος Τιβέριος στρατευόμενος ἐν Λιβύῃ μετὰ τοῦ δευτέρου Σκηπίωνος ἔχοντος αὐτοῦ τὴν ἀδελφὴν ὁμοῦ συνδιαιτώμενος ὑπὸ σκηνὴν τῷ στρατηγῷ ταχὺ μὲν αὐτοῦ τὴν φύσιν κατέμαθε πολλὰ καὶ μεγάλα πρὸς ζῆλον ἀρετῆς καὶ μίμησιν ἐπὶ τῶν πράξεων ἐκφέρουσαν, ταχὺ δὲ τῶν νέων πάντων ἐπρώτευεν εὐταξίᾳ καὶ ἀνδρίᾳ· καὶ τοῦ γε τείχους ἐπέβη τῶν πολεμίων

5, 206—8 H.

IV. 2. τῶν om PG. 4. καὶ post τιμητικὸς punctis notatum in P. 5. πολλῷ B^{e}. 6. καθ' αὑτὸν PABCB^{e}: κατ' αὐτὸν v. 9. οὕτως S^{g}. 11. γυναῖκα Coraes: γυναῖκι καὶ libri. 13. εἰ δὲ] εἰ μὴ tacito Stephanus et ceteri. Stephanum suspicor sequutum esse interpretationem Xylandri: ‚quae, inquit, huius tantae festinationis causa est? nisi si eam Ti. Graccho tradidisti?‘ 14. τὸν γράγχον νυμφίον V. εὑρήκεις corr S^{g}P[ABCG]ia: εὑρίσκεις pr. S^{g} et v. καὶ νυμφίον AB. 15. τὸν γράγχον ABB^{e}. 17. Πολύβιος] cf. Schweighaeuserum ann. crit. ad 32, 13 ibique Valesium t. 8, 2 p. 58 Schweigh. 18. προκρίναντες PGia, προκρίνας B^{e}. 25. ἐπρώτευον AB. 26. ἀνδρίᾳ corr S^{g}ABC: ἀνδρείᾳ v.

826 πρῶτος, ὥς φησι Φάνιος, λέγων καὶ αὐτὸς τῷ Τιβερίῳ συνεπιβῆναι καὶ συμμετασχεῖν ἐκείνης τῆς ἀριστείας. Πολλὴν δὲ καὶ παρὼν εὔνοιαν εἶχεν ἐν τῷ στρατοπέδῳ καὶ πόθον ἀπαλλαττόμενος αὐτοῦ κατέλιπε.

V. Μετὰ δὲ τὴν στρατείαν ἐκείνην αἱρεθεὶς ταμίας ἔλαχε τῶν ὑπάτων Γαΐῳ Μαγκίνῳ συστρατεύειν ἐπὶ Νομαντίνους, ἀνθρώπῳ μὲν οὐ πονηρῷ, βαρυποτμωτάτῳ δὲ Ῥωμαίων στρατηγῷ. Διὸ καὶ μᾶλλον ἐν τύχαις παραλόγοις καὶ πράγμασιν ἐναντίοις τοῦ Τιβερίου διέλαμψεν οὐ μόνον τὸ συνετὸν καὶ ἀνδρεῖον, ἀλλ', ὃ θαυμάσιον ἦν, αἰδώς τε πολλὴ καὶ τιμὴ τοῦ ἄρχοντος, ὑπὸ τῶν κακῶν οὐδ' ἑαυτόν, εἰ στρατηγός ἐστιν, ἐπιγινώσκοντος. Ἡττηθεὶς γὰρ μάχαις μεγάλαις ἐπεχείρησε μὲν ἀναζευγνύναι νυκτὸς ἐκλιπὼν τὸ στρατόπεδον· αἰσθομένων δὲ τῶν Νομαντίνων καὶ τὸ μὲν στρατόπεδον εὐθὺς λαβόντων, τοῖς δὲ ἀνθρώποις ἐπιπεσόντων φεύγουσι καὶ τοὺς ἐσχάτους φονευόντων, τὸ δὲ πᾶν ἐγκυκλουμένων στράτευμα καὶ συνωθούντων εἰς τόπους χαλεποὺς καὶ διάφευξιν οὐκ ἔχοντας, ἀπογνοὺς τὴν ἐκ τοῦ βιάζεσθαι σωτηρίαν ὁ Μαγκῖνος ἐπεκηρυκεύετο περὶ σπονδῶν καὶ διαλύσεων πρὸς αὐτούς· οἱ δὲ πιστεύειν ἔφασαν οὐδενὶ πλὴν μόνῳ Τιβερίῳ καὶ τοῦτον ἐκέλευον ἀποστέλλειν πρὸς αὐτούς. Ἐπεπόνθεσαν δὲ τοῦτο καὶ δι' αὐτὸν τὸν νεανίσκον (ἦν γὰρ αὐτοῦ πλεῖστος λόγος ἐπὶ στρατιᾶς) καὶ μεμνημένοι τοῦ πατρὸς Τιβερίου, ὃς πολεμήσας Ἰβηρσι καὶ πολλοὺς καταστρεψάμενος εἰρήνην ἔθετο πρὸς τοὺς Νομαντίνους καὶ ταύτην ἐμπεδοῦντα τὸν δῆμον ὀρθῶς καὶ δικαίως ἀεὶ παρέσχεν. Οὕτω δὴ πεμφθεὶς ὁ Τιβέριος καὶ συγγενόμενος τοῖς ἀνδράσι καὶ τὰ μὲν πείσας, τὰ δὲ δεξάμενος ἐσπείσατο καὶ δισμυρίους ἔσωσε περιφανῶς Ῥωμαίων πολίτας ἄνευ θεραπείας καὶ τῶν ἔξω τάξεως ἑπομένων.

VI. Τὰ δὲ ἐν τῷ χάρακι ληφθέντα χρήματα πάντα κατέσχον οἱ Νομαντῖνοι καὶ διεπόρθησαν. Ἐν δὲ τούτοις

5, 208—9 H.

---

27. *Φάνιος*] cf. ad C. Gracch. 8. 30. *κατέλειπε* Stephaniana.

V. 2. *στρατεύειν* ABB^{e}V. 3. *βαρυποτμωτάτῳ* S^{g}: *βαρυποτμοτάτῳ* v. 12. *πᾶν*] *πάντων* B^{e}. 14. *διάφευξιν* S^{g}ABC: *διάφυξιν* v. 15. *μαγκῖνος* P: *Μαγκίνος* v. 18. *ἐπεπόνθεσαν* S^{g}C: *ἐπεπόνθεισαν* v. 20. *μὲν ἴβηρσι* P. 21. *τοὺς* addiderunt S^{g}PABCB^{e}GπTRqSV.

VI. 2. *νομαντῖνοι* PAC et postea: *Νομαντίνοι* v.

καὶ πινακίδες ἦσαν τοῦ Τιβερίου γράμματα καὶ λόγους ἔχουσαι τῆς ταμιευτικῆς ἀρχῆς, ἃς περὶ πολλοῦ ποιούμενος ἀπολαβεῖν, ἤδη τοῦ στρατοῦ προκεχωρηκότος, ἀνέστρεψε πρὸς τὴν πόλιν ἔχων μεθ' ἑαυτοῦ τρεῖς ἢ τέτταρας ἑταίρους. Ἐκκαλέσας δὲ τῶν Νομαντίνων τοὺς ἄρχοντας ἠξίου κομίσασθαι τὰς δέλτους, ὡς μὴ παράσχοι τοῖς ἐχθροῖς διαβολὴν οὐκ ἔχων ἀπολογίσασθαι περὶ τῶν ᾠκονομημένων. Ἡσθέντες οὖν οἱ Νομαντῖνοι τῇ συντυχίᾳ τῆς χρείας παρεκάλουν αὐτὸν εἰσελθεῖν εἰς τὴν πόλιν· ὡς δὲ εἱστήκει βουλευόμενος, ἐγγὺς προσελθόντες ἐνεφύοντο ταῖς χερσὶ καὶ λιπαρεῖς ἦσαν δόμενοι μηκέτι νομίζειν αὐτοὺς πολεμίους, ἀλλ' ὡς φίλοις χρῆσθαι καὶ πιστεύειν. Ἔδοξεν οὖν τῷ Τιβερίῳ ταῦτα ποιεῖν τῶν τε δέλτων περιεχομένῳ καὶ δεδοικότι παροξύνειν ὡς ἀπιστουμένους τοὺς Νομαντίνους. Εἰσελθόντι δὲ εἰς τὴν πόλιν πρῶτον μὲν ἄριστον παρέθεσαν καὶ πᾶσαν ἐποιήσαντο δέησιν ἐμφαγεῖν τι κοινῇ μετ' αὐτῶν καθήμενον· ἔπειτα τὰς δέλτους ἀπέδοσαν καὶ τῶν ἄλλων ἃ βούλοιτο χρημάτων λαβεῖν ἐκέλευον. Ὁ δ' οὐδὲν ἢ τὸν λιβανωτὸν, ᾧ πρὸς τὰς δημοσίας ἐχρῆτο θυσίας, λαβὼν ἀπῆλθεν ἀσπασάμενος καὶ φιλοφρονηθεὶς τοὺς ἄνδρας.

VII. Ἐπεὶ δὲ εἰς Ῥώμην ἐπανῆλθεν, ἡ μὲν ὅλη πρᾶξις ὡς δεινὴ καὶ καταισχύνουσα τὴν Ῥώμην αἰτίαν εἶχε καὶ κατηγορίαν· οἱ δὲ τῶν στρατιωτῶν οἰκεῖοι καὶ φίλοι μέγα μέρος ὄντες τοῦ δήμου συνέτρεχον πρὸς τὸν Τιβέριον, τὰ μὲν αἰσχρὰ τῶν γεγονότων ἀναφέροντες εἰς τὸν ἄρχοντα, δι' αὐτὸν δὲ σώζεσθαι τοσούτους πολίτας φάσκοντες. Οἱ μέντοι δυσχεραίνοντες τὰ πεπραγμένα μιμεῖσθαι τοὺς προγόνους 827
ἐκέλευον· καὶ γὰρ ἐκεῖνοι τοὺς ἀγαπήσαντας ὑπὸ Σαυνιτῶν ἀφεθῆναι στρατηγοὺς αὐτούς τε τοῖς πολεμίοις γυμνοὺς προσερρίψαν καὶ τοὺς ἐφαψαμένους καὶ μετασχόντας τῶν σπονδῶν, οἷον ταμίας καὶ χιλιάρχους, ὁμοίως προὔβαλον, εἰς ἐκείνους τὴν ἐπιορκίαν καὶ τὴν διάλυσιν τῶν ὡμολογημένων τρέποντες. Ἔνθα δὴ καὶ μάλιστα τὴν πρὸς τὸν Τιβέριον

5, 209—10 H.

---

5. λαβεῖν C. προσκεχωρηκότος B. 6. ἑτέρους CG. 8. τὰς $S^{g}\pi B^{e}$[PABCG] et infra: τοὺς v. 9. ἀπολογίσασθαι Reiskius: ἀπολογήσασθαι libri. 14. τε $S^{g}B^{e}$[PABG]: δὲ v. 18. τι] τε AB.

VII. 4. τοῦ δήμου ὄντες ABC. 8. σαμνιτῶν x. 13. καὶ post δὴ om C.

εὔνοιαν καὶ σπουδὴν ἐξέφηνεν ὁ δῆμος. Τὸν μὲν γὰρ ὕπατον ἐψηφίσαντο γυμνὸν καὶ δεδεμένον παραδοῦναι τοῖς Νομαντίνοις, τῶν δὲ ἄλλων ἐφείσαντο πάντων διὰ Τιβέριον. Δοκεῖ δὲ καὶ Σκηπίων βοηθῆσαι μέγιστος ὢν τότε καὶ πλεῖστον δυνάμενος Ῥωμαίων· ἀλλ' οὐδὲν ἧττον ἐν αἰτίαις ἦν, ὅτι τὸν Μαγκῖνον οὐ περιέσωσεν οὐδὲ τὰς σπονδὰς ἐμπεδωθῆναι τοῖς Νομαντίνοις ἐσπούδασε δι' ἀνδρὸς οἰκείου καὶ φίλου τοῦ Τιβερίου γενομένας. Τὸ δὲ πλεῖστον ἔοικεν ἐκ φιλοτιμίας καὶ τῶν ἐπαιρόντων τὸν Τιβέριον φίλων καὶ σοφιστῶν ἐκγενέσθαι τὰ τῆς διαφορᾶς. Ἀλλ' αὕτη γε πρὸς οὐδὲν ἀνήκεστον οὐδὲ φαῦλον ἐξέπεσε. Δοκεῖ δ' ἄν μοι μηδαμῶς περιπεσεῖν ὁ Τιβέριος οἷς ἔπαθεν, εἰ παρῆν αὐτοῦ τοῖς πολιτεύμασι Σκηπίων ὁ Ἀφρικανός· νῦν δὲ ἐκείνου περὶ Νομαντίαν ὄντος ἤδη καὶ πολεμοῦντος ἥψατο τῆς περὶ τοὺς νόμους πολιτείας ἐκ τοιαύτης αἰτίας.

VIII. Ῥωμαῖοι τῆς τῶν ἀστυγειτόνων χώρας ὅσην ἀπετέμοντο πολέμῳ, τὴν μὲν ἐπίπρασκον, τὴν δὲ ποιούμενοι δημοσίαν ἐδίδοσαν νέμεσθαι τοῖς ἀκτήμοσι καὶ ἀπόροις τῶν πολιτῶν ἀποφορὰν οὐ πολλὴν εἰς τὸ δημόσιον τελοῦσιν. Ἀρξαμένων δὲ τῶν πλουσίων ὑπερβάλλειν τὰς ἀποφορὰς καὶ τοὺς πένητας ἐξελαυνόντων, ἐγράφη νόμος οὐκ ἐῶν πλέθρα γῆς ἔχειν πλείονα τῶν πεντακοσίων. Καὶ βραχὺν μὲν χρόνον ἐπέσχε τὴν πλεονεξίαν τὸ γράμμα τοῦτο καὶ τοῖς πένησιν ἐβοήθησε κατὰ χώραν μένουσιν ἐπὶ τῶν μεμισθωμένων καὶ νεμομένοις ἣν ἕκαστος ἐξ ἀρχῆς εἶχε μοῖραν. Ὕστερον δὲ τῶν γειτνιώντων πλουσίων ὑποβλήτοις προσώποις μεταφερόντων τὰς μισθώσεις εἰς ἑαυτούς, τέλος δὲ φανερῶς ἤδη δι' ἑαυτῶν τὰ πλεῖστα κατεχόντων, ἐξωσθέντες οἱ πένητες οὔτε ταῖς στρατείαις ἔτι προθύμους παρεῖχον ἑαυτοὺς ἠμέλουν τε παίδων ἀνατροφῆς, ὡς ταχὺ τὴν Ἰταλίαν ἅπασαν ὀλιγανδρίας ἐλευθέρων αἰσθέσθαι, δεσμωτηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι, δι' ὧν ἐγεώργουν οἱ πλούσιοι τὰ χωρία τοὺς πολίτας ἐξελάσαντες. Ἐπεχείρησε μὲν οὖν τῇ διορθώσει

5, 210—11 H.

---

19. *μαγκῖνον* S^{g}P: *Μαγκίνον* v. 25. *ὁ* om P.

VIII. 1. *ἀπετέμοντο* S^{g}[PABC]x: *ἐπετέμοντο* v. 7. *τῶν* addiderunt ABC. 15. *τε*] *δὲ* S^{g}. *ὥστε* Reiskianae nuperi, cf. ad C. Gracch. 2. 16. *αἰσθέσθαι* S^{g}[PABC]S$^{\eta}$TV: *ἔσεσθαι* v. 17. *οἱ πλεῖστοι* C.

Γάϊος Λαίλιος ὁ Σκηπίωνος ἑταῖρος, ἀντικρουσάντων δὲ τῶν δυνατῶν φοβηθεὶς τὸν θόρυβον καὶ παυσάμενος ἐπεκλήθη σοφὸς ἢ φρόνιμος· ἑκάτερον γὰρ ἐδόκει σημαίνειν ὁ σάπιενς. Ὁ Τιβέριος δὲ δήμαρχος ἀποδειχθεὶς εὐθὺς ἐπ' αὐτὴν ὥρμησε τὴν πρᾶξιν, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Διοφάνους τοῦ ῥήτορος καὶ Βλοσσίου τοῦ φιλοσόφου παρορμησάντων αὐτόν, ὧν ὁ μὲν Διοφάνης φυγὰς ἦν Μιτυληναῖος, ὁ δὲ αὐτόθεν ἐξ Ἰταλίας Κυμαῖος, Ἀντιπάτρου τοῦ Ταρσέως γεγονὼς ἐν ἄστει συνήθης καὶ τετιμημένος ὑπ' αὐτοῦ προσφωνήσεσι γραμμάτων φιλοσόφων. Ἔνιοι δὲ καὶ Κορνηλίαν συνεπαιτιῶνται τὴν μητέρα πολλάκις τοὺς υἱοὺς ὀνειδίζουσαν, ὅτι Ῥωμαῖοι Σκηπίωνος αὐτὴν ἔτι πενθερὰν, οὔπω δὲ μητέρα Γράγχων προσαγορεύουσιν. Ἄλλοι δὲ Σπόριόν τινα Ποστούμιον αἴτιον γενέσθαι λέγουσιν, ἡλικιώτην τοῦ Τιβερίου καὶ πρὸς δόξαν ἐφάμιλλον αὐτῷ περὶ τὰς συνηγορίας, ὃν, ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατιᾶς, εὑρὼν πολὺ τῇ δόξῃ καὶ τῇ δυνάμει παρηλλαχότα καὶ θαυμαζόμενον, ἠθέλησεν, ὡς ἔοικεν, ὑπερβαλέσθαι πολιτεύματος παραβόλου καὶ μεγάλην προσδοκίαν ἔχοντος ἀψάμενος. Ὁ δ' ἀδελφὸς αὐτοῦ Γάϊος 828
ἔν τινι βιβλίῳ γέγραφεν εἰς Νομαντίαν πορευόμενον διὰ τῆς Τυρρηνίας τὸν Τιβέριον καὶ τὴν ἐρημίαν τῆς χώρας ὁρῶντα καὶ τοὺς γεωργοῦντας ἢ νέμοντας οἰκέτας ἐπεισάκτους καὶ βαρβάρους τότε πρῶτον ἐπὶ νοῦν βαλέσθαι τὴν μυρίων κακῶν ἄρξασαν αὐτοῖς πολιτείαν. Τὴν δὲ πλείστην αὐτὸς ὁ δῆμος ὁρμὴν καὶ φιλοτιμίαν ἐξῆψε προκαλούμενος διὰ γραμμάτων αὐτὸν ἐν στοαῖς καὶ τοίχοις καὶ μνήμασι καταγραφομένων ἀναλαβεῖν τοῖς πένησι τὴν δημοσίαν χώραν.

IX. Οὐ μὴν ἐφ' αὑτοῦ γε συνέθηκε τὸν νόμον, τοῖς δὲ πρωτεύουσιν ἀρετῇ καὶ δόξῃ τῶν πολιτῶν συμβούλοις χρησάμενος· ὧν καὶ Κράσσος ἦν ὁ ἀρχιερεὺς καὶ Μούκιος Σκαι-

5, 211—13 H.

20. καὶ om B^e. 21. ἢ] καὶ S^gABCB^e. σάπιενς Schaeferus: σάπιεν S^g, σαπίνης i, σαπίηνς v. 28. καὶ om ABCB^e. 29. καὶ πολλάκις B^e. 31. ποστούμιον S^gABG: Πουστούμιον v. 32. αἴτιον γενέσθαι λέγουσιν S^gPABC: λέγουσιν αἴτιον γενέσθαι v. 34. στρατείας Stephanianae ceteri. 43. ὁρμὴν] τιμὴν ABC. προσκαλούμενος S^gABC. 44. καταγραφομένων S^gPABCB^{e}ηπV: γραφομένων v.

IX. 1. γε om C. 3. σκαιβόλας S^g: καὶ οὐόλας PGia, καὶ ἰούλας AB, ἰούλας C, σκαιουόλας a et v.

βόλας ὁ νομοδείκτης ὑπατεύων τότε καὶ Κλαύδιος Ἄππιος ὁ κηδεστὴς τοῦ Τιβερίου. Καὶ δοκεῖ νόμος εἰς ἀδικίαν καὶ πλεονεξίαν τοσαύτην μηδέποτε πραότερος γραφῆναι καὶ μαλακώτερος. Οὓς γὰρ ἔδει δίκην τῆς ἀπειθείας δοῦναι καὶ μετὰ ζημίας ἦν παρὰ τοὺς νόμους ἐκαρποῦντο χώραν ἀφεῖναι, τούτους ἐκέλευσε τιμὴν προσλαμβάνοντας ἐκβαίνειν ὧν ἀδίκως ἐκέκτηντο καὶ παραδέχεσθαι τοὺς βοηθείας δεομένους τῶν πολιτῶν. Ἀλλὰ, καίπερ οὕτω τῆς ἐπανορθώσεως οὔσης εὐγνώμονος, ὁ μὲν δῆμος ἠγάπα πᾶρεὶς τὰ γεγενημένα παύσασθαι τὸ λοιπὸν ἀδικούμενος, οἱ δὲ πλούσιοι καὶ κτηματικοὶ πλεονεξίᾳ μὲν τὸν νόμον, ὀργῇ δὲ καὶ φιλονεικίᾳ τὸν νομοθέτην δι' ἔχθους ἔχοντες ἐπεχείρουν ἀποτρέπειν τὸν δῆμον, ὡς γῆς ἀναδασμὸν ἐπὶ συγχύσει τῆς πολιτείας εἰσάγοντος τοῦ Τιβερίου καὶ πάντα πράγματα κινοῦντος. Ἀλλ' οὐδὲν ἐπέραινον· ὁ γὰρ Τιβέριος πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος λόγῳ καὶ φαυλότερα κοσμῆσαι δυναμένῳ πράγματα δεινὸς ἦν καὶ ἄμαχος, ὁπότε, τοῦ δήμου τῷ βήματι περικεχυμένου, καταστὰς λέγοι περὶ τῶν πενήτων, ὡς τὰ μὲν θηρία τὰ τὴν Ἰταλίαν νεμόμενα καὶ φωλεὸν ἔχει καὶ κοιταῖόν ἐστιν αὐτῶν ἑκάστῳ καὶ καταδύσεις, τοῖς δὲ ὑπὲρ τῆς Ἰταλίας μαχομένοις καὶ ἀποθνήσκουσιν ἀέρος καὶ φωτὸς, ἄλλου δὲ οὐδενὸς, μέτεστιν, ἀλλ' ἄοικοι καὶ ἀνίδρυτοι μετὰ τέκνων πλανῶνται καὶ γυναικῶν, οἱ δὲ αὐτοκράτορες ψεύδονται τοὺς στρατιώτας ἐν ταῖς μάχαις παρακαλοῦντες ὑπὲρ τάφων καὶ ἱερῶν ἀμύνεσθαι τοὺς πολεμίους· οὐδενὶ γάρ ἐστιν οὐ βωμὸς πατρῷος, οὐκ ἠρίον προγονικὸν τῶν τοσούτων Ῥωμαίων, ἀλλ' ὑπὲρ ἀλλοτρίας τρυφῆς καὶ πλούτου πολεμοῦσι καὶ ἀποθνήσκουσι κύριοι τῆς οἰκουμένης εἶναι λεγόμενοι, μίαν δὲ βῶλον ἰδίαν οὐκ ἔχοντες.

X. Τούτους ἀπὸ φρονήματος μεγάλου καὶ πάθους ἀληθινοῦ τοὺς λόγους κατιόντας εἰς τὸν δῆμον ἐνθουσιῶντα καὶ συνεξανιστάμενον οὐδεὶς ὑφίστατο τῶν ἐναντίων. Ἐά-

5, 213—14 H.

---

7. ἀπειθείας S^gPABC: ἀπειθίας v. 9. ἐκέλευε G. 15. ἔχθρας ABCB^eV. 19. καὶ om C. 22. τὰ τὴν] τὴν B^e. 23. αὐτοῖς ABB^eV, om C. κατάδυσις Reiskii nuperi.

X. 2. κατατείνοντας marg. P pr. ABCB^eV, κατατείνοντι Corais Schaeferi refellit hiatus. 3. συνεξιστάμενον ABC.

σαντες οὖν τὸ ἀντιλέγειν ἐπὶ Μάρκον Ὀκτάβιον τρέπονται τῶν δημάρχων ἕνα, νεανίαν ἐμβριθῆ τὸ ἦθος καὶ κόσμιον, ἑταῖρον δὲ τοῦ Τιβερίου καὶ συνήθη. Διὸ τὸ μὲν πρῶτον αἰδούμενος ἐκεῖνον ἀνεδύετο· πολλῶν δὲ καὶ δυνατῶν δεομένων καὶ λιπαρούντων ὥσπερ ἐκβιασθεὶς ἀντικαθίστατο τῷ Τιβερίῳ καὶ διεκρούετο τὸν νόμον. Ἔστι δὲ τοῦ κωλύοντος ἐν τοῖς δημάρχοις τὸ κράτος· οὐδὲν γὰρ οἱ πολλοὶ κελεύοντες περαίνουσιν ἑνὸς ἐνισταμένου. Πρὸς τοῦτο παροξυνθεὶς ὁ Τιβέριος τὸν μὲν φιλάνθρωπον ἐπανείλετο νόμον, τὸν δὲ ἡδίω τε τοῖς πολλοῖς καὶ σφοδρότερον ἐπὶ τοὺς ἀδικοῦντας εἰσέφερεν ἤδη κελεύων ἐξίστασθαι τῆς χώρας, ἣν ἐκέκτηντο παρὰ τοὺς προτέρους νόμους. Ἦσαν οὖν ὁμοῦ τι καθ' ἑκάστην ἡμέραν ἀγῶνες αὐτῷ πρὸς τὸν Ὀκτάβιον ἐπὶ τοῦ βήματος, ἐν οἷς, καίπερ ἐξ ἄκρας σπουδῆς καὶ φιλονεικίας ἀντ- 829
ερείδοντες, οὐδὲν εἰπεῖν λέγονται περὶ ἀλλήλων φαῦλον οὐδὲ ῥῆμα προπεσεῖν θατέρου πρὸς τὸν ἕτερον δι' ὀργὴν ἀνεπιτήδειον. Οὐ γὰρ μόνον ἐν βακχεύμασιν, ὡς ἔοικεν, ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς τὸ πεφυκέναι καλῶς καὶ πεπαιδεῦσθαι σωφρόνως ἐφίστησι καὶ κατακοσμεῖ τὴν διάνοιαν. Ἐπεὶ δὲ ἑώρα τὸν Ὀκτάβιον ἐνεχόμενον τῷ νόμῳ καὶ κατέχοντα τῆς δημοσίας χώραν συχνὴν ὁ Τιβέριος, ἐδεῖτο παρεῖναι τὴν φιλονεικίαν ὑφιστάμενος αὐτῷ τὴν τιμὴν ἀποδώσειν ἐκ τῶν ἰδίων, καίπερ οὐ λαμπρῶν ὄντων. Οὐκ ἀνασχομένου δὲ τοῦ Ὀκταβίου διαγράμματι τὰς ἄλλας ἀρχὰς ἁπάσας ἐκώλυσε χρηματίζειν, ἄχρι ἂν ἡ περὶ τοῦ νόμου διενεχθῇ ψῆφος· τῷ δὲ τοῦ Κρόνου ναῷ σφραγῖδας ἰδίας ἐπέβαλεν, ὅπως οἱ ταμίαι μηδὲν ἐξ αὐτοῦ λαμβάνοιεν μηδ' εἰσφέροιεν, καὶ τοῖς ἀπειθήσασι τῶν στρατηγῶν ζημίαν ἐπεκήρυξεν, ὥστε πάντας ὑποδείσαντας ἀφεῖναι τὴν ἑκάστῳ προσήκουσαν οἰκονομίαν. Ἐντεῦθεν οἱ κτηματικοὶ τὰς μὲν ἐσθῆτας μετέβαλον καὶ περιῄεσαν οἰκτροὶ καὶ ταπεινοὶ κατὰ τὴν ἀγοράν, ἐπεβού-

5, 214—15 H.

4. ὀκτάονιον hic quidem S^gABC postea in ὀκτάβιον consentientes. 10. οἱ παλαιοὶ B^e. 11. περαίνουσιν] πράττουσιν B. 15. πρότερον B. 16. αὐτῷ om Gia. 18. φαῦλον S^g: φλαυρὸν v. 19. προπεσεῖν Reiskius: προσπεσεῖν libri. 20. locum respicit Euripidis Bacch. v. 315 (318). καὶ ἐν] καὶ C. 24. χώρας Reiskii pr. B. 26. ἰδίων] οἰκείων P. 28. ἄχρι S^gP pr. A: ἄχρις v. 29. σφραγῖδας P: σφραγίδας v. 31. ἐκήρυξεν ABCV. 33. μετέβαλλον AB. 34. κατὰ] περὶ ABC.

λευον δὲ τῷ Τιβερίῳ κρύφα καὶ συνίστασαν ἐπ' αὐτὸν τοὺς ἀναιρήσοντας, ὥστε κἀκεῖνον, οὐδενὸς ἀγνοοῦντος, ὑποζώννυσθαι ξιφίδιον ληστρικὸν, ὃ δόλωνα καλοῦσιν.

XI. Ἐνστάσης δὲ τῆς ἡμέρας καὶ τὸν δῆμον αὐτοῦ καλοῦντος ἐπὶ τὴν ψῆφον ἡρπάσθησαν ὑπὸ τῶν πλουσίων αἱ ὑδρίαι καὶ τὰ γινόμενα πολλὴν εἶχε σύγχυσιν. Οὐ μὴν ἀλλὰ τῶν περὶ Τιβέριον πλήθει βιάσασθαι δυναμένων καὶ συστρεφομένων ἐπὶ τοῦτο, Μάλλιος καὶ Φούλβιος, ἄνδρες ὑπατικοὶ, προσπεσόντες τῷ Τιβερίῳ καὶ χειρῶν ἁπτόμενοι καὶ δακρύοντες ἐδέοντο παύσασθαι. Τοῦ δὲ καὶ τὸ μέλλον ὅσον οὔπω δεινὸν ἤδη συμφρονοῦντος καὶ δι' αἰδῶ τῶν ἀνδρῶν πυθομένου, τί κελεύουσι πράττειν αὐτὸν, οὐκ ἔφασαν ἀξιόχρεῳ εἶναι πρὸς τηλικαύτην συμβουλίαν, ἐπιτρέψαι δὲ τῇ βουλῇ κελεύοντες καὶ δεόμενοι συνέπεισαν. Ὡς δὲ οὐδὲν ἐπέραινεν ἡ βουλὴ συνελθοῦσα διὰ τοὺς πλουσίους ἰσχύοντας ἐν αὐτῇ, τρέπεται πρὸς ἔργον οὐ νόμιμον οὐδὲ ἐπιεικὲς, ἀφελέσθαι τῆς ἀρχῆς τὸν Ὀκτάβιον, ἀμηχανῶν ἄλλως ἐπαγαγεῖν τῷ νόμῳ τὴν ψῆφον. Καὶ πρῶτον μὲν ἐδεῖτο φανερῶς αὐτοῦ λόγους τε προσφέρων φιλανθρώπους καὶ χειρῶν ἁπτόμενος ἐνδοῦναι καὶ χαρίσασθαι τῷ δήμῳ δίκαια μὲν ἀξιοῦντι, μικρὰ δὲ ἀντὶ μεγάλων πόνων καὶ κινδύνων ληψομένῳ. Διωθουμένου δὲ τοῦ Ὀκταβίου τὴν ἔντευξιν ὑπειπὼν ὁ Τιβέριος, ὡς οὐκ ἔστιν ἄρχοντας ἀμφοτέρους καὶ περὶ πραγμάτων μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους ἄνευ πολέμου διεξελθεῖν τὸν χρόνον, ἓν ἴαμα τούτου μόνον ὁρᾶν ἔφη τὸ παύσασθαι τῆς ἀρχῆς τὸν ἕτερον. Καὶ περὶ αὐτοῦ γε προτέρου τὸν Ὀκτάβιον ἐκέλευσε τῷ δήμῳ ψῆφον ἀναδοῦναι· καταβήσεσθαι γὰρ εὐθὺς ἰδιώτης γενόμενος, ἂν τοῦτο δόξῃ τοῖς πολίταις. Τοῦ δὲ Ὀκταβίου μὴ θέλοντος αὐτὸς ἔφη περὶ ἐκείνου ψῆφον ἀναδώσειν, ἐὰν μὴ μεταγνῷ βουλευσάμενος.

5, 215—16 H.

---

37. ξιφείδιον Gia.

XI. 3. ἀλλὰ καὶ B^e. 4. τιβέριον S^g: τὸν Τιβέριον v. 5. τοῦτο S^gPABV: τούτῳ v. 6. τῷ addiderunt S^gPABCG. 9. ἀξιόχρεῳ Schaeferus: ἀξιόχρεω S^g[P], ἀξιόχρεων ABC, ἀξιόχρεως v, quamquam ego scribendum puto ἀξιόχρεῳ πρὸς τηλικαύτην εἶναι συμβουλίαν. 13. πρὸς τὸ ἔργον pr. ABC. 15. αὐτοῦ Bryanus: αὐτῷ libri. 21. διαφερομένων C. διελθεῖν pr. ABCV. 22. τούτου S^gPABCB^eqSTVx: τοῦτον Gia, τοῦτο v.

XII. *Καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσε τὴν ἐκκλησίαν· τῇ δ' ὑστεραίᾳ τοῦ δήμου συνελθόντος ἀναβὰς ἐπὶ τὸ βῆμα πάλιν ἐπειρᾶτο πείθειν τὸν Ὀκτάβιον· ὡς δὲ ἦν ἀμετάπειστος, εἰσήνεγκε νόμον ἀφαιρούμενον αὐτοῦ τὴν δημαρχίαν καὶ τοὺς πολίτας εὐθὺς ἐκάλει τὴν ψῆφον ἐπιφέροντας. Οὐσῶν δὲ πέντε καὶ τριάκοντα φυλῶν, ὡς αἱ δεκαεπτὰ τὴν ψῆφον ἐπενηνόχεισαν καὶ μιᾶς ἔτι προσγενομένης ἔδει τὸν Ὀκτάβιον ἰδιώτην γενέσθαι, κελεύσας ἐπισχεῖν αὖθις ἐδεῖτο τοῦ Ὀκταβίου καὶ περιέβαλεν αὐτὸν ἐν ὄψει τοῦ δήμου καὶ κατησπάζετο λιπαρῶν καὶ δεόμενος μήθ' ἑαυτὸν ἄτιμον περι-* 830
ἰδεῖν γενόμενον μήτ' ἐκείνῳ βαρέος οὕτω καὶ σκυθρωποῦ πολιτεύματος αἰτίαν προσάψαι. Τούτων τῶν δεήσεων οὐ παντελῶς ἄτεγκτον οὐδ' ἀτενῆ λέγουσιν ἀκροᾶσθαι τὸν Ὀκτάβιον, ἀλλὰ καὶ δακρύων ὑποπίμπλασθαι τὰ ὄμματα καὶ σιωπᾷν ἐπὶ πολὺν χρόνον. Ὡς μέντοι πρὸς τοὺς πλουσίους καὶ τοὺς κτηματικοὺς συνεστῶτας ἀπέβλεψεν, αἰδεσθεὶς δοκεῖ καὶ φοβηθεὶς τὴν παρ' ἐκείνοις ἀδοξίαν ὑποστῆναι πᾶν δεινὸν οὐκ ἀγεννῶς καὶ κελεῦσαι πράττειν ὃ βούλεται τὸν Τιβέριον. Οὕτω δὴ τοῦ νόμου κυρωθέντος ὁ μὲν Τιβέριος τῶν ἀπελευθέρων τινὶ προσέταξεν ἀπὸ τοῦ βήματος ἑλκύσαι τὸν Ὀκτάβιον· ἐχρῆτο δὲ ὑπηρέταις ἀπελευθέροις ἰδίοις, καὶ τοῦτο τὴν ὄψιν οἰκτροτέραν τοῦ Ὀκταβίου παρέσχεν ἑλκομένου πρὸς ὕβριν. Ὁ δὲ δῆμος ἐφώρμησεν αὐτῷ, καὶ τῶν πλουσίων συνδραμόντων καὶ διασχόντων τὰς χεῖρας, ὁ μὲν Ὀκτάβιος ἐσώθη μόλις ἐξαρπαγεὶς καὶ διαφυγὼν τὸν ὄχλον, οἰκέτην δὲ αὐτοῦ πιστὸν ἔμπροσθεν ἑστῶτα καὶ προτεταγμένον ἐξετύφλωσαν, ἄκοντος τοῦ Τιβερίου καὶ πρὸς τὸν θόρυβον, ὡς ἤσθετο τὰ γινόμενα, πολλῇ σπουδῇ καταδραμόντος.

XIII. *Ἐκ τούτου κυροῦται μὲν ὁ περὶ τῆς χώρας νόμος, αἱροῦνται δὲ τρεῖς ἄνδρες ἐπὶ τὴν διάκρισιν καὶ διανομήν, αὐτὸς Τιβέριος καὶ Κλαύδιος Ἄππιος ὁ πενθερὸς καὶ Γάϊος*

5, 216—18 H.

XII. 3. *ἦν* om i. *ἀμετάπιστος* corr S^{g}Gia. 7. *ἐξενηνόχεισαν* pr. ABCB^{e}V. *προσγενομένης* S^{g}PC: *προσγινομένης* v. 9. *περιέβαλεν* PCGB^{e}ia. *περιΐδεῖν ἄτιμον* ABC. 10. *μηθ' ἑαυτὸν* S^{g}: *μήτε αὐτὸν* v. 18. *πᾶν* Bryani C: *καὶ πᾶν* v. *καὶ κελεῦσαι* Bryanus: *κελεῦσαι* libri. fortasse scribendum *κελεύσας*. 23. *ὕβριν*] *βίαν* C. 25. *μόλις* S^{g}C: *μόνος* v.

XIII. 2. *διανομὴν* S^{g}PABCB^{e}: *τὴν διανομὴν* v.

Γράγχος ὁ ἀδελφὸς, οὐ παρὼν οὗτος, ἀλλὰ ὑπὸ Σκηπίωνι πρὸς Νομαντίαν στρατευόμενος. Ταῦτα τοῦ Τιβερίου διαπραξαμένου καθ' ἡσυχίαν μηδενὸς ἐνισταμένου καὶ πρὸς τούτοις δήμαρχον ἀντικαταστήσαντος οὐδένα τῶν ἐπιφανῶν, ἀλλὰ Μούκιόν τινα, πελάτην αὐτοῦ, πρὸς πάντα δυσχεραίνοντες οἱ δυνατοὶ καὶ φοβούμενοι τοῦ Τιβερίου τὴν αὔξησιν ἐν τῇ βουλῇ προεπηλάκιζον αὐτὸν, αἰτουμένῳ μὲν, ὡς ἔθος ἐστὶν, ἐκ δημοσίου σκηνὴν, ὅπως ἔχοι διανέμων τὴν χώραν, οὐ δόντες, ἑτέρων ἐπ' ἐλάττοσι χρείαις πολλάκις λαβόντων, ἀνάλωμα δὲ εἰς ἑκάστην ἡμέραν ἐννέα ὀβολοὺς τάξαντες, εἰσηγουμένου ταῦτα Ποπλίου Νασικᾶ καὶ δεδωκότος ἑαυτὸν εἰς τὴν πρὸς ἐκεῖνον ἔχθραν ἀφειδῶς· πλείστην γὰρ ἐκέκτητο γῆν δημοσίαν καὶ χαλεπῶς ἔφερεν ἐκβαίνειν αὐτῆς ἀναγκαζόμενος. Ὁ δὲ δῆμος ἔτι μᾶλλον ἐξεκάετο· καὶ φίλου τινὸς τῷ Τιβερίῳ τελευτήσαντος αἰφνιδίως καὶ σημείων τῷ νεκρῷ μοχθηρῶν ἐπιδραμόντων βοῶντες ὑπὸ φαρμάκων ἀνῃρῆσθαι τὸν ἄνθρωπον ἐπὶ τὴν ἐκφορὰν συνέδραμον καὶ τὸ λέχος ἤραντο καὶ θαπτομένῳ παρέστησαν, οὐ φαύλως ὑπονοῆσαι τὴν φαρμακείαν δόξαντες. Ἐῤῥάγη γὰρ ὁ νεκρὸς καὶ διεφθορότων ὑγρῶν πλῆθος ἐξέβλυσεν, ὥστε ἀποσβέσαι τὴν φλόγα· καὶ φερόντων ἄλλην αὖθις οὐκ ἐκάετο πρὶν εἰς ἕτερον τόπον μετακομισθῆναι, καὶ πολλὰ πραγματευσαμένων μόλις ἥψατο τὸ πῦρ αὐτοῦ. Πρὸς ταῦτα τοὺς πολλοὺς ἔτι μᾶλλον ὁ Τιβέριος παροξύνων μετέβαλε τὴν ἐσθῆτα καὶ τοὺς παῖδας προαγαγὼν ἐδεῖτο τοῦ δήμου τούτων κήδεσθαι καὶ τῆς μητρὸς ὡς αὐτὸς ἀπεγνωκὼς ἑαυτόν.

XIV. Ἐπεὶ δὲ, τοῦ Φιλομήτορος Ἀττάλου τελευτήσαντος, Εὔδημος ὁ Περγαμηνὸς ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τοῦ βασιλέως ὁ Ῥωμαίων δῆμος, εὐθὺς ὁ Τιβέριος δημαγωγῶν εἰσήνεγκε νόμον, ὅπως τὰ βασιλικὰ χρήματα κομισθέντα τοῖς τὴν χώραν διαλαγχάνουσι τῶν πολιτῶν ὑπάρχοι πρὸς κατασκευὴν καὶ γεωργίας ἀφορμήν.

5, 218—19 H.

---

4. γράγχος S^gPABCG: ὁ γράγχος ia, ὁ *Γράκχος* v. 5. post *Νομαντίαν* ABV *στρατείαν* addunt, B^e *στρατιάν*. 11. ἐκ τοῦ C. v.ead.m.

14. *νασικᾶ* S^g et sic semper uno loco excepto, *ναυσικᾶ* AC et deinceps, *ναυσικοῦ* B. 19. *ἐπιδραμόντων*] cf. C. Gracch. 10.

XIV. 1. *φιλομήτορος* S^g: *Φιλοπάτορος* v.

Περὶ δὲ τῶν πόλεων, ὅσαι τῆς Ἀττάλου βασιλείας ἦσαν, οὐδὲν ἔφη τῇ συγκλήτῳ βουλεύεσθαι προσήκειν, ἀλλὰ τῷ δήμῳ γνώμην αὐτὸς προθήσειν. Ἐκ τούτου μάλιστα προσ-
10 ἐκρουσε τῇ βουλῇ· καὶ Πομπήϊος μὲν ἀναστὰς ἔφη γειτνιᾷν 831
τῷ Τιβερίῳ καὶ διὰ τοῦτο γινώσκειν Εὔδημον αὐτῷ τὸν Περγαμηνὸν τῶν βασιλικῶν διάδημα δεδωκότα καὶ πορφύραν, ὡς μέλλοντι βασιλεύειν ἐν Ῥώμῃ, Κόϊντος δὲ Μέτελλος ὠνείδισε τὸν Τιβέριον, ὅτι τοῦ μὲν πατρὸς αὐτοῦ τιμητεύον-
15 τος, ὁσάκις ἀναλύοι μετὰ δεῖπνον οἴκαδε, τὰ φῶτα κατεσβέννυσαν οἱ πολῖται φοβούμενοι, μὴ πορρωτέρω τοῦ μετρίου δόξωσιν ἐν συνουσίαις εἶναι καὶ πότοις, τούτῳ δὲ παραφαίνουσι νυκτὸς οἱ θρασύτατοι καὶ ἀπορώτατοι τῶν δημοτῶν· Τίτος δ' Ἄννιος, οὐκ ἐπιεικὴς μὲν οὐδὲ σώφρων ἄνθρωπος,
20 ἐν δὲ λόγοις πρὸς τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις ἄμαχος εἶναι δοκῶν, εἰς ὁρισμόν τινα προὐκαλεῖτο τὸν Τιβέριον, ἢ μὴν ἱερὸν ὄντα καὶ ἄσυλον ἐκ τῶν νόμων ἠτιμωκέναι τὸν συνάρχοντα. Θορυβούντων δὲ πολλῶν ἐκπηδήσας ὁ Τιβέριος τόν τε δῆμον συνεκάλει καὶ τὸν Ἄννιον ἀχθῆναι κελεύσας
25 ἐβούλετο κατηγορεῖν. Ὁ δὲ καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ πολὺ λειπόμενος εἰς τὴν ἑαυτοῦ δεινότητα κατεδύετο καὶ παρεκάλει μικρὰ πρὸ τῶν λόγων ἀποκρίνασθαι τὸν Τιβέριον. Συγχωροῦντος δὲ ἐρωτᾶν ἐκεῖνον καὶ σιωπῆς γενομένης εἶπεν ὁ Ἄννιος „Ἂν σὺ μὲν ἀτιμοῦν με βούλῃ καὶ προπηλακίζειν, ἐγὼ
30 δέ τινα τῶν σῶν ἐπικαλέσωμαι συναρχόντων, ὁ δὲ ἀναβῇ βοηθήσων, σὺ δὲ ὀργισθῇς, ἆρά γε αὐτοῦ τὴν ἀρχὴν ἀφαιρήσῃ;" Πρὸς ταύτην λέγεται τὴν ἐρώτησιν οὕτω διαπορηθῆναι τὸν Τιβέριον, ὥστε πάντων ὄντα καὶ τὸ λέγειν ἑτοιμότατον καὶ τὸ θαῤῥεῖν ἰταμώτατον ἀποσιωπῆσαι.

5, 219—20 H.

προσθήσειν

9. προθήσειν Sᵍ, προθήσειν pr. A. 11. τὸν Περγαμηνὸν non desiderem. 15. ὡσάκις Gia. 19. ὢν post μὲν addunt ABC. ῳ ead m.

20. ἐν δὲ] οὐδὲ Sᵍ. λόγοις Sᵍ: λόγοις P, λόγῳ v. πρὸς Sᵍ: πρὸς ead. m.

περὶ P, περὶ v. καὶ τὰς SᵍABC: καὶ v. 21. ὁρισμόν] cf. ad Flamin. 19, 11. adde Anton. 58. ἦν μὴν a. 22. ἠτιμηκέναι error Bryaneae. 24. Ἄννιον] ἄνθρωπον Bᵉ. 28. fortasse praestat ἐκείνου Corais. 30. ἐπικαλέσομαι AB. 33. τὸ λέγειν et mox τὸ θαῤῥεῖν ABC: τῷ λέγειν et τῷ θαῤῥεῖν v. 34. ἰταμώτατον Schaeferi ABCG: ἰταμότατον v.

XV. Τότε μὲν οὖν διέλυσε τὴν ἐκκλησίαν· αἰσθανόμενος δὲ τῶν πολιτευμάτων τὸ περὶ τὸν Ὀκτάβιον οὐ τοῖς δυνατοῖς μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς ἐκπαθέστερον (μέγα γάρ τι καὶ καλὸν ἐδόκει τὸ τῶν δημάρχων ἀξίωμα μέχρι τῆς ἡμέρας ἐκείνης διατετηρημένον ἀνηρῆσθαι καὶ καθυβρίσθαι), λόγον ἐν τῷ δήμῳ διεξῆλθεν, οὐ μικρὰ παραθέσθαι τῶν ἐπιχειρημάτων οὐκ ἄτοπον ἦν, ὥστε ὑπονοηθῆναι τὴν πιθανότητα καὶ πυκνότητα τοῦ ἀνδρός. Ἔφη γὰρ ἱερὸν τὸν δήμαρχον εἶναι καὶ ἄσυλον, ὅτι τῷ δήμῳ καθωσίωται καὶ τοῦ δήμου προέστηκεν. Ἂν οὖν μεταβαλόμενος τὸν δῆμον ἀδικῇ καὶ τὴν ἰσχὺν κολούῃ καὶ παραιρῆται τὴν ψῆφον, αὐτὸς ἑαυτὸν ἀπεστέρηκε τῆς τιμῆς ἐφ' οἷς ἔλαβεν οὐ ποιῶν· ἐπεὶ καὶ τὸ Καπετώλιον κατασκάπτοντα καὶ τὸ νεώριον ἐμπιπράντα δήμαρχον ἐᾷν δεήσει. Καὶ ταῦτα μὲν ποιῶν δήμαρχός ἐστι πονηρός· ἐὰν δὲ καταλύῃ τὸν δῆμον, οὐ δήμαρχός ἐστι. Πῶς οὖν οὐ δεινόν, εἰ τὸν μὲν ὕπατον ὁ δήμαρχος ἄξει, τὸν δὲ δήμαρχον οὐκ ἀφαιρήσεται τὴν ἐξουσίαν ὁ δῆμος, ὅταν αὐτῇ κατὰ τοῦ δεδωκότος χρῆται; καὶ γὰρ ὕπατον καὶ δήμαρχον ὁμοίως δῆμος αἱρεῖται. Καὶ μὴν ἥ γε βασιλεία πρὸς τῷ πᾶσαν ἀρχὴν ἔχειν ἐν ἑαυτῇ συλλαβοῦσα καὶ ταῖς μεγίσταις ἱερουργίαις καθωσίωται πρὸς τὸ θεῖον· ἀλλὰ Ταρκύνιον ἐξέβαλεν ἡ πόλις ἀδικοῦντα καὶ δι' ἑνὸς ἀνδρὸς ὕβριν ἡ πάτριος ἀρχὴ καὶ κτίσασα τὴν Ῥώμην κατελύθη. Τί δὲ οὕτως ἅγιον ἐν Ῥώμῃ καὶ σεμνόν, ὡς αἱ περιέπουσαι παρθένοι καὶ φυλάττουσαι τὸ ἄφθιτον πῦρ; ἀλλ' εἴ τις ἂν ἁμάρτῃ αὐτῶν, ζῶσα κατορύσσεται· τὸ γὰρ ἄσυλον οὐ φυλάττουσιν ἀσεβοῦσαι εἰς τοὺς θεούς, ὃ διὰ τοὺς θεοὺς ἔχουσιν. Οὔκουν οὐδὲ δήμαρχος ἀδικῶν δῆμον ἔχειν τὴν διὰ τὸν δῆμον ἀσυλίαν δίκαιός ἐστιν· ᾗ γὰρ ἰσχύει δυνάμει, ταύ-

5, 220—22 H.

XV. 1. αἰσθόμενος C. 3. ἐκπαθέστερον ὂν Schaeferus, cf. praef. ad Themist. p. 47 seq. Wyttenbachio in indice aliisque praestare visum ἐπαχθέστερον vel ἀπεχθέστερον, vulgatam tuetur Schaeferus. 4. τῶν om C. 10. μεταβαλόμενος $S^{s}P$ corr ABCTπ: μεταβαλλόμενος v. 11. κολούῃ [PABC]B^{e}x: κολούει GRπV, κελεύει i, κωλύει v. 14. δεήσῃ S^{s}ABCB^{e}. 15. οὐδὲ δήμαρχος x nuperi. (Xylander: ‚tribunum omnino non esse'). 17. ἄξῃ B^{e}. 24. τί δαὶ AB, τί δ' ἂν B^{e}. οὕτω P. 25. εἴ τις] ἥτις Corais Schaeferus. 26. ἁμάρτοι C. κατορύσηται V. 28. οὐκοῦν C. διὰ τῶν δήμων libri praeter a. 29. δίκαιον ABV.

30 *την ἀναιρεῖ. Καὶ μὴν εἰ δικαίως ἔλαβε τὴν δημαρχίαν, τῶν πλείστων φυλῶν ψηφισαμένων, πῶς οὐχὶ καὶ ἀφαιρεθείη δικαιότερον, πασῶν ἀποψηφισαμένων; Ἱερὸν δὲ καὶ ἄσυλον* 832
οὐδὲν οὕτως ἐστὶν, ὡς τὰ τῶν θεῶν ἀναθήματα· χρῆσθαι δὲ τούτοις καὶ κινεῖν καὶ μεταφέρειν, ὡς βούλεται, τὸν δῆμον
35 *οὐδεὶς κεκώλυκεν. Ἐξὴν οὖν αὐτῷ καὶ τὴν δημαρχίαν ὡς ἀνάθημα μετενεγκεῖν εἰς ἕτερον. Ὅτι δὲ οὐκ ἄσυλον οὐδὲ ἀναφαίρετον ἡ ἀρχὴ, δῆλόν ἐστι τῷ πολλάκις ἔχοντας ἀρχήν τινας ἐξόμνυσθαι καὶ παραιτεῖσθαι δι' αὐτῶν.*

XVI. *Τοιαῦτα μὲν ἦν τὰ κεφάλαια τῆς τοῦ Τιβερίου δικαιολογίας. Ἐπεὶ δὲ συνορῶντες οἱ φίλοι τὰς ἀπειλὰς καὶ τὴν σύστασιν ᾠοντο δεῖν ἑτέρας περιέχεσθαι δημαρχίας εἰς τὸ μέλλον, αὖθις ἄλλοις νόμοις ἀνελάμβανε τὸ πλῆθος τούς*
5 *τε χρόνους τῶν στρατειῶν ἀφαιρῶν καὶ διδοὺς ἐπικαλεῖσθαι τὸν δῆμον ἀπὸ τῶν δικαστῶν καὶ τοῖς κρίνουσι τότε, συγκλητικοῖς οὖσι, καταμιγνὺς ἐκ τῶν ἱππέων τὸν ἴσον ἀριθμὸν καὶ πάντα τρόπον ἤδη τῆς βουλῆς τὴν ἰσχὺν κολούων πρὸς ὀργὴν καὶ φιλονεικίαν μᾶλλον ἢ τὸν τοῦ δικαίου καὶ συμφε-*
10 *ροντος λογισμόν. Ἐπεὶ δὲ τῆς ψήφου φερομένης ἤσθοντο τοὺς ἐναντίους κρατοῦντας (οὐ γὰρ παρῆν ἅπας ὁ δῆμος), πρῶτον μὲν εἰς βλασφημίας τραπόμενοι τῶν συναρχόντων εἶλκον τὸν χρόνον· ἔπειτα τὴν ἐκκλησίαν ἀφῆκαν εἰς τὴν ὑστεραίαν ἀπαντᾶν κελεύσαντες. Καὶ πρῶτον μὲν εἰς τὴν*
15 *ἀγορὰν καταβὰς ὁ Τιβέριος ἱκέτευε τοὺς ἀνθρώπους ταπεινὸς καὶ δεδακρυμένος, ἔπειτα δεδοικέναι φήσας, μὴ νυκτὸς ἐκκόψωσι τὴν οἰκίαν οἱ ἐχθροὶ καὶ διαφθείρωσιν αὐτὸν, οὕτω τοὺς ἀνθρώπους διέθηκεν, ὥστε περὶ τὴν οἰκίαν αὐτοῦ*

5, 222—23 H.

---

31. καὶ om π, κἂν Corais Schaeferus. 34. ὡς βούλεται om B. 35. ὡς om π. 37. ἀρχήν τινας S^{g}: τινας ἀρχὴν v. 38. καὶ παραιτεῖσθαι ‚ex vet. codicibus' ab Stephano addita praestant [S^{g} PABCB^{e}]ηπR.

XVI. 4. τοῦ τε χρόνου Bryani nuperi. 5. στρατειῶν Stephanus cum [ABC]: τῶν στρατιῶν S^{g}PGV, στρατιωτῶν ia. 6. δῆμον ἀπὸ] δήμαρχον ὑπὸ ‚vet. cod.' Stephani. τότε] τοῦτο ia. τοῖς συγκλητικοῖς pr. AB. 8. τὴν ἰσχὺν τῆς βουλῆς ABC. o ου κωλύων P. 9. δικαίου καὶ om C, solum καὶ om B. 14. μὲν om C. 17. οἱ ἐχθροὶ τὴν οἰκίαν C. 18. οὕτω S^{g} ABC: οὕτως v.

παμπόλλους τινὰς αὐλίσασθαι καὶ διανυκτερεῦσαι παραφυλάττοντας.

XVII. Ἅμα δ' ἡμέρᾳ παρῆν ὁ τὰς ὄρνιθας, αἷς διαμαντεύονται, κομίζων καὶ προέβαλλε τροφὴν αὐταῖς. Αἱ δ' οὐ προῆλθον, εἰ μὴ μία μόνη, διασείσαντος εὖ μάλα τοῦ ἀνθρώπου τὸ ἀγγεῖον· οὐδὲ αὐτὴ δὲ τῆς τροφῆς ἔθιγεν, ἀλλ' ἐπάρασα τὴν ἀριστερὰν πτέρυγα καὶ παρατείνασα τὸ σκέλος πάλιν εἰς τὸ ἀγγεῖον κατέφυγε. Τοῦτο καὶ τοῦ προτέρου σημείου τὸν Τιβέριον ἀνέμνησεν. Ἦν γὰρ αὐτῷ κράνος, ᾧ πρὸς τὰς μάχας ἐχρῆτο, κεκοσμημένον ἐκπρεπῶς καὶ διάσημον· εἰς τοῦτο καταδύντες ὄφεις ἔλαθον ἐντεκόντες ὠά, καὶ ταῦτα ἐξεγλύψαντο. Διὸ καὶ μᾶλλον ὁ Τιβέριος τοῖς περὶ τὰς ὄρνιθας ἐταράττετο. Προῆει δὲ ὅμως ἄνω τὸν δῆμον ἠθροῖσθαι περὶ τὸ Καπετώλιον πυνθανόμενος· καὶ πρὶν ἐξελθεῖν προσέπταισε πρὸς τὸν οὐδόν, σφοδρᾶς οὕτω πληγῆς γενομένης, ὥστε τὸν μὲν ὄνυχα τοῦ μεγάλου δακτύλου ῥαγῆναι, τὸ δὲ αἷμα διὰ τοῦ ὑποδήματος ἔξω φέρεσθαι. Μικρὸν δὲ αὐτοῦ προελθόντος ὤφθησαν ὑπὲρ κεράμου μαχόμενοι κόρακες ἐν ἀριστερᾷ· καὶ πολλῶν, ὡς εἰκὸς, ἀνθρώπων παρερχομένων κατ' αὐτὸν τὸν Τιβέριον λίθος ἀπωσθεὶς ὑπὸ θατέρου τῶν κοράκων ἔπεσε παρὰ τὸν πόδα. Τοῦτο καὶ τοὺς θρασυτάτους τῶν περὶ αὐτὸν ἐπέστησεν· ἀλλὰ Βλόσσιος ὁ Κυμαῖος παρὼν αἰσχύνην ἔφη καὶ κατήφειαν παρεῖναι πολλὴν, εἰ Τιβέριος, Γράγχου μὲν υἱὸς, Ἀφρικανοῦ δὲ Σκηπίωνος θυγατριδοῦς, προστάτης δὲ τοῦ Ῥωμαίων δήμου, κόρακα δείσας οὐχ ὑπακούσειε τοῖς πολίταις καλοῦσι· τοῦτο μέντοι τὸ αἰσχρὸν οὐκ ἐν γέλωτι θήσεσθαι τοὺς ἐχθροὺς, ἀλλ' ὡς τυραννοῦντος καὶ τρυφῶντος ἤδη καταβοήσεσθαι πρὸς τὸν δῆμον. Ἅμα δὲ καὶ προσέθεον πολλοὶ τῷ Τιβερίῳ παρὰ τῶν ἐν Καπετωλίῳ φίλων ἐπείγεσθαι κελεύ-

5, 223—24 H.

XVII. 2. προέβαλλε S^g: προέβαλε v. 3. προῆλθον C. 4. αὐτὴ S^{g}AB: αὖτη v. δὲ pr. S^{g}Gia et v: γε corr S^g et ceteri praeter P qui om. 8. εὐπρεπῶς ABCB^e. 10. ἐξεγλύψαντο] cf. Barkerus ann. in Etymol. m. ad 311, 52 p. 1095. 11. προῆει S^g[ABC]TSV: προσῆει v. 16. κεράμου] cf. C. Gracch. 3 mor. 234 e. 264 d. 20. ἀπέστησεν ABCV. 21. Βλόσσιος Xylander x cl. c. 20: βλάστος libri. 22. παρεῖναι] num εἶναι? vel ἄρ' εἶναι.

οντες, ὡς τῶν ἐκεῖ καλῶς ἐχόντων. Καὶ τά γε πρῶτα λαμπρῶς ἀπήντα τῷ Τιβερίῳ, φανέντι μὲν εὐθὺς ἀραμένων βοὴν φίλιον, ἀναβαίνοντα δὲ προθύμως δεχομένων καὶ περὶ αὐτόν, ὡς μηδεὶς πελάσειεν ἀγνῶς, ταττομένων.

XVIII. Ἀρξαμένου δὲ πάλιν τοῦ Μουκίου τὰς φυλὰς ἀναγορεύειν οὐδὲν ἐπεραίνετο τῶν εἰωθότων διὰ τὸν ἀπὸ 833
τῶν ἐσχάτων θόρυβον ὠθουμένων καὶ ὠθούντων τοὺς ἐναντίους εἰσβιαζομένους καὶ ἀναμιγνυμένους. Ἐν δὲ τούτῳ Φλάβιος Φλάκκος ἀπὸ βουλῆς ἀνὴρ εἰς ἐμφανὲς καταστὰς, ὡς οὐκ ἦν φθεγγόμενον ἐφικέσθαι, διεσήμηνε τῇ χειρὶ φράσαι τι βουλόμενον αὐτὸν ἰδίᾳ τῷ Τιβερίῳ. Καὶ κελεύσαντος ἐκείνου διασχεῖν τὸ πλῆθος ἀναβὰς μόλις καὶ προσελθὼν ἀπήγγειλεν, ὅτι τῆς βουλῆς συγκαθεζομένης οἱ πλούσιοι τὸν ὕπατον μὴ πείθοντες αὐτοὶ διανοοῦνται καθ' αὑτοὺς ἀποκτιννύναι τὸν Τιβέριον πολλοὺς ἐπὶ τοῦτο δούλους καὶ φίλους ὡπλισμένους ἔχοντες.

XIX. Ὡς οὖν ταῦτα τοῖς περὶ αὐτὸν ἐξήγγειλεν ὁ Τιβέριος, οὗτοι μὲν εὐθὺς τάς τε τηβέννους περιεζώννυντο καὶ τὰ τῶν ὑπηρετῶν δόρατα συγκλῶντες, οἷς ἀνείργουσι τὸν ὄχλον, διελάμβανον ὡς ἀμυνούμενοι τοῖς κλάσμασι τοὺς ἐπερχομένους. Τῶν δὲ ἀπωτέρω θαυμαζόντων τὰ γινόμενα καὶ πυνθανομένων ὁ Τιβέριος ἥψατο τῇ χειρὶ τῆς κεφαλῆς ἐνδεικνύμενος τῇ ὄψει τὸν κίνδυνον, ἐπεὶ τῆς φωνῆς οὐκ ἐπήκουον. Οἱ δὲ ἐναντίοι τοῦτο ἰδόντες ἔθεον πρὸς τὴν βουλὴν ἀπαγγέλλοντες αἰτεῖν διάδημα τὸν Τιβέριον· καὶ τοῦτο σημεῖον εἶναι τὸ τῆς κεφαλῆς ἐπιθιγγάνειν. Πάντες μὲν οὖν ἐθορυβήθησαν· ὁ δὲ Νασικᾶς ἠξίου τὸν ὕπατον τῇ πόλει βοηθεῖν καὶ καταλύειν τὸν τύραννον. Ἀποκριναμένου δὲ πρᾴως ἐκείνου βίας μὲν οὐδεμιᾶς ὑπάρξειν οὐδὲ ἀναιρήσειν 5, 224—25 H.

---

32. *ταττομένων* Coraes: *πραττομένων* libri, *παρατταττομένων* Reiskius, cf. 19, 27.

XVIII. 1. *Μουκίου*] *φωκίωνος* C. 3. *δὲ* post *ὠθουμένων* addunt ABC quod correxerim *τε*. 4. *διαναμιγνυμένους* P. 5. *Φλάβιος*] *Φούλβιος* Xylander x. *φάκκος* pr. AB. *εἰς*] *ὡς* B^{e}. 6. *ἀφικέσθαι* G. 7. *βουλόμενος* PGi. 8. *προελθὼν* P. 11. *τοῦτο* S^{s}PAB: *τούτῳ* v.

XIX. 8. *ἐπήκοον* C. 10. *τούτου* Solanus. 11. *ἐθορύβησαν* PGV.

οὐδένα τῶν πολιτῶν ἄκριτον, εἰ μέντοι ψηφίσαιτό τι τῶν παρανόμων ὁ δῆμος ὑπὸ τοῦ Τιβερίου πεισθεὶς ἢ βιασθείς, τοῦτο κύριον μὴ φυλάξειν, ἀναπηδήσας ὁ Νασικᾶς „Ἐπεὶ τοίνυν“ ἔφη „προδίδωσιν ὁ ἄρχων την πόλιν, οἱ βουλόμενοι τοῖς νόμοις βοηθεῖν ἀκολουθεῖτε.“ Καὶ ταῦτα λέγων ἅμα καὶ τὸ κράσπεδον τοῦ ἱματίου θέμενος ἐπὶ τῆς κεφαλῆς ἐχώρει πρὸς τὸ Καπετώλιον. Ἕκαστος δὲ τῶν ἑπομένων αὐτῷ τῇ χειρὶ τὴν τήβεννον περιελίξας ἐώθει τοὺς ἐμποδὼν, οὐδενὸς ἐνισταμένου πρὸς τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἀλλὰ φευγόντων καὶ πατούντων ἀλλήλους. Οἱ μὲν οὖν περὶ αὐτοὺς ῥόπαλα καὶ σκυτάλας ἐκόμιζον οἴκοθεν· αὐτοὶ δὲ τῶν δίφρων καταγνυμένων ὑπὸ τοῦ φεύγοντος ὄχλου τὰ κλάσματα καὶ τοὺς πόδας λαμβάνοντες ἀνέβαινον ἐπὶ τὸν Τιβέριον ἅμα παίοντες τοὺς προτεταγμένους. Καὶ τούτων μὲν ἦν τροπὴ καὶ φόνος· αὐτοῦ δὲ τοῦ Τιβερίου φεύγοντος ἀντελάβετό τις τῶν ἱματίων. Ὁ δὲ τὴν τήβεννον ἀφεὶς καὶ φεύγων ἐν τοῖς χιτῶσιν ἐσφάλη καὶ κατηνέχθη περί τινας τῶν πρὸ αὐτοῦ πεπτωκότας. Ἀνιστάμενον δὲ αὐτὸν ὁ μὲν ἐμφανῶς καὶ πρῶτος εἰς τὴν κεφαλὴν πατάξας ποδὶ δίφρου Πόπλιος ἦν Σατυρήϊος εἷς τῶν συναρχόντων· τῆς δὲ δευτέρας ἀντεποιεῖτο πληγῆς Λεύκιος Ῥοῦφος, ὡς ἐπὶ καλῷ τινι σεμνυνόμενος. Τῶν δὲ ἄλλων ἀπέθανον ὑπὲρ τριακοσίους ξύλοις καὶ λίθοις συγκοπέντες, σιδήρῳ δὲ οὐδείς.

XX. Ταύτην πρώτην ἱστοροῦσιν ἐν Ῥώμῃ στάσιν, ἀφ' οὗ τὸ βασιλεύεσθαι κατέλυσαν, αἵματι καὶ φόνῳ πολιτῶν διακριθῆναι· τὰς δὲ ἄλλας οὔτε μικρὰς οὔτε περὶ μικρῶν γενομένας ἀνθυπείκοντες ἀλλήλοις, φόβῳ μὲν οἱ δυνατοὶ τῶν πολλῶν, αἰδούμενοι δὲ τὴν βουλὴν ὁ δῆμος, ἔπαυον. Ἐδόκει δὲ καὶ τότε μὴ χαλεπῶς ἂν ἐνδοῦναι παρηγορηθεὶς ὁ Τιβέριος, ἔτι δὲ ῥᾷον εἶξαι δίχα φόνου καὶ τραυμάτων ἐπιοῦσιν· οὐ γὰρ πλείονες ἢ τρισχίλιοι περὶ αὐτὸν ἦσαν. Ἀλλ' ἔοικεν ὀργῇ τῶν πλουσίων καὶ μίσει πλέον ἢ δι' ἃς ἐσκήπτοντο προφάσεις ἡ σύστασις ἐπ' αὐτὸν γενέσθαι· καὶ τούτου μέγα

5, 225—26 H.

---

14. μέντοι $S^{g}B^{e}\eta$[PAB]: μέν τι v. 20. Καπιτώλιον Stephaniana. 21. ἐώθει $S^{g}ABCB^{e}T\pi V$: ὤθει v. 32. εἰς] ἐπὶ ABCV. 33. σατυρήϊος S^{g}: Σατουρήϊος v.

XX. 5. δοκεῖ Reiskius. 7. εἶξαι S^{g}: εἶξε v. φόβου V.

τεκμήριον ὠμῶς καὶ παρανόμως ὑβρισθεὶς ὁ νεκρός. Οὐ γὰρ 83
ἐπέτρεψαν ἀνελέσθαι τὸ σῶμα τῷ ἀδελφῷ δεομένῳ καὶ θάψαι νυκτὸς, ἀλλὰ μετὰ τῶν ἄλλων νεκρῶν εἰς τὸν ποταμὸν ἔῤῥιψαν. Καὶ τοῦτο πέρας οὐκ ἦν, ἀλλὰ καὶ τῶν φίλων αὐτοῦ τοὺς μὲν ἐξεκήρυττον ἀκρίτους, τοὺς δὲ συλλαμβάνοντες ἀπεκτίννυσαν· ἐν οἷς καὶ Διοφάνης ὁ ῥήτωρ ἀπώλετο. Γάϊον δέ τινα Βίλλιον εἰς ἀγγεῖον καθείρξαντες καὶ συνεμβαλόντες ἐχίδνας καὶ δράκοντας οὕτω διέφθειραν. Ὁ δὲ Κυμαῖος Βλόσσιος ἀνήχθη μὲν ἐπὶ τοὺς ὑπάτους, ἐρωτώμενος δὲ περὶ τῶν γεγονότων ὡμολόγει πεποιηκέναι πάντα Τιβερίου κελεύοντος. Εἰπόντος δὲ τοῦ Νασικᾶ πρὸς αὐτόν „Τί οὖν, εἴ σε Τιβέριος ἐκέλευσεν ἐμπρῆσαι τὸ Καπετώλιον;“ τὸ μὲν πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο Τιβερίου κελεύσαντος· πολλάκις δὲ καὶ πολλῶν τὸ αὐτὸ πυνθανομένων „Ἀλλ᾽ ἐκείνου γε προστάσσοντος“ ἔφη „κἀμοὶ τοῦτο πρᾶξαι καλῶς εἶχεν· οὐ γὰρ ἂν Τιβέριος τοῦτο προσέταξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν.“ Οὗτος μὲν οὖν διαφυγὼν ὕστερον ᾤχετο πρὸς Ἀριστόνικον εἰς Ἀσίαν καὶ τῶν ἐκείνου πραγμάτων διαφθαρέντων ἑαυτὸν ἀνεῖλεν.

XXI. Ἡ δὲ βουλὴ θεραπεύουσα τὸν δῆμον ἐκ τῶν παρόντων οὔτε πρὸς τὴν διανομὴν ἔτι τῆς χώρας ἠναντιοῦτο καὶ ἀντὶ τοῦ Τιβερίου προὔθηκε τοῖς πολλοῖς ὁριστὴν ἑλέσθαι. Λαβόντες δὲ τὰς ψήφους εἵλοντο Πόπλιον Κράσσον, οἰκεῖον ὄντα Γράγχῳ· θυγάτηρ γὰρ αὐτοῦ Λικιννία Γαΐῳ Γράγχῳ συνῴκει. Καίτοι Νέπως ὁ Κορνήλιος φησὶν οὐ Κράσσου, Βρούτου δὲ τοῦ θριαμβεύσαντος ἀπὸ Λυσιτανῶν θυγατέρα γῆμαι Γάϊον· ἀλλὰ οἱ πλείους ὡς ἡμεῖς γράφομεν ἱστοροῦσιν. Ἐπεὶ δὲ χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τοῦ Τιβερίου καὶ φανερὸς ἦν ἀμύνης περιμένων καιρὸν, ἤδη δὲ καὶ δίκαι τῷ Νασικᾷ προανεσείοντο, δείσασα περὶ τοῦ ἀνδρὸς ἡ βουλὴ

5, 226—28 H.

13. *νεκρὸν* A. 19. *βλόσσους* ABCGia. 22. *ἐκέλευεν* Bryanea. 23. *τοῦ τιβερίου τοῦτο* C. *κελεύσοντος* ut videtur P. 25. *γε* om C. *κἀμοὶ τοῦτο πρᾶξαι καλῶς* S^{g}PABCG: *καλῶς κἀμοὶ τοῦτο πρᾶξαι* v. 26. *ἔχειν* libri, corrigebat Stephanus x.

XXI. 2. *καὶ ἀντὶ* S^{g}: *καὶ τοῦτον ἀντὶ* C, *καὶ τίτον ἀντὶ* ceteri et v, *καὶ ἕτερον ἀντὶ* x. 4. *δὲ* om C. 5. *γὰρ* om PC. *λικινία* B. 7. *λουσιτανῶν* ABCG. 8. *πλείονες* ABB^{e}. *ἱστορήκασιν* ABCV. 10. *φανερῶς* C. 11. *προανεσείοντο* Corais C: *προσανεσείοντο* v.

ψηφίζεται μηδὲν δεομένη πέμπειν αὐτὸν εἰς Ἀσίαν. Οὐ γὰρ ἀπεκρύπτοντο κατὰ τὰς ἀπαντήσεις οἱ ἄνθρωποι τὴν δυσμένειαν, ἀλλ' ἐξηγριαίνοντο καὶ κατεβόων, ὅπου προστύχοιεν, ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα φόνῳ σώματος ἀσύλου καὶ ἱεροῦ τὸ ἁγιώτατον καὶ φρικωδέστατον ἐν τῇ πόλει τῶν ἱερῶν ἀποκαλοῦντες. Οὕτω μὲν ὑπεξῆλθε τῆς Ἰταλίας ὁ Νασικᾶς, καίπερ ἐνδεδεμένος ταῖς μεγίσταις ἱερουργίαις· ἦν γὰρ ὁ μέγιστος καὶ πρῶτος τῶν ἱερέων. Ἔξω δὲ ἀλύων καὶ πλανώμενος ἀδόξως οὐ μετὰ πολὺν χρόνον κατέστρεψε περὶ Πέργαμον. Οὐ δεῖ δὲ θαυμάζειν, εἰ Νασικᾶν μεμίσηκεν οὕτως ὁ δῆμος, ὅπου καὶ Σκηπίων ὁ Ἀφρικανὸς, οὗ δοκοῦσι Ῥωμαῖοι μηδένα δικαιότερον μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας, ὅτι πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν τελευτὴν τοῦ Τιβερίου πυθόμενος ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν·

Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ τις τοιαῦτά γε ῥέζοι,

ἔπειτα τῶν περὶ Γάϊον καὶ Φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων, τί φρονοίη περὶ τῆς Τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. Ἐκ τούτου γὰρ ὁ μὲν δῆμος ἀντέκρουσεν αὐτῷ λέγοντι, μηδέπω τουτὶ ποιήσας πρότερον, αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. Περὶ μὲν τούτων ἐν τῷ Σκηπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

5, 228—29 H.

---

15. μεμιακότα C. 17. μὲν οὖν [AB]B^{e}TπV. 18. ἐνδεδεμένος [PABC]B^{e}TS$_{\eta}$V: ἐνδεδυμένος v. 20. ἀδόξως S^{g}ABCT cod. Stephani (‚invenitur scriptum et ἀδόξως') V: ἄλλως v. 25. μὲν om B^{e}. 26. Odyss. 1, 47. 27. libri ὅστις (ὅς C), correxit Stephanus. ἀπόλλοιτο ia. 28. φούλιον S^{g}PABC. 30. τοῖς — πεπολιτευμένοις om Bπ. 32. τοῦτο Coraes. 33. μὲν S^{g}: μὲν οὖν v.

[Γ. ΓΡΑΓΧΟΣ.]

I. Γάϊος δὲ Γράγχος ἐν ἀρχῇ μὲν ἢ δεδιὼς τοὺς ἐχθροὺς ἢ φθόνον συνάγων ἐπ' αὐτοὺς ὑπεξέστη τε τῆς ἀγορᾶς καὶ καθ' ἑαυτὸν ἡσυχίαν ἔχων διέτριβεν, ὡς ἄν τις ἔν τε τῷ παρόντι ταπεινὰ πράττων καὶ τὸ λοιπὸν οὕτως ἀπραγμόνως βιωσόμενος, ὥστε καὶ λόγον τισὶ καθ' αὐτοῦ παρασχεῖν, 835
ὡς δυσχεραίνοντος καὶ προβεβλημένου τὴν τοῦ Τιβερίου πολιτείαν. Ἦν δὲ καὶ μειράκιον παντάπασιν· ἐννέα γὰρ ἐνιαυτοῖς ἐλείπετο τἀδελφοῦ καθ' ἡλικίαν, ἐκεῖνος δὲ οὔπω τριάκοντα γεγονὼς ἀπέθανεν. Ἐπεὶ δὲ προϊόντος τοῦ χρόνου τόν τε τρόπον ἡσυχῇ διέφαινεν ἀργίας καὶ μαλακίας καὶ πότων καὶ χρηματισμῶν ἀλλότριον ὄντα καὶ τὸν λόγον ὥσπερ ὠκύπτερα κατασκευαζόμενος ἐπὶ τὴν πολιτείαν δῆλος ἦν οὐκ ἠρεμήσων, δίκην τε τινὶ τῶν φίλων φεύγοντι Βεττίῳ συνειπών, τοῦ δήμου συνενθουσιῶντος ὑφ' ἡδονῆς καὶ βακχεύοντος περὶ αὐτὸν, ἀπέδειξε τοὺς ἄλλους ῥήτορας παιδων μηδὲν διαφέροντας, εἰς φόβον αὖθις οἱ δυνατοὶ καθίσταντο καὶ πολὺς ἦν ἐν αὐτοῖς λόγος, ὡς οὐκ ἐάσουσιν ἐπὶ δημαρχίαν τὸν Γάϊον προελθεῖν. Συντυγχάνει δὲ ἀπὸ ταὐτομάτου λαχεῖν αὐτὸν εἰς Σαρδὼ ταμίαν Ὀρέστῃ τῷ ὑπάτῳ· καὶ τοῦτο τοῖς μὲν ἐχθροῖς καθ' ἡδονὴν ἐγεγό-

5, 229–30 H.

[Γ. ΓΡΑΓΧΟΣ] om libri.

I. 4. τὰ ταπεινὰ P. 5. καθ' αὐτοῦ Schaeferus: κατ' αὐτοῦ v. 13. φεύγοντι τῶν φίλων P. 14. βρεττίῳ C. καὶ post συνειπὼν addit a et v. 15. βάκχου ὄντος S^gPCGπSηRTV. 17. ὡς οὐκ ἐάσουσιν S^g: ὅπως οὐκ ἐάσουσιν ABC, ὅπως οὐκ ἐάσωσιν v. 19. αὐτὸν Haasii C: αὐτῷ v.

νει, τὸν δὲ Γάϊον οὐκ ἐλύπησεν. Ἅτε γὰρ ὢν πολεμικὸς καὶ χεῖρον οὐδὲν πρὸς στρατείας ἠσκημένος ἢ δίκας, ἔτι δὲ τὴν πολιτείαν καὶ τὸ βῆμα φρίττων, ἀντέχειν δὲ καλοῦντι τῷ δήμῳ καὶ τοῖς φίλοις οὐ δυνάμενος, παντάπασι τὴν ἀποδημίαν ἐκείνην ἠγάπησε. Καίτοι κρατεῖ δόξα πολλὴ τοῦτον ἄκρατον γενέσθαι δημαγωγὸν καὶ πολὺ τοῦ Τιβερίου λαμπρότερον πρὸς τὴν ἀπὸ τῶν ὄχλων δόξαν. Οὐκ ἔχει δὲ οὕτω τὸ ἀληθές· ἀλλ' ἔοικεν ὑπ' ἀνάγκης τινὸς μᾶλλον οὗτος ἢ προαιρέσεως ἐμπεσεῖν εἰς τὴν πολιτείαν. Ἱστορεῖ δὲ καὶ Κικέρων ὁ ῥήτωρ, ὡς ἄρα φεύγοντι πᾶσαν ἀρχὴν τῷ Γαΐῳ καὶ μεθ' ἡσυχίας ἠρημένῳ ζῆν ὁ ἀδελφὸς ὄναρ φανεὶς καὶ προσαγορεύσας „Τί δῆτα" φαίη „Γάϊε, βραδύνεις; Οὐκ ἔστιν ἀπόδρασις, ἀλλ' εἷς μὲν ἡμῖν ἀμφοτέροις βίος, εἷς δὲ θάνατος ὑπὲρ τοῦ δήμου πολιτευομένοις πέπρωται."

II. Γενόμενος οὖν ὁ Γάϊος ἐν Σαρδόνι πᾶσαν ἀρετῆς ἀπόδειξιν ἐδίδου καὶ πολὺ πάντων διέφερε τῶν νέων ἐν τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσι καὶ ἐν τοῖς πρὸς τοὺς ὑπηκόους δικαίοις καὶ ἐν τῇ πρὸς τὸν στρατηγὸν εὐνοίᾳ καὶ τιμῇ, σωφροσύνῃ δὲ καὶ λιτότητι καὶ φιλοπονίᾳ παρήλλαττε καὶ τοὺς πρεσβυτέρους. Ἰσχυροῦ δὲ καὶ νοσώδους ἅμα χειμῶνος ἐν Σαρδόνι γενομένου καὶ τοῦ στρατηγοῦ τὰς πόλεις ἐσθῆτα τοῖς στρατιώταις αἰτοῦντος, ἔπεμψαν εἰς Ῥώμην παραιτούμενοι. Δεξαμένης δὲ τῆς βουλῆς τὴν παραίτησιν αὐτῶν καὶ τὸν στρατηγὸν ἄλλοθεν ἀμφιέζειν τοὺς στρατιώτας κελευούσης, ἀποροῦντος δὲ ἐκείνου καὶ τῶν στρατιωτῶν κακοπαθούντων, ἐπελθὼν τὰς πόλεις ὁ Γάϊος αὐτοὺς ἀφ' ἑαυτῶν ἐποίησεν ἐσθῆτα πέμψαι καὶ βοηθῆσαι τοῖς Ῥωμαίοις. Ταῦτα πάλιν εἰς Ῥώμην ἀπαγγελλόμενα καὶ δοκοῦντα δημαγωγίας προάγωνες εἶναι διετάραττε τὴν βουλήν. Καὶ πρῶτον μὲν ἐκ Λιβύης παρὰ Μικίψᾳ τοῦ βασιλέως πρέσβεις παραγενομένους καὶ λέγοντας, ὡς ὁ βασιλεὺς χάριτι Γαΐου Γράγχου

5, 230—31 H.

28. τἀληθὲς C. 30. *Κικέρων*] de divinat. 1, 26. 33. ἡμῖν om AB. 34. πεπολιτευμένοις ABCB^{e}.

II. 1. οὖν S^{g}PABCGB^{e}: γοῦν v. σαρδῶνι constanter C, ὁ solo hoc loco ia, σαρδῶνι G. 4. καὶ post δικαίοις om AB. 7. ἐσθῆτας C. 10. ἀμφιάζειν C, ἐμφιέζειν a, ἀμφιέσαι Schaeferus Emperius. 15. προαγῶνες G. 16. μικίψα ABC. 17. Γαΐου om AB.

πέμψειεν εἰς Σαρδόνα σῖτον τῷ στρατηγῷ, δυσχεραίνοντες ἐξέβαλον· ἔπειτα δόγμα ποιοῦνται τοῖς μὲν στρατιώταις διαδοχὴν ἀποσταλῆναι, τὸν δὲ Ὀρέστην ἐπιμένειν, ὡς δὴ καὶ τοῦ Γαΐου διὰ τὴν ἀρχὴν παραμενοῦντος. Ὁ δὲ, τούτων αὐτῷ προσπεσόντων, εὐθὺς ἐξέπλευσε πρὸς ὀργήν, καὶ φανεὶς ἐν Ῥώμῃ παρ' ἐλπίδας οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς πολλοῖς ἀλλόκοτον ἐδόκει τὸ ταμίαν ὄντα προαποστῆναι τοῦ ἄρχοντος. Οὐ μὴν ἀλλὰ κατηγορίας αὐτῷ γενομένης ἐπὶ τῶν τιμητῶν, αἰτησάμενος λόγον οὕτω μετέστησε τὰς γνώμας τῶν ἀκουσάντων, ὡς ἀπελθεῖν ἠδικῆσθαι τὰ μέγιστα δόξας. Ἐστρατεῦσθαι μὲν γὰρ ἔφη δώδεκα ἔτη, τῶν ἄλλων δέκα στρατευομένων ἐν ἀνάγκαις, ταμιεύων δὲ 836
τῷ στρατηγῷ παραμεμενηκέναι τριετίαν, τοῦ νόμου μετ' ἐνιαυτὸν ἐπανελθεῖν διδόντος· μόνος δὲ τῶν στρατευσαμένων πλῆρες τὸ βαλάντιον εἰσενηνοχὼς κενὸν ἐξενηνοχέναι, τοὺς δὲ ἄλλους ἐκπιόντας ὃν εἰσήνεγκαν οἶνον ἀργυρίου καὶ χρυσίου μεστοὺς δεῦρο τοὺς ἀμφορεῖς ἥκειν κομίζοντας.

III. Ἐκ τούτου πάλιν ἄλλας αἰτίας αὐτῷ καὶ δίκας ἐπῆγον ὡς τοὺς συμμάχους ἀφιστάντι καὶ κεκοινωνηκότι τῆς περὶ Φρέγελλαν ἐνδειχθείσης συνωμοσίας. Ὁ δὲ πᾶσαν ὑποψίαν ἀπολυσάμενος καὶ φανεὶς καθαρὸς εὐθὺς ἐπὶ δημαρχίαν ὥρμησε, τῶν μὲν γνωρίμων ἀνδρῶν ὁμαλῶς ἁπάντων ἐναντιουμένων πρὸς αὐτὸν, ὄχλου δὲ τοσούτου συρρέοντος εἰς τὴν πόλιν ἐκ τῆς Ἰταλίας καὶ συναρχαιρεσιάζοντος, ὡς πολλοῖς μὲν οἰκήσεις ἐπιλιπεῖν, τοῦ δὲ πεδίου μὴ δεξαμένου τὸ πλῆθος ἀπὸ τῶν τειχῶν καὶ τῶν κεράμων τὰς φωνὰς συνηχεῖν.

5, 231—32 H.

---

18. *πέμψει* ABCB^{e}. *τῷ στρατηγῷ σῖτον* ABC. 19. *δόγματα* ABC. 22. *αὐτὸν* pr. ATV, *αὐτῶν* corr ABπV. 27. *ὥςτ'* Reiskianae nuperi, cf. ad T. Gracch. 8. 29. *ἐξ ἀνάγκης* x nuperi. 30. *διετίαν* x nuperi. nempe ‚biennium enim fui in provincia' C. Gracchus apud Gellium N. A. 15, 12 quem locum indicaverat Xylander, qui etiam alio argumento probare studet verius esse *διετίαν*. sed quum periculum sit ne corrigamus scriptorem intactam relinquendam puto vulgatam, praesertim quum *διετία* nondum apud bonum scriptorem sit repertum. 32. *βαλάντιον* ABC: *βαλλάντιον* v. *εἰσενηνοχὼς κενὸν ἐξενηνοχέναι*] *εἰσενηνοχέναι* ceteris omissis Stephaniana.

III. 2. *ἀφιστῶντι* ABCB^{e}V. *κεκοινωκότι* P. 3. *φρεγέλλαν* AB, *φρεγγέλλαν* C.

Τοσοῦτον δ' οὖν ἐξεβιάσαντο τὸν δῆμον οἱ δυνατοὶ καὶ τῆς ἐλπίδος τοῦ Γαΐου καθεῖλον, ὅσον οὐχ, ὡς προσεδόκησε, πρῶτον, ἀλλὰ τέταρτον ἀναγορευθῆναι. Παραλαβὼν δὲ τὴν ἀρχὴν εὐθὺς ἦν ἁπάντων πρῶτος, ἰσχύων τε τῷ λέγειν, ὡς ἄλλος οὐδείς, καὶ τοῦ πάθους αὐτῷ παρρησίαν πολλὴν διδόντος ἀνακλαιομένῳ τὸν ἀδελφόν. Ἐνταῦθα γὰρ ἐξ ἁπάσης προφάσεως περιῆγε τὸν δῆμον ἀναμιμνήσκων τῶν γεγονότων καὶ παρατιθεὶς τὰ τῶν προγόνων, ὡς ἐκεῖνοι μὲν καὶ Φαλίσκοις ἐπολέμησαν ὑπὲρ Γενυκίου τινὸς δημάρχου λοιδορηθέντος καὶ Γαΐου Βετουρίου θάνατον κατέγνωσαν, ὅτι δημάρχῳ πορευομένῳ δι' ἀγορᾶς οὐχ ὑπεξέστη μόνος· „Ὑμῶν δὲ ὁρώντων" ἔφη „Τιβέριον ξύλοις συνέκοπτον οὗτοι καὶ διὰ μέσης τῆς πόλεως ἐσύρετο νεκρὸς ἐκ Καπετωλίου ῥιφησόμενος εἰς τὸν ποταμόν· οἱ δὲ ἁλισκόμενοι τῶν φίλων ἀπέθνησκον ἄκριτοι. Καίτοι πάτριόν ἐστιν ἡμῖν, εἴ τις ἔχων δίκην θανατικὴν μὴ ὑπακούει, τούτου πρὸς τὰς θύρας ἕωθεν ἐλθόντα σαλπιγκτὴν ἀνακαλεῖσθαι τῇ σάλπιγγι καὶ μὴ πρότερον ἐπιφέρειν ψῆφον αὐτῷ τοὺς δικαστάς. Οὕτως εὐλαβεῖς καὶ πεφυλαγμένοι περὶ τὰς κρίσεις ἦσαν."

IV. Τοιούτοις λόγοις προανασείσας τὸν δῆμον (ἦν δὲ καὶ μεγαλοφωνότατος καὶ ῥωμαλεώτατος ἐν τῷ λέγειν) δύο νόμους εἰσέφερε, τὸν μέν, εἴ τινος ἄρχοντος ἀφῃρῆτο τὴν ἀρχὴν ὁ δῆμος, οὐκ ἐῶντα τούτῳ δευτέρας ἀρχῆς μετουσίαν εἶναι· τὸν δέ, εἴ τις ἄρχων ἄκριτον ἐκκεκηρύχοι πολίτην, κατ' αὐτοῦ διδόντα κρίσιν τῷ δήμῳ. Τούτων τῶν νόμων ἄντικρυς ὁ μὲν Μάρκον Ὀκτάβιον ἠτίμου τὸν ὑπὸ Τιβερίου τῆς δημαρχίας ἐκπεσόντα, τῷ δ' ἐνείχετο Ποπίλλιος· οὗτος γὰρ στρατηγῶν τοὺς τοῦ Τιβερίου φίλους ἐξεκήρυξε. Καὶ Ποπίλλιος μὲν οὐχ ὑποστὰς τὴν κρίσιν ἔφυγεν ἐξ Ἰταλίας· τὸν δὲ ἕτερον νόμον Γάϊος αὐτὸς ἐπανείλετο φήσας τῇ μητρὶ

5, 232—33 H.

---

14. παρρησίαν om pr. ABC. διδόντος πολλὴν P. 17. φαλίκοις ABC. 18. γυνακίου corr S^g, γυναικίου ABC, γαρυκίου P. 19. βετουρίου S^gABC: βεττουρίου B^e, βετουρίου P, βουττερίου G, Βουττουρίου v. 26. σαλπίκτην A.

IV. 3. ἀφήρητο libri. 5. ἐκκεκηρύχει C. 6. κατ' αὐτοῦ S^g: κατὰ τούτου v. κρίσιν διδόντα S^g: διδόντα κρίσιν v. κρίσιν] γρ. δίκην marg. P, δίκην ABCB^eV. 9. τοῦ addidit S^g.

Κορνηλίᾳ δεηθείσῃ χαρίζεσθαι τὸν Ὀκτάβιον. Καὶ ὁ δῆμος ἡγάσθη καὶ συνεχώρησε τιμῶν τὴν Κορνηλίαν οὐδὲν ἧττον ἀπὸ τῶν παίδων ἢ τοῦ πατρός, ἧς γε καὶ χαλκῆν εἰκόνα στήσας ὕστερον ἐπέγραψε Κορνηλίαν μητέρα Γράγχων. Ἀπομνημονεύεται δὲ καὶ τοῦ Γαΐου πολλὰ ῥητορικῶς καὶ ἀγοραίως ὑπὲρ αὐτῆς εἰρημένα πρός τινα τῶν ἐχθρῶν· „Σὺ γὰρ“ ἔφη „Κορνηλίαν λοιδορεῖς τὴν Τιβέριον τεκοῦσαν;“ Ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς μαλακίαν ὁ λοιδορηθείς· „Τίνα δὲ“ εἶπεν „ἔχων παῤῥησίαν συγκρίνεις Κορνηλίᾳ σεαυτόν; Ἔτεκες γὰρ, ὡς ἐκείνη; Καὶ μὴν πάντες ἴσασι Ῥωμαῖοι πλείω χρόνον ἐκείνην ἀπ᾽ ἀνδρὸς οὖσαν ἢ σὲ τὸν ἄνδρα.“ Τοιαύτη μὲν ἡ πικρία τῶν λόγων ἦν αὐτοῦ, καὶ πολλὰ λαβεῖν ἐκ τῶν γεγραμμένων ἐστὶν ὅμοια.

V. Τῶν δὲ νόμων, οὓς εἰσέφερε τῷ δήμῳ χαριζόμενος 837
καὶ καταλύων τὴν σύγκλητον, ὁ μὲν ἦν κληρουχικὸς ἅμα νέμων τοῖς πένησι τὴν δημοσίαν, ὁ δὲ στρατιωτικὸς ἐσθῆτά τε κελεύων δημοσίᾳ χορηγεῖσθαι καὶ μηδὲν εἰς τοῦτο τῆς μισθοφορᾶς ὑφαιρεῖσθαι τῶν στρατευομένων καὶ νεώτερον ἐτῶν ἑπτακαίδεκα μὴ καταλέγεσθαι στρατιώτην· ὁ δὲ συμμαχικὸς ἰσοψήφους ποιῶν τοῖς πολίταις τοὺς Ἰταλιώτας, ὁ δὲ σιτικὸς ἐπευωνίζων τοῖς πένησι τὴν ἀγοράν, ὁ δὲ δικαστικὸς, ᾧ τὸ πλεῖστον ἀπέκοψε τῆς τῶν συγκλητικῶν δυνάμεως. Μόνοι γὰρ ἔκριναν τὰς δίκας καὶ διὰ τοῦτο φοβεροὶ τῷ τε δήμῳ καὶ τοῖς ἱππεῦσιν ἦσαν, ὁ δὲ τριακοσίους τῶν ἱππέων προσκατέλεξεν αὐτοῖς οὖσι τριακοσίοις καὶ τὰς κρίσεις κοινὰς τῶν ἑξακοσίων ἐποίησε. Τοῦτον τὸν νόμον εἰσφέρων τά τε ἄλλα λέγεται σπουδάσαι διαφερόντως, καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτος τότε στραφεὶς ἔξω πρὸς τὴν

5, 233–35 H.

14. καὶ ante χαλκῆν addiderunt ABCB^{e}TπV. 17. πρός τινα om P. 19. ὁ λοιδορηθεὶς εἰς μαλακίαν ABC. 20. κορνηλίᾳ σεαυτὸν S^{g}PABB^{e}RTV: κορνηλίαν σεαυτῷ G, Κορνηλίαν σεαυτῷ v.

V. 2. ἅμα νέμων] ἀνανέμων Solani nuperi. 3. κελεύων δημοσίαν S^{g}. 4. μισθοφόρας P, μισθοφορίας A. 5. ἐτῶν ἑπτακαίδεκα S^{g}PABCG: ἑπτὰ ἐτῶν καὶ δέκα v. 9. ἐξέκοψε ABCB^{e}. 10. ἔκρινον Stephanianae ceteri. τε addiderunt S^{g}PABCSTπη. 15. πρὸς] εἰς πρὸς i, εἰς G. 16. πρῶτος S^{g}PABC: πρῶτον v.

ἀγορὰν δημηγορῆσαι, καὶ τὸ λοιπὸν οὕτω ποιεῖν ἐξ ἐκείνου, μικρᾷ παρεγκλίσει καὶ μεταθέσει σχήματος μέγα πρᾶγμα κινήσας καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριστοκρατίας εἰς τὴν δημοκρατίαν, ὡς τῶν πολλῶν δέον, οὐ τῆς βουλῆς, στοχάζεσθαι τοὺς λέγοντας.

VI. Ἐπεὶ δὲ οὐ μόνον ἐδέξατο τὸν νόμον τοῦτον ὁ δῆμος, ἀλλὰ κἀκείνῳ τοὺς κρίνοντας ἐκ τῶν ἱππέων ἔδωκε καταλέξαι, μοναρχική τις ἰσχὺς ἐγεγόνει περὶ αὐτὸν, ὥστε καὶ τὴν σύγκλητον ἀνέχεσθαι συμβουλεύοντος αὐτοῦ. Συνεβούλευε δὲ ἀεί τι τῶν ἐκείνῃ πρεπόντων εἰσηγούμενος· οἷον ἦν καὶ τὸ περὶ τοῦ σίτου δόγμα μετριώτατον καὶ κάλλιστον, ὃν ἔπεμψε μὲν ἐξ Ἰβηρίας Φάβιος ἀντιστράτηγος, ἐκεῖνος δ' ἔπεισε τὴν βουλὴν ἀποδομένην τὸν σῖτον ἀναπέμψαι ταῖς πόλεσι τὸ ἀργύριον καὶ προσεπαιτιάσασθαι τὸν Φάβιον ὡς ἐπαχθῆ καὶ ἀφόρητον ποιοῦντα τὴν ἀρχὴν τοῖς ἀνθρώποις· ἐφ' ᾧ μεγάλην ἔσχε δόξαν μετὰ εὐνοίας ἐν ταῖς ἐπαρχίαις. Ἔγραψε δὲ καὶ πόλεις ἀποικίδας ἐκπέμπεσθαι καὶ τὰς ὁδοὺς ποιεῖσθαι καὶ κατασκευάζεσθαι σιτοβόλια, τούτοις ἅπασι πραττομένοις αὐτὸν ἄρχοντα καὶ διοικητὴν ἐφιστὰς καὶ πρὸς οὐδὲν ἀποτρυόμενος τῶν τοσούτων καὶ τηλικούτων, ἀλλὰ καὶ θαυμαστῷ τινι τάχει καὶ πόνῳ τῶν γινομένων ὡς μόνον ἕκαστον ἐξεργαζόμενος, ὥστε καὶ τοὺς πάνυ μισοῦντας αὐτὸν καὶ δεδοικότας ἐκπλήττεσθαι τὸ διὰ πάντων ἀνύσιμον καὶ τελεσιουργόν. Οἱ δὲ πολλοὶ καὶ τὴν ὄψιν αὐτὴν ἐθαύμαζον ἐξηρτημένον ὁρῶντες αὐτοῦ πλῆθος ἐργολάβων, τεχνιτῶν, πρεσβευτῶν, ἀρχόντων, στρατιωτῶν, φιλολόγων, οἷς πᾶσιν ἐντυγχάνων μετὰ εὐκολίας καὶ τὸ σεμνὸν ἐν τῷ φιλανθρώπῳ διαφυλάττων καὶ νέμων αὐτοῦ τὸ ἁρμόττον οἰκείως ἑκάστῳ χαλεποὺς ἀπεδείκνυε συκοφάντας τοὺς φοβερὸν αὐτὸν ἢ φορτικὸν ὅλως ἢ βίαιον ἀποκαλοῦντας. Οὕτω δεινότερος ἦν ἐν ταῖς ὁμιλίαις καὶ ταῖς πράξεσιν ἢ τοῖς ἀπὸ τοῦ βήματος λόγοις δημαγωγός.

5, 235—36 H.

VI. 3. *περὶ*] πρὸς C. 4. *τὴν* om G. 5. *ἐκείνῃ προεισπόντων* B. 14. *παραττομένοις* P. *αὐτὸς* pr. A. *ὑφιστὰς* V. *μη* ead. m. *κρου* ead. m. 15. *οὐδὲν* S^g: *οὐδὲν* P, *μηδὲν* v. *ἀποτρυόμενος* S^g, *ἀποτρυνόμενος* B^e, *ἀποτρυχόμενος* C. 20. *τὸ πλῆθος* P. 23. *νέμον — ἁρμόττων* P. 24. *τοὺς συκοφάντας τοὺς* ABC. 26. *ἦν* post *ὁμιλίαις* ponunt ABC.

VII. Ἐσπούδασε δὲ μάλιστα περὶ τὴν ὁδοποιΐαν τῆς τε χρείας ἅμα καὶ τοῦ πρὸς χάριν καὶ κάλλος ἐπιμεληθείς. Εὐθεῖαι γὰρ ἤγοντο διὰ τῶν χωρίων ἀτεμεῖς· καὶ τὸ μὲν ἐστόρνυτο πέτρᾳ ξεστῇ, τὸ δὲ ἄμμου χώμασι νακτῆς ἐπυ-
5 κνοῦτο. Πιμπλαμένων δὲ τῶν κοίλων καὶ ζευγνυμένων γεφύραις, ὅσα χείμαρροι διέκοπτον ἢ φάραγγες, ὕψος τε τῶν ἑκατέρωθεν ἴσον καὶ παράλληλον λαμβανόντων, ὁμαλὴν καὶ καλὴν ὄψιν εἶχε δι' ὅλου τὸ ἔργον. Πρὸς δὲ τούτοις διαμε- 838
τρήσας κατὰ μίλιον ὁδὸν πᾶσαν (τὸ δὲ μίλιον ὀκτὼ σταδίων
10 ὀλίγον ἀποδεῖ) κίονας λιθίνους σημεῖα τοῦ μέτρου κατέστησεν. Ἄλλους δὲ λίθους ἔλαττον ἀπέχοντας ἀλλήλων ἑκατέρωθεν τῆς ὁδοῦ διέθηκεν, ὡς εἴη ῥᾴδίως τοῖς ἵπποις ἔχουσιν ἐπιβαίνειν ἀπ' αὐτῶν ἀναβολέως μὴ δεομένοις.

VIII. Ἐπὶ τούτοις τοῦ δήμου μεγαλύνοντος αὐτὸν καὶ πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντος ἐνδείκνυσθαι πρὸς εὔνοιαν, ἔφη ποτὲ δημηγορῶν αὐτὸς αἰτήσειν χάριν, ἣν λαβὼν μὲν ἀντὶ παντὸς ἕξειν, εἰ δὲ ἀποτύχοι, μηδὲν ἐκείνοις μεμψιμοιρήσειν.
5 Τοῦτο ῥηθὲν ἔδοξεν αἴτησις ὑπατείας εἶναι, καὶ προσδοκίαν πᾶσιν ὡς ἅμα μὲν ὑπατείαν, ἅμα δὲ δημαρχίαν μετιὼν παρέσχεν. Ἐνστάντων δὲ τῶν ὑπατικῶν ἀρχαιρεσίων καὶ μετεώρων ὄντων ἁπάντων ὤφθη Γάϊον Φάννιον κατάγων εἰς τὸ πεδίον καὶ συναρχαιρεσιάζων ἐκείνῳ μετὰ τῶν φίλων. Τοῦτο
10 ῥοπὴν ἤνεγκε τῷ Φαννίῳ μεγάλην. Κἀκεῖνος μὲν ὕπατος, Γάϊος δὲ δήμαρχος ἀπεδείχθη τὸ δεύτερον, οὐ παραγγέλλων οὐδὲ μετιών, ἀλλὰ τοῦ δήμου σπουδάσαντος. Ἐπεὶ δὲ ἑώρα τὴν μὲν σύγκλητον ἐχθρὰν ἄντικρυς, ἀμβλὺν δὲ τῇ πρὸς αὐτὸν εὐνοίᾳ τὸν Φάννιον, αὖθις ἑτέροις νόμοις ἀπήρτησε

5, 236—37 H.

VII. 1. κάλλιστα C. 3. ἀτρεμεῖς] ‚ἢγ. ἀφόβους π' margo Mureti V. 4. χώμασι νακτῆς Schaeferus: χώμασιν ἀκτῆς S^gPA BCB^{e}ηSV, χώμασι νακτοῖς G, χώμασιν ἀκτοῖς v. 5. πιπλαμένων A. 6. τε S^gPABCGTπ: δὲ v. 8. δι' ὅλου PA: διόλου v. 12. ἵπποις PB. 13. ἐπ' Gia et v. ἀναβολέως] ‚ἢγ. τοῦ ἀναβιβάζοντος' marg. Mureti V.

VIII. 1. μεγαλούντος ia. αὐτοῦ B. 2. ἔχων S^g. 7. ἀρχαιρεσίων Coraes: ἀρχαιρεσιῶν v. 8. πάντων pr. ABC. φάνιον ABC constanter, quo modo Tib. Gracch. 4. ‚pro κατάγων legitur etiam κατατάττων' Stephanus. sic marg. S^g. 14. ἀπήρτησε Stephanus: ἀπήρτηζε ia, ἀπήρτιζε S^gABCG, ἀπήρτιζεν P, ἀπηρτήσατο Reiskii nuperi, sed cf. Wyttenbachium in mor. 105 e.

τὸ πλῆθος, ἀποικίας μὲν εἰς Τάραντα καὶ Καπύην πέμπε- 15
σθαι γράφων, καλῶν δὲ ἐπὶ κοινωνίᾳ πολιτείας τοὺς Λατί-
νους. Ἡ δὲ βουλὴ δείσασα, μὴ παντάπασιν ἄμαχος γένηται,
καινὴν καὶ ἀσυνήθη πεῖραν ἐπῆγε τοῖς πολλοῖς ἀποτροπῆς
ἀντιδημαγωγοῦσα καὶ χαριζομένη παρὰ τὸ βέλτιστον. Ἦν
γὰρ εἷς τῶν τοῦ Γαΐου συναρχόντων Λίβιος Δροῦσος, ἀνὴρ 20
οὔτε γεγονὼς τινος Ῥωμαίων οὔτε τεθραμμένος χεῖρον, ἤθει
δὲ καὶ λόγῳ καὶ πλούτῳ τοῖς μάλιστα τιμωμένοις καὶ δυνα-
μένοις ἀπὸ τούτων ἐνάμιλλος. Ἐπὶ τοῦτον μὲν οὖν οἱ γνωρι-
μώτατοι τρέπονται καὶ παρεκάλουν αὐτὸν ἅψασθαι τοῦ
Γαΐου καὶ μετ' αὐτῶν ἐπὶ τὸν ἄνδρα συστῆναι μὴ βιαζόμενον 25
μηδὲ ἀντικρούοντα τοῖς πολλοῖς, ἀλλὰ πρὸς ἡδονὴν ἄρχοντα
καὶ χαριζόμενον ὑπὲρ ὧν καὶ ἀπεχθάνεσθαι καλῶς εἶχεν.

IX. Ἐπιδοὺς οὖν ὁ Λίβιος εἰς ταῦτα τῇ βουλῇ τὴν
ἑαυτοῦ δημαρχίαν νόμους ἔγραψεν οὔτε τῶν καλῶν τινος
οὔτε τῶν λυσιτελῶν ἐχομένους, ἀλλὰ ἓν μόνον, ὑπερβαλέσθαι
τὸν Γάϊον ἡδονῇ καὶ χάριτι τῶν πολλῶν, ὥσπερ ἐν κωμῳδίᾳ,
σπεύδων καὶ διαμιλλώμενος. Ὧι καὶ καταφανεστάτην ἐποί- 5
ησεν ἑαυτὴν ἡ σύγκλητος οὐ δυσχεραίνουσαν τοῖς τοῦ Γαΐου
πολιτεύμασιν, ἀλλὰ αὐτὸν ἐκεῖνον ἀνελεῖν ἢ ταπεινῶσαι
παντάπασι βουλομένην. Τὸν μὲν γὰρ ἀποικίας δύο γράψαντα
καὶ τοὺς χαριεστάτους τῶν πολιτῶν εἰσάγοντα δημοκοπεῖν
ἠτιῶντο, Λιβίῳ δὲ δώδεκα κατοικίζοντι καὶ τρισχιλίους εἰς 10
ἑκάστην ἀποστέλλοντι τῶν ἀπόρων συνελαμβάνοντο. Κἀ-
κείνῳ μέν, ὅτι χώραν διένειμε τοῖς πένησι προστάξας ἑκάστῳ
τελεῖν ἀποφορὰν εἰς τὸ δημόσιον, ὡς κολακεύοντι τοὺς πολ-
λοὺς ἀπηχθάνοντο, Λίβιος δὲ καὶ τὴν ἀποφορὰν ταύτην τῶν
νειμαμένων ἀφαιρῶν ἤρεσκεν αὐτοῖς. Ἔτι δὲ ὁ μὲν τοῖς Λα- 15
τίνοις ἰσοψηφίαν διδοὺς ἐλύπει, τοῦ δέ, ὅπως μηδὲ ἐπὶ στρα-
τείας ἐξῇ τινα Λατίνων ῥάβδοις αἰκίσασθαι, γράψαντος
5, 237—39 H.

---

16. πολιτεία P. 18. ἐπεῖγε ia. 19. βέλτιον C. 20. τοῦ om ABC. λιούϊος C, λούϊος AB. 21. ἤθει PABCGB^{e}ηTR Vx: ἤδη v. 22. libri ἐν τοῖς, corrigebat Stephanus. 23. ἐνάμιλλος] ,ἢγ. ἀνταγωνιστὴς' margo Mureti V.

IX. 1. λιούϊος C, λούϊος pr. AV, λίβιος λούϊος B et sic postea iidem, λύνιος πT. 6. ἑαυτὸν ia. δυσχεραίνουσα — 8 βουλομένη libri, corrigebat Stephanus. 9. πολλῶν ABCSηV 11. συνελαμβάνετο C. 16. μὴ ἐπὶ C.

ἐβοήθουν τῷ νόμῳ. Καὶ μέντοι καὶ αὐτὸς ὁ Λίβιος ἀεὶ δημηγορῶν ἔλεγεν, ὡς γράφοι ταῦτα τῇ βουλῇ δοκοῦντα κηδομένῃ τῶν πολλῶν· ὃ δὴ καὶ μόνον ἀπὸ τῶν πολιτευμάτων αὐτοῦ χρήσιμον ὑπῆρχεν. Ἡμερώτερον γὰρ ἔσχε πρὸς τὴν βουλὴν ὁ δῆμος· καὶ τοὺς γνωριμωτάτους αὐτοῦ πρότερον ὑφορωμένου καὶ μισοῦντος ἐξέλυσε καὶ κατεπράϋνε τὴν μνησικακίαν καὶ χαλεπότητα ταύτην ὁ Λίβιος, ὡς ἐκ τῆς ἐκείνων 839
ὁρμώμενος γνώμης ἐπὶ τὸ δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς πολλοῖς.

X. Μεγίστη δὲ τῷ Δρούσῳ πίστις εὐνοίας πρὸς τὸν δῆμον ἐγίνετο καὶ δικαιοσύνης τὸ μηδὲν αὑτῷ μηδ' ὑπὲρ ἑαυτοῦ φαίνεσθαι γράφοντα. Καὶ γὰρ οἰκιστὰς ἑτέρους ἐξέπεμπε τῶν πόλεων καὶ διοικήσεσι χρημάτων οὐ προσῄει, τοῦ Γαΐου τὰ πλεῖστα καὶ μέγιστα τῶν τοιούτων αὐτῷ προστιθέντος. Ἐπεὶ δέ, Ῥουβρίου τῶν συναρχόντων ἑνὸς οἰκίζεσθαι Καρχηδόνα γράψαντος ἀνῃρημένην ὑπὸ Σκηπίωνος, κλήρῳ λαχὼν ὁ Γαῖος ἐξέπλευσεν εἰς Λιβύην ἐπὶ τὸν κατοικισμόν, ἔτι μᾶλλον ἐπιβὰς ὁ Δροῦσος ἀπόντος αὐτοῦ τὸν δῆμον ὑπελάμβανε καὶ προσήγετο, μάλιστα ταῖς κατὰ τοῦ Φουλβίου διαβολαῖς. Ὁ δὲ Φούλβιος οὗτος ἦν τοῦ Γαΐου φίλος καὶ συνάρχων ἐπὶ τὴν διανομὴν τῆς χώρας ᾑρημένος· ἦν δὲ θορυβώδης καὶ μισούμενος μὲν ὑπὸ τῆς βουλῆς ἀντικρυς, ὕποπτος δὲ καὶ τοῖς ἄλλοις, ὡς τὰ συμμαχικὰ διακινῶν καὶ παροξύνων κρύφα τοὺς Ἰταλιώτας πρὸς ἀπόστασιν. Οἷς ἀναποδείκτως καὶ ἀνελέγκτως λεγομένοις αὐτὸς προσετίθει πίστιν ὁ Φούλβιος οὐχ ὑγιαινούσης οὐδὲ εἰρηνικῆς ὢν προαιρέσεως. Τοῦτο μάλιστα κατέλυε τὸν Γαΐου ἀπολαύοντα τοῦ μίσους. Καὶ ὅτε Σκηπίων ὁ Ἀφρικανὸς ἐξ οὐδενὸς αἰτίου προφανοῦς ἐτελεύτησε καὶ σημεῖά τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, τὸ μὲν πλεῖστον ἐπὶ τὸν Φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος τῷ Σκηπίωνι λελοιδορημένον, ἥψατο δὲ καὶ τοῦ Γαΐου ὑπό-

5, 239—40 H.

18. τὸν νόμον P. μέντοι] τοι C. 19. γράφοι S^gPABC: γράφει v. 25. ὁρμώμενον S^g.

X. 2. τῷ μηδὲν C. 10. κατὰ om P et Bryanea. 14. κινοῦν C. 19. ὁ addiderunt ABC. 24. Γαΐου ὑπόνοια hiant intolerabiliter. inserendumne τις? cf. Crass. 13, 11. Num. 2, 10. Alex. 10 s. fin.

νοια. Καὶ δεινὸν οὕτως ἔργον ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ Ῥωμαίων τολμηθὲν οὐκ ἔτυχε δίκης οὐδὲ εἰς ἔλεγχον προῆλθεν· ἐνέστησαν γὰρ οἱ πολλοὶ καὶ κατέλυσαν τὴν κρίσιν ὑπὲρ τοῦ Γαΐου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται. Ταῦτα μὲν οὖν ἐγεγόνει πρότερον.

XI. Ἐν δὲ τῇ Λιβύῃ περὶ τὸν τῆς Καρχηδόνος κατοικισμὸν, ἣν ὁ Γαΐος Ἰουνωνίαν, ὅπερ ἐστὶν Ἡραίαν, ὠνόμασε, πολλὰ κωλύματα γενέσθαι παρὰ τοῦ δαιμονίου λέγουσιν. Ἥ τε γὰρ πρώτη σημαία, πνεύματος ἀφαρπάζοντος αὐτὴν, τοῦ δὲ φέροντος ἐγκρατῶς ἀντεχομένου, συνετρίβη, καὶ τὰ ἱερὰ τοῖς βωμοῖς ἐπικείμενα διεσκέδασεν ἀνέμου θύελλα καὶ διέῤῥιψεν ὑπὲρ τοὺς ὅρους τῆς γεγενημένης ὑπογραφῆς, αὐτοὺς δὲ τοὺς ὅρους ἀνέσπασαν ἐπελθόντες λύκοι καὶ μακρὰν ᾤχοντο φέροντες. Οὐ μὴν ἀλλὰ πάντα συντάξας καὶ διακοσμήσας ὁ Γαΐος ἡμέρας ἑβδομήκοντα ταῖς πάσαις ἐπανῆλθεν εἰς Ῥώμην πιέζεσθαι τὸν Φούλβιον ὑπὸ τοῦ Δρούσου πυνθανόμενος καὶ τῶν πραγμάτων τῆς αὐτοῦ παρουσίας δεομένων. Λεύκιος γὰρ Ὀπίμιος, ἀνὴρ ὀλιγαρχικὸς καὶ δυνατὸς ἐν τῇ βουλῇ, πρότερον μὲν ἐξέπεσεν ὑπατείαν παραγγέλλων, τοῦ Γαΐου τὸν Φάννιον προαγαγόντος, ἐκεῖνον δὲ καταρχαιρεσιάσαντος· τότε δὲ πολλῶν βοηθούντων ἐπίδοξος ἦν ὑπατεύσειν, ὑπατεύων δὲ καταλύσειν τὸν Γαΐον, ἤδη τρόπον τινὰ τῆς δυνάμεως αὐτοῦ μαραινομένης καὶ τοῦ δήμου μεστοῦ γεγονότος τῶν τοιούτων πολιτευμάτων διὰ τὸ πολλοὺς τοὺς πρὸς χάριν δημαγωγοῦντας εἶναι καὶ τὴν βουλὴν ὑπείκειν ἐκοῦσαν.

XII. Ἐπανελθὼν δὲ πρῶτον μὲν ἐκ τοῦ Παλατίου μετῴκησεν εἰς τὸν ὑπὸ τὴν ἀγορὰν τόπον ὡς δημοτικώτερον, ὅπου πλείστους τῶν ταπεινῶν καὶ πενήτων συνέβαινεν οἰκεῖν· ἔπειτα τῶν νόμων ἐξέθηκε τοὺς λοιποὺς ὡς ἐπάξων τὴν ψῆφον αὐτοῖς. Ὄχλου δὲ πανταχόθεν αὐτῷ συνιόντος ἔπεισεν ἡ βουλὴ τὸν ὕπατον Φάννιον ἐκβαλεῖν τοὺς ἄλλους πλὴν Ῥω-

5, 240—41 H.

---

25. μεγίστων P. 26. δίκην P. 29. γενήσεται P. ταῦτα S^gPABCGB^{e}πRTηSVx: τὰ v.

XI. 5. ἐχομένου C. 13. Ὀπίμιος post Aretinum Sigonium aliosque x cl. c. 13: ὁστίλιος libri. 15. προαγαγόντος ABB^e. 17. ἦν ὑπατεύειν a. 19. τῶν om C.

XII. 2. μετῴκισεν S^gV. 3. πλείστοις i.

μαίων ἅπαντας. Γενομένου δὲ κηρύγματος ἀήθους καὶ ἀλ- 840
λοκότου, μηδένα τῶν συμμάχων μηδὲ τῶν φίλων ἐν Ῥώμῃ φανῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἀντεξέθηκεν ὁ Γάϊος διάγραμμα κατηγορῶν τοῦ ὑπάτου καὶ τοῖς συμμάχοις, ἂν μένωσι, βοηθήσειν ἐπαγγελλόμενος. Οὐ μὴν ἐβοήθησεν, ἀλλὰ ὁρῶν ἕνα τῶν ξένων αὐτοῦ καὶ συνήθων ἑλκόμενον ὑπὸ τῶν ὑπηρετῶν τῶν τοῦ Φαννίου, παρῆλθε καὶ οὐ προσήμυνεν, εἴτε τὴν ἰσχὺν ἐπιλείπουσαν ἤδη δεδιὼς ἐλέγχειν, εἴτε μὴ βουλόμενος, ὡς ἔλεγεν, ἀψιμαχίας αὐτὸς καὶ συμπλοκῆς ἀρχὰς ζητοῦσι τοῖς ἐχθροῖς παρασχεῖν. Συνέτυχε δὲ αὐτῷ καὶ πρὸς τοὺς συνάρχοντας ἐν ὀργῇ γενέσθαι διὰ τοιαύτην αἰτίαν. Ἔμελλεν ὁ δῆμος θεᾶσθαι μονομάχους ἐν ἀγορᾷ, καὶ τῶν ἀρχόντων οἱ πλεῖστοι θεωρητήρια κύκλῳ κατασκευάσαντες ἐξεμίσθουν. Ταῦτα ὁ Γάϊος ἐκέλευεν αὐτοὺς καθαιρεῖν, ὅπως οἱ πένητες ἐκ τῶν τόπων ἐκείνων ἀμισθὶ θεάσασθαι δύνωνται. Μηδενὸς δὲ προσέχοντος ἀναμείνας τὴν πρὸ τῆς θέας νύκτα καὶ τῶν τεχνιτῶν ὅσους εἶχεν ἐργολάβους ὑφ' ἑαυτῷ παραλαβὼν τὰ θεωρητήρια καθεῖλε καὶ τῷ δήμῳ σχολάζοντα μεθ' ἡμέραν ἀπέδειξε τὸν τόπον· ἐφ' ᾧ τοῖς μὲν πολλοῖς ἀνὴρ ἔδοξεν εἶναι, τοὺς δὲ συνάρχοντας ὡς ἰταμὸς καὶ βίαιος ἐλύπησεν. Ἐκ τούτου καὶ τὴν τρίτην ἔδοξε δημαρχίαν ἀφαιρεῖσθαι, ψήφων μὲν αὐτῷ πλείστων γενομένων, ἀδίκως δὲ καὶ κακούργως τῶν συναρχόντων ποιησαμένων τὴν ἀναγόρευσιν καὶ ἀνάδειξιν. Ἀλλὰ ταῦτα μὲν ἀμφισβήτησιν εἶχεν. Ἤνεγκε δὲ οὐ μετρίως ἀποτυχών, καὶ πρός γε τοὺς ἐχθροὺς ἐπεγγελῶντας αὐτῷ λέγεται θρασύτερον τοῦ δέοντος εἰπεῖν, ὡς Σαρδώνιον γέλωτα γελῶσιν οὐ γιγνώσκοντες, ὅσον αὐτοῖς σκότος ἐκ τῶν αὐτοῦ περικέχυται πολιτευμάτων.

XIII. Ἐπεὶ δὲ καὶ τὸν Ὀπίμιον καταστήσαντες ὕπατον τῶν νόμων πολλοὺς διέγραφον καὶ τὴν Καρχηδόνος ἐκίνουν

5, 241—42 H.

---

8. *συμμάχων καὶ φίλων* P. 10. *ἀναμένωσι* G. 12. *συνήθων*] *φίλων* C. 13. *τῶν τοῦ* S^g: *τοῦ* v. *προσέμεινεν* in textu P, corr marg. 17. *τὴν τοιαύτην* AB. 19. *οἱ πλεῖστοι*] *οἱ πρῶτοι* PA corr BCB^e cod. Stephani (‚invenitur etiam scriptum') V. 20. *ἐκέλευσεν* Schaeferi C. 22. *δύνανται* S^g corr A. 28. *ἀφαιρεῖσθαι* S^gABC: *ἀφῃρῆσθαι* v. 32. *ἐπαγγελλῶντας* i. 33. *σαρδώνιον* P cl. mor. 169 d: *Σαρδόνιον* v. 34. *γιγνώσκοντες* S^gP: *γινώσκοντες* v.

διάταξιν ἐρεθίζοντες τὸν Γάϊον, ὡς ἂν αἰτίαν ὀργῆς παρασχὼν ἀναιρεθείη, τὸν μὲν πρῶτον χρόνον ἐκαρτέρει, τῶν δὲ φίλων καὶ μάλιστα τοῦ Φουλβίου παροξύνοντος ὥρμησε πάλιν συνάγειν τοὺς ἀντιταξομένους πρὸς τὸν ὕπατον. Ἐνταῦθα καὶ τὴν μητέρα λέγουσιν αὐτῷ συστασιάσαι μισθουμένην ἀπὸ τῆς ξένης κρύφα καὶ πέμπουσαν εἰς Ῥώμην ἄνδρας, ὡς δὴ θεριστάς· ταῦτα γὰρ ἐν τοῖς ἐπιστολίοις αὐτῆς ἠνιγμένα γεγράφθαι πρὸς τὸν υἱόν. Ἕτεροι δὲ καὶ πάνυ τῆς Κορνηλίας δυσχεραινούσης ταῦτα πράττεσθαι λέγουσιν. Ἧι δ' οὖν ἔμελλον ἡμέρᾳ τοὺς νόμους λύσειν οἱ περὶ τὸν Ὀπίμιον, κατείληπτο μὲν ὑπὸ ἀμφοτέρων ἔωθεν εὐθὺς τὸ Καπετώλιον, θύσαντος δὲ τοῦ ὑπάτου τῶν ὑπηρετῶν τις αὐτοῦ Κόϊντος Ἀντύλλιος διαφέρων ἐτέρωσε τὰ σπλάγχνα πρὸς τοὺς περὶ τὸν Φούλβιον εἶπε· „Δότε τόπον ἀγαθοῖς, κακοὶ πολῖται.“ Τινὲς δέ φασιν ἅμα τῇ φωνῇ ταύτῃ καὶ τὸν βραχίονα γυμνὸν οἷον ἐφ' ὕβρει σχηματίζοντα παρενεγκεῖν. Ἀποθνήσκει γοῦν εὐθὺς ὁ Ἀντύλλιος ἐκεῖ μεγάλοις γραφείοις κεντούμενος ἐπ' αὐτῷ τούτῳ πεποιῆσθαι λεγομένοις. Καὶ τὸ μὲν πλῆθος διεταράχθη πρὸς τὸν φόνον, ἐναντία δὲ τοὺς ἡγεμόνας ἔσχε διάθεσις. Ὁ μὲν γὰρ Γάϊος ἤχθετο καὶ κακῶς ἔλεγε τοὺς περὶ αὐτὸν ὡς αἰτίαν δεομένοις πάλαι καθ' ἑαυτῶν τοῖς ἐχθροῖς δεδωκότας, ὁ δὲ Ὀπίμιος ὥσπερ ἐνδόσιμον λαβὼν ἐπῆρτο καὶ παρώξυνε τὸν δῆμον ἐπὶ τὴν ἄμυναν.

XIV. Καὶ τότε μὲν ὄμβρου γενομένου διελύθησαν· ἅμα δὲ ἡμέρᾳ τὴν μὲν βουλὴν ὁ ὕπατος συναγαγὼν ἔνδον ἐχρημάτιζεν, ἕτεροι δὲ τὸ τοῦ Ἀντυλλίου σῶμα γυμνὸν ἐπὶ κλίνης προθέμενοι δι' ἀγορᾶς παρὰ τὸ βουλευτήριον ἐπίτηδες παρε-
841 κόμιζον οἰμωγῇ χρώμενοι καὶ θρήνῳ, γιγνώσκοντος μὲν τοῦ Ὀπιμίου τὰ πραττόμενα, προσποιουμένου δὲ θαυμάζειν, ὥστε

5, 242—43 H.

XIII. 7. συστιᾶσαι P. 10. καὶ om C. 15. Ἀντύλλιος] in S^g ‚litera *v* ex uno latere abrasa est, ita ut legatur *Αἰτύλλιος*. et sic infra semel tantum.‘ ἀτύλλιος AB et deinceps, Ἀντύλλος Appianus, vide Schweighaeuserum an. crit. ad b. c. 1, 25. 16. βούλβιον P. 20. αὐτῷ τούτῳ S^gABC: αὐτὸ τοῦτο v. 24. δεδωκότες C.

XIV. 3. τοῦ om ABC. ἀντυλλίου hic et deinceps S^g, ἀτιλλίου ABC, cf. ad c. 13. 4. παρὰ S^sPABCGTSRηV: ἐπὶ v. 5. γιγνώσκοντες P: γινώσκοντος v.

καὶ τοὺς βουλευτὰς προελθεῖν. Κατατεθείσης δὲ τῆς κλίνης εἰς μέσον οἱ μὲν ἐσχετλίαζον ὡς ἐπὶ δεινῷ καὶ μεγάλῳ πάθει, τοῖς δὲ πολλοῖς ἐπῆει μισεῖν καὶ προβάλλεσθαι τοὺς ὀλιγαρχικούς, ὡς Τιβέριον μὲν Γράγχον ἐν Καπετωλίῳ φονεύσαντες αὐτοὶ δήμαρχον ὄντα καὶ τὸν νεκρὸν προσεξέβαλον, ὁ δ' ὑπηρέτης Ἀντύλλιος, οὐ δίκαια μὲν ἴσως πεπονθώς, τὴν δὲ πλείστην αἰτίαν εἰς τὸ παθεῖν αὐτῷ παρασχών, ἐν ἀγορᾷ πρόκειται καὶ περιέστηκεν ἡ Ῥωμαίων βουλὴ θρηνοῦσα καὶ συνεκκομίζουσα μισθωτὸν ἄνθρωπον ἐπὶ τῷ τὸν ἔτι λειπόμενον ἀνελεῖν τῶν τοῦ δήμου κηδομένων. Ἐκ τούτου πάλιν εἰς τὸ βουλευτήριον ἀπελθόντες ἐψηφίσαντο καὶ προσέταξαν Ὀπιμίῳ τῷ ὑπάτῳ σώζειν τὴν πόλιν, ὅπως δύναιτο, καὶ καταλύειν τοὺς τυράννους. Ἐκείνου δὲ προειπόντος ἐπὶ τὰ ὅπλα χωρεῖν τοὺς συγκλητικοὺς καὶ τῶν ἱππέων ἑκάστῳ παράγγελμα δόντος ἄγειν ἕωθεν οἰκέτας δύο καθωπλισμένους, ὁ μὲν Φούλβιος ἀντιπαρεσκευάζετο καὶ συνῆγεν ὄχλον, ὁ δὲ Γάϊος ἐκ τῆς ἀγορᾶς ἀπερχόμενος ἔστη κατὰ τὸν τοῦ πατρὸς ἀνδριάντα καὶ πολὺν χρόνον ἐμβλέψας εἰς αὐτὸν οὐδὲν ἐφθέγξατο, δακρύσας δὲ καὶ στενάξας ἀπῆει. Τοῦτο πολλοῖς τῶν ἰδόντων οἰκτεῖραι τὸν Γάϊον ἐπῆλθε· καὶ κακίσαντες αὐτοὺς ὡς ἐγκαταλείποντες τὸν ἄνδρα καὶ προδιδόντες ἦκον ἐπὶ τὴν οἰκίαν καὶ παρεννυκτέρευον ἐπὶ τῶν θυρῶν, οὐχ ὁμοίως τοῖς τὸν Φούλβιον φυλάττουσιν. Ἐκεῖνοι μὲν γὰρ ἐν κρότοις καὶ ἀλαλαγμοῖς πίνοντες καὶ θρασυνόμενοι διετέλεσαν, αὐτοῦ τοῦ Φουλβίου πρώτου μεθυσκομένου καὶ πολλὰ φορτικῶς παρ' ἡλικίαν φθεγγομένου καὶ πράττοντος· οἱ δὲ περὶ τὸν Γάϊον ὡς ἐπὶ συμφορᾷ κοινῇ τῆς πατρίδος ἡσυχίαν ἄγοντες καὶ περισκοπούμενοι τὸ μέλλον ἐν μέρει φυλάττοντες καὶ ἀναπαυόμενοι διῆγον.

XV. Ἅμα δὲ ἡμέρᾳ τὸν μὲν Φούλβιον ἐκ τοῦ πότου καθεύδοντα μόλις ἐπεγείραντες ὡπλίζοντο τοῖς περὶ τὴν οἰκίαν αὐτοῦ λαφύροις, ἃ Γαλάτας νενικηκὼς, ὅτε ὑπάτευεν, εἰλήφει καὶ μετὰ πολλῆς ἀπειλῆς καὶ κραυγῆς ἐχώρουν κατα-

5, 243—44 H.

---

8. εἰς τὸ P, εἰς μέσον om C. 9. προβάλλεσθαι] ,ἠγ. ἀναμιμνήσκειν' margo Mureti V. 19. προσειπόντος S^g. 21. δόντες B. 25. πολλοὺς C. 27. ἐγκαταλίποντες (sic) S^g.

XV. 1. τοῦ om P. πότου Corais G: ποτοῦ v, τόπου ABC, ποταμοῦ i. 3. αὐτοῦ addiderunt S^gPABCTπηV.

ληψόμενοι τὸν Ἀβεντῖνον λόφον. Ὁ δὲ Γάϊος ὁπλίσασθαι μὲν οὐκ ἠθέλησεν, ἀλλ' ὥσπερ εἰς ἀγορὰν ἐν τηβέννῳ προῆλθε μικρὸν ὑπεζωσμένος ἐγχειρίδιον, ἐξιόντι δὲ αὐτῷ περὶ τὰς θύρας ἡ γυνὴ προσπεσοῦσα καὶ περιπτύξασα τῶν χειρῶν τῇ μὲν αὐτὸν ἐκεῖνον, τῇ δὲ τὸ παιδίον „Οὐκ ἐπὶ τὸ βῆμά σε" εἶπεν „ὦ Γάϊε, προπέμπω δήμαρχον, ὡς πρότερον, καὶ νομοθέτην, οὐδ' ἐπὶ πόλεμον ἔνδοξον, ἵνα μοι καὶ παθών τι τῶν κοινῶν ἀπολίπῃς τιμώμενον γοῦν πένθος, ἀλλὰ τοῖς Τιβερίου φονεῦσιν ὑποβάλλεις ἑαυτὸν, ἄνοπλον μὲν καλῶς, ἵνα πάθῃς τι μᾶλλον ἢ δράσῃς, πρὸς οὐδὲν δὲ τοῖς κοινοῖς ὄφελος ἀπολῇ. Κεκράτηκεν ἤδη τὰ χείρω· βίᾳ καὶ σιδήρῳ τὰς δίκας πράττουσιν. Εἰ περὶ Νομαντίαν ὁ σὸς ἀδελφὸς ἔπεσεν, ὑπόσπονδος ἂν ἡμῖν ἀπεδόθη νεκρός· νῦν δὲ ἴσως κἀγὼ ποταμοῦ τινος ἢ θαλάττης ἱκέτις ἔσομαι φῆναί ποτε τὸ σὸν σῶμα ῥοῦρούμενον. Τί γὰρ ἢ νόμοις ἔτι πιστὸν ἢ θεοῖς μετὰ τὸν Τιβερίου φόνον;" Τοιαῦτα τῆς Λικιννίας ὀδυρομένης, ἀτρέμα τὰς περιβολὰς ἀπολυσάμενος αὐτῆς ὁ Γάϊος ἐχώρει σιωπῇ μετὰ τῶν φίλων. Ἡ δὲ τοῦ ἱματίου λαβέσθαι γλιχομένη καταῤῥυεῖσα πρὸς τοὔδαφος ἔκειτο πολὺν χρόνον ἄναυδος, μέχρι οὗ λειποθυμήσασαν αὐτὴν οἱ θεράποντες ἀράμενοι πρὸς Κράσσον ᾤχοντο τὸν ἀδελφὸν κομίζοντες.

XVI. Ὁ δὲ Φούλβιος, ὡς ἐγένοντο πάντες ἀθρόοι, πεισθεὶς ὑπὸ τοῦ Γαΐου πέμπει τῶν υἱῶν τὸν νεώτερον ἔχοντα
842 κηρύκειον εἰς ἀγοράν. Ἦν δὲ κάλλιστος ὁ νεανίσκος ὀφθῆναι· καὶ τότε καταστὰς κοσμίως καὶ μετ' αἰδοῦς δεδακρυμένος ἐποιήσατο συμβατικοὺς λόγους πρὸς τὸν ὕπατον καὶ τὴν σύγκλητον. Οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον· ὁ δὲ Ὀπίμιος οὐ δι' ἀγγέλων ἔφη

5, 245—46 H.

---

5. ἀβεντῖνον Corais PAC cl. Num. 15, 13: Ἀβεντίνον v, ἀβεντίνου ia. 7. ὑπεζωσμένος Wyttenbachii in indice s. v. PABCG: ἐπεζωσμένος v. 8. περιπτύξασα S^g: κατασχοῦσα v. 9. παιδάριον P. 10. πέμπω B^e. 13. ἑαυτὸν S^g: σεαυτὸν v, cf. ad Lys. 23, 54. 14. δράσεις P. 15. δίκας S^gPABCB^eπ: δίκας ἤδη v. 18. θαλάττης B: θαλάσσης v. ἱκέτῆς P, ἱκέτης Stephaniana. φῆναι] ἀφεῖναι corr AB cod. Stephani (‚est et alia lectio'). hoc si probetur corrigam φορούμενον. τὸ σὸν ποτε AB. 21. περιβολὰς αὐτῆς PABC servato αὐτῆς etiam post ἀπολυσάμενος. 24. μέχρι S^g: ἄχρι P pr. A, ἄχρις v. malim λιποθυμήσασαν, cf. ad Alex. 19.

XVI. 3. κηρύκειον ABC: κηρύκιον v.

χρῆναι πείθειν τὴν σύγκλητον, ἀλλὰ καταβάντας ὡς ὑπευθύνους πολίτας ἐπὶ κρίσιν καὶ παραδόντας αὐτοὺς οὕτως παραιτεῖσθαι τὴν ὀργήν· τῷ δὲ μειρακίῳ καὶ διηγόρευσεν ἐπὶ τούτοις κατιέναι πάλιν ἢ μὴ κατιέναι. Γάϊος μὲν οὖν, ὥς φασιν, ἐβούλετο βαδίζειν καὶ πείθειν τὴν σύγκλητον· οὐδενὸς δὲ τῶν ἄλλων συγχωροῦντος αὖθις ἔπεμψεν ὁ Φούλβιος τὸν παῖδα διαλεξόμενον ὑπὲρ αὐτῶν ὅμοια τοῖς προτέροις. Ὁ δὲ Ὀπίμιος σπεύδων μάχην συνάψαι τὸ μὲν μειράκιον εὐθὺς συνέλαβε καὶ παρέδωκεν εἰς φυλακήν, τοῖς δὲ περὶ τὸν Φούλβιον ἐπῆει μετὰ πολλῶν ὁπλιτῶν καὶ τοξοτῶν Κρητῶν, οἳ μάλιστα βάλλοντες αὐτοὺς καὶ κατατραυματίζοντες συνετάραξαν. Γενομένης δὲ τῆς τροπῆς ὁ μὲν Φούλβιος εἴς τι βαλανεῖον ἠμελημένον καταφυγὼν καὶ μετὰ μικρὸν ἀνευρεθεὶς κατεσφάγη μετὰ τοῦ πρεσβυτέρου παιδός, ὁ δὲ Γάϊος ὤφθη μὲν ὑπ' οὐδενὸς μαχόμενος, ἀλλὰ δυσανασχετῶν τοῖς γινομένοις ἀνεχώρησεν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν· ἐκεῖ δὲ βουλόμενος ἑαυτὸν ἀνελεῖν ὑπὸ τῶν πιστοτάτων ἑταίρων ἐκωλύθη Πομπωνίου καὶ Λικιννίου· παρόντες γὰρ οὗτοι τό τε ξίφος ἀφείλοντο καὶ πάλιν φεύγειν ἐπῆραν αὐτόν. Ἔνθα δὴ λέγεται καθεσθεὶς εἰς γόνυ καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὴν θεὸν ἐπεύξασθαι τὸν Ῥωμαίων δῆμον ἀντὶ τῆς ἀχαριστίας ἐκείνης καὶ προδοσίας μηδέποτε παύσασθαι δουλεύοντα· φανερῶς γὰρ οἱ πλεῖστοι μετεβάλλοντο κηρύγματι δοθείσης ἀδείας.

XVII. Φεύγοντι γοῦν τῷ Γαΐῳ τῶν ἐχθρῶν ἐπιφερομένων καὶ καταλαμβανόντων περὶ τὴν ξυλίνην γέφυραν, οἱ μὲν δύο φίλοι προχωρεῖν ἐκεῖνον κελεύσαντες αὐτοὶ τοὺς διώκοντας ὑπέστησαν καὶ μαχόμενοι πρὸ τῆς γεφύρας οὐδένα παρῆκαν, ἕως ἀπέθανον. Τῷ δὲ Γαΐῳ συνέφευγεν εἷς οἰκέτης ὄνομα Φιλοκράτης, πάντων μὲν, ὥσπερ ἐν ἁμίλλῃ, παρακελευομένων, οὐδενὸς δὲ βοηθοῦντος οὐδὲ ἵππον αἰτουμένῳ

5, 246—47 H.

---

8. χρῆναι om P. καταβάντα P. 9. οὕτω ABC. 18. τραυματίζοντες S^g. 21. ἀνεσφάγη B^e. 23. γινομένοις] μαχομένοις V. 25. πομπωνίου PGia. 26. πάλιν addidit S^g. 27. πρὸς] εἰς C. 28. τὸν θεὸν i. ἀχαριστείας Gia. 30. μετεβάλλοντο PABC: μετεβάλοντο v.

XVII. 1. δ' οὖν? 3. ἐκεῖνον PABCB^e: αὐτὸν v. 6. μὲν οὖν Corais P.

παρασχεῖν ἐθελήσαντος· ἐπέκειντο γὰρ ἐγγὺς οἱ διώκοντες. Ὁ δὲ φθάνει μικρὸν εἰς ἱερὸν ἄλσος Ἐρινύων καταφυγὼν κακεῖ διαφθείρεται, τοῦ Φιλοκράτους ἀνελόντος ἐκεῖνον, εἶτα ἑαυτὸν ἐπισφάξαντος. Ὡς δὲ ἔνιοί φασιν, ἀμφότεροι μὲν ὑπὸ τῶν πολεμίων κατελήφθησαν ζῶντες, τοῦ δὲ θεράποντος τὸν δεσπότην περιβαλόντος οὐδεὶς ἐκεῖνον ἠδυνήθη πατάξαι πρότερον ἢ τοῦτον ὑπὸ πολλῶν παιόμενον ἀναιρεθῆναι. Τὴν δὲ κεφαλὴν τοῦ Γαΐου λέγουσιν ἄλλον μὲν ἀποκόψαι καὶ κομίζειν, ἀφελέσθαι δὲ τούτου φίλον Ὀπιμίου τινά, Σεπτουμουλήϊον· ἦν γὰρ προκεκηρυγμένον ἐν ἀρχῇ τῆς μάχης ἰσοστάσιον χρυσίον τοῖς ἀνενεγκοῦσι τὴν Γαΐου καὶ Φουλβίου κεφαλήν. Ἀνηνέχθη δὲ ὑπὸ τοῦ Σεπτουμουληΐου περιπεπαρμένη δόρατι πρὸς τὸν Ὀπίμιον, καὶ ζυγοῦ κομισθέντος ἐντεθεῖσα λίτρας ἑπτακαίδεκα καὶ δίμοιρον εἵλκυσε, τοῦ Σεπτουμουληΐου καὶ περὶ τοῦτο μιαροῦ γενομένου καὶ κακουργήσαντος· ἐξελὼν γὰρ τὸν ἐγκέφαλον ἐνέτηξε μόλυβδον. Οἱ δὲ τοῦ Φουλβίου τὴν κεφαλὴν κομίσαντες (ἦσαν γὰρ τῶν ἀσημοτέρων) οὐδὲν ἔλαβον. Τὰ δὲ σώματα καὶ τούτων καὶ τῶν ἄλλων εἰς τὸν ποταμὸν ἐρρίφη, τρισχιλίων ἀναιρεθέντων· καὶ τὰς οὐσίας αὐτῶν ἀπέδοντο πρὸς τὸ δημόσιον. Ἀπεῖπαν δὲ πενθεῖν ταῖς γυναιξὶ, τὴν δὲ Γαΐου Λικιννίαν
843 καὶ τῆς προικὸς ἀπεστέρησαν. Ὠμότατον δὲ προσειργάσαντο τοῦ Φουλβίου τὸν νεώτερον υἱόν, οὔτε χεῖρας ἀνταράμενον οὔτ' ἐν τοῖς μαχομένοις γενόμενον, ἀλλὰ ἐπὶ σπονδὰς ἐλθόντα πρὸ τῆς μάχης συλλαβόντες καὶ μετὰ τὴν μάχην ἀνελόντες. Οὐ μὴν ἀλλὰ καὶ τούτου καὶ τῶν ἄλλων ἁπάντων μᾶλλον ἠνίασε τοὺς πολλοὺς τὸ κατασκευασθὲν Ὁμονοίας ἱερὸν ὑπὸ τοῦ Ὀπιμίου· σεμνύνεσθαι γὰρ ἐδόκει καὶ μέγα φρονεῖν καὶ τρόπον τινὰ θριαμβεύειν ἐπὶ φόνοις τοσούτοις πολιτῶν. Διὸ καὶ νυκτὸς ὑπὸ τὴν ὑπογραφὴν τοῦ νεὼ παρενέγραψάν τινες τὸν στίχον τοῦτον· „ἔργον ἀπονοίας ναὸν ὁμονοίας ποιεῖ.“

5, 247—48 H.

12. κατελείφθησαν Gia. 15. ἀποκόψειν PG. 18. ἐνεγκοῦσι ABCB^{e}V. 20. περιπεπταμένη PGia. 21. δισμύριον εἵλκυσεν S^{g}. 22. τοῦτο corr S^{g}C: τούτου v. 23. ἐνέτυξε ia. μόλυβδον S^{g}ABCG: μόλιβδον v. 27. πρὸς τὸν ABC. 28. ἀπεῖπον Bryani C. 29. προικὸς] πόλεως C. ὠμότατον S^{g}PABC B^{e}V: ὠμότατα v. 31. οὔτ' ἐν] οὔτε τοῖς S^{g}AB, οὔτε σὺν C, οὔτε ἐτοῖς i. 33. μᾶλλον om Gi. τοὺς om G. 37. ὑπογραφὴν S^{g}PA pr. B: ἐπιγραφὴν corr B et v.

XVIII. Οὗτος μέντοι πρῶτος ἐξουσίᾳ δικτάτωρος ἐν ὑπατείᾳ χρησάμενος καὶ κατακρίνας ἀκρίτους ἐπὶ τρισχιλίοις πολίταις Γάϊον Γράγχον καὶ Φούλβιον Φλάκκον, ὧν ὁ μὲν ἦν ὑπατικὸς καὶ θριαμβικὸς, ὁ δὲ τῆς καθ' αὑτὸν ἡλικίας ἀρετῇ καὶ δόξῃ πεπρωτευκὼς, οὐκ ἀπέσχετο κλοπῆς, ἀλλὰ πεμφθεὶς ὡς Ἰουγούρθαν τὸν Νομάδα πρεσβευτὴς διεφθάρη χρήμασιν ὑπ' αὐτοῦ· καὶ δίκην ὀφλὼν αἰσχίστην δωροδοκίας ἐν ἀτιμίᾳ κατεγήρασε μισούμενος καὶ προπηλακιζόμενος ὑπὸ τοῦ δήμου, παρ' αὐτὰ μὲν τὰ πραχθέντα ταπεινοῦ γενομένου καὶ συσταλέντος, ὀλίγῳ δὲ ὕστερον ἐκφήναντος, ὅσον εἶχεν ἱμέρου καὶ πόθου τῶν Γράγχων. Εἰκόνας τε γὰρ αὐτῶν ἀναδείξαντες ἐν φανερῷ προὐτίθεντο καὶ τοὺς τόπους, ἐν οἷς ἐφονεύθησαν, ἀφιερώσαντες ἀπήρχοντο μὲν ὧν ὧραι φέρουσι πάντων, ἔθυον δὲ καὶ καθ' ἡμέραν πολλοὶ καὶ προσέπιπτον ὥσπερ θεῶν ἱεροῖς ἐπιφοιτῶντες.

XIX. Καὶ μέντοι καὶ ἡ Κορνηλία λέγεται τά τε ἄλλα τῆς συμφορᾶς εὐγενῶς καὶ μεγαλοψύχως ἐνεγκεῖν καὶ περὶ τῶν ἱερῶν, ἐν οἷς ἀνῃρέθησαν, εἰπεῖν, ὡς ἀξίους οἱ νεκροὶ τάφους ἔχουσιν. Αὕτη δὲ περὶ τοὺς καλουμένους Μισηνοὺς διέτριβεν οὐδὲν μεταλλάξασα τῆς συνήθους διαίτης. Ἦν δὲ καὶ πολύφιλος καὶ διὰ φιλοξενίαν εὐτράπεζος, ἀεὶ μὲν Ἑλλήνων καὶ φιλολόγων περὶ αὐτὴν ὄντων, ἁπάντων δὲ τῶν βασιλέων καὶ δεχομένων παρ' αὐτῆς δῶρα καὶ πεμπόντων. Ἡδίστη μὲν οὖν ἦν αὕτη τοῖς ἀφικνουμένοις καὶ συνοῦσι διηγουμένη τὸν τοῦ πατρὸς Ἀφρικανοῦ βίον καὶ δίαιταν, θαυμασιωτάτη δὲ τῶν παίδων ἀπενθὴς καὶ ἀδάκρυτος μνημονεύουσα καὶ πάθη καὶ πράξεις αὐτῶν, ὥσπερ ἀρχαίων τινῶν, ἐξηγουμένη τοῖς πυνθανομένοις. Ὅθεν ἔδοξεν ἐνίοις ἔκνους ὑπὸ γήρως ἢ μεγέθους κακῶν γεγονέναι καὶ τῶν ἀτυχημάτων ἀναίσθητος, αὐτοῖς ὡς ἀληθῶς ἀναισθήτοις οὖσιν, ὅσον ἐξ εὐφυΐας

5, 249—50 H.

XVIII. 1. praestat *δικτάτορος*. 2. ‚immo *κατακτείνας*' Emperius. *ἀκρίτως* C. 3. *πολίταις* om B. *γράγχον γάϊον* ABC. 5. *πεπρωτευκὼς* S^{g}PABCB^{e}πS_{η}: *πεπρωτευκὼς. Ὀπίμιος δὲ* v. 6. *ὡς*] *πρὸς* C. 7. *ὀφλὼν* Schaeferus: *ὄφλων* v. 11. *τε* om C. 14. *καὶ καθ'* ABC: *καθ'* v.

XIX. 4. *μεσηνοὺς* ia. 6. *καὶ* ante *πολύφιλος* om ABC. 8. *παρ' αὐτῆς δεχομένων* C. 9. *ἦν* addiderunt S^{g}G. *συνιοῦσι* AB. 12. *ἐξηγουμένην* ia.

καὶ τοῦ γεγονέναι καὶ τετράφθαι καλῶς ὄφελός ἐστι πρὸς ἀλυπίαν ἀνθρώποις, καὶ ὅτι τῆς ἀρετῆς ἡ τύχη φυλαττομένης μὲν τὰ κακὰ πολλάκις περίεστιν, ἐν δὲ τῷ πταῖσαι τὸ φέρειν εὐλογίστως οὐ παραιρεῖται.

5, 250 H.

---

17. *φυλαττομένοις* a et v. 18. *κακὰ* x: *καλὰ* v. 19. *παραιτεῖται* Stephaniana.

ΑΓΙΔΟΣ ΚΑΙ ΚΛΕΟΜΕΝΟΥΣ ΚΑΙ ΓΡΑΓΧΩΝ ΣΥΓΚΡΙΣΙΣ.

I. Ἡμῖν δὲ καὶ ταύτης πέρας ἐχούσης διηγήσεως ὑπολείπεται λαβεῖν ἐκ παραλλήλου τῶν βίων τὴν ἀποθεώρησιν. Τοὺς μὲν οὖν Γράγχους οὐδ' οἱ πάνυ τἆλλα κακῶς λέγοντες καὶ μισοῦντες ἐτόλμησαν εἰπεῖν, ὡς οὐκ εὐφυέστατοι πρὸς ἀρετὴν ἐγένοντο Ῥωμαίων ἁπάντων καὶ τροφῆς τε καὶ παιδεύσεως ἐκπρεποῦς ἔτυχον· ἡ δὲ Ἄγιδος καὶ Κλεομένους φύσις ἐρρωμενεστέρα φαίνεται τῆς ἐκείνων γενομένη, παρ' ὅσον οὔτε παιδείας μεταλαβόντες ὀρθῆς ἔθεσί τε καὶ διαίταις ἐντραφέντες, ὑφ' ὧν οἱ πρεσβύτεροι πάλαι διεφθόρεισαν, αὐτοὺς 844 ἡγεμόνας εὐτελείας καὶ σωφροσύνης παρέσχον. Ἔτι δὲ οἱ μέν, ὅτε λαμπρότατον εἶχεν ἡ Ῥώμη καὶ μέγιστον ἀξίωμα καὶ καλῶν ἔργων ζῆλον ὥσπερ διαδοχὴν ἀρετῆς πατρῴας καὶ προγονικῆς ᾐσχύνθησαν ἐγκαταλιπεῖν· οἱ δὲ καὶ πατέρων τἀναντία προῃρημένων γεγονότες καὶ τὴν πατρίδα μοχθηρὰ πράττουσαν καὶ νοσοῦσαν παραλαβόντες οὐδέν τι διὰ ταῦτα τὴν πρὸς τὸ καλὸν ἀπήμβλυναν ὁρμήν. Καὶ μὴν τῆς γε Γράγχων ἀφιλοχρηματίας καὶ πρὸς ἀργύριον ἐγκρατείας μέγιστόν ἐστιν, ὅτι λημμάτων ἀδίκων καθαροὺς ἐν ἀρχαῖς καὶ πολιτείαις διεφύλαξαν ἑαυτούς· Ἄγις δὲ κἂν διηγανάκτησεν ἐπὶ τῷ μηδὲν ἀλλότριον λαβεῖν ἐπαινούμενος, ὃς τὴν οὐσίαν τὴν ἑαυτοῦ τοῖς πολίταις ἐπέδωκεν ἄνευ τῶν ἄλλων κτημάτων ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. Πηλίκον οὖν

I. 5. καὶ ante παιδεύσεως om a. 7. γενομένης a. 9. διεφθόρεισαν S^g pr. ABC: διεφθόρησαν P, διεφθάρεισαν corr A, διεφθάρησαν v. 12. καὶ ante καλῶν delet Schaeferus. 16. ὁρμὴν] ὁπὴν C. γε] τε AB. 17. τῶν γράγχων C.

ἐνόμιζε κακὸν εἶναι τὸ κερδαίνειν ἀδίκως ὁ καὶ δικαίως πλέον ἔχειν ἑτέρου πλεονεξίαν ἡγούμενος;

II. Ἥ γε μὴν ἐπιβουλὴ καὶ τόλμα τῶν καινοτομουμένων πολὺ τῷ μεγέθει παρήλλαττεν. Ἐπολιτεύοντο γὰρ ὁ μὲν ὁδῶν κατασκευὰς καὶ πόλεων κτίσεις· καὶ τὸ πάντων νεανικώτατον ἦν Τιβερίῳ μὲν ἀνασῶσαι δημοσίους ἀγροὺς, Γαΐῳ δὲ μῖξαι τὰ δικαστήρια προσεμβαλόντι τῶν ἱππικῶν τριακοσίους· ὁ δὲ Ἄγιδος καὶ Κλεομένους νεωτερισμὸς τὸ μικρὰ καὶ κατὰ μέρος τῶν ἡμαρτημένων ἰᾶσθαι καὶ ἀποκόπτειν ὕδραν τινὰ τέμνοντος, ὥς φησιν ὁ Πλάτων, ἡγησάμενος εἶναι τὴν ἅμα πάντα ἀπαλλάξαι κακὰ καὶ κατασκευάσαι δυναμένην μεταβολὴν ἐπῆγε τοῖς πράγμασιν. Ἀληθέστερον δ' ἴσως εἰπεῖν ἐστιν, ὅτι τὴν πάντα ἀπεργασαμένην κακὰ μεταβολὴν ἐξήλαυνεν ἀπάγων καὶ καθιστὰς εἰς τὸ οἰκεῖον σχῆμα τὴν πόλιν. Ἐπεὶ καὶ τοῦτο ἄν τις εἴποι, τῇ μὲν Γράγχων πολιτείᾳ τοὺς μεγίστους ἐνίστασθαι Ῥωμαίων, οἷς δὲ Ἄγις ἐνεχείρησε, Κλεομένης δὲ τὸ ἔργον ἐπέθηκε, τῶν παραδειγμάτων τὸ κάλλιστον ὑπέκειτο καὶ μεγαλοπρεπέστατον, αἱ πάτριοι ῥῆτραι περὶ σωφροσύνης καὶ ἰσότητος, ὧν τούτοις μὲν ὁ Λυκοῦργος, ἐκείνοις δὲ ὁ Πύθιος βεβαιωτής. Ὃ δὲ μέγιστον, ὅτι τοῖς μὲν ἐκείνων πολιτεύμασιν εἰς οὐδὲν ἡ Ῥώμη μεῖζον ἐπέδωκε τῶν ὑπαρχόντων, ἐκ δὲ ὧν ὁ Κλεομένης ἔπραξεν ὀλίγου χρόνου τὴν Σπάρτην τῆς Πελοποννήσου κρατοῦσαν ἡ Ἑλλὰς ἐπεῖδε καὶ τοῖς τότε μέγιστον δυναμένοις διαγωνιζομένην ἀγῶνα τὸν περὶ τῆς ἡγεμονίας, οὗ τέλος ἦν ἀπαλλαγεῖσαν Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν τὴν Ἑλλάδα κοσμεῖσθαι πάλιν ὑφ' Ἡρακλείδαις.

III. Οἶμαι δὲ καὶ τὰς τελευτὰς τῶν ἀνδρῶν ἐμφαίνειν τινὰ τῆς ἀρετῆς διαφοράν. Ἐκεῖνοι μὲν γὰρ μαχόμενοι πρὸς

5, 251—53 H.

II. 1. ἐπιβουλὴ S^gABC: ἡ βουλὴ B^e, ἐπιβολὴ v. 3. κτίσιν P. 7. καὶ ante κατὰ om ABCB^e. ἁμαρτημάτων AB CV. 8. *Πλάτων*] reipubl. 4, 426 f. Steph. 9. κατασκευάσαι S^g (non μετασκευάσαι): κατασκευάσαι P, παρασκευάσαι v, παρασκευάσασθαι B^e, μετασκευάσαι Dacerii, ut suspicor, nuperi. 13. εἰπῃ S^g. 14. ὁ ἅγις ABCB^e. ἐνεχείρισεν P. 15. ἀπέθηκε a.

III. 1. καὶ om ABCB^e. 2. διαφθοράν P.

τοὺς πολίτας, εἶτα φεύγοντες ἐτελεύτησαν· τούτων δὲ Ἄγις μὲν ὑπὲρ τοῦ μηδένα κτεῖναι τῶν πολιτῶν ὀλίγου δεῖν ἑκὼν ἀπέθανε, Κλεομένης δὲ προπηλακισθεὶς καὶ ἀδικηθεὶς ὥρμησε μὲν ἀμύνασθαι, τοῦ δὲ καιροῦ μὴ παρασχόντος αὐτὸν εὐτόλμως ἀνεῖλε. Πάλιν δὲ τἀναντία σκοποῦσιν Ἄγις μὲν οὐδὲν ἀπεδείξατο στρατηγίας ἔργον, ἀλλὰ προανῃρέθη, ταῖς δὲ Κλεομένους νίκαις πολλαῖς καὶ καλαῖς γενομέναις παραβαλεῖν ἔστι Τιβερίου τὴν ἐν Καρχηδόνι τοῦ τείχους κατάληψιν, οὐ μικρὸν ἔργον, καὶ τὰς ἐν Νομαντίᾳ σπονδὰς, αἷς δισμυρίους Ῥωμαίων στρατιώτας οὐκ ἔχοντας ἄλλην ἐλπίδα σωτηρίας περιεποίησε· καὶ Γάϊος δὲ πολλὴν μὲν αὐτόθι, πολλὴν δὲ ἐν Σαρδόνι στρατευόμενος ἀνδραγαθίαν ἔφηνεν, ὥστε τοῖς πρώτοις ἐναμίλλους Ῥωμαίων γενέσθαι στρατηγοῖς, εἰ μὴ προανῃρέθησαν.

IV. Τῆς δὲ πολιτείας ὁ μὲν Ἄγις ἔοικεν ἅψασθαι μαλακώτερον ἐκκρουσθεὶς ὑπὸ Ἀγησιλάου καὶ ψευσάμενος τὸν ἀναδασμὸν τοῖς πολίταις καὶ ὅλως ἐλλιπὴς καὶ ἀτελὴς ὢν 845 προείλετο καὶ κατήγγειλεν ὑπὸ ἀτολμίας διὰ τὴν ἡλικίαν γενόμενος· ὁ δὲ Κλεομένης τοὐναντίον θρασύτερον καὶ βιαιότερον ἐπὶ τὴν μεταβολὴν ἦλθε τῆς πολιτείας ἀποκτείνας τοὺς ἐφόρους παρανόμως, οὓς καὶ προσαγαγέσθαι τοῖς ὅπλοις κρατοῦντα καὶ μεταστῆσαι ῥᾴδιον ἦν, ὥσπερ οὐκ ὀλίγους ἄλλους μετέστησεν ἐκ τῆς πόλεως. Τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπιφέρειν σίδηρον οὔτε ἰατρικὸν οὔτε πολιτικόν, ἀλλ' ἀτεχνίας μὲν ἀμφότερα, τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ' ὠμότητος πρόσεστι. Τῶν δὲ Γράγχων οὐδέτερος μὲν ἤρξατο σφαγῆς ἐμφυλίου, Γάϊος δὲ λέγεται μηδὲ βαλλόμενος ὁρμῆσαι πρὸς ἄμυναν, ἀλλὰ λαμπρότατος ὢν ἐν τοῖς πολεμικοῖς ἀργότατος ἐν τῇ στάσει γενέσθαι. Καὶ γὰρ προῆλθεν ὅπλος

5, 253—54 H.

---

6. ἑαυτὸν ABC. ἀτόλμως A. 8. ἐπεδείξατο ABC. 9. κλεομένεις C. 12. ῥωμαίων στρατιώτας S^gPABCG: στρατιώτας Ῥωμαίων v. 13. δὲ post Γάϊος supr. script. C. 14. ἀνέφηνεν x. 15. πρώτοις ἂν Reiskii nuperi.

IV. 3. ἀνάδασμον B. ἐλλιπὴς S^gABC: ἐλλειπὴς v. ὢν] ὧν ABC. 4. προσείλετο B. ἡλικίαν] μαλακίαν x. 6. ἀποκτείνας οὖν B^e. 7. προσάγεσθαι supr. scr. A. 9. μετέστησεν S^gx: μετέστησαν v. 12. περίεστι C. 13. μηδὲ] μὴ B. βουλόμενος corr AB. 15. γὰρ om ABC. ὅπλος S^gABC: ἄνοπλος v.

καὶ μαχομένων ἀνεχώρησε καὶ ὅλως πλείονα τοῦ μή τι δρᾶσαι πρόνοιαν ἢ τοῦ μὴ παθεῖν ἔχων ἐωρᾶτο. Διὸ καὶ τὴν φυγὴν αὐτῶν οὐκ ἀτολμίας σημεῖον, ἀλλ' εὐλαβείας ποιητέον. Ἔδει γὰρ ὑπεῖξαι τοῖς ἐπιφερομένοις ἢ μένοντας ὑπὲρ τοῦ μὴ παθεῖν τῷ δρᾶν ἀμύνασθαι.

V. Τῶν τοίνυν ἐγκλημάτων τῶν κατὰ Τιβερίου μέγιστόν ἐστιν, ὅτι τὸν συνάρχοντα τῆς δημαρχίας ἐξέβαλε καὶ δευτέραν αὐτὸς [τῷ Γαΐῳ] δημαρχίαν μετῄει· Γαΐῳ δὲ τὸν Ἀντυλλίου φόνον οὐ δικαίως οὐδὲ ἀληθῶς προσετρίβοντο· διεφθάρη γὰρ ἄκοντος αὐτοῦ καὶ ἀγανακτοῦντος. Κλεομένης δὲ, ἵνα τὰς σφαγὰς τῶν ἐφόρων ἐάσωμεν, ἠλευθέρωσε μὲν ἅπαντας τοὺς οἰκέτας, ἐβασίλευσε δὲ τῷ μὲν ἔργῳ μόνος, τῷ δὲ ὀνόματι δεύτερος Εὐκλείδαν τὸν ἀδελφὸν ἐκ μιᾶς οἰκίας αὐτῷ προσελόμενος, Ἀρχίδαμον δὲ, ᾧ προσῆκον ἦν ἀπὸ τῆς ἑτέρας οἰκίας ὄντι συμβασιλεύειν, ἔπεισε μὲν ἐκ Μεσσήνης κατελθεῖν, ἀποθανόντος δὲ τὸν φόνον οὐκ ἐπεξελθὼν ἐβεβαίωσε τὴν αἰτίαν καθ' αὑτοῦ τῆς ἀναιρέσεως. Καίτοι Λυκοῦργος, ὃν προσεποιεῖτο μιμεῖσθαι, τὴν μὲν βασιλείαν ἑκὼν ἀπέδωκε τῷ παιδὶ τοῦ ἀδελφοῦ Χαρίλλῳ, φοβούμενος δὲ, μὴ, κἂν ἄλλως ἀποθάνῃ τὸ μειράκιον, αἰτία τις ἐπ' αὐτὸν ἔλθῃ, πολὺν χρόνον ἔξω πλανηθεὶς οὐ πρότερον ἐπανῆλθεν ἢ παῖδα τῷ Χαρίλλῳ γενέσθαι διάδοχον τῆς ἀρχῆς. Ἀλλὰ Λυκούργῳ μὲν οὐδὲ ἄλλος τις Ἑλλήνων παραβλητὸς οὐδείς. Ὅτι δὲ τοῖς Κλεομένους πολιτεύμασι καινοτομίαι καὶ παρανομίαι μείζονες ἔνεισι, δεδήλωται. Καὶ μὴν οἵ γε τὸν τρόπον αὐτῶν ψέγοντες τούτοις μὲν ἐξ ἀρχῆς τυραννικὸν καὶ πολεμοποιὸν αἰτιῶνται γενέσθαι, τῇ δὲ ἐκείνων φύσει φιλοτιμίας ἀμετρίαν, ἄλλο δὲ οὐδὲν οἱ φθονοῦντες ἐπικαλεῖν εἶχον· ἐκριπισθέντας δὲ τῷ πρὸς τοὺς ἐνισταμένους ἀγῶνι καὶ θυμῷ παρὰ τὴν αὐτῶν φύσιν ὥσπερ πνοαῖς ἐφεῖναι περὶ

5, 254—56 H.

---

20. τὸ δρᾶν S^{g}ABCV.

V. 3. [τῷ Γαΐῳ] om cod. Dacerii nescio quis. αὐτῷ τῷ Γαΐῳ x. ego τῷ Γαΐῳ delenda puto cum Schaefero, nisi latet αὐτὸς ἑαυτῷ δημαρχίαν. ἀτυλλίου ABC. 6. τὰς φυγὰς ABCB^{e}. 7. ἐβασίλευε ABC. 10. συμβασιλεύειν S^{g}P ,in quibusdam' Stephani: βασιλεύειν v. μεσήνης PGia. 19. κλεομένους a. 21. αὐτὸν G. τούτοις] τοῦτον Stephaniana. 25. τὴν αὐτοῦ pr. ABπTV. ἀφεῖναι C margo Mureti V. περὶ] πρὸς x.

τὰ ἔσχατα τὴν πολιτείαν ὡμολόγουν. Ἐπεὶ τῆς γε πρώτης ὑποθέσεως τί κάλλιον ἦν, εἰ μὴ κατὰ βίαν καὶ δυναστείαν ἐπιχειρήσαντες ἐξῶσαι τὸν νόμον οἱ πλούσιοι περιέστησαν ἀμφοτέροις ἀγῶνας, τῷ μὲν φοβουμένῳ ὑπὲρ αὐτοῦ, τῷ δὲ ἐκδικοῦντι τὸν ἀδελφὸν ἄνευ δίκης καὶ δόγματος οὐδὲ ὑπ' ἄρχοντος ἀναιρεθέντα; Συνορᾷς μὲν οὖν καὶ αὐτὸς ἐκ τῶν εἰρημένων τὴν διαφοράν· εἰ δὲ δεῖ καὶ καθ' ἕκαστον ἀποφήνασθαι, Τιβέριον μὲν ἀρετῇ πεπρωτευκέναι τίθημι πάντων, ἐλάχιστα δὲ ἡμαρτηκέναι τὸ μειράκιον Ἄγιν, πράξει δὲ καὶ τόλμῃ Γάϊον οὐκ ὀλίγῳ Κλεομένους ὕστερον γεγονέναι.

5, 256 H.

---

27. ἤ τί P. 29. παρέστησαν C. φοβουμένῳ ὑπὲρ] immo φοβουμένῳ περὶ, cl. Nic. 24, 11. 30. ἑαυτοῦ P. 31. καὶ αὐτὸς S^{g}[PABC] ‚in quibusdam Stephani' V: αὐτὸς v. 32. καὶ post δεῖ om G. 34. ἡμαρτηκέναι τὸ μειράκιον S^{g}PABCG: τὸ μειράκιον ἡμαρτηκέναι.

Δ Η Μ Ο Σ Θ Ε Ν Η Σ.

846 I. Ὁ μὲν γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπίασιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης, ὡς ὁ πολὺς κρατεῖ λόγος, εἴθ' ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὰν πόλιν εὐδόκιμον· ἐγὼ δὲ τῷ μὲν εὐδαιμονήσειν μέλλοντι τὴν ἀληθινὴν εὐδαιμονίαν, ἧς ἐν ἤθει καὶ διαθέσει τὸ πλεῖστόν ἐστιν, οὐδὲν διαφέρειν ἡγοῦμαι ἀδόξου καὶ ταπεινῆς πατρίδος ἢ μητρὸς ἀμόρφου

5, 257 H.

---

ad Demosthenem et Ciceronem usus sum codicibus Parisinis 1671 (A) 1672 (B) 1674 (D) 1673 (C) cum Reiskiana collatis, 1675 (E) 1677 cum Tauchnitiana, Bodleiano tertio 137 (B^c) a Bryano cum Stephaniana, Moscuensi 339 (M^o) a Carolo Hoffmanno cum Teubneriana comparatis, lectionibus excerptis D. Wyttenbachii ex Palatino-Vaticano (P^a), Vaticano (V^a), collectione Jannotii e septem codicibus facta et cum M. A. Mureto communicata, qui codices ita significantur: R cod. Cardinalis Rodolffi Romanns, S cod. alius eiusdem, item T, ζ cod. e bibliotheca Grimanorum in coenobio S. Antonii Venetiis, π cod. Patavinus, Vat. Vaticanus, ω ex eadem Vaticana, vide Wyttenbachium ad select. princ. histor. p. 421 sq. conveniunt fere illa Jannotii excerpta cum scripturis in margine Mureti ex quinque eorumdem codicum (qTRSω) a Walzio repertis. ad Demosthenem denique accedunt scripturae Lambinianae in editione orationum Demosthenis Parisiis 1570, quarum quas in textu habet ascripta l significamus, quas in margine ml: conveniunt eae scripturae fere cum codicis A lectionibus: ad Ciceronem lectiones codicis Parisini 1750 (G) cum Tauchnitiana comparati.

I. 1. τῆς om l. Ὀλυμπίασιν Schaeferus et infra: Ὀλυμπιάσιν v. 4. τὰν EFP^{a}M^o, quod c. 2, 4 ex AC annotatum, cf. Alcib. 11: τὴν v. εὐδόκιμον] εὐδαίμονα, in quibusdam Stephani. sed cf. c. 2, 4. et Ammiani Marc. 14, 6, 7. 7. ἡγοῦμαι ἀδόξου]

καὶ μικρᾶς γενέσθαι. Γελοῖον γάρ, εἴ τις οἴοιτο τὴν Ἰουλίδα, μέρος μικρὸν οὖσαν οὐ μεγάλης νήσου τῆς Κέω, καὶ τὴν Αἴγιναν, ἣν τῶν Ἀττικῶν τις ἐκέλευεν ὡς λήμην ἀφαιρεῖν τοῦ Πειραιῶς, ὑποκριτὰς μὲν ἀγαθοὺς τρέφειν καὶ ποιητάς, ἄνδρα δ' οὐκ ἄν ποτε δύνασθαι δίκαιον καὶ αὐτάρκη καὶ νοῦν ἔχοντα καὶ μεγαλόψυχον προενεγκεῖν. Τὰς γὰρ ἄλλας τέχνας εἰκός ἐστι πρὸς ἐργασίαν ἢ δόξαν συνισταμένας ἐν ταῖς ἀδόξοις καὶ ταπειναῖς πόλεσιν ἀπομαραίνεσθαι, τὴν δ' ἀρετὴν, ὥσπερ ἰσχυρὸν καὶ διαρκὲς φυτὸν, ἐν ἅπαντι ῥιζοῦσθαι τόπῳ φύσεώς τε χρηστῆς καὶ φιλοπόνου ψυχῆς ἐπιλαμβανομένην. Ὅθεν οὐδ' ἡμεῖς, εἴ τι τοῦ φρονεῖν, ὡς δεῖ, καὶ βιοῦν ἐλλείπομεν, τοῦτο τῇ σμικρότητι τῆς πατρίδος, ἀλλ' αὐτοῖς δικαίως ἀναθήσομεν.

II. Τῷ μέντοι σύνταξιν ὑποβεβλημένῳ καὶ ἱστορίαν ἐξ οὐ προχείρων οὐδ' οἰκείων, ἀλλὰ ξένων τε τῶν πολλῶν καὶ διεσπαρμένων ἐν ἑτέροις συνιοῦσαν ἀναγνωσμάτων τῷ ὄντι χρὴ πρῶτον ὑπάρχειν καὶ μάλιστα τὴν πόλιν εὐδόκιμον καὶ φιλόκαλον καὶ πολυάνθρωπον, ὡς βιβλίων τε παντοδαπῶν ἀφθονίαν ἔχων καὶ ὅσα τοὺς γράφοντας διαφεύγοντα σωτηρίᾳ μνήμης ἐπιφανεστέραν εἰληφε πίστιν ὑπολαμβάνων ἀκοῇ καὶ διαπυνθανόμενος μὴ πολλῶν μηδ' ἀναγκαίων ἐνδεὲς ἀποδιδοίη τὸ ἔργον. Ἡμεῖς δὲ μικρὰν οἰκοῦντες πόλιν καὶ, ἵνα μὴ μικροτέρα γένηται, φιλοχωροῦντες, ἐν δὲ Ῥώμῃ καὶ ταῖς περὶ τὴν Ἰταλίαν διατριβαῖς οὐ σχολῆς οὔσης γυμνάζεσθαι περὶ τὴν Ῥωμαϊκὴν διάλεκτον ὑπὸ χρειῶν πολιτικῶν καὶ τῶν διὰ φιλοσοφίαν πλησιαζόντων, ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας ἠρξάμεθα Ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. Καὶ πρᾶγμα θαυμαστὸν μὲν, ἀλλ' ἀληθὲς ἐπάσχομεν. Οὐ γὰρ οὕτως ἐκ τῶν ὀνομάτων τὰ πράγματα συνιέναι καὶ γνω-

5, 257—59 H.

---

hiatum tollendum puto corrigendo *πατρίδος ἀδόξου καὶ ταπεινῆς*. 9. *τῆς νήσου τῆς* E. 10. *ἀφαιρεῖν* om ABDEFM°STR, *τοῦ πειραιῶς περιελεῖν* C margo Mureti V, *γρ. περιελεῖν* ml, quod quominus probarem locus fecit apoph. 186 c cl. ad Pericl. p. 96. *τοῦ πειρεῶν* i. 16. *δίαρκες* ml. 18. *εἴ τι* ADl: *εἰ* v.

II. 2. *τῶν* om l. 3. *καὶ διεσπαρμένων*] *καὶ οἰκείων* (ml *εἰκῇ*) *διεσπαρμένων* l. 4. *τὰν πόλιν* ADCEF, cf. ad 1, 4. 6. *ἔχων* Reiskii: *ἔχειν* v. *διαφυγόντα* x. 9. *ἀποδοίη* F. 12. *περὶ*] *παρὰ* l. post *χρειῶν* C *τινων* addit. 14. *ἠρξάμεθα* [M°]ml: *ἠψάμεθα* v. 16. *τὰ* om l.

ρίζειν συνέβαινεν ἡμῖν, ὡς ἐκ τῶν πραγμάτων ἀμωσγέπως εἴχομεν ἐμπειρίας ἐπακολουθεῖν διὰ ταῦτα καὶ τοῖς ὀνόμασι. Κάλλους δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας καὶ τῶν ἄλλων, οἷς ὁ λόγος ἀγάλλεται, χάριεν μὲν ἡγούμεθα καὶ οὐκ ἀτερπές· ἡ δὲ πρὸς τοῦτο μελέτη καὶ ἄσκησις οὐκ εὐχερὴς, ἀλλ' οἵστισι πλείων τε σχολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ φιλοτιμίας.

847 III. Διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τούτῳ, τῶν παραλλήλων βίων ὄντι πέμπτῳ, περὶ Δημοσθένους καὶ Κικέρωνος, ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα· τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος ἠδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. Κἀκεῖ γὰρ, ὥς φησιν ὁ Ἴων, δελφῖνος ἐν χέρσῳ βία, ἦν ὁ περιττὸς ἐν ἅπασι Κεκίλιος ἀγνοήσας ἐνεανιεύσατο σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. Ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ Γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. Δημοσθένην γὰρ καὶ Κικέρωνα τὸν αὐτὸν ἔοικε πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν φύσιν αὐτῶν τῶν ὁμοιοτήτων, ὥσπερ τὸ φιλότιμον καὶ φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνους καὶ πολέμους ἄτολμον, πολλὰ δ' ἀναμῖξαι καὶ τῶν τυχηρῶν. Δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους, προσκρούσαντας δὲ βασιλεῦσι

5, 259—61 H.

---

17. ὡς ἐξ ἧς τῶν πραγμάτων ἀμωσγέπως εἴχομεν ἐμπειρίας corrigebat Stephanus, ὡς ἐκ τῆς τῶν πραγμάτων, ἧς ἀμωσγέπως εἴχομεν, ἐμπειρίας ml, ὡς ἐκ τῶν πραγμάτων, ὧν ἀμωσγέπως εἴχομεν ἐμπειρίαν Reiskius Wyttenbachius Coraes, ὡς ἐκ τῶν πραγμάτων, ὧν ἀμωσγέπως εἴχομεν ἐμπειρίας, ἐπακολουθεῖν διὰ ταύτας Schaeferus. mihi loci corruptela nondum in confesso est. si quid mutandum malim abesse διὰ ταῦτα. 18. ἀκολουθεῖν E. 23. ἐπιχωρεῖν scribam. ἐστὶ Schaeferi pro ἔτι non requiro.

III. 2. βίων om ia. 3. πολιτῶν M°. 5. πότερον AB DEFM°ia. δεινότερον A. 6. κακὴ γὰρ l, cf. Nieberdingium fr. Jon. p. 46. 7. Καικίλιος Stephaniana, cf. ad Mar. 4, 4. 11. δημοσθένην ACM°l constanter: Δημοσθένη v. γὰρ] δὲ l. τὸν αὐτὸν] πρὸς τὸν αὐτὸν τύπον γρ. ὁ αὐτὸς ἔοικε ml. 13. αὐτοῦ ABDE.

καὶ τυράννοις, φυγατέρας δ' ἀποβαλόντας, ἐκπεσόντας δὲ τῆς πατρίδος, κατελθόντας δὲ μετὰ τιμῆς, ἀποδράντας δ' αὖθις καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων, ἅμα δὲ παυσαμένῃ τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας· ὥστε, εἰ γένοιτο τῇ φύσει καὶ τῇ τύχῃ καθάπερ τεχνίταις ἄμιλλα, χαλεπῶς μὲν ἂν διακριθῆναι, πότερον αὕτη τοῖς τρόποις ἢ τοῖς πράγμασιν ἐκείνη τοὺς ἄνδρας ὁμοιοτέρους ἀπείργασται. Λεκτέον δὲ περὶ τοῦ πρεσβυτέρου πρότερον.

IV. Δημοσθένης ὁ πατὴρ Δημοσθένους ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος, ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς ἐργαστήριον ἔχων μέγα καὶ δούλους τεχνίτας τοὺς τοῦτο πράττοντας. Ἃ δ' Αἰσχίνης ὁ ῥήτωρ εἴρηκε περὶ τῆς μητρὸς, ὡς ἐκ Γύλωνός τινος ἐπ' αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος γεγόνοι καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν εἴτ' ἀληθῶς εἴρηκεν εἴτε βλασφημῶν καὶ καταψευδόμενος. Ἀπολειφθεὶς δ' ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἐπταέτης ἐν εὐπορίᾳ (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων) ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσφισαμένων, τὰ δ' ἀμελησάντων, ὥστε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. Διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων ἀπαίδευτος δοκεῖ γενέσθαι καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτὸν οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. Ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνος καὶ νοσώδης, διὸ καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν, τὸν Βάταλον, εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. Ἦν δὲ ὁ Βάταλος, ὡς μέν ἐνιοί φασιν, αὐλητὴς τῶν κατεαγότων, καὶ δραμάτιον εἰς τοῦτο κωμῳδῶν αὐτὸν Ἀντιφάνης πεποίηκεν. Ἔνιοι δέ τινες ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος

5, 261—63 H.

---

21. καταστρέψαντας C. 22. τύχῃ om i. 23. μὲν delet Schaeferus. 25. περὶ] ἐπὶ a.

IV. 4. τοὺς τοῦτο AD l: τοῦτο v. Αἰσχίνης] in Ctesiph. p. 78, 14. § 171. 5. γύλονος l, γρ. γύλωνος ml. 6. malim φεύγοντος. γεγόνοι BDB^{c}CTRV: ἐγεγόνοι A, ἐγεγόνει v, γεγόνει l, ἐγεγόνει, γρ. γεγόνοι ml. 7. καὶ om l. 8. ἀπολειφθεὶς ia. δ' ὁ] δὲ E. 9. ἑπταετὴς CD. ἀπέλειπεν B. 12. ὥστε om F. 14. ἐν ἐλευθέρῳ B^{c}. 17. διὸ addiderunt AD l. 18. βάτταλον l et infra. 21. γραμμάτιον M^{o}.

τοῦ Βατάλου μέμνηνται. Δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. Ὁ δ' Ἀργὰς (καὶ τοῦτο γάρ φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον, ὡς θηριώδη καὶ πικρόν, ἐτέθη· τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἀργᾶν ὀνομάζουσιν· ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους· καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. Καὶ ταῦτα μὲν ταύτῃ [κατὰ Πλάτωνα.]

V. Τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. Καλλιστράτου τοῦ ῥήτορος ἀγωνίζεσθαι
848 τὴν περὶ Ὠρωποῦ κρίσιν ἐν τῷ δικαστηρίῳ μέλλοντος ἦν προσδοκία τῆς δίκης μεγάλη διά τε τὴν τοῦ ῥήτορος δύναμιν ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ καὶ διὰ τὴν πρᾶξιν οὖσαν περιβόητον. Ἀκούσας οὖν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. Ὁ δ' ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν εὐπόρησε χώρας, ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. Εὐημερήσαντος δὲ τοῦ Καλλιστράτου καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνου μὲν ἐζήλωσε τὴν δόξαν ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν καὶ μακαριζόμενον, τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε καὶ κατενόησε τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασεύειν πεφυκότος. Ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα καὶ τὰς παιδικὰς διατριβὰς αὐτὸς αὑτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς ἂν τῶν λεγόντων ἐσόμενος καὶ αὐτός. Ἐχρήσατο δὲ Ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτους τότε σχολάζοντος, εἴτε, ὥς τινες λέγουσι, τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς
5, 263—65 H.

---

25. ἀργας et mox ἄργαν libri. φησι BCEF. 26 et 28. πρὸς] bis παρὰ ml. 30. [κατὰ Πλάτωνα] delet Wyttenbachius, cf. C. Foertschium com. crit. de locis nonnullis Lysiae p. 35 sq.

V. 1. φασὶν αὐτῷ τοιαύτην E. 4. τὴν τοῦ] τοῦ M°. 12. εὐημερίσαντος E. καλλιστάρχου M°. 15. ἐθαύμαζε l, ἐθαύμασε ml. καὶ κατενόησε addiderunt marg. ADTSIVx. 16. τιθασεύειν DEF: τιθασσεύειν v. 18. ἂν addiderunt ADTl. λεγομένων BM°. καὶ αὐτὸς addiderunt ADSRIV.

δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν, εἴτε μᾶλλον τοῦ Ἰσαίου τὸν λόγον ὡς δραστήριον καὶ πανοῦργον ἐπὶ τὴν χρείαν ἀποδεχόμενος. Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο τὸν Δημοσθένην συνεσχολακέναι Πλάτωνι καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελῆσθαι, Κτησιβίου δὲ μέμνηται λέγοντος παρὰ Καλλίου τοῦ Συρακουσίου καί τινων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένην καταμαθεῖν.

VI. Ὡς γοῦν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι καὶ λογογραφεῖν ἐπ' αὐτοὺς πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος, κατὰ τὸν Θουκυδίδην, ταῖς μελέταις οὐκ ἀκινδύνως οὐδ' ἀργῶς, κατευτυχήσας ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων, τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως ἐπεχείρησεν εἰς μέσον παριέναι καὶ τὰ κοινὰ πράττειν. Καὶ καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις μακροῖς χρῆσθαι τῶν ἰατρῶν κελευσάντων, εἶθ' οὕτως διαπονήσαντα τὴν ἕξιν ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων, οὕτως τῷ Δημοσθένει συνέβη τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν. Καίτοι τό γε πρῶτον ἐντυγχάνων τῷ δήμῳ θορύβοις περιέπιπτε καὶ κατεγελᾶτο δι' ἀήθειαν τοῦ λόγου συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. Ἦν δέ τις, ὡς ἔοικε, καὶ φωνῆς ἀσθένεια καὶ γλώττης ἀσάφεια καὶ πνεύματος κολοβότης ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ διασπᾶσθαι τὰς περιόδους. Τέλος δ' ἀποστάντα τοῦ δήμου καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν Εὔνομος ὁ Θριάσιος ἤδη πάνυ γέρων θεασάμενος ἐπε-

5, 265—67 H.

---

26. ὠφελῆσθαι [AC]B^{c}: ὠφελεῖσθαι v.

VI. 4. *Θουκυδίδην*] 1, 18. 11 et 13. *οὕτω* AEl. 13. *δολιχόδρομον* M^{o}. *συνέβη τῷ δημοσθένει* C. 10. *ἐκ* AD: *ἐκ δὲ* v. 17. *γε* addiderunt ADl. 20. *ψυχρῶς* Wyttenbachius. 23. *διεσπᾶσθαι* C. 25. *Θράσιος* D.

τίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν οὔτε τοὺς ὄχλους ὑφιστάμενος εὐθαρσῶς οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

VII. Πάλιν δέ ποτέ φασιν ἐκπεσόντος αὐτοῦ καὶ ἀπιόν-
849 τος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως φέροντος ἀκολουθῆσαι Σάτυρον τὸν ὑποκριτὴν ἐπιτήδειον ὄντα καὶ συνελθεῖν. Ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτός, „Ἀληθῆ λέγεις, ὦ Δημόσθενες" φάναι τὸν Σάτυρον, „ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἂν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος." Εἰπόντος δὲ τοῦ Δημοσθένους μεταλαβόντα τὸν Σάτυρον οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. Πεισθέντα δ', ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. Ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον, ὃ δὴ διεσώζετο καὶ καθ' ἡμᾶς, ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας κατιόντα πλάττειν τὴν ὑπόκρισιν καὶ διαπονεῖν τὴν φωνὴν, πολλάκις δὲ καὶ μῆνας ἓξ ἢ δύο καὶ τρεῖς συνάπτειν ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. Ἀπαλλαγεὶς γὰρ αὐτῶν τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. Ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν εἰς γνώμας

5, 267—68 H.

VII. 2. ἀκολουθῆσαι E: ὑπακολουθῆσαι v. 18. κατάγεων C. 20. κατιόντα BM° cl. c. 8: προϊόντα v. 21. ἑξῆς] ἓξ καὶ M° 23. προελθεῖν [ACDEM°]RSTmlV: προσελθεῖν v.

VIII. 2. ἐποιοῦντο F. καὶ ἀφορμὰς ἐποιεῖτο l.

ἀνῆγε καὶ περιόδους, ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρου πρὸς ἑαυτὸν ἢ ὑφ' αὐτοῦ πάλιν πρὸς ἄλλον. Ἐκ τούτου δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὢν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος. Ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. Εἰς τοῦτο δὲ ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν καὶ Πυθέας ἐπισκώπτων ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. Τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης· „Οὐ ταὐτὰ γὰρ" εἶπεν „ἐμοὶ καὶ σοὶ, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε." Πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψας οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. Καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα τὸν λέγειν μελετῶντα· θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευὴν, τὸ δ', ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον, ἀφροντιστεῖν ὀλιγαρχικοῦ καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. Τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτοῦ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.

IX. Πόθεν οὖν, φαίη τις ἄν, ὁ Αἰσχίνης πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων ἀναστὰς μόνος ἀντεῖπεν, ἢ Λαμάχου τοῦ Μυριναίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ ἀναγινώσκοντος Ὀλυμπίασι παραστὰς καὶ

5, 268—70 H.

---

7. τε] δὲ M°. 8. ἑτέρου ABDCB°M°RSπlV: ἑτέρων v. ἑαυτὸν ABDEM°l: αὐτὸν v. 9. ὑπ' αὐτοῦ ml. πρὸς ἄλλον [ACBDE]B°V°M°lV: εἰς ἄλλον v. 13. καὶ om l. καθήμενος DlV, καθημένου ia (καθήμενον praeter ceteros etiam SRTml). τοῦ δήμου καλοῦντος πολλάκις E. 14. πεφροντικῶς A. 15. δὲ addiderunt ADlV. 17. ὄζουσιν BM°. τοῦτο l. 18. ταῦτα A.

IX. 1. ὁ Αἰσχίνης] in Ctesiph. p. 75 § 152. 3. θρασυνομένῳ — ῥέοντι πολλῷ Demosthenis sunt or. pro cor. p. 272, 20 R. 5. Μυριναίου Xylander: σμυρναίου E, μυρρηναίου ceteri et v. 6. εἰρήκοι l. 7. παραστὰς Cl: παραναστὰς v.

850 διεξελθὼν μεθ' ἱστορίας καὶ ἀποδείξεως, ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν, ὅσων αἴτιοι γεγόνασι κακῶν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῷ θορύβῳ τὸν σοφιστὴν ὑπεκδῦναι τῆς πανηγύρεως; Ἀλλ' ἔοικεν ὁ ἀνὴρ τοῦ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ καὶ τὸ μὴ ταχέως μηδὲ περὶ παντὸς ἐκ τοῦ παρισταμένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος οὐ πάνυ προίεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν οὐδ' ἐπὶ τύχῃ πολλάκις ἐκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν. Ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει καὶ Δημητρίῳ τῷ Φαληρεῖ καὶ τοῖς κωμικοῖς. Ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον, ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον ὥσπερ ἐνθουσιῶντα·

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν, ὁ δὲ παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ φησὶν οὕτως·

Ἀπέλαβεν, ὥσπερ ἔλαβεν. Β. ἠγάπησεν ἄν
Τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἀλονήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαικεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου.

5, 270—71 H.

---

10. γεγόνασι κακῶν ABDCEGFM°l: κακῶν γεγόνασιν v. 11. ἐπέστεψε M°. 12. ὑπεκδῦναι ADC: ὑπεκδύναι v. 15. τούτου C. 16. προΐεσθαι D, προείσθαι ml Coraes. 18. γε om M°. 22. φαλληρέως C. 23. ποτὶ C. 25. cf. Meinekium poet. com fr. 3 p. 613. 26. τις αὐτῶν B^{c}M°. ῥωποπερήθραν ia, correxit Stephanus ex ‚vet. exempl.' et [ACB^{c}M°]ml, ῥωπολεπερήτραν SRT. 28. cf. Meinekium l. l. p. 92. ὡς παρέλαβεν mlx. ἠγάπησεν ἄν Coraes ex Athenaei 7 p. 223 e: ἠγάπησε γὰρ libri, unde ἠγάπησέ γ' ἄν Dobraeus ad Aristoph. nub. v. 1382. 29. παραλαβὼν δημοσθένης ἐκτὸς, εἰ μὴ ml. παραλαβεῖν x. 30. ἀλλοννήσου BD, ἀλοννήσου BDEM°. ὁ om l. 31. πέπειχθεν M°. συνεβούλευσε Schaeferus. 32. περὶ συλλαβῶν διαλεγόμενος post Φιλίππου cum asterisco addit marg. A, sine asterisco Dl.

X. Πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον ἀνίκητον εἶναι καὶ παραφέρειν αὐτοσχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ' ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. Ἐρωτηθέντα γάρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν· „Ἄξιος τῆς πόλεως·“ ὁποῖος δὲ Δημάδης· „Ὑπὲρ τὴν πόλιν.“ Ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνῃσιν, ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένην, δυνατώτατον δὲ εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. Καὶ μέντοι καὶ τὸν Δημοσθένην φασὶν αὐτὸν, ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοις συνήθεις· „Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται.“ Τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

XI. Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος· τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι διαλεγόμενον καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ προφερόμενον· εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. Λέγεται δ', ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας καὶ διεξιόντος, ὡς ὑπό του λάβοι πληγάς, „Ἀλλὰ σύ γε“ φάναι τὸν Δημοσθένην,

5, 272—73 H.

X. 1. φήσει M°. 2. αὐτοσχεδιάζοντα Bryanus: αὐτὸν σχεδιάζοντα libri. 4. τινος C. 8. σφήττιον l. 10. δυνατώτερον C. 12. ἂν delent Coraes Schaeferus, sed cf. Alcib. 6, 23. 14. ἀνίσταται] πάρεστι ml, nempe ex Phoc. 5.

XI. 2. φαλληρεὺς C constanter. 3. πρεσβυτέρου CE cod. Stephani (‚legitur etiam‘). 7. προσβάσεσι Coraes: προβάσεσι libri. διαλεγόμενος Fia. 8. προφερόμενον [ACD]STV: προσφερόμενον v. 9. αὐτοῦ l. 11. προσιόντος C. 12. δημοσθένη B^{c}BDE.

„τούτων ὧν λέγεις οὐδὲν πέπονθας.“ Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου καὶ βοῶντος „Ἐγώ, Δημόσθενες, οὐδὲν πέπονθα;“ „Νὴ Δία“ φάναι „νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος.“ Οὕτως ᾤετο μέγα πρὸς πίστιν
851 εἶναι τὸν τόνον καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἥρεσκε θαυμαστῶς, οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακὸν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν. Αἰσίωνα δέ φησιν Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους, ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν. Οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἄν λέγοι τις; ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν ἐρρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος „Ἐμὲ Δημοσθένης, ἢ ὗς τὴν Ἀθηνᾶν·“ „Αὕτη“ εἶπεν „ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη.“ Πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν „Οἶδα“ εἶπεν „ὅτι σε λυπῶ λύχνον καίων. Ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γινομένας κλοπὰς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς δὲ τοίχους πηλίνους ἔχωμεν.“ Ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα· τὸν δ' ἄλλον αὐτοῦ τρόπον καὶ τὸ ἦθος ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

XII. Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τέ φησι καὶ λαβεῖν ἔστιν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν. Αἱ μὲν γὰρ ἤδη

5, 273—74 H.

---

13. ἐπιτείναντος — 15 πέπονθα om M°. 20. ἀππίωνα AD1, αἰσίωνα ml, cf. Aristotelis rhet. 3, 10. Suidam v. Δημοσθένης. 26. πολὺ τὸ αὐστηρὸν C. πυκνὸν l, πικρὸν ml. τί ἄν τις λέγοι E. 27. παρὰ] περὶ l, παρὰ ml. 30. κωλλυτῷ l, κωλυτῶ M°. 31. ἀπεκαλεῖτο l, ἐπεκαλεῖτο ml. 34. γινομένας Corais D: γενομένας v. 36. τούτου καίτοι πλείω C. 37. αὐτοῦ om F. 38. δίκαιος l.

XII. 2. αὐτὸς] pro coron. 230, 27. 3. ἐστιν post δημηγοριῶν ponit l.

διαπεπραγμένων ἐκείνων γεγόνασιν, αἱ δὲ πρεσβύταται τῶν ἔγγιστα πραγμάτων ἅπτονται. Δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ Μειδίου παρασκευασάμενος εἰπεῖν δίκην δύο μὲν ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. Ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν·

Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. Ὁρῶν δ' οὐ φαῦλον οὐδὲ τῆς αὐτοῦ δυνάμεως ἔργον ἄνδρα καὶ πλούτῳ καὶ λόγῳ καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν, τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. Αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἄν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι. Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παῤῥησίας, ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων, ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστι. Καὶ γὰρ Αἰσχίνης καὶ Ὑπερείδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν.

XIII. Ὅθεν οὐκ οἶδ' ὅπως παρέστη Θεοπόμπῳ λέγειν, αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι καὶ μήτε πράγμασι μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. Φαίνεται γὰρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὑτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐπὶ τῷ μὴ μεταβαλέσθαι προέμενος. Οὐ γὰρ, ὡς Δημάδης ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν, αὐτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ

5, 274—76 H.

---

10. Homeri Iliad. 20, 467. τοι E. ἦν om E. 12. τὸ ἔργον E. 15. ἀμβλῦναι DCE, ἀμβλύναι v, ἀμβῦναι M°. 21. πλεῖστον — Φιλίππῳ repetit c. 16. 22. παρὰ] ἐπὶ l, παρὰ ml. 24. ὑπερίδης libri.

XIII. 6. διαφυλάξαι E. μεταβαλόμενος Reiskii [ADBE] M°: μεταβαλλόμενος v. 7. ἐπὶ τῷ μὴ BDECB°P^aM°l: ἐν τῷ μὴ v.

πόλει μηδέποτε, καὶ Μελάνωπος ἀντιπολιτευόμενος Καλλι-
852 στράτῳ καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος εἰώθει λέγειν πρὸς τὸν δῆμον „Ὁ μὲν ἀνὴρ ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον“, Νικόδημος δ' ὁ Μεσσήνιος Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ Δημητρίου πολιτευόμενος οὐκ ἔφη τἀναντία λέγειν, ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων· οὕτω καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν οἷον ἐκτρεπομένου καὶ πλαγιάζοντος ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἀφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. Παναίτιος δ' ὁ φιλόσοφος καὶ τῶν λόγων αὐτοῦ φησιν οὕτω γεγράφθαι τοὺς πλείστους, ὡς μόνου τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ ὄντος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατὰ Ἀριστοκράτους, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς· ἐν οἷς πᾶσιν οὐ πρὸς τὸ ἥδιστον ἢ ῥᾷστον ἢ λυσιτελέστατον ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος· ὡς, εἴγε τῇ περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρία τε πολεμιστήριος καὶ τὸ καθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ Μοιροκλέα καὶ Πολύευκτον καὶ Ὑπερείδην ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος καὶ Θουκυδίδου καὶ Περικλέους ἄξιος ἦν τίθεσθαι.

XIV. Τῶν γοῦν κατ' αὐτὸν ὁ Φωκίων οὐκ ἐπαινουμένης προϊστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως δι' ἀνδρίαν καὶ δικαιοσύνην οὐδὲν οὐδαμῆ χείρων ἔδοξεν Ἐφιάλτου καὶ Ἀριστείδου καὶ Κίμωνος ἀνὴρ γενέσθαι.
5, 276—77 H.

---

11. *μετατιθέμενος*] cf. mor. 58 c, 112 b. 13. *κασσάνδρῳ* B ml. 14. *ὑπὲρ* ABDCEFM°l: *ὑπὲρ τοῦ* v. 18. *ἀφ'* Corais C cl. mor. 55 d: *ἐφ'* v. 21. *φησὶν αὐτοῦ* ADCBEFM°l. *οὕτω* om B. *μόνον* Stephaniana. 22. *δι' αὐτοῦ* E. *αἱρετοῦ ὄντος*] hiatus non offendit. 24. *καὶ λυσιτελέστατον* M°. 27. *τῇ* om Fia et v. 28. *ἀνδρία* corr ABDCM°l: *ἀνδρεία* v. 30. *Μοιροκλέα* Meursius lectt. attic. 1, 13: *μυροκλέα* libri. *ὑπερείδην* libri. 32. *ἄξιος* om E.

XIV. 1. *κατ'* ml: *μετ'* libri. 3. *ἀνδρίαν* corr ABECM°l: *ἀνδρείαν* v. *οὐδαμῆ* ABDECP^{a}M°l: *οὐδαμοῦ* v. *ἔδοξε τοῦ* Stephaniana. 4. *ἀνὴρ* om E.

Δημοσθένης δ' οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὥς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππου καὶ Μακεδονίας ἀνάλωτος ὢν, τῷ δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλὰ, μιμήσασθαι δὲ οὐχ ὅμοιος. Ἐπεὶ τούς γε καθ' αὑτὸν ῥήτορας (ἔξω δὲ λόγου τίθεμαι Φωκίωνα) καὶ τῷ βίῳ παρῆλθε. Φαίνεται δὲ καὶ μετὰ παῤῥησίας μάλιστα τῷ δήμῳ διαλεγόμενος καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἔστιν. Ἱστορεῖ δὲ καὶ Θεόπομπος, ὅτι, τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε, θορυβούντων, ἀναστὰς εἶπεν· „Ὑμεῖς ἐμοὶ, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μὲν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δὲ οὐδὲ ἂν θέλητε.“ Σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἀνήγαγε καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος ἤλεγξεν ὑπεσχημένον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς ἀπέθανε. Κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης· καὶ θανάτου τιμησάμενος ἀπέκτεινε.

XV. Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέου τοῦ στρατηγοῦ λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἶλε τὸν ἄνδρα τοῦ ὀφλήματος, Δημοσθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ' οἷς εἰκότως ἠδόξησε. Καὶ γὰρ ὁ Φορμίων ἠγωνίζετο λόγῳ Δημοσθένους πρὸς τὸν Ἀπολλόδωρον, ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ' ἀλλήλων ἐγχειρίδια πωλοῦντος αὐτοῦ τοῖς

5, 277—79 H.

---

7. περὶ l, παρὰ ml. 10. ὁμοίως Reiskius. 11. κατ' αὐτὸν l. 16. προβαλλομένων — 17 θορυβούντων] cf. Phoc. 9. 17. θορυβούμενος C. 19. χρήσεσθαι M°. ἂν ABDCM°l: ἐὰν v. 22. ἀνήγαγε ADl: παρήγαγε v. 24. νεώρια ἐμπρήσειν recte habent, cf. Demosthenis or. pro cor. p. 27 R. § 132. παραδοθεὶς] καταγνωσθεὶς ml. 26. τε addiderunt [AC]B^{c}P^{a}M°l. ἄλλη δὴ F. ῥαδιουργήσης D. 27. ἀπέκτεινεν D.

XV. 5. ὁ addiderunt ADl. 6. μαχαιροπωλείου CM°, μαχαιροπολίου E.

ἀντιδίκοις. Τῶν δὲ δημοσίων ὁ μὲν κατ' Ἀνδροτίωνος καὶ Τιμοκράτους καὶ Ἀριστοκράτους ἑτέροις ἐγράφησαν, οὕπω
853 τῇ πολιτείᾳ προσεληλυθότος· δοκεῖ γὰρ δυεῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους· τὸν δὲ κατὰ Ἀριστογείτονος αὐτὸς ἠγωνίσατο, καὶ τὸν περὶ τῶν ἀτελειῶν διὰ τὸν Χαβρίου παῖδα Κτήσιππον, ὥς φησιν αὐτός, ὡς δ' ἔνιοι λέγουσι, τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. Οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ συνωνύμων. Ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας ἄδηλον εἰ λέλεκται· καίτοι φησὶν Ἰδομενεὺς παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. Ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθές, εἰ δεῖ τοῖς περὶ στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. Μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος ὡς ἄχρι δίκης προελθόντος. Ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον.

XVI. Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. Διὸ καὶ παρὰ Φιλίππῳ πλεῖστος ἦν λόγος αὐτοῦ· καὶ ὅτε πρεσβεύων δέκατος ἦκεν εἰς Μακεδονίαν ἤκουσε μὲν πάντων Φιλίππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον καὶ κάλλιστον ὀφθῆναι καὶ νὴ Δία συμπιεῖν ἱκανώ-
5, 279—80 H.

10. δυεῖν AD: δυοῖν v. 11. τοὺς λόγους τούτους ἐξενεγκεῖν C. 12. περὶ] ὑπὲρ x. 13. ὥς φησιν αὐτὸς κτήσιππον C. 15. συνῴκισεν C. 16. ὁμωνύμων Casauboni in Diogen. Laert. 1, 38 nuperi, sed cf. Westermanni quaest. Demosth. 4 p. 39 seq. ὁ] οὐ AD. 17. τῆς] περὶ ml. 21. ἐκείνου om F. 22. παρελθόντος ABDCB^c, παρελθεῖν M^o. ταῦτα Schaeferus.

XVI. 3. ἑκάστου C. 5. φιλίππῳ [AC]STCVx: Φιλίππου v· ceterum eadem fere supra legebantur c. 12. 6. ἤκουσε — ἐγκώμιον Photius Bekkeri p. 399. 7. ἁπάντων Photius. 8. ἔν γε om Photius. 9. ἀλλὰ καὶ Photius. 10. φιλοκράτη BCEB^c. 11. ἐκεῖνον C. ὡς καὶ] ὡς Photius.

τατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον.

XVII. Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔρρεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθηναίους καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. Δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις, πείσας τὸν δῆμον ἀφέντα τὴν ἔχθραν καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις πόλεμον ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν. Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι καὶ παροξύνων συνέστησε πλὴν ὀλίγων ἅπαντας ἐπὶ τὸν Φίλιππον, ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων, χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. Ὅτε καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφοράς, εἰπεῖν Κρωβύλον τὸν δημαγωγὸν, ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος. Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας καὶ μάλιστα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. Ἦν δ' οὐ ῥᾴδιον ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασευμένους ὑπὸ τοῦ Φιλίππου μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

XVIII. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος ὑπὸ τῆς περὶ τὴν 854
Ἀμφισσαν εὐτυχίας ἐπαιρόμενος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης

5, 280—82 H.

XVII. 6. *Μακεδόνας*] *Λακεδαιμονίους* M°. 7. *πυρινθίοις* AD. 14. *δυνάμεως* a et v. 17. *Κρωβύλον* Schaeferus: *Κρώβυλον* v, cf. Frankium ad Aeschinis or. Timarch. § 86. 24. *τότε* om C. 26. *τετιθασσευμένους* Reiskianae ceteri. *μεταστῆναι* l, *μεταστῆσαι* ml. 29. *ταῖς πόλεσι* om l.

ἐνέπεσε καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα μηδὲ ἔχοντος ὅ τι χρὴ λέγειν, ἀλλ' ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἆλλα παραθαρρύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσιν ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. Ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας φησίν, Ἀμύνταν μὲν καὶ Κλέαρχον Μακεδόνας, Δάοχον δὲ Θεσσαλὸν καὶ Θρασυδαῖον ἀντεροῦντας. Τὸ μὲν οὖν συμφέρον οὐ διέφευγε τοὺς τῶν Θηβαίων λογισμούς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινά, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων· ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν, ὥστε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας, διοικεῖσθαι δὲ τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος οὐκ ἀδίκως οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

XIX. Τύχη δέ τις ὡς ἔοικε δαιμόνιος ἐν περιφορᾷ πραγμάτων εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος ἐναντιοῦσθαι τοῖς πραττομένοις καὶ πολλὰ

5, 282—84 H.

XVIII. 5. ἀλλ' addiderunt ABDCB^{c}P^{a}M^{o}l. 9. μεθ' ἑτέρων πρεσβευτὴς B. μαρσίας M^{o}l. 10. δάοδον C. 11. δὲ Corais C: δὲ καὶ v. δάοχον δὲ καὶ θρασυδαῖον θεσσαλοὺς ml. Ἠλεῖον post Θρασυδαῖον requirebat Bryanus. 12. διέφευγε ABDCERTl: διέφυγε v. ἀθηναίων M^{o}. 17. ὥστε καὶ l: ὥστε εἰς [ACBD EF]M^{o}iV, ὥστε v. ἐμβαλεῖν M^{o}. 19. λαμπρὸν] καλὸν D, sed corr marg. 24. διοικεῖσθαι δὲ Reiskii l: διοικεῖσθαί τε P^{a}, διοικεῖσθαι v. 27. θεόπομπος ἀποφαίνεται B.

XIX. 1. ‚ὡς ἴσως παρέλκει aut deest aliud verbum' Muretus. delerunt nuperi, fortasse recte, quamquam cf. librorum scripturam Sol. 3, 13 mor. 321 a 412 b 545 c. 3. ἐναντιοῦσθαι δοκεῖ τοῖς l.

σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία δεινὰ προΰφαινε μαντεύματα καὶ χρησμὸς ᾄδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων·

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει ὁ νικηθείς, ὁ δὲ νικήσας ἀπόλωλε.

Τὸν δὲ Θερμώδοντά φασιν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον. Ἡμεῖς δὲ νῦν μὲν οὐδὲν οὕτω τῶν ῥευμάτων ἴσμεν ὀνομαζόμενον, εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμονα Θερμώδοντα λέγεσθαι τότε· καὶ γὰρ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες· καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν ταύτην διαλλάξαι τὴν προσηγορίαν. Ὁ δὲ Δοῦρις οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ' ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας ἀνδριαντίσκον εὑρεῖν λίθινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέρων τετρωμένην. Ἐπὶ δὲ τούτῳ χρησμὸν ἄλλον ᾄδεσθαι λέγοντα·

Τὴν δ' ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι.
Τηνεί τοι κρέα πολλὰ παρέσσεται ἀνθρώπεια.

XX. Ταῦτα μὲν οὖν ὅπως ἔχει, διαιτῆσαι χαλεπόν. Ὁ δὲ Δημοσθένης λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαῤῥηκὼς καὶ λαμπρὸς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους αἰρόμενος οὔτε χρησμοῖς ἐᾶν προσέχειν οὔτε μαντείας ἀκούειν, ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσκων Ἐπαμινώνδου τοὺς Θηβαίους καὶ Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ 855

5, 284—85 H.

---

8. *θειήσασθαι* ial. 11. *κηφισσὸν* BCM°. 12. *οὕτω τῶν ῥευμάτων ἴσμεν* ABDCEM°l: *ἴσμεν οὕτω τῶν ῥευμάτων* v, *ἴσμεν* om Fi. 13. *Αἵμωνα* Stephaniana. *καὶ γὰρ* ADl: *καὶ* v. 14. *περὶ τὸ* DCEl. 15. *γενομένης* F. 16. *ταύτην* ADlV: *ταυτηνὶ* CM°, *ταυτηὶ* v. 18. *περιορύττοντας* D. 21. *φέροντα* Coraes Schaeferus. *δὲ* addiderunt ADCBEB°M°l. 22. *λέγοντα*] *λέγοι πρὸς δὲ* ωV. 23. *τὴν δ' ἐπὶ* ADCl: *τὴν ἐπὶ* v. 24. *τὴν εἴ τοι* ωV. *ἀνθρώπεια* mlx: *ἀνθρώποισι* libri.

XX. 1. *οὖν* om C. 3. *λαμπρὸς* BEFM°: *λαμπρῶς* v. 5. *προσέχειν* Solanus: *προσχεῖν* libri. 6. a nullo libro oblatum *Ἐπαμεινώνδου*.

τοιαῦτα δειλίας ἡγούμενοι προφάσεις ἐχρῶντο τοῖς λογισμοῖς. Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ' ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος ὤχετο λιπὼν τὴν τάξιν ἀποδρὰς αἴσχιστα καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθείς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ τύχῃ. Παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων ᾠδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων·

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν.

ἐκνήψας δὲ καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναρρῖψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ. Διῆκτο δ' ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέως· κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις ἐπὶ θάλασσαν γράμματα χρήματα Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. Ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν τοῦ Δημοσθένους καὶ γράμματα τῶν βασιλέως στρατηγῶν δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

XXI. Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γεγενημένης οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες ἐπεμβαίνοντες τῷ Δημοσθένει κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει καὶ προκαλούμενος αὖθις ὡς εὔνους εἰς τὴν πολιτείαν, ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκὸς, ὡς γράφει καὶ

5, 285—86 H.

---

11. λιπὼν addiderunt ADTSVl. τὴν τάξιν] τὴν ταχίστην P^a. 12. πυθίας M^o. 16. διαιρῶν V^aV: διαίρων v. 19. ἐκνίψας M^o. 22. ἀναῤῥῖψαι Schaeferus: ἀναῤῥίψαι v, ἀναῤῥίψας F. 24. ἐπὶ θάλασσαν addiderunt ADV.

XXI. 1. γεγενημένης ABDEM^o: γενομένης v. 4. μὴ μόνον C. προκαλούμενος ADl: προσκαλούμενος v. ὡς εὔνουν om l. εἰς] ἐπὶ C. 8. ἀγενῶς M^ol.

τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. Τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάρρησε Φιλίππου τελευτήσαντος. Ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας. Καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι·

Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.

XXII. Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης, προκαταλαμβάνων δὲ τὸ θαρρεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς, ἀφ' οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν· καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. Εὐθὺς οὖν ἔθυον εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. Καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς ὁ Αἰσχίνης φησὶ λοιδορῶν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δὲ ἀλύπως φέρειν ταῦτα καὶ πράως ἀπεδοκίμαζεν. Ἐγὼ δ', ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου παίσασιν αὐτοῖς στεφανηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν εἰποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ' ὑφ' ἑτέρου μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας· ὅτι μέντοι 856

5, 286—88 H.

10. τὸ σύμβολον M°. τοῦ μὴ M°.

XXII. 1. totum caput transscripsit Photius Bekkeri p. 394 nonnullis omissis ac mutatis, quae singula annotare operae pretium non duxi. 2. τῷ θαρρεῖν CFmlx. 3. φαιδρῶς D. 9. ὁ addiderunt ABDEFl. 10. ἀγενὴς M°. 11. τὰ πένθη] τὸ ταπεινὸν Photius. 14. ἐν] ἐφ' ml. εὐτύχησε CE. 15. χρησάμενος ia. εἶχε Photius Vmlx: εἰ δὲ v. στεφανηφορεῖν καὶ θύειν καλῶς omisso εἶχε E. 18. χάριν l. 19. παιανίζειν ml. ‚ἴσ. pro αὐτοὺς τοὺς' Muretus V.

τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαινῶ καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων, οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες, πόθεν ἄν τις ἐπαγάγοιτο βελτίω παρηγορίαν ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; Ταῦτα μὲν οὖν εἰπεῖν προήχθημεν ὁρῶντες ἐπικλῶντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον.

XXIII. Αἱ δὲ πόλεις πάλιν τοῦ Δημοσθένους ἀναῤῥιπίζοντος αὐτὰς συνίσταντο. Καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς συμπαρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. Καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην ἀποκαλῶν αὐτόν. Ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ ἰθασύτης τῶν Ἀθηναίων καὶ ὁ Δημοσθέ-

5, 288—89 H.

---

23. ἐνιστάμενον Photius. πράγματα καὶ πάθη Photius. 24. τὸ om ml. 25. τῶν τυραννικῶν καὶ βασιλικῶν C. 28. εἰ δεῖ] ἔδει Photius. 29. τῷ πάσχειν Photius. καὶ post ἀλλὰ om C. 31. ὥσπερ οἱ [ACBDEF]B^{c}M^{o}ωSRTlVx: ὥσπερ Photius, ὥσπερ εἰ v. 32. χρώματα om l. 33. κελεύοντες [AC]B^{c}M^{o}TqSVlx Photius: κελεύοντος Fi, κελεύοντας v. ἐπαγάγοιτο [ACDBF]B^{c} M^{o}STlVx: ἀπαγάγοιτο v, ἐπάγοιτο E et Photius. 34. εὐτυχούσης STq Photius Vx: ἀτυχούσης v. 35. ἐφαφανίζουσαν Photius.

XXIII. 4. συμπαρασκευάσαντος ABDECM^{o}l: παρασκευάσαντος v. 9. παρὼν M^{o}. 10. ἐξεκόπτετο C.

νης ἀπεσβήκει, Θηβαῖοι δὲ προδοθέντες ὑπ' ἐκείνων ἠγωνισαντο καθ' αὑτοὺς καὶ τὴν πόλιν ἀπέβαλον. Θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω καὶ τὴν πρεσβείαν ἀφῆκεν. Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξήτει πέμπων τῶν δημαγωγῶν δέκα μέν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν, ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένην, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μοιροκλέα, Δήμωνα, Καλλισθένην, Χαρίδημον. Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα μονόλυκον προσηγόρευσεν. Ἔτι δ' „Ὥσπερ" ἔφη, „τοὺς ἐμπόρους ὁρῶμεν ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες." Ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασσανδρεὺς ἱστόρηκε. Βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν, εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε προσδοκῶν μεστὸν εὑρήσειν ὥσπερ λέοντα φόνου κεκορεσμένον. Ἔπεισε δ' οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ Δημάδης καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

XXIV. Ἀπελθόντος δὲ Ἀλεξάνδρου μεγάλοι μὲν ἦσαν 857
οὗτοι, ταπεινὰ δ' ἔπραττεν ὁ Δημοσθένης. Κινουμένῳ δὲ Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' Ἄγιδος πεσόντος καὶ τῶν Λακεδαιμονίων συντριβέντων. Εἰσήχθη

5, 289—91 H.

---

11. προσδοθέντες a. 14. αἱρεθεὶς δὲ ia et v. 16. ἐξήτει ml: ἐζήτει DF, ἐζήτει v. 20. Μοιροκλέα Meursius: ναυσικλέα B^c, μυροκλέα ceteri et v. δήμωνα ABDCB^{c}l: δήμονα M^o, Λάμωνα v. καλλισθένην AC[M^{o}l]: Καλλισθένη v. 21. ὡς] ὅς a et v. 22. ἐξέδωκαν M^o. 25. ὥσπερ ABDEFCM^{o}il: ὡς v. 28. κασσανδρεὺς ABDCM^o: Κασανδρεὺς v. 31. πρεσβεύσειν Reiskiana: πρεσβεύειν libri et v. 32. εὑρήσειν μεστὸν C. 34. αὐτῷ F Muretus (‚ἴσ. αὐτῷ') IV: αὐτῶν v.

XXIV. 1. δὲ τοῦ Ἀλεξάνδρου M^o.

δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδου ἄρχοντος μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' Ἀριστοφῶντος, γενομένη δὲ, ὡς οὐδεμίᾳ τῶν δημοσίων, περιβόητος διά τε τὴν δόξαν τῶν λεγόντων καὶ τὴν τῶν δικαζόντων εὐγένειαν, οἳ τοῖς ἐλαύνουσι τὸν Δημοσθένην τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν οὐ προήκαντο τὴν κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. Ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιὼν καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιστεύων κατεβίωσε.

XXV. Μετ' οὐ πολὺ δ' Ἅρπαλος ἦκεν ἐξ Ἀσίας εἰς τὰς Ἀθήνας ἀποδρὰς Ἀλέξανδρον αὑτῷ τε πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. Καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὐτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον ἐβοήθουν καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. Ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον καὶ φυλάττεσθαι, μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βαρβαρικῇ κύλικι καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος ἐκέλευσε διαβαστάσαντα τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. Θαυμάσαντος δὲ τοῦ Δημοσθένους τὸ βάρος καὶ πυθομένου, πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος „Ἄξει σοι" φησὶν „εἴκοσι τάλαντα·" καὶ γενομένης τάχιστα τῆς νυκτὸς ἔπεμψεν αὐτῷ τὴν κύλικα μετὰ τῶν εἴκοσι ταλάντων. Ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρωτικοῦ πρὸς χρυσίον ἀνδρὸς ὄψει καὶ διαχύσει

5, 291—92 H.

αι

7. χερώνδου M°, χαιρωνίδου ml. in hiatu si iusta offensio est possit vel transpositione tolli vel delendo ἄρχοντος. 11. πλεῖστα C. 13. οὕτως DF.

XXV. 2. τὰς om C. πράγματα ABDCEFM°l: τὰ πράγματα v. 3. ἤδη om C. 12. βαρβαρικῇ ABDCEFB°M°RST cod. Stephani (‚est alia etiam lectio') lV: βασιλικῇ v. 13. τήν τε l. τὴν ῥητορείαν D. ἐκέλευσε Schaeferi ADCEl: ἐκέλευε v. 15. τοῦ Δημοσθένους om E. 17. αὐτῶν D. 19. ὄψει lVx: ὄψιν libri.

καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. Οὐ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας ὥσπερ παραδεδεγμένος φρουρὰν προσκεχωρήκει τῷ Ἁρπάλῳ. Καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου καθελιξάμενος εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν διένευεν, ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. Οἱ δ' εὐφυεῖς χλευάζοντες οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ὑπ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν. Ὕστερον δὲ τοῦ δήμου παντὸς αἰσθομένου τὴν δωροδοκίαν καὶ βουλόμενον ἀπολογεῖσθαι καὶ πείθειν οὐκ ἐῶντος, ἀλλὰ καλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν εἰπών· „Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος;“ Τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον, δεδιότες δέ, μὴ λόγον ἀπαιτῶνται χρημάτων ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων πλὴν τῆς Καλλικλέους τοῦ Ἀρρενίδου. Μόνην γὰρ τὴν τούτου νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεόπομπος.

XXVI. Ὁ δὲ Δημοσθένης ὁμόσε χωρῶν εἰσήνεγκε ψήφισμα τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν δοῦναι δίκην. Ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου καταψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον, ὀφλὼν δὲ πεντήκοντα ταλάντων δίκην καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας φασὶ 858
καὶ δι' ἀσθένειαν τοῦ σώματος οὐ δυναμένου φέρειν τὸν εἱργμὸν ἀποδρᾶναι τοὺς μὲν λαθόντα, τῶν δὲ λαθεῖν ἐξουσίαν δόντων. Λέγεται γοῦν, ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας καὶ βούλοιτο μὲν αὐτὸν ἀποκρύπτειν, ὡς δ' ἐκεῖνοι φθεγ-

5, 292—94 H.

24. καθελιξάμενος Reiskii C: τελιξάμενος B^c, κατελιξάμενος ceteri et v. 26. συνάγκης Francofurtana. 27. ὑπ' ἀργυράγχης l: παρ' ἀργυράγχης B^c, ἀπ' ἀργυράγχης ceteri et v, praepositionem ον om Photius. 29. βουλόμενον [ABD]TSlVx: βουλομένου C, βουλομένου v. ἀλλὰ — 30 θορυβοῦντος om l. 31. ἀκούσεσθαι ia. 32. τὸν om ADl. 33. διηρπάκασιν E. 35. ἐρεύνων M^o.

XXVI. 2. πάγου om C. 5. ὀφλὼν Schaeferus: ὄφλων v. 6. δεσμωτήριον] δικαστήριον l. φασὶ BD. 8. ἀποδράναι C, ἀπέδρα, τοὺς μὲν λαθὼν x nuperi. λαθόντας A. 9. διδόντων l.

ξάμενοι τοὔνομα καὶ προσελθόντες ἐγγὺς ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο κομίζοντες ἀργύριον οἴκοθεν καὶ τούτου χάριν ἐπιδιώξαντες αὐτόν, ἅμα δὲ θαρρεῖν παρεκάλουν καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκός, ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένην καὶ εἰπεῖν· „Πῶς δ' οὐ μέλλω φέρειν βαρέως ἀπολιπὼν πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους εὑρεῖν οὐ ῥᾴδιόν ἐστιν;“ Ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς ἐν Αἰγίνῃ καὶ Τροιζῆνι καθεζόμενος τὰ πολλὰ καὶ πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν ἀπομνημονεύεσθαι. Λέγεται γὰρ ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας εἰπεῖν· „Ὦ δέσποινα Πολιάς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ;“ Τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας λέγων, ὡς, εἰ, δυεῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακά, φόβους καὶ φθόνους καὶ διαβολὰς καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

XXVII. Ἀλλὰ γὰρ ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν Ἀλέξανδρος μὲν ἐτελεύτησε, τὰ δ' Ἑλληνικὰ συνέσταντο πάλιν, Λεωσθένους ἀνδραγαθοῦντος καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ πολιορκούμενον. Πυθέας μὲν οὖν ὁ ῥήτωρ καὶ Καλλιμέδων ὁ Κάραβος ἐξ Ἀθηνῶν φεύγοντες Ἀντιπάτρῳ προσεγένοντο καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιόντες οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις· Δημοσθένης δὲ τοῖς ἐξ ἄστεος πρεσβεύουσι προσμίξας ἑαυτὸν ἠγωνίζετο καὶ συνέπραττεν,

12. προελθόντες l. 13. ἐπ' αὐτῶ τούτω supr. scr. BM°. 14. αὐτὸν ABDCM°PªTSIVx: αὐτῷ v. 17. ἀπολείπων Coraes. 18. ἐστιν om C. 19. μαλακῶς] χαλεπῶς C. τροίζηνι BD. καθιζόμενος M°. 27. δυεῖν M° Photius Bekkeri p. 394: δυοῖν v. προκειμένοιν ὁδοῖν ml. αὐτῷ προκειμένων ἀπ' ἀρχῆς ὁδῶν Photius. 29. ἐτύγχανε Schaeferi [D]: ἐτύγχανε δὲ ceteri et v. εἰδὼς Photius. 31. ἀγωνίας Photius.

XXVII. 3. λεοσθένους Francofurtana. προτειχίζοντος l.

ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος. Ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ Φύλαρχος ἐν ἐκκλησίᾳ, τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. Λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένην στρέψαι τὸ παράδειγμα φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγιείᾳ καὶ τοὺς Ἀθηναίους ἐπὶ σωτηρίᾳ παραγίνεσθαι τῶν νοσούντων. Ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος ψηφίζεται τῷ Δημοσθένει κάθοδον. Τὸ μὲν οὖν ψήφισμα Δήμων ὁ Παιανιεὺς, ἀνεψιὸς ὢν Δημοσθένους, εἰσήνεγκεν· ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς Αἴγιναν. Ἐκ δὲ Πειραιῶς ἀνέβαινεν οὔτε ἄρχοντος οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. Ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτὸν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα· πεπεισμένους γαρ, οὐ βεβιασμένους, ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας. Τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης (οὐ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην) ἐσοφίσαντο 859
πρὸς τὸν νόμον. Εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ Διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅσον ἦν τίμημα τῆς καταδίκης.

XXVIII. Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα μάχη

5, 296—97 H.

---

13. φίλαρχος l, φύλαρχος γρ. φαληρεὺς ml. 16. ἐκφέρεται F. 19. ὑγιείᾳ ADBEl: ὑγιείας M°, ὑγείᾳ v. ἐπὶ σωτηρίᾳ παραγίνεσθαι ADBCEFM°l: παραγίνεσθαι ἐπὶ σωτηρίᾳ v. 26. ἀπαντώντων] ἁπάντων F. 31. ἐσοφίσαντο ABDECB°M°Tωlx: ἐσοφίζοντο ‚ex vetustis codicibus' Stephanus, ἐψηφίσαντο Fia. 35. ὅσον ABDEB°M°P°RSTlV: ὅπερ Fml et v.

XXVIII. 3. κρανῶν B°, Κράνωνα nuperi. Κρανῶνι Camill. 19, 31. Κράνωνι Phoc. 26, ubi κράννωνι AP, κράνω C. cf. Schweighaeuserum in Athenaei 2 p. 42 c. Drakenborchium in Livii 36, 10. Boeckhium C. I. 2 p. 189 a. μάχην DC.

συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. Ὡς Ἀντίπατρος καὶ Κράτερος ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένην φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω Δημάδου γράψαντος. Ἄλλων δὲ ἀλλαχοῦ διασπαρέντων ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας ὁ κληθεὶς Φυγαδοθήρας. Τοῦτον δὲ Θούριον ὄντα τῷ γένει λόγος ἔχει τραγῳδίας ὑποκρίνεσθαί ποτε καὶ τὸν Αἰγινήτην Πῶλον τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν. Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. Οὗτος οὖν ὁ Ἀρχίας Ὑπερείδην μὲν τὸν ῥήτορα καὶ Ἀριστόνικον τὸν Μαραθώνιον καὶ τὸν Δημητρίου τοῦ Φαληρέως ἀδελφὸν Ἱμεραῖον ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον ἀποσπάσας ἔπεμψεν εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν, Ὑπερείδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι.

XXIX. Τὸν δὲ Δημοσθένην πυθόμενος ἱκέτην ἐν Καλαυρίᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι διαπλεύσας ὑπηρετικοῖς καὶ ἀποβὰς μετὰ Θρᾳκῶν δορυφόρων ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον ὡς δυσχερὲς πεισόμενον οὐδέν. Ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. Ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος, εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. Διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος ἀναβλέψας πρὸς αὐτὸν, ὥσπερ ἐτύγχανε καθήμενος, „Ὦ Ἀρχία“ εἶπεν „οὔτε ὑποκρινόμενός με ἔπεισας πώποτε οὔτε νῦν πείσεις ἐπαγγελλόμενος.“ Ἀρξα-

5, 297—99 H.

---

6. scribebatur Κρατερὸς. 8. ἐκ om M°. 9. ἄλλων διασπαρέντων ἀλλαχοῦ C. 15. ἐν τοῖς om C. μαθηταῖς mlx. 17. scribebatur Ὑπερίδου. 20. αἰάκιον l. 21. scribebatur Ὑπερίδον.

XXIX. 1. Καλαυρίᾳ Xylander: Καλαβρίᾳ v, καλαβρείᾳ ia. 2. ἐν τῷ ἱερῷ Ποσειδῶνος deleam cum Benselero de hiat. p. 380. 8. εὐημεριῶν M°.

μένου δ' ἀπειλεῖν τοῦ Ἀρχίου μετ' ὀργῆς „Νῦν" ἔφη „λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος, ἄρτι δ' ὑπεκρίνου. Μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι." Καὶ ταῦτ' εἰπὼν ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον ὡς γράφειν μέλλων προσήνεγκε τῷ στόματι τὸν κάλαμον καὶ δακὼν, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ καὶ μαλακὸν ἀπεκάλουν καὶ ἄνανδρον, ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. Ἤδη δὲ συνῳσθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν „Οὐκ ἂν φθάνοις" εἶπεν „ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. Ἐγὼ δ', ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται." Ταῦτ' εἰπὼν καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν ἔπεσε καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

XXX. Τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησὶν αὐτὸν, ὡς εἴρηται· Πάππος δέ τις, οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, φησὶ, πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένην ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι „Δημοσθένης Ἀντιπάτρῳ," καὶ μηδὲν ἄλλο· θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμε- 860

5, 299—301 H.

16. ναοῦ] ‚Ἡσύ. οἶκος, ἐν ᾧ προσκυνεῖται ὁ Θεὸς' Muretus V, quae male vulgo ad Καλαβρίᾳ referuntur. βιβλίδιον C. 20. παρὰ] περὶ Dl. infra c. 30, 7 παρὰ ταῖς θύραις. 21. ἀπεκάλουν ABD CEl: ἐκάλουν v. 23. τοὺς αὐτῶν i. 24. τὸν om C. συναισθόμενος Mº. 25. αὐτοῦ ABD. 27. κλέωνα Mº. 29. ἐξίσταμαι C. 31. ἤδη post σφαλλόμενον ponit C.

XXX. 3. περὶ τὸν l. 4. γεγραμμένην Reiskii [A]: γεγραμμένης v. 7. παρὰ τὰς θύρας Mº, περὶ ταῖς θύραις Cl, περὶ τὰς θύρας lm. 8. τὴν om C. προσθεῖτο Mº, προσθέτο C.

νον· ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν Ἀργίαν, φαίη πολὺν εἶναι χρόνον, ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ αὐτὸς ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν· τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. Τῶν δ' ἄλλων, ὅσοι γεγράφασι περὶ αὐτοῦ, πάμπολλοι δέ εἰσι, τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημοχάρης ὁ τοῦ Δημοσθένους οἰκεῖος οἴεσθαί φησιν αὐτὸν οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι συντόμως καταστρέψαντα καὶ ἀλύπως. Κατέστρεψε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν Θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν αἱ γυναῖκες. Τούτῳ μὲν ὀλίγον ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν εἰκόνα τε χαλκῆν ἀνέστησε καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ γένους ἐν Πρυτανείῳ σίτησιν ἔχειν. Καὶ τὸ ἐπίγραμμα τὸ θρυλλούμενον ἐπεγράφη τῇ βάσει τοῦ ἀνδριάντος·

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
Οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Οἱ γὰρ αὐτὸν τὸν Δημοσθένην τοῦτο ποιῆσαι λέγοντες ἐν Καλαυρίᾳ μέλλοντα τὸ φάρμακον προσφέρεσθαι κομιδῇ φλυαροῦσι.

XXXI. Μικρὸν δὲ πρόσθεν ἢ παραβαλεῖν ἡμᾶς Ἀθήναζε λέγεταί τι τοιόνδε συμβῆναι. Στρατιώτης ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος ὅσον εἶχε χρυσίδιον εἰς τὰς χεῖρας ἀνέθηκε τοῦ ἀνδριάντος. Ἕστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος.

5, 301—2 H.

---

11. χρόνον εἶναι l. φορείη M°. 13. αὐτὸς] male huc refertur αὐτῷ ex RST, quod pertinet ad τοῦτον αὐτῷ pro quibus τοῦτον αὐτὸν ia. 16. δημοχάρης Reiskii lm: δημόχαρις libri. 22. ἄγουσι M°. τῇ θεῷ M°. 25. τῶν] τὸν M°. γένους ADCBEM°l: τοῦ γένους v, cf. ad Agesil. 35. 26. ex nullo libro annotatum θρυλούμενον. 27. γνώμην ῥώμῃ l. 28. Ἄρης] ἀνὴρ B°. μακεδόνων M°, corr marg. 30. Καλαυρίᾳ Solani A: καλαβρίᾳ ceteri et v. κομιδῇ in marg. habet M°.

XXXI. 2. τοιόνδε BCB°M°l: τόδε A, τόνδε DEF, τοιοῦτον v. 3. χρυσίον l. 4. ἐνέθηκε Coraes Schaeferus. cf. Pyrrh. 2, 24. Demetr. 42.

Ἀπὸ ταύτης πολλὰ τῶν φύλλων, εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὗτος ὁ θεὶς ἐκάλυψε, περικείμενα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. Ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ τῶν εὐφυῶν ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τοῦ Δημοσθένους διημιλλῶντο τοῖς ἐπιγράμμασι. Δημάδην δὲ χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης ἡ Δημοσθένους δίκη κατήγαγεν εἰς Μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολούμενον δικαίως, ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. Γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ καὶ σώζειν τοὺς Ἕλληνας ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος (λέγων τὸν Ἀντίπατρον) ἠρτημένους. Ἐφ' οἷς Δεινάρχου τοῦ Κορινθίου κατηγορήσαντος παροξυνθεὶς ὁ Κάσσανδρος ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱόν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν, ὃ πολλάκις Δημοσθένους προαγορεύοντος οὐκ ἐπίστευσε. Τὸν μὲν οὖν Δημοσθένους ἀπέχεις, Σόσσιε, βίον ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν ἢ διηκούσαμεν.

5, 302—3 H.

---

7. οὗτος om l, οὕτως Bartoni nuperi. 8. τὸ χρυσίον ἐποίησεν l. οὐκ ὀλίγον χρόνον om B^c. 17. μακεδονίας M^o. 19. λέγω AC l. ἠρτημένου C. 21. κάσσανδρος ABDCM^o: Κάσανδρος v. 24. ἐπίστευε l. 25. ἀπέχεις [AC]B^cM^oRT ,quidam Stephani' iVl: ἔχεις v.

ΚΙΚΕΡΩΝ.

861 I. Κικέρωνος δὲ τὴν μὲν μητέρα λέγουσιν Ἑλβίαν καὶ γεγονέναι καλῶς καὶ βεβιωκέναι, περὶ δὲ τοῦ πατρὸς οὐδὲν ἦν πυθέσθαι μέτριον. Οἱ μὲν γὰρ ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν, οἱ δ' εἰς Τύλλον Ἄττιον ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους βασιλεύσαντα λαμπρῶς ἐν Οὐολούσκοις καὶ πολεμήσαντα Ῥωμαίοις οὐκ ἀδυνάτως. Ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθεὶς ἄξιος λόγου δοκεῖ γενέσθαι· διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέῤῥιψαν οἱ μετ' αὐτὸν, ἀλλ' ἠσπάσαντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην. Κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσι· κἀκεῖνος ἐν τῷ πέρατι τῆς ῥινὸς διαστολὴν, ὡς ἔοικεν, ἀμβλεῖαν εἶχεν, ὥσπερ ἐρεβίνθου διαφυήν, ἀφ' ἧς ἐκτήσατο τὴν ἐπωνυμίαν. Αὐτός γε μὴν Κικέρων, ὑπὲρ οὗ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν, ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τοὔνομα καὶ μεταθέσθαι, λέγεται νεανιευσάμενος εἰπεῖν, ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν Κάτλων ἐνδοξότερον ἀποδεῖξαι. Ταμιεύων δ' ἐν Σικελίᾳ καὶ τοῖς θεοῖς ἀνάθημα ποιούμενος ἀργυροῦν τὰ μὲν πρῶτα δύο τῶν ὀνομάτων ἐπέγραψε, τόν

5, 304–5 H.

I. 1. Ἑλβίαν Amiotus Xylander: ἑλβίαν ADVx, ὀλβίαν v, nominis loco lacuna est in E. καὶ γεγονέναι] τε γεγονέναι C, γενέσθαι M°, γεγονέναι marg. M°. 2. καλῶς καὶ Xylander: καὶ καλῶς libri. 4. Τύλλον Ἄττιον Xylander: τύλλιον ἄππιον libri et v. 6. καὶ — ἀδυνάτως addiderunt marg. ADTSωV^{a}Vx. 10. κίκερα ex M° affert Wyttenbachius tacente Hoffmanno. 11. ὡς ἔοικεν addiderunt ADSTV. 13. ὁ κικέρων C. 17. ἀποδεῖξαι] καταστῆσαι C. 19. δύο τῶν ὀνομάτων Stephanus: τῶν δύο ὀνομάτων v, τῶν δύο τῶν ὀνομάτων DCBFGSRTV.

τε Μάρκον καὶ τὸν Τύλλιον, ἀντὶ δὲ τοῦ τρίτου σκώπτων ἐρέβινθον ἐκέλευσε παρα τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦσαι. Ταῦτα μὲν οὖν περὶ τοῦ ὀνόματος ἱστόρηται.

II. Τεχθῆναι δὲ Κικέρωνα λέγουσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτοῦ τῆς μητρὸς, ἡμέρᾳ τρίτῃ τῶν νέων Καλανδῶν, ἐν ᾗ νῦν οἱ ἄρχοντες εὔχονται καὶ θύουσιν ὑπὲρ τοῦ ἡγεμόνος. Τῇ δὲ τίτθῃ φάσμα δοκεῖ γενέσθαι καὶ προειπεῖν ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρεφούσῃ. Ταῦτα δὲ ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινὴν ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι' εὐφυΐαν ἐκλάμψας καὶ λαβὼν ὄνομα καὶ δόξαν ἐν τοῖς παισὶν, ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾶν τοῖς διδασκαλείοις ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα καὶ σύνεσιν ἱστορῆσαι, τοὺς δ' ἀγροικοτέρους ὀργίζεσθαι τοῖς υἱέσιν ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν ἐπὶ τιμῇ λαμβάνοντας. Γενόμενος δ', ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα καὶ μηδὲν λόγου μηδὲ παιδείας ἀτιμάζειν εἶδος, ἐρρύη πως προθυμότερον ἐπὶ ποιητικήν. Καί τι καὶ ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον. Προϊὼν δὲ τῷ χρόνῳ καὶ ποικιλώτερον ἁπτόμενος τῆς περὶ ταῦτα μούσης ἔδοξεν οὐ μόνον ῥήτωρ, ἀλλὰ καὶ ποιητὴς ἄριστος εἶναι Ῥωμαίων. Ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους καινοτομίας, τὴν δὲ ποιητικὴν αὐτοῦ, πολλῶν εὐφυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔρρειν συμβέβηκεν.

III. Ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν Φίλωνος ἤκουσε τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαῖοι τῶν Κλειτομάχου συνήθων καὶ διὰ τὸν λόγον ἐθαύμασαν καὶ διὰ τὸν τρόπον ἠγάπησαν. Ἅμα δὲ τοῖς περὶ Μούκιον ἀνδράσι συνὼν

5, 305—7 H.

II. 3. νῦν om F. 4. τῶν ἡγεμόνων C. 7. αὐτὸς om F. 10. διδασκάλοις G. 12. ἀργοτέρους F. 14. περὶ τιμῇ Francofurtana. Πλάτων] polit. 5, 475 b. 16. μηδὲ om F. 17. καί τοι M°. καὶ ποιημάτιον AD: ποιημάτιον v. 23. κενοτομίας M°.

III. 1. δὲ om D. 2. κλειτημάχου M°.

862 πολιτικοῖς καὶ πρωτεύουσι τῆς βουλῆς εἰς ἐμπειρίαν τῶν νόμων ὠφελεῖτο· καί τινα χρόνον καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλᾳ περὶ τὸν Μαρσικὸν πόλεμον. Εἶθ' ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐμπίπτοντα τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστὴν καὶ θεωρητικὸν ἐλθὼν βίον Ἕλλησι συνῆν φιλολόγοις καὶ προσεῖχε τοῖς μαθήμασιν, ἄχρις οὗ Σύλλας ἐκράτησε καὶ κατάστασίν τινα λαμβάνειν ἔδοξεν ἡ πόλις. Ἐν δὲ τῷ χρόνῳ τούτῳ Χρυσόγονος ἀπελεύθερος Σύλλα προσαγγείλας τινὸς οὐσίαν ὡς ἐκ προγραφῆς ἀναιρεθέντος αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν. Ἐπεὶ δὲ Ῥώσκιος ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος ἠγανάκτει καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν ὅ τε Σύλλας ἐλεγχόμενος ἐχαλέπαινε καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου κατασκευάσαντος, ἐβοήθει δ' οὐδείς, ἀλλ' ἀπετρέποντο τοῦ Σύλλα τὴν χαλεπότητα δεδοικότες, οὕτω δὴ δι' ἐρημίαν τοῦ μειρακίου τῷ Κικέρωνι προσφυγόντος οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὖθις ἀρχὴν πρὸς δόξαν ἑτέραν οὐδὲ καλλίω γενησομένην. Ἀναδεξάμενος οὖν τὴν συνηγορίαν καὶ κατορθώσας ἐθαυμάσθη· δεδιὼς δὲ τὸν Σύλλαν ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα διασπείρας λόγον, ὡς τοῦ σώματος αὐτῷ θεραπείας δεομένου. Καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, ἀῤῥωστίᾳ στομάχου μικρὰ καὶ γλίσχρα μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος· ἡ δὲ φωνὴ πολλὴ μὲν καὶ ἀγαθή, σκληρὰ δὲ καὶ ἄπλαστος, ὑπὸ δὲ τοῦ λόγου σφοδρότητα καὶ πάθος ἔχοντος ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος.

IV. Ἀφικόμενος δ' εἰς Ἀθήνας Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν οὐκ ἐπαινῶν. Ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης Ἀκαδημίας ὁ Ἀντίοχος

5, 307—8 H.

8. ἐκπίπτοντα C. 9. ἐπὶ τὴν D. 10. praestat ἄχρι. 11. σύλλαν M°. 13. προσαγγείλας τινὸς Wyttenbachius post Cruserium: προσαγγειλαντός τινος libri (τινα F). 17. ἀξίαν οὖσαν C. ἐχαλέπαινεν ἐλεγχόμενος C. 19. ἀπετρέπετο M°. 23. τὴν σωτηρίαν F. 26. αὐτῷ [AC]B^{c}M°x: αὐτοῦ v. 27. μόλις CEG, γ ead. m. μόλις M°.

IV. 1. ἀφεικόμενος D.

καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν, εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴτε, ὥς φασιν ἔνιοι, φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις τὸν Στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις. Ὁ δὲ Κικέρων ἐκεῖνα ἠγάπα κἀκείνοις προσεῖχε μᾶλλον διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράσσειν, δεῦρο μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν. Ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκὼς καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναῤῥωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικὴν ἥ τε φωνὴ λαμβάνουσα πλάσιν ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλή, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις ὥσπερ ὄργανον ἐξήρτυε τὸν ῥητορικὸν λόγον καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν αὐτόν τε ταῖς μελέταις διαπονῶν καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας. Ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ καὶ Διονυσίῳ τῷ Μάγνητι καὶ Μενίππῳ τῷ Καρὶ συνεσχόλασεν, ἐν δὲ Ῥόδῳ ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνος, φιλοσόφῳ δὲ Ποσειδωνίῳ. Λέγεται δὲ τὸν Ἀπολλώνιον οὐ συνιέντα τὴν Ῥωμαϊκὴν διάλεκτον δεηθῆναι τοῦ Κικέρωνος Ἑλληνιστὶ μελετῆσαι· τὸν δ' ὑπακοῦσαι προθύμως οἰόμενον οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν· ἐπεὶ δ' ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους τοῖς ἐπαίνοις, τὸν δ' Ἀπολλώνιον οὔτ' ἀκροώμενον αὐτοῦ διαχυθῆναι καὶ παυσαμένου σύννουν καθέζεσθαι πολὺν χρόνον, ἀχθομένου δὲ 863
τοῦ Κικέρωνος εἰπεῖν· „Σὲ μέν, ὦ Κικέρων, ἐπαινῶ καὶ θαυμάζω, τῆς δὲ Ἑλλάδος οἰκτείρω τὴν τύχην ὁρῶν, ἃ μόνα

5, 308—10 H.

5. ἐγκατέλειπεν Stephaniana: ἐγκατέλιπεν libri. 6. ἐνεργείας CEFG. καὶ post ἐναργείας delet Schaeferus, sed cf. Ciceronis academ. 2, 6 et 7. 7. πρὸς τοῦ F. 16. ἐτέτραπτο corrigebat Stephanus x. πολλὴ] πολλοὺς F, ποικίλη Fr. Hanovius, opinor propter c. 3 extr. et Ciceronis Brut. 91 („sine varietate"). 17. τῶν om F. γραφόντων φίλων C. 21. ἐπιὼν G. 22. ἐπέπλευσε F. 23. ἀδραμυττίνω B^c, ἀδραμυττινῷ ABDCEFGM^o, ἀδραμηττινῷ ia. 24. συνεσχόλαζεν C. 25. Μόλωνος] cf. ad Caes. 3. 28. βελτίονα om F. 32. ἀρχομένου libri praeter a.

τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα Ῥωμαίοις διὰ σοῦ προσγενόμενα, παιδείαν καὶ λόγον."

V. Ὁ γοῦν Κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν πολιτείαν φερόμενος ὑπὸ χρησμοῦ τινος ἀπημβλύνθη τὴν ὁρμήν. Ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν, ὅπως ἂν ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ Πυθία τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. Καὶ τόν γε πρῶτον ἐν Ῥώμῃ χρόνον εὐλαβῶς διῆγε καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσῄει καὶ παρημελεῖτο, ταῦτα δὴ τὰ Ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, Γραικὸς καὶ σχολαστικὸς ἀκούων. Ἐπεὶ δὲ φύσει φιλότιμος ὢν καὶ παροξυνόμενος ὑπὸ τοῦ πατρὸς καὶ τῶν φίλων ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, οὐκ ἠρέμα τῷ πρωτείῳ προσῆγεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς. Λέγεται δὲ καὶ αὐτὸς οὐδὲν ἧττον νοσήσας τοῦ Δημοσθένους πρὸς τὴν ὑπόκρισιν τοῦτο μὲν Ῥωσκίῳ τῷ κωμῳδῷ, τοῦτο δ' Αἰσώπῳ τῷ τραγῳδῷ προσέχειν ἐπιμελῶς. Τὸν δ' Αἴσωπον τοῦτον ἱστοροῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τοῦ Θυέστου βουλευόμενον Ἀτρέα, τῶν ὑπηρετῶν τινος ἄφνω παραδραμόντος, ἔξω τῶν ἑαυτοῦ λογισμῶν διὰ τὸ πάθος ὄντα τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. Οὐ μικρὰ δὲ πρὸς τὸ πείθειν ὑπῆρχεν ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ τῷ Κικέρωνι. Καὶ τούς γε τῷ βοᾷν μεγάλα χρωμένους ῥήτορας ἐπισκώπτων ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὥσπερ χωλοὺς ἐφ' ἵππων πηδᾷν. Ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρὸν, χρώμενος δ' αὐτῇ κατακόρως πολλοὺς ἐλύπει καὶ κακοηθείας ἐλάμβανε δόξαν.

VI. Ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ καὶ λαχὼν Σικελίαν ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ σῖτον εἰς Ῥώμην

5, 310–11 H.

35. ὑπελίπετο ABDC. 36. παιδείαν codices: παιδείαν δὲ i, παιδείαν τε a et v.

V. 2. ἀπημβλύθη a et v. 3. ἂν addidit Schaeferus. 6. γε Wyttenbachius: τε libri. 15. ῥωστίῳ BCM°i. τοῦτο — τραγωδῷ in marg. habet M°. 18. ἀτρέμα M°. 21. τῷ μεγάλα ον βοᾶν Photius Bekkeri p. 395 a. cf. mor. 204 f. ἐπιπηδᾶν C. 23. ἵππων F, ἵππων D: ἵππον v. 24. σκώμματα AM°.

VI. 2. ἠνόχλησε G.

ἀποστέλλειν ἀναγκαζομένοις. Ὕστερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πραότητος αὐτοῦ πεῖραν λαμβάνοντες ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. Ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ Ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς αἰτίαν ἔχοντες ἀταξίας καὶ μαλακίας περὶ τὸν πόλεμον ἀνεπέμφθησαν ἐπὶ τὸν στρατηγὸν τῆς Σικελίας, συνεῖπεν αὐτοῖς ὁ Κικέρων ἐπιφανῶς καὶ περιεποίησεν. Ἐπὶ τούτοις οὖν μέγα φρονῶν εἰς Ῥώμην βαδίζων γελοῖόν τι παθεῖν φησι. Συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν φίλῳ δοκοῦντι περὶ Καμπανίαν ἔρεσθαι, τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτοῦ λόγον ἔχουσι Ῥωμαῖοι καὶ τί φρονοῦσιν, ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἅπασαν ἐμπεπληκώς· τὸν δ' εἰπεῖν· „Ποῦ γὰρ ἦς, ὦ Κικέρων, τὸν χρόνον τοῦτον;" τότε μὲν οὖν ἐξαθυμῆσαι παντάπασιν, εἰ καθάπερ εἰς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτοῦ λόγος οὐδὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν· ὕστερον δὲ λογισμὸν ἑαυτῷ διδοὺς πολὺ τῆς φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἀόριστον πρᾶγμα τὴν δόξαν ἀμιλλώμενος καὶ πέρας οὐκ ἐφικτὸν ἔχουσαν. Οὐ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινούμενον διαφερόντως καὶ πρὸς δόξαν ἐμπαθέστερον ἔχειν ἄχρι παντὸς αὐτῷ παρέμεινε καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.

VII. Ἀπτόμενος δὲ τῆς πολιτείας προθυμότερον αἰσχρὸν ἡγεῖτο τοὺς μὲν βαναύσους ὀργάνοις χρωμένους καὶ σκεύεσιν ἀψύχοις μηδενὸς ἀγνοεῖν ὄνομα μηδὲ χώραν ἢ δύναμιν αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι' ἀνθρώπων αἱ κοιναὶ πράξεις 864
περαίνονται, ῥᾳθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτῶν γνῶσιν. Ὅθεν οὐ μόνον τῶν ὀνομάτων εἴθιζε μνημονεύειν αὐτὸν, ἀλλὰ καὶ τόπον, ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκεῖ, καὶ χωρίον, οὗ κέκτηται, καὶ φίλους, οἵστισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευο-

5, 311—13 H.

3. ἀναγκαζομένοις Reiskius: ἀναγκαζόμενος libri. 8. τῆς om F. 9. περιφανῶς C. 10. φησὶ] pro Planc. c. 26. 12. τίνα δὲ F. 19. ὑφελεῖν Wyttenbachius. 22. καὶ πολλάκις τῶν ὀρθῶν ἐξετάραξε λογισμῶν Reiskii probem cum Corae quamvis invito Schaefero.

VII. 1. ἁπτόμενον a. τῆς om F. 3. τοὔνομα M°, sed marg. ὄνομα. 5. περὶ] πρὸς C. πολιτῶν x secundum Amiotum: πολιτικῶν libri. 6. γνώμην C. μνημονεύειν addiderunt ADS TVx. 7. τόπον ADBCFG: τὸν τόπον v. 8. οἰκῶν ia. οὗ] ὃ Schaeferi C. 8. φίλοις DBCEM°i.

μένῳ Κικέρωνι πρόχειρον ἦν εἰπεῖν καὶ ἐπιδεῖξαι τοὺς τῶν φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις. Οὐσίαν δὲ μικρὰν μέν, ἱκανὴν δὲ καὶ ταῖς δαπάναις ἐπαρκῆ κεκτημένος ἐθαυμάζετο μήτε μισθοὺς μήτε δῶρα προσιέμενος ἀπὸ τῆς συνηγορίας, μάλιστα δ', ὅτε τὴν κατὰ Βέρρου δίκην ἀνέλαβε. Τοῦτον γὰρ στρατηγὸν γεγονότα τῆς Σικελίας καὶ πολλὰ πεπονηρευμένον τῶν Σικελιωτῶν διωκόντων εἶλεν, οὐκ εἰπών, ἀλλ' ἐξ αὐτοῦ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. Τῶν γὰρ στρατηγῶν τῷ Βέρρῃ χαριζομένων καὶ τὴν δίκην ὑπερθέσεσι καὶ διακρούσεσι πολλαῖς εἰς τὴν ὑστάτην ἐκβαλλόντων, ὡς ἦν πρόδηλον, ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀναστὰς ὁ Κικέρων ἔφη μὴ δεῖσθαι λόγων, ἀλλ' ἐπαγαγὼν τοὺς μάρτυρας καὶ ἐπικρίνας ἐκέλευσε φέρειν τὴν ψῆφον τοὺς δικαστάς. Ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτοῦ τὴν δίκην. Βέρρην γὰρ οἱ Ῥωμαῖοι τὸν ἐκτετμημένον χοῖρον καλοῦσιν. Ὡς οὖν ἀπελευθερικὸς ἄνθρωπος ἔνοχος τῷ ἰουδαΐζειν ὄνομα Κεκίλιος ἐβούλετο παρωσάμενος τοὺς Σικελιώτας κατηγορεῖν τοῦ Βέρρου „Τί Ἰουδαίῳ πρὸς χοῖρον;“ ἔφη ὁ Κικέρων. Ἦν δὲ τῷ Βέρρῃ ἀντίπαις υἱὸς οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας. Λοιδορηθεὶς οὖν ὁ Κικέρων εἰς μαλακίαν ὑπὸ τοῦ Βέρρου „Τοῖς υἱοῖς“, εἶπεν „ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι.“ Τοῦ δὲ ῥήτορος Ὀρτησίου τὴν μὲν εὐθεῖαν τῷ Βέρρῃ συνειπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι καὶ λαβόντος ἐλεφαντίνην Σφίγγα μισθόν, εἶπέ τι πλαγίως ὁ Κικέρων πρὸς αὐτόν· τοῦ δὲ φήσαντος αἰνιγμάτων λύσεων ἀπείρως ἔχειν· „Καὶ μὴν ἐπὶ τῆς οἰκίας τὴν Σφίγγα ἔχεις.“

VIII. Οὕτω δὲ τοῦ Βέρρου καταδικασθέντος ἑβδομήκοντα πέντε μυριάδων τιμησάμενος τὴν δίκην ὁ Κικέρων

5, 313—15 H.

---

13. τῆς om F. 14. βέρου M°. 18. βέρρι M°. καὶ διακρούσεσι addidit D et A qui καὶ διακρήσεσι, cf. Coriol. 19, 5. Num. 12, 47. Ciceronis in Verr. 1, 10. 19. ἐμβαλλόντων FG. 20. ὁ om F. 24. βέρρειν M°. 25. τὸν μὴ secundum Amiotum x probatum nuperis. ἐκτεμημένον A. 26. κικέλιος M°, κέλιος F, Καικίλιος Stephaniana, cf. ad Mar. 4. 28. ἔφη ὁ] transponam vel ὁ Κικέρων ἔφη vel deleam ὁ, nisi praestat etiam Ciceronis nomen deleri. 32. ὀρτησίου ACia. 36. λύσεως Reiskii cum apoph. 205 b nuperi. καὶ μὴν εἶπεν ὁ κικέρων ἐπὶ C.

διαβολὴν ἔσχεν, ὡς ἐπ' ἀργυρίῳ τὸ τίμημα καθυφειμένος. Οὐ μὴν ἀλλ' οἱ Σικελιῶται χάριν εἰδότες, ἀγορανομοῦντος αὐτοῦ, πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσου, πολλὰ δὲ φέροντες ἦκον, ὧν οὐδὲν ἐποιήσατο κέρδος, ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων. Ἐκέκτητο δὲ χωρίον καλὸν ἐν Ἄρποις, καὶ περὶ Νέαν πόλιν ἣν ἀγρὸς καὶ περὶ Πομπηίους ἕτερος, οὐ μεγάλοι· φερνή τε Τερεντίας τῆς γυναικὸς προσεγένετο μυριάδων δέκα καὶ κληρονομία τις εἰς ἐννέα δηναρίων συναχθεῖσα μυριάδας. Ἀπὸ τούτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε μετὰ τῶν συμβιούντων Ἑλλήνων καὶ Ῥωμαίων φιλολόγων, σπάνιον, εἴ ποτε, πρὸ δυσμῶν ἡλίου κατακλινόμενος, οὐχ οὕτω δι' ἀσχολίαν, ὡς διὰ τὸ σῶμα τῷ στομάχῳ μοχθηρῶς διακείμενον. Ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα θεραπείαν ἀκριβὴς καὶ περιττός, ὥστε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. Τοῦτον τὸν τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν ἄνοσον καὶ διαρκῆ πρὸς πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν. Οἰκίαν δὲ τὴν μὲν πατρῴαν τῷ ἀδελφῷ παρεχώρησεν, αὐτὸς δ' ᾤκει περὶ τὸ Παλάτιον ὑπὲρ τοῦ μὴ μακρὰν βαδίζοντας ἐνοχλεῖσθαι τοὺς θεραπεύοντας αὐτόν. Ἐθεράπευον δὲ καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες οὐκ ἐλάττονες ἢ Κράσσον ἐπὶ πλούτῳ καὶ Πομπήϊον διὰ τὴν ἐν τοῖς 865
στρατεύμασι δύναμιν, θαυμαζομένους μάλιστα Ῥωμαίων καὶ μεγίστους ὄντας. Πομπήϊος δὲ καὶ Κικέρωνα ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ δόξαν ἡ Κικέρωνος συνέπραξε πολιτεία.

IX. Στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν καὶ μεγάλων πρῶτος ἁπάντων ἀνηγορεύθη· καὶ τὰς κρίσεις ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. Λέγεται δὲ καὶ Λικίνιος Μάκερ, ἀνὴρ καὶ καθ' αὑτὸν ἰσχύων ἐν τῇ πόλει μέγα καὶ Κράσσῳ χρώμενος βοηθῷ, κρινόμενος κλοπῆς ὑπ' αὐτοῦ,

5, 315—16 H.

VIII. 5. ἄγοντος F. 8. ἄρποις DBCG. 9. μεγάλη F. 10. μυριάδων δέκα ABDCEGM°TS cod. Stephani (‚legitur etiam') V: μυριάδων δώδεκα v. 12. καὶ om F. 24. τοῖς om F. Πομπήϊος δὲ καὶ Κικέρωνα ἐθεράπευε vitii convincit non tam hiatus quam sententia. corrigam Κικέρωνα δὲ καὶ Πομπήϊος ἐθεράπευε.

IX. 2. ὁ πρῶτος D. 3. λικίννιος ABCG: λυκίνιος M°, Λικίνιος v, λικκίνιος D. 4. καὶ καθ'] καθ' F. 5. ὑπ' αὐτοῦ κλοπῆς B.

τῇ δυνάμει καὶ σπουδῇ πεποιθὼς, ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων ἀπαλλαγεὶς οἴκαδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος καὶ καθαρὸν ἱμάτιον ὡς νενικηκὼς λαβὼν αὖθις εἰς ἀγορὰν προϊέναι· τοῦ δὲ Κράσσου περὶ τὴν αὔλειον ἀπαντήσαντος αὐτῷ καὶ φράσαντος, ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀναστρέψας καὶ κατακλινεὶς ἀποθανεῖν. Τὸ δὲ πρᾶγμα τῷ Κικέρωνι δόξαν ἤνεγκεν ὡς ἐπιμελῶς βραβεύσαντι τὸ δικαστήριον. Ἐπεὶ δὲ Οὐατίνιος, ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τοὺς ἄρχοντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις, χοιράδων δὲ τὸν τράχηλον περίπλεως, ἠτεῖτό τι καταστὰς παρὰ τοῦ Κικέρωνος, καὶ μὴ διδόντος, ἀλλὰ βουλευομένου πολὺν χρόνον, εἶπεν, ὡς οὐκ ἂν αὐτὸς διστάσειε περὶ τούτου στρατηγῶν, ἐπιστραφεὶς ὁ Κικέρων „Ἀλλ' ἐγώ“ εἶπεν „οὐκ ἔχω τηλικοῦτον τράχηλον.“ Ἔτι δ' ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ προσήγαγέ τις Μανίλιον εὐθύνων κλοπῆς. Ὁ δὲ Μανίλιος οὗτος εὔνοιαν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου δοκῶν ἐλαύνεσθαι διὰ Πομπήϊον· ἐκείνου γὰρ ἦν φίλος. Αἰτουμένου δ' ἡμέρας αὐτοῦ μίαν ὁ Κικέρων μόνην τὴν ἐπιοῦσαν ἔδωκε· καὶ ὁ δῆμος ἠγανάκτησεν εἰθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς κινδυνεύουσι. Τῶν δὲ δημάρχων αὐτὸν διαγαγόντων ἐπὶ τὸ βῆμα καὶ κατηγορούντων ἀκουσθῆναι δεηθεὶς, εἶπεν, ὅτι τοῖς κινδυνεύουσιν ἀεὶ, καθ' ὅσον οἱ νόμοι παρείκουσι, κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταῦτα μὴ παρασχεῖν· ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδες ὁρίσαι· τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν οὐκ εἶναι βουλομένων βοηθεῖν. Ταῦτα λεχθέντα θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν· καὶ πολλὰ κατευφημοῦντες αὐτὸν ἐδέοντο τὴν ὑπὲρ τοῦ Μανιλίου συνη-

5, 316—18 H.

---

9. *αὔλιον* F. 10. *ἐξεάλωκε* F. 11. *κατακλινεὶς* ABDCEFGB^{c}: *κατακλιθεὶς* v. 13. *Οὐατίνιος* Stephaniana: *οὐατῖνος* libri. 14. *ὀλιγώρως* M^{o}. 17. *εἶπεν* Stephanus x: *εἰπεῖν* libri. 19. *ἔχοντος* F. 20. *εὔθυνον* B^{c}. 21. *τοῦ* om G. 22. *δοκῶν* om a. 23. *ἡμέρας αὐτοῦ* [ACM^{o}]qix: *ἡμέρας αὐτῷ* DSTV, *ἡμέραν αὐτοῦ* a et v. *μιᾶς* V. 26. *τῶν* — 27 *κινδυνεύουσι* om D. 26. *ἀγαγόντων* Schaeferi non probo. *βῆμα* AS: *βῆμα καλούντων* v. 28. *παρήκουσι* BM^{o}ia. *κεχρημένοις* M^{o}. 32. *ἐμβαλεῖν* M^{o}. *βουλομένων* Stephanus: *βουλομένῳ* libri, *βουλομένου* x nuperi. 33. *τὴν μεταβολὴν* F.

γορίαν ἀναλαβεῖν. Ὁ δ' ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ Πομπήϊον ἀπόντα· καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς ἐδημηγόρησε νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῶν Πομπηΐῳ φθονούντων καθαπτόμενος.

X. Ἐπὶ δὲ τὴν ὑπατείαν οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν ἢ τῶν πολλῶν προήχθη διὰ τὴν πόλιν ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. Τῆς ὑπὸ Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες ἰδίων ἕνεκα πλεονεξιῶν, οὐ πρὸς τὸ βέλτιστον, Πομπηίου μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν Πόντῳ καὶ Ἀρμενίᾳ πολεμοῦντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως. Οὗτοι κορυφαῖον εἶχον ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίναν, ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε παρθένῳ συγγεγονέναι θυγατρὶ, κτεῖναι δ' ἀδελφὸν αὐτοῦ· καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος ἔπεισε Σύλλαν ὡς ἔτι ζῶντα τὸν ἄν- 866
θρωπον ἐν τοῖς ἀποθανουμένοις προγράψαι. Τοῦτον οὖν προστάτην οἱ πονηροὶ λαβόντες ἄλλας τε πίστεις ἀλλήλοις ἔδοσαν καὶ καταθύσαντες ἄνθρωπον ἐγεύσαντο τῶν σαρκῶν. Διέφθαρτο δ' ὑπ' αὐτοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς καὶ πότους καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενοῦντος ἑκάστῳ καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος. Ἐπῆρτο δ' ἥ τε Τυρρηνία πρὸς ἀπόστασιν ὅλη καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. Ἐπισφαλέστατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε διὰ τὴν ἐν ταῖς οὐσίαις ἀνωμαλίαν, τῶν μὲν ἐν δόξῃ μάλιστα καὶ φρονήματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας καὶ οἰκοδομίας, τῶν δὲ πλούτων εἰς ἀγεννεῖς καὶ ταπεινοὺς συνερρυηκότων ἀνθρώπους, ὥστε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα καὶ

5, 318—19 H.

---

37. τῶν] τῷ Reiskii nuperi. φθονούντων om F.

X. 3. σύλλα ia: Σύλλᾳ v. 5. δὲ om D. 6. ἔχειν post δοκούσης ponit G. 9. πόντῳ] τούτῳ C. 15. ὡς om M°. 21. τὴν ἐνταῦθα M°, sed corr marg. 22. τε om C. ἀποστασίαν B°F. 24. εἶχε post Ῥώμη ponit F.

παντὸς εἶναι τοῦ τολμήσαντος ἐκστῆσαι τὴν πολιτείαν αὐτὴν ὑφ' αὑτῆς νοσοῦσαν.

XI. Οὐ μὴν ἀλλὰ βουλόμενος ὁ Κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον ὑπατείαν μετῄει· καὶ λαμπρὸς ἦν ταῖς ἐλπίσιν, ὡς Γαΐῳ Ἀντωνίῳ συνυπατεύσων, ἀνδρὶ καθ' αὑτὸν μὲν οὔτε πρὸς τὸ βέλτιον οὔτε πρὸς τὸ χεῖρον ἡγεμονικῷ, προσθήκῃ δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένῳ. Ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖστοι προαισθόμενοι τὸν Κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν· καὶ τοῦ δήμου δεξαμένου προθύμως ὁ μὲν Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάϊος Ἀντώνιος ᾑρέθησαν. Καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ ἱππικοῦ πατρὸς, οὐ βουλευτοῦ, γεγονώς.

XII. Καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμενεν ἔτι τοὺς πολλοὺς λανθάνοντα, προάγωνες δὲ μεγάλοι τὴν Κικέρωνος ὑπατείαν ἐξεδέξαντο. Τοῦτο μὲν γὰρ οἱ κεκωλυμένοι κατὰ τοὺς Σύλλα νόμους ἄρχειν, οὔτ' ἀσθενεῖς ὄντες οὔτ' ὀλίγοι, μετιόντες ἀρχὰς ἐδημαγώγουν, πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες, οὐ μὴν ἐν δέοντι τὴν πολιτείαν οὐδὲ σὺν καιρῷ κινοῦντες, τοῦτο δὲ νόμους εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν, δεκαδαρχίαν καθιστάντες αὐτοκρατόρων ἀνδρῶν, οἷς ἐφεῖτο πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας καὶ ὅσα διὰ Πομπηΐου νεωστὶ προσῴριστο κυρίους ὄντας πωλεῖν τὰ δημόσια, κρίνειν οὓς δοκοίη, φυγάδας ἐκβάλλειν, συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τοῦ ταμείου, στρατιώτας τρέφειν καὶ καταλέγειν, ὁπόσων δέοιντο. Διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν καὶ πρῶτος Ἀντώνιος ὁ τοῦ Κικέρωνος συνάρχων ὡς τῶν δέκα γενησόμενος. Ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς οὐ δυσχεραίνειν ὑπὸ πλήθους δανείων· ὃ μάλιστα τοῖς ἀρίστοις φόβον παρεῖχε. Καὶ τοῦτο πρῶτον θεραπεύων ὁ

5, 319—21 H.

---

29. ἐκστῆσαι Reiskius: ἐκστῆναι libri.

XI. 5. προσθήκῃ Wyttenbachius: προσθήκη DTVx, προσθήκην v. ἐσομένῳ V^a marg. Mureti (‚ἴσ. ἐσομένῳ') Vx: ἐσομένου v.

XII. 1. ἔμενεν om F, ἔμεινεν C, corrigo ἔμελλεν cl. c. 16 in. Cat. min. 31 in. 2. προαγῶνες G. 5. πολλὰ μὲν τῆς C. 6. ἀληθῆ καὶ C. 8. δεκαρχίαν F. 10. πομπήϊον M^o. 13. ταμιείου D. 17. οὐ om F. 18. τοῦτον Reiskius.

Κικέρων ἐκείνῳ μὲν ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην παρῃτήσατο καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον ὥσπερ ὑποκριτὴν ἐμμισθον αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος. Ὡς δ' οὗτος ἐαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαρρῶν ὁ Κικέρων ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. Ἐν μὲν οὖν τῇ βουλῇ κατηγορίαν τινὰ τοῦ νόμου διατιθέμενος οὕτως ἐξέπληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν. Ἐπεὶ δ' αὖθις ἐπεχείρουν καὶ παρεσκευασμένοι προεκαλοῦντο τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον, οὐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι κελεύσας καὶ προελθὼν οὐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ.

XIII. Μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις, 867
ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται, καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. Δεῖγμα δὲ αὐτοῦ τῆς περὶ τὸν λόγον χάριτος καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. Τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς καὶ μετὰ τοῦ δήμου θεωμένων, ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τοὺς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων στρατηγῶν καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον ἔχουσι. Τοῦτο πρὸς ἀτιμίας ὁ δῆμος ἔλαβε καὶ φανέντος ἐν θεάτρῳ τοῦ Ὄθωνος ἐφυβρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. Αὖθις δὲ ὁ δῆμος ἐπέτεινε τὸν συριγμὸν, εἶτα ἐκεῖνοι τὸν κρότον. Ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους ἐχρῶντο λοιδορίαις καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. Ἐπεὶ δ' ὁ Κικέρων ἦκε πυθόμενος καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐννοῦς ἱερὸν

5, 321—23 H.

---

20. γαλατείαν M°. 26. μηδένα C.

XIII. 8. ἀναμιγνυμένων C. 9. θεωρουμένων F. 10. μάρκιος F. 12. ἀτιμίας ABDCGB°V cl. ad Flamin. 7, 15: ἀτιμίαν v. 13. φαίνοντος M°. 14. τὸν ἄνδρα om C. 18. τῆς om G. ἐννοῦς M°, ἐννοῦς AGia.

ἐπετίμησε καὶ παρῄνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς καὶ πρὸς τοὺς ἱππέας ἄμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

XIV. Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν αὖθις ἀνεθάρρει καὶ συνῆγον ἀλλήλους καὶ παρεκάλουν εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων πρὶν ἐπανελθεῖν Πομπήϊον ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. Μάλιστα δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφυκότες μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς Τυρρηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλούτων ἑτοίμων ὀνειροπολοῦντες. Οὗτοι γὰρ ἡγεμόνα Μάλλιον ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλᾳ στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. Ὑπατείαν γὰρ αὖθις μετῄει βεβουλευμένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τῶν ἀρχαιρεσιῶν τὸν θόρυβον. Ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν. Αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ Κατιλίνα. Διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ Κικέρων ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. Ὁ δὲ πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν ἐφιεμένους ἐν τῇ βουλῇ καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος ἀπεκρίνατο τῷ Κικέρωνι μανικὴν ἀπόκρισιν. „Τί γὰρ" ἔφη „πράττω δεινόν, εἰ, δυεῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλήν, τοῦ δ' ἀκεφάλου μέν, ἰσχυροῦ δὲ καὶ μεγάλου,

5, 323—24 H.

---

19. παρῄνησεν D. ἀπελθόντας M°. αὖθις om M°.

XIV. 1. τὸν om C. 6. διαπεφυκότες Wyttenbachius cl. Dion. 12 Toupii cur. poster. in Theocritum p. 431: διαπεφευγότες libri. 7. καὶ om F. τυρρηνικαῖς A, τυραννικαῖς DBFM°. 9. ὀνειροπωλοῦντες Stephaniana. μάλιον ABDEFGM°ia et deinceps. 10. ἐπιφανῶν E. 18. κατελίνα M°. 20. οἰόμενος] ἰώμενος D. 22. μανικὴν ADV: μαλακὴν v. 23. ἀπόκρισιν [M°]x: ὑπόκρισιν v. δυεῖν ADFG: δυοῖν v. ἰσχνοῦ] ἰσχυροῦ D.

τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι;“ Τούτων εἷς τε τὴν βουλὴν καὶ τὸν δῆμον ἠνιγμένων ὑπ᾽ αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον. Τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. Οἱ δ᾽ ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν· καὶ τέλος ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον, εἵλοντο δὲ Σιλανὸν ὕπατον καὶ Μουρήναν.

XV. Οὐ πολλῷ δ᾽ ὕστερον τούτων ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυρρηνίᾳ συνερχομένων καὶ καταλοχιζομένων καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἦκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι 868
καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος καὶ Μάρκος Μάρκελλος καὶ Σκηπίων Μέτελλος· κόψαντες δὲ τὰς θύρας καὶ καλέσαντες τὸν θυρωρὸν ἐκέλευον ἐπεγεῖραι καὶ φράσαι Κικέρωνι τὴν παρουσίαν αὐτῶν. Ἦν δὲ τοιόνδε· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρὸς, ὑπό δή τινος ἀνθρώπου κομισθείσας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ δὲ Κράσσῳ μίαν ἀδέσποτον. Ἣν μόνην ἀναγνοὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολὺν διὰ Κατιλίναν καὶ παρῆνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν, ἀλλ᾽ ἦκεν εὐθὺς πρὸς τὸν Κικέρωνα πληγεὶς ὑπὸ τοῦ δεινοῦ καί τι τῆς αἰτίας ἀπολυόμενος, ἣν ἔσχε διὰ φιλίαν τοῦ Κατιλίνα. Βουλευσάμενος οὖν ὁ Κικέρων ἅμ᾽ ἡμέρᾳ βουλὴν συνήγαγε καὶ τὰς ἐπιστολὰς κομίσας ἀπέδωκεν οἷς ἦσαν ἐπεσταλμέναι κελεύσας φανερῶς ἀναγνῶναι. Πᾶσαι δ᾽ ἦσαν ὁμοίως ἐπιβουλὴν φράζουσαι. Ἐπεὶ δὲ καὶ Κόϊντος Ἄρριος, ἀνὴρ στρατηγικὸς, ἀπήγγελλε

5, 323—24 H.

---

26. αὐτὸς] ἐμαυτὸν Wyttenbachius cl. Ciceronis or. pro Mur. c. 25, αὐτὸς αὑτὸν Schaeferus. 30. ὑπερέφαινε G. 32. πολλοὶ περὶ F.

XV. 2. καὶ καταλοχιζομένων addiderunt ADSTVx. 3. ὡρισμένοις M°. 5. τὲ καὶ κράσσος καὶ D. Μάρκος ante Μάρκελλος om F. 6. Σκιπίων Stephaniana. 7. ἀπεγεῖραι ia. 9. μετὰ τὸ C. 10. ἀγνῶτος Emperius. 13. πολὺν γενησόμενον C. 14. ἐξελθεῖν G. πρὸς] εἰς M°, sed corr marg. 15. καί τοι AD, καί τι καὶ Reiskii nuperi. ἀπολυόμενος Solanus: ἀποδυόμενος libri, cf. Coriol. 17, 27. 20. καὶ om FB°. ἀπήγγελλε AD: ἀπήγγειλε v.

τοὺς ἐν Τυρρηνίᾳ καταλοχισμοὺς καὶ Μάλλιος ἀπηγγέλλετο σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος ἀεί τι προσδοκᾷν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς παρακατατίθεσθαν τοῖς ὑπάτοις τὰ πράγματα, δεξαμένους δ' ἐκείνους ὡς ἐπίστανται διοικεῖν καὶ σώζειν τὴν πόλιν. Τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.

XVI. Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευσε, τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς καὶ καθ' ἡμέραν προῆει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν ἐμβάλλοντος αὐτοῦ τοὺς παραπέμποντας, οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας αὐτὸς μὲν ἐκπηδᾷν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ στράτευμα, Μάρκιον δὲ καὶ Κέθηγον ἐκέλευσε ξίφη λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἔωθεν ὡς ἀσπασομένους τὸν Κικέρωνα καὶ διαχρήσασθαι προσπεσόντας. Τοῦτο Φουλβία, γυνὴ τῶν ἐπιφανῶν, ἐξαγγέλλει τῷ Κικέρωνι νυκτὸς ἐλθοῦσα καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον. Οἱ δ' ἧκον ἅμ' ἡμέρᾳ καὶ κωλυθέντες εἰσελθεῖν ἠγανάκτουν καὶ κατεβόων ἐπὶ θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. Προελθὼν δ' ὁ Κικέρων ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερόν, ὃν Στάτορα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδοῦ πρὸς τὸ Παλάτιον ἀνιόντων. Ἐνταῦθα καὶ τοῦ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον. Ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο, καὶ τέλος ἀναστὰς ὁ Κικέρων προσέταξεν αὐτῷ τῆς πόλεως ἀπαλλάττεσθαι· δεῖν γὰρ, αὐτοῦ μὲν λόγοις, ἐκείνου δ' ὅπλοις πολιτευομένου, μέσον εἶναι τὸ τεῖχος. Ὁ μὲν οὖν Κατιλίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων καὶ

5, 324—26 H.

---

21. καταλοχισμένους F. μάλιος ABDEFG et infra, μάριος M°.
22. τὰς om F. 25. καὶ διοικεῖν F.

XVI. 2. διεπίστευε Francofurtana. 6. μέλλησιν om F.
7. Μάρκιον Coraes: καὶ μάρκιον libri. δὲ om C. 8. τὰς om G.
15. στασίου F. 16. στάτορα M°ia: στάτωρα v, cf. Rom. 18, 41. ἱδρυμένον ia.

περιστησάμενος αὐτῷ ῥαβδουχίας ὡς ἄρχοντι καὶ πελέκεις καὶ σημαίας ἐπαράμενος πρὸς τὸν Μάλλιον ἐχώρει· καὶ δισμυρίων ὁμοῦ τι συνηθροισμένων ἐπῆλθε τὰς πόλεις ἀναπείθων καὶ ἀφιστὰς, ὥστε τοῦ πολέμου φανεροῦ γεγονότος τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον.

XVII. Τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα συνῆγε καὶ παρεθάρρυνε Κορνήλιος Λέντλος Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον, τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα. Λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σούραν 869
ἐξ αἰτίας τοιαύτης. Ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν. Ἀγανακτοῦντος δὲ τοῦ Σύλλα καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς λόγον μὲν οὐκ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην, ὥσπερ εἰώθεισαν οἱ παῖδες, ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρτωσιν. Ἐκ τούτου Σούρας παρωνομάσθη· σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγουσι. Πάλιν δὲ δίκην ἔχων καὶ διαφθείρας ἑνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη, παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν. ἀρκεῖν γὰρ, εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη. Τοῦτον ὄντα τῇ φύσει τοιοῦτον κεκινημένον ὑπὸ τοῦ Κατιλίνα προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων προδηλοῦντας εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους, ὧν δύο μὲν ἤδη πεπληρωκέναι τὸ χρεὼν, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν
5, 326—28 H.

---

29. διαμαχόμενον G.

XVII. 7. τὸν σούραν om D, σοῦραν hic quidem CM°. 8. τοιάδε D. κατὰ] μετὰ G. 9. συχνὰ] πολλὰ F. 11. πάνυ] ἅμα BM°. καὶ λόγον F. 12. ὥσπερ ABDCB°[M°]: ὥσπερ πάνυ v. 13. τῷ] ταῖς D. ἁμαρτάνωσιν G. 14. σοῦραν C. 16. ἐπὶ δυσὶ M°. 22. μονάρχας DCG. 24. Κορνηλίῳ ἐκείνῳ hiatus intolerabilis. num Κορνηλίων ἐκείνῳ vel ἐκείνῳ λοιπῷ Κορνηλίῳ? φέροντας M°.

ἥκειν τὸν δαίμονα καὶ δεῖν πάντως δέχεσθαι καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιρούς, ὥσπερ Κατιλίνας.

XVIII. Οὐδὲν οὖν ἐπενόει μικρὸν ὁ Λέντλος ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βουλὴν ἅπασαν ἀναιρεῖν τῶν τ' ἄλλων πολιτῶν ὅσους δύναιτο, τὴν πόλιν δ' αὐτὴν καταπιμπράναι φειδεσθαί τε μηδενὸς ἢ τῶν Πομπηίου τέκνων· ταῦτα δ' ἐξαρπασαμένους ἔχειν ὑφ' αὑτοῖς καὶ φυλάττειν ὅμηρα τῶν πρὸς Πομπήϊον διαλύσεων· ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας. Καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων, ξίφη δὲ καὶ στυππεῖα καὶ θεῖον εἰς τὴν Κεθήγου φέροντες οἰκίαν ἀπέκρυψαν. Ἄνδρας δὲ τάξαντες ἑκατὸν καὶ μέρη τοσαῦτα τῆς Ῥώμης ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου πολλῶν ἀψάντων φλέγοιτο πανταχόθεν ἡ πόλις. Ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες ἀποσφάττειν τοὺς ὑδρευομένους. Πραττομένων δὲ τούτων ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος καὶ βαρυνομένου τὴν ἡγεμονίαν. Τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν ἐποιήσαντο συνωμότας. Καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλήν, γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν ὑπισχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες ἐλευθερώσαντα τοὺς δούλους ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Συναπέστελλον δὲ μετ' αὐτῶν πρὸς τὸν Κατιλίναν Τίτον τινὰ Κροτωνιάτην κομίζοντα τὰς ἐπιστολάς. Οἷα δ' ἀνθρώπων ἀσταθμήτων καὶ μετ' οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων βουλεύματα πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ, πολλοῖς δὲ τῶν μετέχειν δοκούντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα

5, 328—29 H.

---

25. δεῖ C. 26. κατιλίναν C, quod ne cum Schaefero malis cf. Lys. 6, 17. 12, 31. Caes. 42.

XVIII. 1. μικρὸν] κακὸν ABDEFGM°Vi, καλὸν B°V. 3. δύναιντο AD. 5. ἑαυτοῖς C. 6. διαλύσεων ante ὅμηρα ponit C. 9. καὶ ante στυππεῖα om G. στυπεῖα CM°. 13. ἀποφράξαντες C. 14. δὲ om F. 19. αὐτοῖς post βουλὴν ponit C. 23. τινα τὸν C. 29. συνέχειν F.

καὶ πιστεύων, ἔγνω τὴν πρὸς τοὺς ξένους κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀδήλως τῶν Ἀλλοβρίγων.

XIX. Ἅμα δ' ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν ἐξανέγνω τὰ γράμματα καὶ τῶν μηνυτῶν διήκουσεν. Ἔφη δὲ καὶ Σιλανὸς Ἰούνιος ἀκηκοέναι τινὰς Κεθήγου λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλουσι. Τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικὸς, εἰσήγγειλε. Γάϊος δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τοῦ Κεθήγου πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφη καὶ μαχαίρας εὗρε νεοθήκτους ἀπάσας. Τέλος δὲ τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχὴν (στρατηγῶν γὰρ ἐτύγχανε) καὶ τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν. Οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς. Ἤδη δ' ἑσπέρας οὔσης καὶ τοῦ δήμου περιμένοντος ἀθρόου προελθὼν ὁ Κικέρων καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις καὶ προπεμφθεὶς παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιῶντος, ἐπεὶ τὴν ἐκείνου γυναῖκες κατεῖχον ἱεροῖς ἀπορρήτοις ὀργιάζουσαι θεὸν, ἣν Ῥωμαῖοι μὲν Ἀγαθὴν, Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσι. Θύεται δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν Ἑστιάδων παρθένων παρουσῶν. Εἰσελθὼν οὖν ὁ Κικέρων καθ' αὑτὸν, ὀλίγων παντάπασιν αὐτοῦ παρόντων, ἐφρόντιζεν, ὅπως χρήσαιτο τοῖς ἀνδράσι. Τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξευλαβεῖτο καὶ κατώκνει δι' ἐπιείκειαν ἤθους ἅμα καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε

5, 329—30 H.

---

30. πιστεύων] ‚i. e. πιστοῖς χρώμενος', Schaeferus. 32. ἀδήλως Bryanus: ἀλλήλοις M°ω, ἀλλήλοις ἀδήλως ceteri, utrumque abesse a V^{a} scribit Wyttenbachius.

XIX. 6. εἰσήγγειλε Corais ADC: εἰσήγγελε v. 9. ψηφισαμένοις M°, ψηφισάμενος E. 13. οὕτω ABCB^{c}i, οὗτος DEFG. 14. ἤδη] ὃ δὴ D. 19. ἀγάθην E. 21. ἣ τῆς C. 23. αὐτοῦ A: αὐτῶν M°, αὐτῷ v. χρήσαιτο praeter ceteros etiam RT: χρήσετο ia. 24. τήν τε — 27 γένει om FG.

πρώτοις καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις· μαλακώτερόν τε χρησάμενος ὠρώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. Οὐ γὰρ ἀγαπήσειν μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναρραγήσεσθαι τόλμης τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακὸς οὐδ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς.

XX. Ταῦτα τοῦ Κικέρωνος διαπορουῦντος γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυούσαις. Ὁ γὰρ βωμὸς, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. Ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι τὴν τοῦ Κικέρωνος γυναῖκα Τερεντίαν ἐκέλευσαν ἧ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα καὶ κελεύειν οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος, ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεοῦ φῶς διδούσης. Ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πραεῖά τις οὐδ' ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ Κικέρων, τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων ἢ μεταδιδοῦσα τῶν οἰκιακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας· ὁμοίως δὲ καὶ Κόϊντος ὁ ἀδελφὸς καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων Πόπλιος Νιγίδιος, ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτο πράξεις. Τῇ δ' ὑστεραίᾳ γενομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρωτηθεὶς γνώμην Σιλανὸς εἶπε τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν ἀχθέντας εἰς τὸ δεσμωτήριον. Καὶ προσετίθεντο τούτῳ πάντες ἐφεξῆς μέχρι Γαΐου Καίσαρος τοῦ μετὰ ταῦτα δικτάτορος γενομένου. Τότε δὲ νέος ὢν ἔτι καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχὰς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκὼς, ἧ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν

---

28. κεκτημένους C. 32. δόξειν Stephanus: δόξει codices, δόξῃ ia. 33. ἄλλων M°.

XX. 5. διεπτοήθησαν praeter ceteros etiam ST: διεπτόησαν ia. ἱεροὶ ABD. 6. τάχους C. 7. ἔγνω G. 11. φησὶ κικέρων C. 13. οἰκιακῶν Coraes: οἰκειακῶν libri. 16. τὰ μέγιστα F. 17. ἐν τῇ C. 19. δοῦναι δίκην F. προσήκει C. 21. δικτάτορος FG: δικτάτωρος v. 22. ὢν ἔτη C.

ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ' οὐδεμίαν εἰς ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν, ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι διεκφύγοι τὸν ἄνδρα. Τινὲς δέ φασι παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον, ὅτι μᾶλλον ἂν ἐκεῖνοι γένοιντο προσθήκη Καίσαρι σωτηρίας ἢ Καῖσαρ ἐκείνοις κολάσεως. 871

XXI. Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτόν, ἀναστὰς ἀπεφήνατο μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας, ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρις ἂν οὗ καταπολεμηθῇ Κατιλίνας. Οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. Αὐτός τε γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον, τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών, οἵ τε φίλοι πάντες οἰόμενοι τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην τὸ δεσμωτήριον. Εἰρημένης δὲ τῆς γνώμης πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος· εἶτα δεξάμενος Κάτων καὶ τῷ λόγῳ σφοδρῶς συνεπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. Περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας ἐνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. Διαζομένων δὲ πολλῶν ἐπεκαλεῖτο τοὺς δημάρχους. Οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην.

5, 332—34 H.

---

25. λαβεῖν M°. 26. καὶ om F. 27. ἐκφύγοι C. 30. ἐκεῖνο a.
XXI. 4. ἃς] ὡς M°. ἄχρις οὗ ἂν C. praestat ἄχρι. 7. τε om ADCEFGB°. 8. collocationem verborum perversam puto exspectabam τῇ προτέρᾳ γνώμῃ, τὰ δὲ τῇ Καίσαρος vel τῇ προτέρᾳ, τὰ δὲ τῇ Καίσαρος γνώμῃ. 9. συμφέρειν τῷ κικέρωνι G. 11. θανατώσαντας F. 12. μεταβαλόμενον B. 14. δίκην om C. 17. συνεπερείσας Coraes cl. Caes. 8: ἐναπερείσας Bryani C, συναπερρείσας ia, συναπερείσας v.

XXII. Ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. Οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν. Καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα καὶ παριόντος σιωπῇ, μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς τινος ἐξουσίας τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων. Διελθὼν δὲ τὴν ἀγορὰν καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ παρέδωκε τὸν Λέντλον τῷ δημίῳ καὶ προσέταξεν ἀνελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν. Ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπασθῆναι, φθεγξάμενος μέγα πρὸς αὐτοὺς „Ἔζησαν" εἶπεν. Οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι τὸ τεθνάναι σημαίνουσιν. Ἤδη δ' ἦν ἑσπέρα καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν, οὐκέτι σιωπῇ τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτόν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων, καθ' οὓς γένοιτο, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. Τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωποὺς, λαμπάδια καὶ δᾷδας ἱστώντων ἐπὶ ταῖς θύραις. Αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι πολέμους τε κατειργασμένοι μεγάλους καὶ διὰ θριάμβων εἰσεληλακότες καὶ προσκεκτημένοι γῆν καὶ θάλατταν οὐκ ὀλίγην ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐ-

4, 334—35 H.

XXII. 5. *συνεσπειραμένων* C. 7. *παριέντος* Coraes Schaeferus. non probo, cf. vers. 19. 8. *ἐξουσίας τινὸς* C. 10. *τῷ δήμῳ τὸν λέντλον* C. *δήμῳ* etiam ABDFGM°. 15. *φθεγξάμενος μέγα* om S. *δὲ μέγα* B. 17. *μὴ βουλόμενοι δυσφημεῖν* C. 18. *ἤδη δ' ἦν*] *ἡ δ' ἦν* AD. 19. *οὐδὲ*] *καὶ* C. *πεμπόντων* B. 22. *θύραις ἱστώντων* F, *ἱστάντων* G. 27. *ἀνομολογούμενοι*] cf. annot. ad Pericl. p. 265. 30. *δὲ* om F.

τοῦ κινδυνον. Οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα πράγματα καὶ κολάσαι τοὺς πράττοντας ἐδόκει θαυμαστὸν, ἀλλ' ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν οὗτος ἐλαχίστοις κακοῖς 872
35 ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε. Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτὸν ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον.

XXIII. Οὐ μὴν ἀλλ' ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς, ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. Οἳ τὴν ἀρχὴν
5 παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν αὐτὸν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες οὐ παρίεσαν οὐδ' ἐπέτρεπον λέγειν, ἀλλ' ἐκέλευον, εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσαντα καταβαίνειν. Κἀκεῖνος ἐπὶ τούτοις ὡς ὀμόσων προῆλθε· καὶ γενομένης
10 αὐτῷ σιωπῆς ὤμνυεν οὐ τὸν πάτριον, ἀλλ' ἰδιόν τινα καὶ καινὸν ὅρκον, ἢ μὴν σεσωκέναι τὴν πατρίδα καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. Ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος. Ἐφ' οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ οἵ τε δήμαρχοι καλεπαίνοντες ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο
15 καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο καλεῖν Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. Ἀλλ' ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων καὶ τοῖς ἐκείνου πολιτεύμασιν ἀπ' ἴσης μὲν

5, 335—37 H.

---

32. τὸ om F. κωλῦσαι Schaeferus: κωλύσαι v. τὰ πραττόμενα πράγματα AD: τὰ πραττόμενα v, τὰ πράγματα CFGV cod. Stephani (‚legitur etiam'). 34. μέγιστον ωVx: μέγιστον ἦν BD, μέγιστος ἦν v. καὶ οὗτος C. 38. διαγωνισάμενω M°.

XXIII. 1. ἀλλὰ μὴν ἀλλ' F. παρασκευασμένοι M°. 4. οἱ ἔρχοντος ἔχοντος M°. 5. ὀλίγας ἡμέρας M°. ἄρχοντος A, ἀρχοντος D. 6. βάθρα] λάθρα C. 7. παρῆσαν C. 8. ἀπομόσαντα ADEFG: ἀπομόσασθαι v, ἀπομοσάμενον volucrat Reiskius. 9. ὡς om F. δήμαρχοι 10. καὶ om G. 13. δήμαρχοι Xylandri T[M°]Vx: χιλίαρχοι A, χιλίαρχοι v. 18. ἐκείνων Xylandri editores.

ἐξουσίας, μείζονος δὲ δόξης ἀντιτασσόμενος. Τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε καὶ τὴν Κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι καὶ προσαγορεῦσαι πατέρα πατρίδος. Πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦτο καθυπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος.

XXIV. Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. Οὔτε γὰρ βουλὴν οὔτε δῆμον οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλούμενον ἀκοῦσαι καὶ Λέντλον. Ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων· καὶ τὸν λόγον ἥδιστον ὄντα καὶ χάριν ἔχοντα πλείστην ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης. Ὅμως δὲ, καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνὼν, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὑτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἔστι. Πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος, καὶ περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διὸς, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου. Τὸν δὲ Θεόφραστον εἰώθειν τρυφὴν ἰδίαν ἀποκαλεῖν. Περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς, τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον εἶπε. Καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν τὸν Δημοσθένη· τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι περὶ οὓς

5, 337—38 H.

19. οὐ post ἐξουσίας addunt ωV. 21. μεγάλην om ω. 23. καθυπάρξαι solo hoc loco, ut videtur, repertum vereor ne originem suam sequenti debeat Κάτωνος, Plutarchus ut τοῦθ' ὑπάρξαι scripserit. αὐτῷ D.

XXIV. 5. συνελθεῖν om F. 6. θρυλούμενον DC: θρυλλούμενον v. βυβλία A. 11. φρονεῖν M°, sed corr marg. 13. καὶ καθ' C. 21. τινα Reiskius: τινας libri. 23. δημοσθένη BCEG. 24. χρῆται πολλαχοῦ C.

μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ' Ἀντωνίου, Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι. Τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας οὐκ ἔστιν οὐδείς, ὃν οὐκ ἐποίησεν ἐνδοξότερον ἢ λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ τῷ Περιπατητικῷ διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι παρὰ Καίσαρος ἄρχοντος ἤδη, διεπράξατο δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι καὶ δεηθῆναι μένειν αὐτὸν ἐν Ἀθήναις καὶ διαλέγεσθαι τοῖς νέοις ὡς κοσμοῦντα τὴν πόλιν. Ἐπιστολαὶ δὲ παρὰ τοῦ Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην, ἕτεραι δὲ πρὸς τὸν υἱόν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥήτορα αἰτιώμενος εἰς ἡδονὰς καὶ πότους προάγειν τὸ μειράκιον ἀπελαύνει τῆς συνουσίας αὐτοῦ. Καὶ σχεδὸν αὕτη τε τῶν Ἑλληνικῶν μία καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον ἐν ὀργῇ τινι γέγραπται, τὸν μὲν Γοργίαν αὐτοῦ προσηκόντως ἐπικόπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ᾗπερ ἐδόκει, πρὸς δὲ τὸν Πέλοπα μικρολογουμένου καὶ μεμψιμοιροῦντος ὥσπερ ἀμελήσαντα τιμάς τινας αὐτῷ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι. 873

XXV. Ταῦτά τε δὴ φιλότιμα καὶ τὸ πολλάκις ἐπαιρόμενον τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι. Μουνατίῳ μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἑδίωκεν ἑταῖρον αὐτοῦ Σαβῖνον, οὕτω λέγεται προπεσεῖν ὑπ' ὀργῆς ὁ Κικέρων, ὥστ' εἰπεῖν· „Σὺ γὰρ ἐκείνην, ὦ Μουνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σαυτόν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος;“ Μάρκον δὲ Κράσσον ἐγκωμιάζων ἀπὸ τοῦ βήματος εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτόν, ὡς ἐκεῖνος εἶπεν „Οὐ γὰρ ἐνταῦθα πρώην αὐτὸς ἡμᾶς ἐπῄνεις;“ „Ναί“ φησὶ „μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν.“ Εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσον ἐν Ῥώμῃ

5, 338—40 H.

---

31. καὶ post ψηφίσασθαι non desidero. 38. τὸν om F. 39. ἐπικόπτοντος Ruhnkenius praef. Rutilii p. 11: ἐπισκώπτοντος libri. 42. αὐτοῦ Francofurtana.

XXV. 1. τε om F. δὴ om C. ἐπαιρόμενον (sic) a, ἐπαιρομένου Stephaniana. 2. μουνατίῳ et mox μουνάτιε [ACM°] B°TVx: Νουματίῳ et Νουμάτιε v. 3. μὲν om F. 4. προπεσεῖν Reiskius: προεπεσεῖν libri. 5. ἐκείνην om F. 8. εὐμοίρησε C. 11. ἕνεκα M°. ἐν 12. κράσσον ABDCM°iV: Κράσσων v.

βεβιωκέναι μακρότερον ἐξηκονταετίας, εἶθ' ὕστερον ἀρνουμένου καὶ λέγοντος „Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον;" „Ἤιδεις" ἔφη „Ῥωμαίους ἡδέως ἀκουσομένους καὶ διὰ τοῦτ' ἐδημαγώγεις." Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, „Ὅρα, μὴ μᾶλλον" εἶπεν „ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι." Διεβάλλετο δ' εἰς φιλαργυρίαν ὁ Κράσσος. Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολὴν εὐδοκίμησε λόγον ἐν βουλῇ διελθών, ἐρωτηθεὶς ὁ Κικέρων, τί φαίνεται αὐτῷ, „Ἄξιος" εἶπε „Κράσσου."

XXVI. Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν ἐβούλετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατο προθύμως. Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου φίλων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦν γὰρ ἐχθρός) „Οὐ δήπου καὶ Βατίνιος" εἶπεν „δειπνῆσαι παρ' ἐμοὶ βούλεται;" Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος. Αὐτὸν δὲ τὸν Βατίνιον ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην οἰδοῦντα ῥήτορα προσεῖπεν. Ἀκούσας δ', ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς, ὅτι ζῇ· „Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος." Ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ, Λεύκιος δὲ Γέλλιος ὁμοῦ τι πρεσβύτατος ὢν εἶπεν, ὡς οὐ γενήσεται τοῦτο ζῶντος αὐτοῦ „Περιμείνωμεν" εἶπεν ὁ Κικέρων „μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν." Ἦν δέ τις Ὀκταούϊος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν „Καὶ μὴν οὐκ ἔχεις" εἶπε „τὸ οὖς ἀτρύπητον." Μετέλλου δὲ Νέπωτος εἰπόντος, ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν ἢ συνηγορῶν σέσωκεν „Ὁμολογῶ

5, 340—42 H.

---

22. μεταβολὴν BCEi. 23. αὐτῷ nisi deleatur nihil melius video quam αὐτῷ φαίνεται cum Benselero de hiatu p. 381.

XXVI. 6. δεῖ που M°. βατῖνος pr. M°, βατίνος corr M°. 7. εἶπεν Stephanus: εἰπεῖν libri. 11. κακὸς] ‚γρ. κακῶς' marg. Mureti V cl. apoph. 205 a. τοίνυν] εἶπεν C. 20. ὅτι om C.

γὰρ“ ἔφη „πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι.“ Νεανίσκου δέ τινος αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι θρασυνομένου καὶ λέγοντος, ὅτι λοιδορήσει 874
τὸν Κικέρωνα, „Τοῦτο“ ἔφη „παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα.“ Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ' ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν ἤδη τῆς ψήφου φερομένης· „Χρῶ σήμερον“ ἔφη „τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι.“ Πόπλιον δὲ Κώνσταν νομικὸν εἶναι βουλόμενον, ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος „Ἴσως“ ἔφη „δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι.“ Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος „Τίς σοῦ πατήρ ἐστιν,“ ὁ Κικέρων „Σοὶ ταύτην“ ἔφη „τὴν ἀπόκρισιν ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν.“ Ἐδόκει δ' ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. Καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. Θάψας δὲ Φιλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. Καὶ ὁ Κικέρων „Τοῦτ'“ ἔφη „σοφώτερον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν.“ Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν, „Εἶθ' οὕτως“ ἔφη „σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ἠτήσατο φίλος παρασχεῖν;“

XXVII. Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι· τὸ δ' οἷς 5, 342—43 H.

---

25. μᾶλλον βούλομαι C. 27. βουλομένου πάντα C. 28. παριέντος [AC]TV: παριόντος v. 31. Πόπλιον δὲ Κώνσταν] ‚ποπίλλιον δὲ γάϊον, ut legerat Erasmus‘ marg. Mureti indeque V, Πόπλιον δὲ Κόττταν Xylandri x, Κάστον δὲ Ποπίλλιον apoph. 205 b, Κώσταν Haasius apud Schaeferum. 36. ὁ Κικέρων om G. ἔφη τὴν ἀπόκρισιν ABDCEG: τὴν ἀπόκρισιν ἔφη v. 37. πεποίηκεν apoph. 205 a. 39. ἄφρω ia. 40. Φίλαγρον] Λιόδοτον apoph. 41. τὸν om G. 42. σοφώτατον Reiskius Schaeferus. 44. ὁ ἄππιος M°. 46. ἄνθρωπος γέγονας C. 47. ὁ φίλος Reiskii perperam nuperi.

XXVII. 1. ἢ πρὸς Photius Bekkeri p. 395.

ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα. Μάρκον Ἀκυίνιον ἔχοντα δύο γαμβροὺς φυγάδας Ἄδραστον ἐκάλει. Λευκίου δὲ Κόττα τιμητικὴν ἔχοντος ἀρχήν, φιλοινοτάτου δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, „Ὀρθῶς φροβεῖσθε“ εἶπε „μή μοι γένοιτο χαλεπὸς ὁ τιμητὴς, ὅτι ὕδωρ πίνω.“ Βωκωνίῳ δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο.

„Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα.“

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, „Μὴ θαυμάζετε“ εἶπε „καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων.“ Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος ἐν δανείοις γενόμενος καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας ἀπάρτιον προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν ἢ τὴν πατρῴαν.

XXVIII. Ἐκ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενὴς, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος ἐρῶν Πομπηΐας τῆς Καίσαρος γυναικὸς εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν. Ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων·

5, 343—45 H.

---

3. συνήγαγε Photius. 4. Aquilium Xylander. 8. ἐφοβεῖσθε Schaeferus. 9. βωνίῳ praecedente lacuna A et D. 10. ἀμορφοτάτους C. 12. ἔσπειρε BCia. 13. γελλοίου A, γελοί M°. οὐκ om C. 15. θαυμάζετε Schaeferi ABDC: θαυμάζητε v, θαυμάζηται i. 19. ἀπάρτιον marg. Mureti (‚γρ. ἀπάρτιον') Vx, haud dubie ex apoph. 205 c, nam quod Wyttenbachius eam scripturam ex q Mureti affert tacente de codice Walzio confudisse eum suspicor γρ. et q: ἀμαρτίαν libri.

καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλίας θεραπαινὶς τῆς Καίσαρος μητρὸς ἤτησεν ὄνομα. Φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου καὶ φήσαντος ἀκόλουθον Πομπηΐας ζητεῖν Ἄβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν οὖσαν ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. Αἱ δ' ἀποκλείσασαι τὰς θύρας καὶ πάντα διερευνώμεναι λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγότα. Τοῦ δὲ πράγματος περιβοήτου γενομένου Καῖσάρ τε τὴν 875
Πομπηΐαν ἀφῆκε καὶ ** δίκην ἀσεβείας ἀπεγράψατο τῷ Κλωδίῳ.

XXIX. Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος, ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγκλημα τῷ μηδὲ γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές. Οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὐτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος. Ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι καὶ τοῦτο διὰ Τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. Χαλεπὴ δὲ τὸν τρόπον οὖσα καὶ τοῦ Κικέρωνος ἄρχουσα παρῴξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. Κατεμαρτύρουν δὲ τοῦ

5, 345—47 H.

XXVIII. 12. *Αὐρηλία* Stephaniana. 15. *Ἄβραν* Bryanus: *αὖραν* v, cf. ad Caes. 10. 18. *συνεισῆλθε* Xylander cl. Caes. 10: *συνῆλθε* libri. 20. locus lacuna, ut videtur, corruptus, monstrante cum *τε* particula tum iis quae c. 29 extr. leguntur et Caes. 10 *ἐγράψατο μὲν οὖν τὸν Κλώδιον εἰς τῶν δημάρχων ἀσεβείας*. hinc *εἰς τῶν δημάρχων* excidisse suspicabatur Xylander aliique, *ἀπεγράψαντο* sufficere videbatur Solano, *δίκην* x, cui aliquid tribuit Schaeferus, mihi nihili videtur.

XXIX. 2. *πραττομένων* om G. 3. *ἰσχυριζόμενος* D. 4. *μηδὲ* Corais D: *μήτε* v. 5. *πορρωτάτοις* ADEG. 6. *διηλεγμένου* M°. 11. *Τυλλίου* malebat Xylander. 12. *ὃς κικέρωνος μὲν ἦν ἑταῖρος καὶ συνήθης ἐν τοῖς μάλιστα, ἀεὶ* C. 13. *οἰκοῦσαν*] *οὖσαν* C. 15. *ἄργουσα* a.

Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. Λεύκουλλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν ὁ Κλώδιος, ὅτε Λευκούλλῳ συνῴκει. Πολλὴ δ' ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερεντίαν μὲν Μάρκιος ὁ Ῥῆξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν, ἣν Κουαδραντίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον ὡς ἀργύριον εἰσέπεμψε· τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος κουαδράντην ἐκάλουν. Ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκουσεν ὁ Κλώδιος. Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιταττομένου φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν. Ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι· καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν. Ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς „Ὑμεῖς“ εἶπεν „ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακὴν φοβούμενοι, μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον.“ Κικέρων δὲ τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος, ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς, „Ἀλλ' ἐμοὶ μὲν“ εἶπεν „οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γάρ σου κατεψηφίσαντο· σοὶ δὲ τριάκοντα οὐκ ἐπίστευσαν· οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον.“ Ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικὸς, ἀφεικέναι δ' αὐτὴν, ὅτι τὸν Καίσαρος

5, 347—48 H.

17. καὶ ἀγαθῶν CM^{o}. 18. λευκόλλος et mox λευκόλλῳ C, λεύκουλος M^{o}. 21. καὶ om M^{o}. 22. Τερεντίαν] ‚aucuns vieux textes lisent Tertia‘ margo Amioti. Τερτίαν Vx ex marg. Mureti, cui nulla codicis nota addita, ut verear ne iterum errore Wyttenbachius codicem q pro ea scriptura attulerit. difficile est autem de re ipsa decernere, nam facile quidem librarius Terentiae Ciceronianae quae praecedit memoria ad idem nomen aberrare potuit, sed non minus facilis Plutarchi in magna nominum similitudine lapsus erat. 22. ὁ ῥῆξ D: Ῥῆξ v. 23. Κουαδρανταρίαν post Xylandrum Solanus cl. Ciceronis or. pro Coel. 26 et nuperi. 24. χαλκοῦς Coraes: χαλκοὺς v. 25. νόμισμα Photius Bekkeri p. 395. 30. συγκεχυμένοις DB^{c}, cf. ad Caes. 10. 31. γενέσθαι om AD. 32. ἐλέγχθη D. 34. ὑμᾶς G. 39. δὲ] δ' οἱ Reiskii nuperi.

ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι.

XXX. Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος καὶ δήμαρχος αἱρεθεὶς εὐθὺς εἶχετο τοῦ Κικέρωνος πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. Τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο, Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ δὲ Συρίαν, πολλοὺς δὲ τῶν ἀπόρων συνέτασσεν εἰς τὸ πολίτευμα καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. Τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηΐου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα φίλον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε πρεσβευτὴς αὐτῷ 876
συστρατεύειν. Δεξαμένου δὲ τοῦ Καίσαρος ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ καὶ λόγους εὐγνώμονας ἐνδιδοὺς, ὡς ἄν τις οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικά, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν, ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. Ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ τόν τε Κλώδιον ἐπέρρωσε καὶ Πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος, αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον. Αὕτη γὰρ ἦν ἡ κατηγορία καὶ ἐπὶ τοῦθ' ὁ Κικέρων ἐκαλεῖτο. Κινδυνεύων οὖν καὶ διωκόμενος ἐσθῆτα μετήλλαξε καὶ κόμης ἀνάπλεως περιιὼν ἱκέτευε τὸν δῆμον. Πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωποὺς ἀνθρώποις ἔχων ὑβριστὰς περὶ αὐτὸν καὶ θρασεῖς,

5, 348—50 H.

43. καὶ om AD.

XXX. 6. σαβίνῳ BCEGB^{c}i, ταβινίῳ D. 8. τότε δυναμένων C. 13. πρεσβευτὴς Wyttenbachius: πρεσβευτὴν libri. αὐτῶν D. 16. ἀνατιθεὶς τὴν πλείστην C. 19. μὲν μέτρια M^{o}. 22. ἀπέστρεψε] ἐπέρρωσε G. 24. ἀναιρεῖσθαι D. 25. ἡ addiderunt [ACM^{o}]B^{c}. 26. ἐπὶ τούτῳ ὁ Κικέρων ἐγκαλεῖτο (sic) x, correcto ἐνεκαλεῖτο probatum Schaefero. debebat certe τούτῳ Κικέρων, sed non videtur opus esse mutatione.

οἱ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες ἐνίσταντο ταῖς ἱκεσίαις.

XXXI. Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν κομῶντες καὶ συνικετεύοντες· ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν βουλευτικῶν καταῤῥηγνύμενοι τοὺς χιτῶνας καὶ βοῶντες. Ὡς δ' ἦν οὔτ' οἴκτος οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ' ἔδει τὸν Κικέρωνα φεύγειν ἢ βίᾳ καὶ σιδήρῳ κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐου βοηθεῖν ἐπίτηδες ἐκποδὼν γεγονότος καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν Ἄλβανόν. Καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα τὸν γαμβρὸν δεησόμενον· ἔπειτα καὶ αὐτὸς ἀνέβη. Πυθόμενος δ' ὁ Πομπήϊος οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν, δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον, ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν ἀπεδίδρασκε τὴν ἔντευξιν. Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ καὶ γεγονὼς ἔρημος ἐπὶ τοὺς ὑπάτους κατέφυγε. Καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί, Πείσων δὲ διελέχθη πρῴτερον αὐτῷ παραινῶν ἐκστῆναι καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. Τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον, ἄλλοι δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ

5, 350—52 H.

XXXI. 5. *ψηφίσαιντο* B^{c}. *πένθει συμμεταβαλεῖν* Corais Schaeferi non probem, cf. compar. Demosth. 4. Ciceronis or. pro Sext. 11. 14. 9. *ἦν*] *οὖν* ia. *οὔτ'*] *ἔτ'* C. 10. *βίᾳ καὶ* addiderunt ADCB^{c}. 12. *περὶ τὸ* Wyttenbachii nuperi, sed cf. ad Pomp. 80. *Ἄλβανον* B. 14. *πειθόμενος* ADG. 18. *δεομένου* C. 22. *διελέγχθη* C. *αὐτῷ* AD: *αὐτὸν* γ. 29. *ἀπωλείας* BM^{o}ia.

τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν ἐπιγράψας „Ἀθηνᾷ Ῥώμης φύλακι,“ πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο λαβέσθαι Σικελίας βουλόμενος.

XXXII. Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος καὶ διάγραμμα προὔθηκεν εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων Ἰταλίας. Τοῖς μὲν οὖν ἄλλοις 877
ἐλάχιστος ἦν τοῦ διαγράμματος τούτου λόγος αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐέβιος, Σικελὸς ἀνὴρ, ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονὼς ὑπατεύοντος αὐτοῦ τεκτόνων ἔπαρχος, οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο, καὶ Γάϊος Οὐεργίλιος ὁ τῆς Σικελίας στρατηγὸς ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας. Ἐφ' οἷς ἀθυμήσας ὥρμησεν ἐπὶ Βρεντέσιον, κἀκεῖθεν εἰς Λυρράχιον ἀνέμῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου, μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτ' αὖθις ἀνήχθη. Λέγεται δὲ καὶ καταπλεύσαντος εἰς Λυρράχιον αὐτοῦ καὶ μέλλοντος ἀποβαίνειν σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. Ἀφ' ὧν συνέβαλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὰς ταῖς πρεσβείαις, ὅμως
5, 352—53 H.

31. *Καπετώλιον* Reiskiana, *εἰς τὸ Καπετώλιον* Schaeferus, inutiliter, cf. Mar. 12, 30. 32, 12 all.

ὀκτακοσίων

XXXII. 4. *πεντακοσίων* A, *πρὸ ὀκτακοσίων* D. aliter Cicero ipse ad Attic. 3, 4. cf. Xylandrum ad Dionis Cass. 17, 38. 5. *ἦν διὰ τοῦ γράμματος* ABDEG, *ἦν τοῦ γράμματος* M°. 9. *τῆς*] *τοῦ* D. 10. *ἔπαρχος* ADV cl. c. 38: *ὕπαρχος* v. *τὸ χωρίον δὲ καταγράψειν*] nihil in his mutandum, cf. mor. 482 c. 11. *Οὐεργίλιος* Xylander x cl. Ciceronis or. pro Planc. 40: *οὐεργῖνος* libri. 14. *βρεντήσιον* AD, cf. ad Caes. 35. 15. *ἀντιπλεύσαντος* DEG. 18. *θαλάσσης* C. 19. *συνέβαλον* DCEG: *συνέβαλλον* v. 22. *αὐτὰς* BCB°M° cl. c. 4 et 33: *αὐτὸν* v. *ταῖς πρεσβείαις* addiderunt

ἀθυμῶν καὶ περίλυπος διῆγε τὰ πολλὰ πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ ὡς ἔργον ἠρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. Ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον ὥσπερ βαφὴν ἀποκλύσαι τῆς ψυχῆς καὶ τὰ τῶν πολλῶν ἐνομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος οὕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

XXXIII. Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν, μηδὲν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος ἐπεχείρει τῷ Πομπηΐῳ τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. Ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν ἐκάκιζεν αὐτὸς αὑτὸν προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. Ἐνισταμένου δὲ τοῦ Κλωδίου συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο. Τῶν δὲ περὶ Λέντλον ὑπατευόντων καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ τὸν Κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον διαλαθεῖν, ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώ-

5, 353—54 H.

marg. ADST[M°]V. 23. *πρὸς* Stephanus: *περὶ* libri. 26. *τοσαύτῃ συμβεβιωκότα* E. 28. *καλεῖν αὐτὸν* Stephanus, ex vet. cod.' nec aliter [ACB°M°]: *καλεῖσθαι* ia. 31. *ἐνορμόξασθαι* A, *ἐνορμόξασθαι* BDCB°M°x: *ἀνομόρξασθαι* v.

XXXIII. 4. *ἐπώλει* ADV: *ἐπώλησε* v. 5. *δὲ* om M°ia. ὢν] ἦν D. 9. *ἑαυτὸν* C. 10. *ἐγένετο* D. 15. *ἐν* om i. 18. *οὐ τόλμησε* i.

διον εἰς δίκην ἀπάγειν βιαίων, καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. Μεθ' ὧν προελθὼν καὶ τὸν Κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. Καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. Ἡ δὲ σύγκλητος ἀμιλλωμένη πρὸς τὸν δῆμον ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις, ἃς Κλώδιος διεφθάρκει, τέλεσι δημοσίοις ἀνασταθῆναι. Κατῆει δὲ Κικέρων ἑκκαιδεκάτῳ μηνὶ μετὰ τὴν φυγήν· καὶ τοσαύτη τὰς 878
πόλεις χαρὰ καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ Κικέρωνος ὕστερον ἐνδεέστερον εἶναι τῆς ἀληθείας. Ἔφη γὰρ αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. Ὅπου καὶ Κράσσος, ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

XXXIV. Χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ καὶ τὰς δημαρχικὰς δέλτους, ἐν αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. Ἐγκαλοῦντος δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ κύριον οὐδὲν εἶναι τῶν πεπραγμένων ὑπ' αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις, δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον, ἐν αἷς εἶναι καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

5, 354—55 H.

---

19. *βιαίων* Solanus: *βιαίως* libri, cf. Dionis Cass. 39, 7 Reimarum p. 193. 20. *προελθὼν* B, *προελθῶν* (sic) ia. 26. *ἃς ὁ* G. 31. *ἔφη*] or. post redit. in sen. c. 15.

XXXIV. 3. *Καπετωλίῳ* Reiskiana. *οἷς* C. 6. *περιελθοι* B^{c}. 9. *πεπολιτευομένοις* (sic) D.

XXXV. Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων· καὶ διωκόμενος φόνου Κικέρωνα παρεστήσατο συνήγορον. Ἡ δὲ βουλὴ φοβηθεῖσα, μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. Ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρις οὗ συνίασιν οἱ κριταὶ καὶ πληροῦται τὸ δικαστήριον. Ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσὴς, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων ἀκμὴν τοῦ λόγου καὶ κατάστασιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ φεύγοντι δίκην ὑπὸ Κάτωνος βοηθῶν καὶ φιλοτιμούμενος Ὁρτήσιον ὑπερβαλεῖν εὐημερήσαντα μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς ἐνδεέστερος αὐτοῦ φανῆναι. Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παριστα μένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι.

XXXVI. Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς Αὔγουρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου μετὰ τὴν ἐν

5, 356—57 H.

XXXV. 1. ἀποκτίνυσι ADia. 9. ἀγωνίσηται C. 10. φορίῳ G. διακομισθέντα E. 13. ἀνεπαύσατο marg. A, ἂν ἐπαύσατο D. 15. καὶ κατάστασιν Coraes: κατάστασιν ADCB^{c}M^{o} TiV, καὶ στάσιν v. λικινίῳ ABEGM^{o}ia, cf. c. 9. 16. Ὁρτήσιον om M^{o}, ὀρτήσιον ABDCia. 17. ὑπερβαλεῖν AD: ὑπερβάλλειν v. 19. αὐτοῦ Xylander: αὐτοῦ v. 23. ἀνισχόμενος G.

XXXVI. 1. Αὔγουρας Coraes: Αὐγούρας v, cf. ad Luc. 1, 7, αὐγούρους C.

Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου τούς τε Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτε- 879
ρισμὸν ἐπηρμένους κατεπράϋνεν ἡμέρως ἄρχων. Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν· αὐτὸς δὲ καθ' ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία θυρωρὸν οὐκ εἶχεν οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενός, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίας προσβαλεῖν μεθ' ὕβρεων. Ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα τάς τε πόλεις εὐπόρους ἐποίησε καὶ τοὺς ἀποτίνοντας οὐδὲν τούτου πλεῖον παθόντας ἐπιτίμους διεφύλαξεν. Ἥψατο δὲ καὶ πολέμου λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Κεκιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. Πλέων δ' ἀπὸ τῆς ἐπαρχίας τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος καὶ τοὺς τότε φίλους

5, 357—59 H.

17. αἰκίσεσθαι D. 20. ἀποτείνοντας M°. οὐδὲ τούτου i. 22. ἀλβανὸν libri praeter a. 23. Κεκιλίου] κελίου a, Καιλίου x post Xylandrum aliosque. intelligendum esse M. Coelium (Cicer. ad famil. 2, 11) dubio vacat. sed tam frequens apud graecos scriptores Κοιλίου, Κλοιλίου, Καικιλίου, Κεκιλίου formarum permutatio est, ut dubitem libris invitis formas quae hodie genuinae habentur restituere. cf. ad Mar. 4 ad Sull. 6. Schweighaeuserum ad Appiani b. c. 2, 22 p. 740 interpretes ad Dionis Cass. 41, 2. 42, 22. Drakenborchium ad Livii epit. CXI. Ruhnkenium ad Velleii 2, 68. 31. συγγινόμενος BCM°. τούς τε φίλους Coraes Schaeferus, sine

καὶ συνήθεις ἀσπασάμενος καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων περὶ τὸν ἐμφύλιον πόλεμον.

XXXVII. Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον ἴδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων· ἰδίᾳ δὲ συνεβούλευε πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηίου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα καὶ Καίσαρος ἐπερχομένου Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. Γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τρέπεσθαι, Πομπηίου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ. Τρεβατίου δὲ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπιστολὴν, ὅτι Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὑτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων, ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι.

XXXVIII. Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπήῳ προσθέμενον· αὐτῷ μὲν γὰρ οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ

5, 359—61 H.

---

caussa, cf. vers. 30. 34. περὶ] ἐπὶ Coraes Schaeferus.

XXXVII. 11. διαπορεῖν addiderunt marg. ADSTVx. 13. τοὺς φίλους [C]qVx: τοῖς φιλοις v. 14. bis φύγοι C, φύγοι M^o. cf. Ciceronis ep. ad Attic. 8, 7. 15. τρεβεντίου ABDEM^o.

XXXVIII. 2. ἀσμένοις Wyttenbachius: ἄσμενος v. 4. προσθέμενος M^o, προσθεμένου G. γὰρ om AD.

χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἠρμόζετο, κατ᾽ οὐδένα λογισμὸν οὐδ᾽ ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι καὶ τοσούτου μεθ-
ἑξοντα κινδύνου δεῦρ᾽ ἥκειν. Οὗτοί τε δὴ τοῦ Κικέρωνος
ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην καὶ τὸ μέγα μηδὲν αὐτῷ 880
χρῆσθαι Πομπηΐου. Αἴτιος δ᾽ ἦν αὐτὸς οὐκ ἀρνούμενος μεταμέλεσθαι, φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν καὶ πρὸς τὰ βούλευματα δυσκολαίνων ὑπούλως καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χαρίεν εἰς τοὺς συμμάχους οὐκ
ἀπεχόμενος, ἀλλ᾽ αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιῶν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπός, ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις. Βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι. Λομιτίου τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν καὶ λέγοντος, ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ
σώφρων, „Τί οὖν“ εἶπεν „οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις;“ Ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον, ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος, ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας, „Ἡλίκον“ εἶπεν „ἀγαθόν ἐστι τὸ Γραικὸν ἔχειν ἔπαρχον.“ Καίσαρος δὲ κατ-
ορθοῦντος τὰ πλεῖστα καὶ τρόπον τινὰ πολιορκοῦντος αὐτούς, Λεντλῳ μὲν εἰπόντι πυνθάνεσθαι στυγνοὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπεκρίνατο „Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι.“ Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστὶ καὶ λέγοντος ἐν Ῥώμῃ φήμην ἐπικρατεῖν, ὡς πολιορκοῖτο Πομ-
πήϊος, „Εἶτ᾽ ἐξέπλευσας“ εἶπεν „ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος;“ Μετὰ δὲ τὴν ἧτταν Νοννίου μὲν εἰπόντος, ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηΐου λελεῖφθαι, „Καλῶς ἂν“ ἔφη „παρῄνεις, εἰ κολοιοῖς ἐπολεμοῦμεν.“ Λαβιηνοῦ δὲ μαντείαις τισὶν
ἰσχυριζομένου καὶ λέγοντος, ὡς δεῖ περιγενέσθαι Πομπήϊον,
5, 361—62 H.

---

6. ἴσος x: ἴσως ACBᶜMᵒST, ἴσα v. 9. τε δὴ Coraes: δὴ C, δὲ δὴ v. 11. δ᾽ om C. 14. χαρίεν AB: χάριεν v. 18. δομετίου Mᵒ. 21. Θεοφάνη BDC. 23. εἰπεῖν BCG. 26. στυγνοὺς] cf. Garatonium ad Ciceronis Philipp. 2, 15 Schaeferum ad Lamb. B. p. 232. 28. Μαρκίου Amiotus Xylander x: μάρκου Mᵒ, μαρίκου ceteri et v. 31. Νονίου apoph. 205 c. 33. λελῆφθαι ia. 34. λαβιήνου ABDEGia. 35. δεῖ] δὴ Mᵒ. περιγενέσθαι [AC]STVx: παραγενέσθαι v.

„Οὐκοῦν“ ἔφη „στρατηγήματι τούτῳ χρώμενοι νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον.“

XXXIX. Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης, ἧς οὐ μετέσχε δι' ἀῤῥωστίαν, καὶ Πομπήϊου φυγόντος, ὁ μὲν Κάτων καὶ στράτευμα συχνὸν ἐν Λυῤῥαχίῳ καὶ στόλον ἔχων μέγαν ἐκεῖνον ἠξίου στρατηγεῖν κατὰ νόμον καὶ τὸ τῆς ὑπατείας ἀξίωμα προὔχοντα. Διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπήϊου τοῦ νέου καὶ τῶν φίλων προδότην ἀποκαλούντων καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς μόλις ἀφείλετο καὶ διῆκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου. Κατασχὼν δ' εἰς Βρεντέσιον ἐνταῦθα διέτριβε Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. Ἐπεὶ δ' εἰς Τάραντα καθωρμισμένος ἀπηγέλλετο καὶ πεζῇ περιϊὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτὸν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν. Οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν. Ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἀπαντῶντα, κατέβη καὶ ἠσπάσατο καὶ διαλεγόμενος μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν. Ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος ἀντιγράφων τόν τε λόγον αὐτοῦ καὶ τὸν βίον ὡς μάλιστα τῷ Περικλέους ἐοικότα καὶ Θηραμένους ἐπαινεῖν. Ὁ μὲν οὖν Κικέρωνος λόγος Κάτων, ὁ δὲ Καίσαρος Ἀντικάτων ἐπιγέγραπται. Λέγεται δὲ καὶ Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος, εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· „Τί κωλύει διὰ χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι κέκριται πονηρὸς ἀνὴρ καὶ πολέμιος;“ ἐπεὶ
881 δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει καὶ προὔβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἰέναι χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα,
5, 362—64 H.

XXXIX. 4. καὶ τὸ] κατὰ τὸ C. mihi delendum videtur καὶ ne cetera quidem desideraturo fortasse ex interpretatione orta, cf. Cat. min. 55. 9. διῆκεν ADSV: διήνεγκεν v. αὐτὸν om BM°ia. 28. ὁ ἀνὴρ Schaeferi non requiro. 30. χάριτι om C. 31. ἰέναι Bryani AD: ἰέναι v.

πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι, τέλος δὲ τῶν κατὰ Φάρσαλον ἀψαμένου τοῦ ῥήτορος ἀγώνων ἐκπαθῆ γενόμενον τιναχθῆναι τῷ σώματι καὶ τῆς χειρὸς ἐκβαλεῖν ἕνια τῶν γραμματίων. Τὸν γοῦν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

XL. Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον. Αὐτῷ δ' ἔργον μὲν ἦν τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μεταφράζειν καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον· ἐκεῖνος γάρ ἐστιν, ὡς φασιν, ὁ καὶ τὴν φαντασίαν καὶ τὴν συγκατάθεσιν καὶ τὴν ἐποχὴν καὶ τὴν κατάληψιν, ἔτι δὲ τὸ ἄτομον, τὸ ἀμερές, τὸ κενὸν, ἄλλα τε πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις γνώριμα καὶ προσήγορα μηχανησάμενος· τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. Λέγεται γὰρ, ὑπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια. Τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ διάγων ἔγραφε πρὸς τοὺς φίλους Λαέρτου βίον ζῆν, εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν καὶ ἀδημονῶν τοῖς καθεστῶσι. Σπανίως δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. Οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηίου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆ-

5, 364—65 H.

ίων

32. τρεπομένου G. 35. γραμματείων A, γραμματέων DM°.

XL. 1. τῆς πολιτείας εἰς μοναρχίαν E. 6. μεταφράζειν] πλάτωνος addit marg. A, textus D, unde probabile est sumpsisse V, τινα τοῦ Πλάτωνος nuperi addunt cum x, quod omni auctoritate caret. 8. ἐστιν om AD. 9. συγκατάθεσιν Stephanus (‚repone') [AD]Vx: κατάθεσιν v. ἀποχὴν ABDCEGBᶜM°iVx. marg. D: ‚φαντασία, συγκατάθεσις, ἀποχὴ ἢ ἐποχὴ, κατάληψις ἢ κενὸν ὑπόληψις.' 10. καινὸν A, καινὸν BDCEG. 17. τοὺς φιλοσόφους CEG. 19. ἀδημονῶν marg. AD: ἀθυμῶν v.

ναι· καὶ ἀνεστάθησαν. Ἔφη γὰρ ὁ Κικέρων, ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηίου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.

XLI. Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν καὶ πολλὰ συμμῖξαι τῶν Ἑλληνικῶν καὶ ὅλως τοὺς συνηγμένους λόγους αὐτῷ καὶ μύθους ἐνταῦθα τρέψαι, πολλοῖς μὲν δημοσίοις, πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ πλεῖστα συμβῆναι. Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι καὶ μηδ' ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν τυχεῖν εὐγνώμονος. Αὐτὴ μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον, ἐρχομένῃ δὲ τῇ θυγατρὶ, παιδίσκῃ νέᾳ, τοσαύτην ὁδὸν οὐ πομπὴν πρέπουσαν, οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέδειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις. Αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις. Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος μετ' οὐ πολὺν χρόνον γήμας παρθένον, ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. Ἦν γὰρ ἡ παῖς σφόδρα πλουσία καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς διεφύλαττεν. Ὀφειλῶν δὲ πολλὰς μυριάδας ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλι-
882 κίαν καὶ τοὺς δανειστὰς ἀπαλλάξαι τοῖς ἐκείνης χρησάμενον. Ἀντώνιος δὲ τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς ἐκβαλεῖν αὐτόν φησι γυναῖκα, παρ' ἣ ἐγή-
5, 365—67 H.

---

26. scribam τοὺς Πομπηίου μὲν.

XLI. 2. παραλαβεῖν DV. συμμῖξαι Schaeferus: συμμίξαι v. 3. ὅλως ABCEGM°qSTVx: ὅλος v. συνεγμένους (sic) ω, συνηγμένους Vx: εἰρημένους v. αὐτῷ ωV: αὐτῶν v. 4. τρέψαι ωVx: γράψαι v. 6. τὰ πλεῖστα marg. AD. 7. περὶ τὸν ADV. 9. αὐτὴ Wyttenbachius: αὗτη v. 10. βρεντησίῳ D. 12. τρέπουσαν Aia. 18. Τίρων Schaeferus et deinceps: τήρων libri, Τύρων Stephaniana. 19. ἔγραψεν F. 20. γὰρ] δὲ F. 21. αὖθις Stephaniana. 24. ἐκείνοις D. 26. παρ' ἧς G.

ρασε· χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος. Γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ προτέρου ἀνδρὸς τελευτήν. Καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φιλόσοφοι· βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβηκὸς, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμψασθαι δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς Τυλλίας.

XLII. Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. Τῆς δ' ἐπὶ Καίσαρα συνισταμένης πράξεως οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου καὶ βαρύνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. Ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν ὡς ἐνδεᾶ τόλμης τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. Ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον καὶ τῶν Καίσαρος φίλων συνισταμένων ἐπὶ τοὺς ἄνδρας αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν, Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθὼν ἔπεισε τὴν σύγκλητον Ἀθηναίους μιμησαμένην ἀμνηστίαν τῶν ἐπὶ Καίσαρι ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσσιον καὶ Βροῦτον ἐπαρχίας. Ἔσχε δὲ τούτων τέλος οὐδέν. Ὁ γὰρ δῆμος αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθεὶς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων καὶ κεκομμένην πάντῃ τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ' ὀργῆς ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον ὡς ὑφάψοντες. Οἱ δὲ τοῦτον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρους δὲ πολλοὺς καὶ μεγάλους προσδοκῶντες ἐξέλιπον τὴν πόλιν.

5, 367—68 H.

---

30. τοῦ *προτέρου ἀνδρὸς* propter hiatum vereor ut Plutarchi sint. supra c. 31 *Πείσωνα τὸν γαμβρὸν*, ut nihil opus fuerit ista hoc loco addi. 34. ἐπὶ τῇ F. τυλίας M°ia.

XLII. 3. ὢν] ἂν D. 5. τε om F. 7. ἐπιλείπειν θαρρεῖν F. 9. ἐπὶ τοὺς ἄνδρας addiderunt m. rec. ADSTVx. 14. τοῖς] τῆς D. 16. ἐξαναχθεὶς M°, sed corr marg. 19. πάντῃ om D. 21. ὡς om F. ὑφάψοντες A: ὑφάψαντες D, ἀνάψοντες v.

XLIII. Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο καὶ πᾶσι μὲν ἦν φοβερὸς ὡς μοναρχήσων, τῷ δὲ Κικέρωνι φοβερώτατος. Ἀναῤῥωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ καὶ τοῖς περὶ Βροῦτον ἐπιτήδειον εἰδὼς ἤχθετο παρόντι. Καί πού τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. Ταῦτα δείσας ὁ Κικέρων πρῶτον μὲν ὥρμησε πρεσβευτὴς Δολοβέλλᾳ συνεκπλεῦσαι εἰς Συρίαν· ἐπεὶ δ' οἱ μέλλοντες ὑπατεύειν μετ' Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν ὑποδεχόμενοι καταλύσειν Ἀντώνιον ἐκείνου παρόντος, ὁ δ' οὔτ' ἀπιστῶν παντάπασιν οὔτε πιστεύων Δολοβέλλαν μὲν εἴασε χαίρειν, ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχήν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν ἐξέπλευσε. Γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς καὶ λόγων ἀπὸ Ῥώμης, οἷα φιλεῖ, καινῶν προσπεσόντων, μεταβεβλῆσθαι μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον, ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν, καταμεμψάμενος αὐτὸς αὑτοῦ τὴν πολλὴν εὐλάβειαν ἀνέστρεφεν αὖθις εἰς Ῥώμην. Καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτον πλῆθος ἀνθρώπων ὑπὸ χαρᾶς καὶ πόθου πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι. Τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου
883 καὶ καλοῦντος αὐτὸν οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. Ἐδόκει δὲ τἀληθὲς ἐπι-
5, 368—69 H.

XLIII. 3. τε om F. τὴν δύναμιν ὁρῶν D. 8. συνεκπλεῦσαι εἰς non scripsisse Plutarchum mihi certum est. coniicio Δολοβέλλᾳ συνεκπλεῦσαι πρεσβευτὴς εἰς. 9. Ἵρτιος (Ἕρτιος M°) libri et deinceps: Ἵρτιος Stephaniana. Πάνσας Stephaniana: πάσσας libri et deinceps. 14. διάζειν a. 17. μεταβεβλῆσθαι [A]STVx: μεταμεμελῆσθαι v, μεταμεληθῆναι F, μεταμεμελεῖσθαι M°. 18. πράττειν πάντα A. 22. διήμαρτεν G. 23. ἀνθρώπων ὑπὸ χαρᾶς καὶ πόθου accesserunt ex marg. Mureti cui nulla codicis nota addita. inde sumpserunt Vx. excidisse autem probabile est propter similitudinem vocabulorum πλῆθος et πόθου. 24. αἱ] καὶ F. 28. δὲ om D.

βουλῆς εἶναι φόβος ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας, ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο. Καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλαττόμενοι διετέλουν, ἄχρις οὗ Καῖσαρ ὁ νέος ἐξ Ἀπολλωνίας παραγενόμενος τόν τε κλῆρον ἀνεδέξατο τοῦ Καίσαρος ἐκείνου καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων, ἃς Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, εἰς διαφορὰν κατέστη πρὸς αὐτόν.

XLIV. Ἐκ δὲ τούτου Φιλιππος ὁ τὴν μητέρα τοῦ νέου Καίσαρος ἔχων καὶ Μάρκελλος ὁ τὴν ἀδελφὴν ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν Κικέρωνα συνέθεντο, Κικέρωνα μὲν ἐκείνῳ τὴν ἀπὸ τοῦ λόγου καὶ τὴν ἀπὸ τῆς πολιτείας δύναμιν ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. Ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ Καίσαρι στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον. Ἐδόκει δὲ καὶ μείζων τις αἰτία γεγονέναι τοῦ τὸν Κικέρωνα δέξασθαι προθύμως τὴν Καίσαρος φιλίαν. Ἔτι γάρ, ὡς ἔοικε, Πομπηΐου ζῶντος καὶ Καίσαρος ἔδοξε κατὰ τοὺς ὕπνους ὁ Κικέρων καλεῖν τινας τοὺς τῶν συγκλητικῶν παῖδας εἰς τὸ Καπιτώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδεικνύειν τῆς Ῥώμης ἡγεμόνα· τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντας ἵστασθαι περὶ τὸν νεὼν καὶ τοὺς παῖδας ἐν τοῖς περιπορφύροις καθέζεσθαι σιωπὴν ἔχοντας. Ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν καθ' ἕνα τῶν παίδων ἀνισταμένων κύκλῳ περὶ τὸν θεὸν παραπορεύεσθαι, τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν

5, 369—71 H.

---

29. εἶναι om F. 32. ἐκστάντων M°. 34. ἀντιπαρεξιόντες [AC]B°: ἀντιπαρεξιέντες v, παρεξιόντες E. ἀτρέμας (sic) M°.

XLIV. 4. καὶ τὴν ἀπὸ τῆς ADCFB°qSTV: καὶ τῆς v. 8. μείζων τις αἰτία γεγονέναι τοῦ τὸν κικέρωνα addiderunt marg. ADTVx. 9. δέξασθαι ADTV: ἀναδέξασθαι v. 12. τινα Bryanus. τοὺς om F. 15. ταῖς περιπορφύροις Schaeferus, idque constans requirit scriptoris usus, cf. Marc. 23. Mar. 12. 22. Sull. 9. Pomp. 34. Cat. min. 39. Cic. 19. nisi forte liceat intelligi ἱματίοις, quomodo solet Dio Cassius, cf. eius 36, 16. 56, 31. 58, 11. 12 all. 17. περὶ ADCEG: παρὰ v. τῶν A. 18. περισκοπεῖν G.

ἀχθομένους. Ὡς δ' οὗτος ἦν προσιὼν κατ' αὐτὸν, ἐκτεῖναι τὴν δεξιὰν καὶ εἰπεῖν „Ὦ Ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων οὗτος ἡγεμὼν γενόμενος.“ Τοιοῦτόν φασιν ἐνύπνιον ἰδόντα τὸν Κικέρωνα τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δ' οὐκ ἐπίστασθαι. Μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον αὐτοῦ τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον, οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ πυνθάνεσθαι, τίνων εἴη γονέων. Ἦν δὲ πατρὸς Ὀκταουίου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρὸς, ἀδελφιδῆς Καίσαρος. Ὅθεν Καῖσαρ αὐτῷ παῖδας οὐκ ἔχων ἰδίους τὴν οὐσίαν ἑαυτοῦ καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. Ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας· καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει Κικέρωνος ὑπατεύοντος.

XLV. Αὗται μὲν οὖν προφάσεις ἦσαν λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις ἥττων οὖσα τιμῆς προσεποίησε Καίσαρι νομίζοντι προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν. Οὕτω γὰρ ὑπῄει τὸ μειράκιον αὐτὸν, ὥστε καὶ πατέρα προσαγορεύειν. Ἐφ' ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς καθήψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου θεραπεύων τὸν Καίσαρα δῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὐτῷ μνώμενος. Οὐ μὴν ἀλλὰ τόν γε παῖδα Κικέρωνος ὁ Βροῦτος ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις ἀναλαβὼν ἔσχεν ἐφ'

5, 371—73 H.

---

20. *τῶν ἐμφυλίων* G. 24. *ἂν εἴη* F. 28. libri *ἀδελφῆς*, correxit Xylander in interpretatione ante Palmerium exerc. p. 212. eundem errorem in eadem re libri repetunt Anton. 11 et 16. recta ratio servata Brut. 22. 30. *ἔδωκεν ἐν ταῖς διαθήκαις* D.

XLV. 1. *αἱ λεγόμεναι* Reiskii Schaeferus, sed cf. Arat. 38. 3. *τιμῆς* ABDCEFGM^{o}: *τῆς τιμῆς* v. *νομίζοντι* ADV: *νομίζοντα* v. 4. *ὑπῄει* DTqRωVx cum Xylandro: *ὑπῄει πρὸς* v. (quod Wyttenbachius scribit: ‚in R tamen adest *πρὸς* sed cum lacuna‘, non repperit Walzius, qui sic: ‚*πρὸς* non est in Tq neque in R nec in ω‘). 5. *ἐφ' ᾧ*] *οὕτω* F. 6. *σφόδρα* om C. *ἄττιον* ABCEFGM^{o}. 8. *θεραπεύων τὸν* ωSVx: *θεραπεύοντος* v.

ἡγεμονίας καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. Τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην, καὶ κρατῶν ὅσων ἐβούλετο τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ 884
κατεστασίασε καὶ πολεμήσοντας αὐτῷ τοὺς δύο ὑπάτους, Ἵρτιον καὶ Πάνσαν, ἐξέπεμψε, Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον. Ἐπεὶ δ' Ἀντώνιος μὲν ἥττητο, τῶν δ' ὑπάτων ἀμφοτέρων ἀποθανόντων ἐκ τῆς μάχης πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα δ' ἡ βουλὴ νέον ἄνδρα καὶ τύχῃ λαμπρᾷ κεχρημένον ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα καὶ περισπᾶν τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος, οὕτως ὁ Καῖσαρ φοβηθεὶς ὑπέπεμπε τῷ Κικέρωνι τοὺς δεομένους καὶ πείθοντας ὑπατείαν μὲν ἀμφοτέροις ὁμοῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν, ὅπως αὐτὸς ἔγνωκε, παραλαμβάνοντα τὴν ἀρχὴν καὶ τὸ μειράκιον διοικεῖν ὀνόματος καὶ δόξης γλιχόμενον. Ὡμολόγει δὲ Καῖσαρ αὐτὸς, ὡς δεδιὼς κατάλυσιν καὶ κινδυνεύων ἔρημος γενέσθαι χρήσαιτο τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ προτρεψάμενος αὐτὸν ὑπατείαν μετιέναι, συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντος.

LXVI. Ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς ὑπὸ νέου γέρων καὶ φενακισθεὶς καὶ συναρχαιρεσιάσας καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ' ὕστερον αὐτὸν ἀπολωλεκὼς ᾔσθετο καὶ τοῦ δήμου προέμενος τὴν ἐλευθερίαν. Αὐξηθεὶς γὰρ ὁ νεανίας καὶ τὴν ὑπατείαν λαβὼν Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκὼν ὥσπερ ἄλλο τι κτῆμα τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς. Καὶ κατεγράφησαν ἄνδρες, οὓς ἔδει θνήσκειν, ὑπὲρ διακοσίους. Πλείστην δὲ τῶν ἀμφισβητη-

5, 373—74 H.

13. μεγίστην ἐν τῇ πόλει M°. 14. ὅσον Wyttenbachii ind. v. ὅσον praestant CF. 16. Ἵρτιον] ἄντιον DC. 18. τὴν σύγκλητον ψηφίσασθαι C. 19. ἐν τῇ μάχῃ Corais ne probes cf. Anton. 17. 20. δ' ego addidi. 23. περισπᾶν ABDCBᶜM°: περισπᾶν αὐτοῦ v. 24. ὑπέπεμψε C. 28. δὲ καὶ Καῖσαρ Reiskii nuperi. 29. αὐτὸς om C. 30. χειρώσαιτο C.

XLVI. 3. σύγκρισιν G. 5. προέμενος Corais C: προιέμενος v.

μάτων αὐτοῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν, Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι, Λεπίδου δ' Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ πρὸς ἀμφοτέρους ἀντέχοντος. Ἐγίνοντο δ' αἱ σύνοδοι μόνοις ἀπόῤῥητοι περὶ πόλιν Βονωνίαν ἐφ' ἡμέρας τρεῖς, καὶ συνῆεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων ποταμῷ περιῤῥεόμενον. Λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ καὶ προέσθαι τὸν ἄνδρα. Τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. Ἔδει Κικέρωνος ἐκστῆναι Καίσαρα, Παύλου δὲ τἀδελφοῦ Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. Οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δ' ἀπέδειξαν, ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν ἀγριώτερον ἐξουσίαν πάθει προσλαβόντος.

XLVII. Πραττομένων δὲ τούτων ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τοῦσκλον ἔχων τὸν ἀδελφὸν μεθ' αὑτοῦ· πυθόμενοι δὲ τὰς προγραφὰς ἔγνωσαν εἰς Ἄστυρα μεταβῆναι, χωρίον παράλιον τοῦ Κικέρωνος· ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον· ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. Ἐκομίζοντο δ' ἐν φορείοις ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι καὶ τὰ φορεῖα παραβάλλοντες ἀλλήλοις προσωλοφύροντο. Μᾶλλον δ' ὁ Κόϊντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν εἰσῄει τῆς ἀπορίας· οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν, ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον· ἄμεινον οὖν εἶναι τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν οἴκοθεν συσκευασάμενον. Ταῦτ' ἔδοξε· καὶ περιλαβόντες ἀλλήλους καὶ ἀνακλαυσάμενοι διελύθησαν. Ὁ μὲν οὖν Κόϊντος οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν ἀνῃρέθη μετὰ τοῦ

5, 374—76 H.

---

14. ἐγένοντο M°. 15. *συνίεσαν* G. 19. *ἄνδρα*] *φίλον* Photius p. 395. 20. *Κικέρωνος μὲν* Photius. 21. *δὲ καὶ καίσαρος* M°. 23. *θηρίον ἀνθρώπου* Photius.

XLVII. 2. *ἑαυτοῦ* CF. 3. *εἰς Ἄστυρα*] male huc refertur annotatio x *εἰς Θάλασσαν πρὸς Ἄστυρα* pertinens ad vers. 22. 4. *πάραλον* Reiskianae nuperi. 7. *ὑφιστάμενοι* F. *παραβαλόντες* Reiskiana. 11. *μενοῦν* F. 13. *περιλαβόντες* ABDC EFGB^{c}M°i: *περιβαλόντες* v, cf. Sull. 24, 19. *ἀλλήλοις* TSR.

παιδός. Ὁ δὲ Κικέρων εἰς Ἄστυρα κομισθεὶς καὶ πλοῖον εὑρὼν εὐθὺς ἐνέβη καὶ παρέπλευσεν ἄχρι Κιρκαίου πνεύματι 885
χρώμενος. Ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν εἴτ' οὔπω παντάπασι τὴν
Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη καὶ παρῆλθε πεζῇ σταδίους ἑκατὸν ὡς εἰς Ῥώμην πορευόμενος. Αὖθις δ' ἀλύων καὶ μεταβαλλόμενος κατῆλθε πρὸς θάλασσαν εἰς Ἄστυρα. Κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν, ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας ἀλάστορα προσβαλεῖν. Ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων· καὶ τἆλλα ταραχώδη καὶ παλίντροπα βουλεύματα τῆς γνώμης μεταλαμβάνων παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καπίτας κατὰ πλοῦν κομίζειν ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. Ἔχει δ' ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάττης. Ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ· καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχὰς καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν. Ἀπέβη δ' οὖν ὁ Κικέρων καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν ὡς ἀναπαυσόμενος κατεκλίθη. Τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες, εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον ἐγκεκαλυμμένου τοῦ Κικέρωνος ἀπῆγε τῷ στόματι κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. Οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες καὶ κακίσαντες ἑαυτοὺς, εἰ περιμένουσι τοῦ δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ βοηθεῖ 5, 376—78 H.

---

17. κιρκαίρου ABDM°. 22. εἰς Ἄστυρα addiderunt ADCFGT S[M°] ‚quidam vett. codd.' Stephani Vx. 23. κακεῖθεν C.
x
25. προβαλεῖν M°. 27. τἆλλα] πολλὰ Coraes. καὶ παλίντροπα βουλεύματα STVx: καὶ πάλιν προβουλεύματα AD, πάλιν προβουλεύματα v. 28. Καπίτας nihili est. καιήτης secundum annotationem Xylandri corrupte x, unde Καιήτην Wyttenbachius et nuperi. fortasse praestat Καιήτας, cf. Schweighaeuserum in Appiani b. c. 4, 19 p. 830. 32. ἐντεῦθεν δ' F. 35. μυρμάτων M°. 39. καταπτὰς Wyttenbachius indic. v. καταβαίνειν. 42. περιμενοῦσι C.

καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' οὐκ ἀμύνουσι, τὰ μὲν δεόμενοι, τὰ δὲ βίᾳ λαβόντες ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.

XLVIII. Ἐν τούτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ἐρέννιος καὶ Ποπίλλιος χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων, ἔχοντες ὑπηρέτας. Ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, οὐ φαινομένου τοῦ Κικέρωνος οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται νεανίσκον τινὰ τεθραμμένον μὲν ὑπὸ τοῦ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντου τοῦ ἀδελφοῦ, Φιλόλογον τοὔνομα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν. Ὁ μὲν οὖν χιλίαρχος ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ περιέθει πρὸς τὴν ἔξοδον. Τοῦ δ' Ἐρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων ὁ Κικέρων ᾔσθετο καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. Αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος ἀτενὲς ἐνεώρα τοῖς σφαγεῦσιν αὐχμοῦ καὶ κόμης ἀνάπλεως καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον, ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι τοῦ Ἐρεννίου σφάζοντος αὐτόν. Ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον. Τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτοῦ καὶ τὰς χεῖρας, Ἀντωνίου κελεύσαντος, αἷς τοὺς Φιλιππικοὺς ἔγραψεν. Αὐτός τε γὰρ ὁ Κικέρων τοὺς κατ' Ἀντωνίου λόγους Φιλιππικοὺς ἐπέγραψε καὶ μέχρι νῦν τὰ βιβλία Φιλιππικοὶ καλοῦνται.

XLIX. Τῶν δ' ἀκρωτηρίων εἰς Ῥώμην κομισθέντων ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ Ἀντώνιος, ἀκούσας δὲ καὶ ἰδὼν ἀνεβόησεν, ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. Τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ

5, 378—79 H.

XLVIII. 1. ἑκατόνταρχος F. 2. ἐρρέννιος AD, Ἐρέννιος Reiskiana, cf. ad Mar. 6. Ποπίλλιος Xylander Stephanus: πόλλιος C, πίλιυς AEFG, πίλλιος ceteri. ὁ χιλίαρχος M°. 6. μὲν om E. 8. Φιλόλογον] sic etiam c. 49. Philogonus Ciceroni est epist. ad Q. fratr. 1, 3. ὄνομα C. 10. θάλασσαν BC. 11. λαβὼν F. 15. ἐνεώρα Solanus: ἐώρα libri. 20. τὴν χεῖρα — ἧ Reiskii cl. Anton. 20 refellit c. 49, 4. 21. αὐτὸς — 23 ἐπέγραψε om BM°.

XLIX. 4. cf. ad 48, 20. ὑπὲρ om M°, ἐπὶ pro ὑπὲρ G.

τοῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτὸν, οὐ τὸ Κικέρωνος ὁρᾷν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίου ψυχῆς εἰκόνα. Πλὴν ἔν γέ τι φρονήσας μέτριον ἐν τούτοις Πομπωνίᾳ τῇ Κοίντου γυναικὶ τὸν Φιλόλογον παρέδωκεν. Ἡ δὲ 886
κυρία γενομένη τοῦ σώματος ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς αὐτοῦ κατὰ μικρὸν ὀπτᾶν, εἶτ' ἐσθίειν ἠνάγκασεν. Οὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν· ὁ δ' αὐτοῦ τοῦ Κικέρωνος ἀπελεύθερος Τίρων τοπαράπαν οὐδὲ μέμνηται τῆς τοῦ Φιλολόγου προδοσίας. Πυνθάνομαι δὲ Καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα τῶν θυγατριδῶν· τὸν δὲ βιβλίον ἔχοντα Κικέρωνος ἐν ταῖς χερσὶν ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα δὲ Καίσαρα λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βιβλίου, πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ φάναι „Λόγιος ἀνὴρ, ὦ παῖ, λόγιος καὶ φιλόπατρις." Ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν Ἀντώνιον ὑπατεύων αὐτὸς εἵλετο συνάρχοντα τοῦ Κικέρωνος τὸν υἱὸν, ἐφ' οὗ τάς τ' εἰκόνας ἡ βουλὴ ἀνεῖλεν Ἀντωνίου καὶ τὰς ἄλλας ἠκύρωσε τιμὰς καὶ προσεψηφίσατο μηδενὶ τῶν Ἀντωνίων ὄνομα Μάρκον εἶναι. Οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως.

5, 379—80 H.

---

8. φιλολόγον C. παρέδωκαν M°. 10. ἀποτέμνοντος A. 13. *Τίρων* x: *τήρων* libri. 15. *βυβλίον* et 18 *βυβλίου* AD, *βίον* M°. 22. ἡ *βουλὴ ἀνεῖλεν*] ἡ βουλὴ καθεῖλεν scripsisse Plutarchum mihi certum est, cf. Anton. 87 *αἱ μὲν οὖν Ἀντωνίου καθῃρέθησαν εἰκόνες*. Sull. 6, 6.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΚΙΚΕΡΩΝΟΣ ΣΥΓΚΡΙΣΙΣ.

1. Ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ' ἐστίν. Ἀφεικὼς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄῤῥητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν, ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως λόγιον, ὑπερβαλλόμενος ἐναργείᾳ μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικούς, ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς· Κικέρων δὲ καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος συντάξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον, οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τοὺς ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδεικνυσθαι βουλόμενος. Ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου δίοψις. Ὁ μὲν γὰρ Δημοσθενικὸς ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος οὐκ ἐλλυχνίων ὄδωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ φροντίδων καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος, Κικέρων δὲ πολλαχοῦ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμενος καὶ πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευό-

5, 380—81 H.

inscriptionem addidi Corais. Σύγκρισις inscribit E.

1. 6. ὑπερβαλόμενος BG, ὑπερβαλόμενος ἐν δεινότητι μὲν καὶ ἐνεργείᾳ C. ἐναργείᾳ ADTV: ἐναργίᾳ F, ἐνεργείᾳ v. μὲν καὶ] μὲν γὰρ a. 8. δὲ post ἀκριβείᾳ om B^{c}i. 9. καὶ ante τέχνῃ om a.

μενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες ἠφείδει τοῦ πρέποντος, ὥσπερ ἐν τῇ Κεκιλίου συνηγορίᾳ μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ τρυφῇ καὶ πολυτελείᾳ ταῖς ἡδοναῖς χρώμενον· τὸ γὰρ ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα ἐν ἡδονῇ τὸ εὔδαιμον τῶν ἐπιφανεστάτων φιλοσόφων τιθεμένων. Λέγεται δὲ Κάτωνος Μουρήναν διώκοντος ὑπατεύων ἀπολογεῖσθαι καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωϊκὴν αἵρεσιν ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων πρὸς τοὺς δικαστάς, ἡσυχῇ διαμειδιάσας [ὁ Κάτων] πρὸς τοὺς καθημένους εἰπεῖν· „Ὡς γελοῖον, ὦ ἄνδρες, ἔχομεν ὕπατον.“ Δοκεῖ δὲ καὶ γέλωτος οἰκεῖος ὁ Κικέρων γεγονέναι καὶ φιλοσκώπτης, τό τε πρόσωπον αὐτοῦ μειδίαμα καὶ γαλήνην παρεῖχε. Τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδὴ καὶ τὸ πεφροντικὸς τοῦτο καὶ σύννουν οὐ ῥᾳδίως ἀπέλιπεν· ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτός φησιν, ἀπεκάλουν.

II. Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἔστι τὸν 887
μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὑτὸν ἀπτόμενον ἐγκωμίων, ὅτε τούτου δεήσαι πρὸς ἕτερόν τι μεῖζον, τἆλλα δ' εὐλαβῆ καὶ μέτριον· ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν βοῶντος, ὡς τὰ ὅπλα ἔδει τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην. Τελευτῶν δ' οὐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τοὺς λόγους ἐπαινεῖ τοὺς εἰρημένους ὑπ' αὐτοῦ καὶ γεγραμμένους, ὥσπερ Ἰσοκράτει καὶ

5, 381—82 H.

---

22. εἰς τὸ χρειῶδες om G. 23. κεκιλίου libri praeter a quae κελίου et sic v, cf. ad Cicer. c. 35. 24. τρυφῇ καὶ πολυτελείᾳ ADCEG: τρυφῇ πολυτελείᾳ F, πολυτελείᾳ καὶ τρυφῇ v. cf. Ciceronis or. pro Coel. c. 17. 31. πρὸς] εἰς C. πρὸς τοὺς δικαστὰς — πρὸς τοὺς καθημένους suspecta quibusdam tuta praestat Cat. min. 21. μειδιάσας D. ὁ Κάτων in libris omissa post δικαστὰς inseruit Solanus, post διαμειδιάσας Reiskius. 36. φροντιστικὸν ω (apud Wyttenbachium S) Vx. τοῦτο ω (apud Wyttenbachium S) [M°]Vx: τούτῳ v. πεφροντικὸς καὶ σύννουν τούτῳ G. ἀπέλειπεν Coraes. 37. αὐτὸν om G.

II. 3. δεῆσαι ADBEFia, δεήσει C. 5. τῆς] τοῖς D. περιταυτολογίας BB°M°ia. περὶ ταὐτολογίας EFG. 6. τηβέννῳ C.

Ἀναξιμένει, τοῖς σοφισταῖς διαμειρακευόμενος, οὐ τὸν Ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθοῦν,

Βριθὺν, ὁπλιτοπάλαν, δάϊον ἀντιπάλοις.

Ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον ἀναγκαῖον, ἀγαπᾶν δ' ἀγεννὲς καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν. Ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ μεγαλοπρεπέστατος ὁ Δημοσθένης, τὴν μὲν αὐτοῦ δύναμιν ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους, ὥσπερ εἰσὶ, τοὺς ἐπὶ τούτῳ φυσωμένους ἡγούμενος.

III. Ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι, Δημοσθένους μὲν Χάρητα καὶ Διοπείθην καὶ Λεωσθένην, Κικέρωνος δὲ Πομπήϊον καὶ Καίσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν εἴρηκεν. Ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξουσία καὶ ἀρχὴ πᾶν πάθος κινοῦσα καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν, Δημοσθένει μὲν οὐχ ὑπῆρξεν οὐδ' ἔδωκε τοιαύτην διάπειραν ἑαυτοῦ μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, ὃς οὐδὲ τῆς ὑφ' αὑτοῦ συντεταγμένης ἐπὶ Φίλιππον ἐστρατήγησε δυνάμεως· Κικέρων δὲ ταμίας εἰς Σικελίαν καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποσταλεὶς, ἐν ᾧ καιρῷ, τῆς φιλοπλουτίας ἀκμαζούσης καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγενοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο, πολλὴν

5, 382—83 H.

---

12. cf. Wyttenbachium in mor. 317 e. 14. *ἀγενὲς* M°. 15. *ὅθεν καὶ* D. *ταύτην* D, *ταύτῃ* om F. ‚scribendum potius *μεγαλοπρεπέστερος*' Stephanus, item x et nuperi. sed cf. Cleomen. 24 mor. 664 d aliaque non recte tentata ab Wyttenbachio in mor. 101 c. 16. *δεομένης* F.

III. 1. *δημογορεῖν* A. 2. *ὁμαλῶς*] *ἐξίσου* marg. A. 4. *διοπείθη* BDCE. *λεωσθένη* BB^{c}C, *κλεωσθένη* DV. 5. *καὶ* ante *Καίσαρα* om M°. 11. *ὃς* ab Corae additum praestant AD. *αὐτοῦ* ADC: *ἑαυτοῦ* v. 12. *ταμίας*] *στρατείας* D sed supr. scr. *ταμίας*. 13. *καὶ καπαδοκίαν* post *Σικελίαν* habet M°. 15. *ἀγενοῦς* M°, *ἀγεννῶς* F. 16. *τρεπομένου* G. 17. *πολλῆς δὲ* AD, *πολλοὺς* E.

μὲν ἐπίδειξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ φιλανθρωπίας καὶ χρηστότητος. Ἐν αὐτῇ δὲ τῇ Ῥώμῃ λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξουσίαν δὲ λαβὼν αὐτοκράτορος καὶ δικτάτορος ἐπὶ τοὺς περὶ Κατιλίναν, ἐμαρτύρησεν ἅμα τῷ Πλάτωνι μαντευομένῳ παῦλαν ἔξειν κακῶν τὰς πόλεις, ὅταν εἰς ταὐτὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἔκ τινος τύχης χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης. Χρηματίσασθαι τοίνυν ἀπὸ τοῦ λόγου Δημοσθένης μὲν ἐπιψόγως λέγεται λογογραφῶν κρύφα τοῖς περὶ Φορμίωνα καὶ Ἀπολλόδωρον ἀντιδίκοις καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὀφλὼν δὲ τῶν Ἀρπαλείων. Εἰ δὲ ταῦτα τοὺς γράφοντας (οὐκ ὀλίγοι δ' εἰσὶν οὗτοι) ψεύδεσθαι φαίημεν, ἀλλ' ὅτι γε πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας ἀντιβλέψαι Δημοσθένης οὐκ ἂν ἐτόλμησεν οὐδ' ἦν τοῦτο τὸ ἔργον ἀνθρώπου δανείζοντος ἐπὶ ναυτικοῖς, ἀμήχανον ἀντειπεῖν· περὶ δὲ Κικέρωνος, ὅτι καὶ Σικελιωτῶν ἀγορανομοῦντι καὶ βασιλέως τοῦ Καππαδοκῶν ἀνθυπατεύοντι καὶ τῶν ἐν Ῥώμῃ φίλων, ὅτ' ἐξέπιπτε τῆς πόλεως, δωρουμένων πολλὰ καὶ δεομένων λαβεῖν ἀντέσχεν, εἴρηται.

IV. Καὶ μὴν ἥ γε φυγὴ τῷ μὲν αἰσχρὰ κλοπῆς ἁλόντι συνέπεσε, τῷ δὲ, κάλλιστον ἔργον, ἀνθρώπους ἀλιτηρίους ἐκκόψαντι τῆς πατρίδος. Διὸ τοῦ μὲν οὐδεὶς λόγος ἐκπί- 888
πτοντος, ἐφ' ᾧ δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλαξε καὶ πένθος ἔσχε καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον ἢ Κικέρωνι κάθοδον ψηφίσασθαι. Τὴν μέντοι φυγὴν ἀργῶς ὁ Κικέρων διήνεγκεν ἐν Μακεδονίᾳ καθήμενος, τῷ δὲ Δημοσθένει καὶ ἡ φυγὴ μέγα μέρος τῆς πολιτείας γέγονε. Συναγωνιζόμενος γὰρ, ὥσπερ εἴρηται, τοῖς Ἕλλησι καὶ τοὺς Μακεδόνων πρέσβεις ἐξελαύνων ἐπήρχετο τὰς πόλεις πολὺ

5, 383—85 H.

21. *δικτάτορος* E: *δικτάτωρος* v. 22. cf. Platonis civ. 5 p. 473 d cl. epist. 6 et Plutarchi Num. 20, 35. 25. *ἀπὸ τοῦ λόγου* marg. A: *ἐπὶ τῷ λόγῳ ἀπὸ τοῦ λόγου* (sic) D, *ἐπὶ τῷ λόγῳ* v, *ἀπὸ τῶν λόγων* desideraverat Reiskius. 28. *ὀφλὼν* Schaeferus: *ὄφλων* v. *γράφοντας* ABDCB^{c}M^{o}Sq[EFG]V: *ἀντιγράφοντας* v. 29. *γε* om F. 30. *βασιλέως* F. 31. *τὸ* delet Reiskius. 36. *εἴρηται*] ubinam? nam c. 31 fin. ubi id commemorari par fuit nihil eiusmodi legitur. exspectabam *ὁμολογεῖται* vel, quod malim, *ἱστορεῖται*.

IV. 2. *κάλλιστον ἔργον*] cf. ad Cat. mai. 20, 40. 8. *μέρος μέγα* AD. *γέγονε*] *ἤνεγκε* M^{o} sed corr marg.

βελτίων Θεμιστοκλέους καὶ Ἀλκιβιάδου παρὰ τὰς αὐτὰς τύχας φανεὶς πολίτης· καὶ μέντοι κατελθὼν αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν αὐτὴν ταύτην πολιτείαν καὶ διετέλει πολεμῶν πρὸς Ἀντίπατρον καὶ Μακεδόνας. Κικέρωνα δ' ὠνείδισεν ἐν τῇ βουλῇ Λαίλιος αἰτουμένου Καίσαρος ὑπατείαν μετιέναι παρὰ νόμον οὔπω γενειῶντος σιωπῇ καθήμενον. Ἔγραφε δὲ καὶ Βροῦτος ἐγκαλῶν ὡς μείζονα καὶ βαρυτέραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑφ' αὐτοῦ καταλυθείσης.

V. Ἐπὶ πᾶσι δὲ τῆς τελευτῆς τὸν μὲν οἰκτείραι τις ἄν, ἄνδρα πρεσβύτην δι' ἀγέννειαν ὑπὸ οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον καὶ περιφεύγοντα τὸν θάνατον καὶ ἀποκρυπτόμενον τοὺς οὐ πολὺ πρὸ τῆς φύσεως ἥκοντας ἐπ' αὐτὸν, εἶτ' ἀποσφαγέντα· τοῦ δ', εἰ καὶ μικρὰ πρὸς τὴν ἱκετείαν ἐνέδωκεν, ἀγαστὴ μὲν ἡ παρασκευὴ τοῦ φαρμάκου καὶ τήρησις, ἀγαστὴ δ' ἡ χρῆσις· ὅτι, τοῦ θεοῦ μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν καταφυγὼν ἐκ τῶν ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο τῆς Ἀντιπάτρου καταγελάσας ὠμότητος.

5, 385—86 H.

---

12. κατελθὼν [A]x: κατελθεῖν v. 13. αὐτὴν om F. 14. καὶ Μακεδόνας] καὶ μακεδονίας B, καὶ μακεδονίαν M°, μακεδονίας CFi. κικέρων D. 16. παρὰ νόμον Bryanus: παράνομον v. 17. ἔγραψε F. 18. ὑφ' αὐτοῦ AD: ὑπ' αὐτῶν v.

V. 1. δὲ τῆς τε D. addidi ἄν, post μὲν addiderat Schaeferus. 2. ἀγέννειαν x: εὐγένειαν libri. 3. περιφεύγοντα καὶ περιφερόμενον C. 4. τοὺς — ἥκοντας [AC]M°qSTRVx: τὸν — ἥκοντα v. 6. ἡ τοῦ φαρμάκου παρασκευὴ C.

ΔΗΜΗΤΡΙΟΣ.

1. *Οἱ πρῶτοι τὰς τέχνας ἐοικέναι ταῖς αἰσθήσεσιν ὑπολα-* 888
βόντες οὐχ ἥκιστά μοι δοκοῦσι τὴν περὶ τὰς κρίσεις αὐτῶν
κατανοῆσαι δύναμιν, ᾗ τῶν ἐναντίων ὁμοίως ἑκατέρῳ γένει
πεφύκαμεν ἀντιλαμβάνεσθαι. Τοῦτο γὰρ αὐταῖς κοινόν
ἐστι· τῇ δὲ πρὸς τὰ τέλη τῶν κρινομένων ἀναφορᾷ διαλλάτ-
τουσιν. Ἡ μὲν γὰρ αἴσθησις οὐδέν τι μᾶλλον ἐπὶ λευκῶν ἢ
μελάνων διαγνώσει γέγονεν, οὐδὲ γλυκέων ἢ πικρῶν, οὐδὲ
μαλακῶν καὶ εἰκόντων ἢ σκληρῶν καὶ ἀντιτύπων, ἀλλ' ἔργον
αὐτῆς ἑκάστοις ἐντυγχάνουσαν ὑπὸ πάντων τε κινεῖσθαι καὶ
κινουμένην πρὸς τὸ φρονοῦν ἀναφέρειν, ὡς πέπονθεν. Αἱ
δὲ τέχναι μετὰ λόγου συνεστῶσαι πρὸς αἵρεσιν καὶ λῆψιν
οἰκείου τινός, φυγὴν δὲ καὶ διάκρουσιν ἀλλοτρίου, τὰ μὲν
ἀφ' αὐτῶν προηγουμένως, τὰ δὲ ὑπὲρ τοῦ φυλάξασθαι κατὰ
συμβεβηκὸς ἐπιθεωροῦσι· καὶ γὰρ ἰατρικὴ τὸ νοσερὸν καὶ
ἁρμονικὴ τὸ ἐκμελές, ὅπως ἔχει, σκοπεῖν συμβέβηκε πρὸς τὴν

---

ad Demetrium usus sum codice Palatino 283 (P) a me, codicibus Parisinis 1671 (A) 1672 (B) 1673 (C) ab Heldio ad Huttenianam, 1674 (D) ad Reiskianam collatis. accedunt excerptae Mureti scripturae ex codicibus TRηπq. nullum usum praebuit Parisinus 1679 plerumque cum Juntina consentiens.

αῖς

1. 3. *ἐν ἑκατέρῳ* Reiskii nuperi. 4. *αὐτοῖς* pr. ACD, *αὐτοῖς* B. 5. *διαλάττουσιν* P. 7. *μελαίνων* C. *διαγνώσει* x: *διάγνωσις* libri. 10. ante *κινουμένην* vulgo addita *πάντα κινεῖν πρὸς τὸ φρονοῦν ἀναφέρουσαν* delebat Dacerius nec in textu habet P, sed ascripta margini. 12. *φυγὴν δὲ* PABCD: *φυγήν τε* v. 13. *ἀφ' αὐτῶν*] *ἐφ' αὐτῶν* supr. scr. A, *αὐτῶν* x. *προηγουμένως* ia: *καὶ προηγουμένως* (sic) P, *καὶ προηγουμένως* v. 15. *ἐμμελὲς* P.

τῶν ἐναντίων ἀπεργασίαν, αἵ τε πασῶν τελειόταται τεχνῶν, σωφροσύνη καὶ δικαιοσύνη καὶ φρόνησις, οὐ καλῶν μόνον
889 καὶ δικαίων καὶ ὠφελίμων, ἀλλὰ καὶ βλαβερῶν καὶ αἰσχρῶν καὶ ἀδίκων κρίσεις οὖσαι, τὴν ἀπειρίᾳ τῶν κακῶν καλλωπιζομένην ἀκακίαν οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀβελτηρίαν ἡγοῦνται καὶ ἄγνοιαν ὧν μάλιστα γινώσκειν προσήκει τοὺς ὀρθῶς βιωσομένους. Οἱ μὲν οὖν παλαιοὶ Σπαρτιᾶται τοὺς Εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν ἀναγκάζοντες πίνειν ἄκρατον εἰσῆγον εἰς τὰ συμπόσια τοῖς νέοις οἷόν ἐστι τὸ μεθύειν ἐπιδεικνύντες· ἡμεῖς δὲ τὴν μὲν ἐκ διαστροφῆς ἑτέρων ἐπανόρθωσιν οὐ πάνυ φιλάνθρωπον οὐδὲ πολιτικὴν ἡγούμεθα, τῶν δὲ κεχρημένων ἀσκεπτότερον αὐτοῖς καὶ γεγονότων ἐν ἐξουσίαις καὶ πράγμασι μεγάλοις ἐπιφανῶν εἰς κακίαν οὐ χεῖρον ἴσως ἐστὶ συζυγίαν μίαν ἢ δύο παρεμβαλεῖν εἰς τὰ παραδείγματα τῶν βίων, οὐκ ἐφ' ἡδονῇ, μὰ Δία, καὶ διαγωγῇ τῶν ἐντυγχανόντων ποικίλλοντας τὴν γραφήν, ἀλλ' ὥσπερ Ἰσμηνίας ὁ Θηβαῖος ἐπιδεικνύμενος τοῖς μαθηταῖς καὶ τοὺς εὖ καὶ τοὺς κακῶς αὐλοῦντας εἰώθει λέγειν „Οὕτως αὐλεῖν δεῖ“ καὶ πάλιν „Οὕτως αὐλεῖν οὐ δεῖ“, ὁ δ' Ἀντιγενίδας καὶ ἥδιον ᾄστο τῶν ἀγαθῶν ἀκροᾶσθαι τοὺς νέους αὐλητῶν, ἐὰν καὶ τῶν φαύλων πεῖραν λαμβάνωσιν, οὕτω μοι δοκοῦμεν καὶ ἡμεῖς προθυμότεροι τῶν βελτιόνων ἔσεσθαι καὶ θεαταὶ καὶ μιμηταὶ βίων, εἰ μηδὲ τῶν φαύλων καὶ ψεγομένων ἀνιστορήτως ἔχοιμεν. Περιέξει δὴ τοῦτο τὸ βιβλίον τὸν Δημητρίου τοῦ Πολιορκητοῦ βίον καὶ Ἀντωνίου τοῦ αὐτοκράτορος, ἀνδρῶν μάλιστα δὴ τῷ Πλάτωνι μαρτυρησάντων, ὅτι καὶ κακίας μεγάλας, ὥσπερ ἀρετάς, αἱ μεγάλαι φύσεις ἐκφέρουσι. Γενόμενοι δ' ὁμοίως ἐρωτικοί, ποτικοί, στρατιωτικοί, μεγαλόδωροι, πολυτελεῖς, ὑβρισταί, καὶ τὰς κατὰ τύχην ὁμοιότητας ἀκολούθους ἔσχον. Οὐ γὰρ μόνον ἐν τῷ λοιπῷ βίῳ μεγάλα μὲν κατορθοῦντες, μεγάλα δὲ σφαλλόμενοι, πλεί-
6, 2—3 H.

---

16. τελεώταται ABDia, τελειώταται C. 17. μόνων C. 19. τῇ ἀπειρίᾳ ACD. καλλωπιζομένην] καλουμένην P, sed corr marg. 20. ἀβελτερίαν Reiskianae nuperi. 25. τὴν μὲν Reiskii P: τὴν v. 27. αὐτοῖς Reiskius: αὐταῖς libri, ἑαυτοῖς x. ἐν om ABCDRSηq. 35. ἐὰν ego: ἵνα libri, εἴ τινα x, ἤν vel ἐάν τινα nuperi. 36. καὶ om ABCD. 38. καὶ om ACDi, καὶ ψεγομένων om B. 39. δὴ P: δὲ v. 43. πολιτικοὶ libri praeter ia.

στων δὲ ἐπικρατοῦντες, πλεῖστα δὲ ἀποβάλλοντες, ἀπροσδοκήτως δὲ πταίοντες, ἀνελπίστως δὲ πάλιν ἀναφέροντες διετέλεσαν, ἀλλὰ καὶ κατέστρεψαν, ὁ μὲν ἄλους ὑπὸ τῶν πολεμίων, ὁ δὲ ἔγγιστα τοῦ παθεῖν τοῦτο γενόμενος.

II. Ἀντιγόνῳ τοίνυν δυεῖν υἱῶν ἐκ Στρατονίκης τῆς Κορράιου γενομένων, τὸν μὲν ἐπὶ τἀδελφῷ Δημήτριον, τὸν δ' ἐπὶ τῷ πατρὶ Φίλιππον ὠνόμασεν. Οὗτός ἐστιν ὁ τῶν πλείστων λόγος. Ἔνιοι δὲ τὸν Δημήτριον οὐχ υἱὸν, ἀλλ' ἀδελφιδοῦν γενέσθαι τοῦ Ἀντιγόνου λέγουσιν· ἐπὶ νηπίῳ γὰρ αὐτῷ παντάπασι τοῦ πατρὸς τελευτήσαντος, εἶτα τῆς μητρὸς εὐθὺς τῷ Ἀντιγόνῳ γαμηθείσης, υἱὸν ἐκείνου νομισθῆναι. Τὸν μὲν οὖν Φίλιππον οὐ πολλοῖς ἔτεσι τοῦ Δημητρίου νεώτερον ὄντα συνέβη τελευτῆσαι. Δημήτριος δὲ μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας, ἰδέᾳ δὲ καὶ κάλλει προσώπου θαυμαστὸς καὶ περιττὸς, ὥστε τῶν πλαττόντων καὶ γραφόντων μηθένα τῆς ὁμοιότητος ἐφικέσθαι. Τὸ γὰρ αὐτὸ χάριν καὶ βάρος καὶ φόβον καὶ ὥραν εἶχε καὶ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ δυσμίμητος ἡρωϊκή τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. Οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν. Ἥδιστος γὰρ ὢν συγγενέσθαι σχολάζων τε περὶ πότους καὶ τρυφὰς καὶ διαίτας ἁβροβιώτατος βασιλέων, ἐνεργότατον αὖ πάλιν καὶ σφοδρότατον τὸ περὶ τὰς πράξεις ἐνδελεχὲς εἶχε καὶ δραστήριον· ᾗ καὶ μάλιστα τῶν θεῶν ἐζήλου τὸν Διόνυσον, ὡς πολέμῳ τε χρῆσθαι δεινότατον εἰρήνην τε αὖθις ἐκ πολέμου τρέψαι καὶ πρὸς εὐφροσύνην καὶ χάριν ἐμμελέστατον.

III. Ἦν μὲν οὖν καὶ φιλοπάτωρ διαφερόντως. Τῇ δὲ περὶ τὴν μητέρα σπουδῇ καὶ τὸν πατέρα τιμῶν ἐφαίνετο δι' εὔνοιαν ἀληθινὴν μᾶλλον ἢ θεραπείαν τῆς δυνάμεως. Καί ποτε πρεσβείᾳ τινὶ τοῦ Ἀντιγόνου σχολάζοντος ἀπὸ θήρας 890

6, 3—4 H.

---

49. κατέστρεψεν PAC. 50. τῷ παθεῖν Stephaniana.

II. 1. δυεῖν AB: δυοῖν v. 2. Κορράιου] ‚legitur et Φεραίου' Stephanus. infra c. 53 pro Κόρραβον P κόρραγον quod hic quoque restituendum videtur. 15. ἐπιφάνεια] εὐγένεια ‚quidam codices' Stephani. 17. σχολάζων τε Emperii C cl. c. 19: σχολάζοντι v, σχολάζων καὶ Coraes Schaeferus. 20. τὸν θεὸν C. 22. πολέμου P: πολέμων v. καὶ post τρέψαι delet Schaeferus.

ὁ Δημήτριος ἐπέστη· καὶ προσελθὼν τῷ πατρὶ καὶ φιλήσας, ὥσπερ εἶχε τὰς βολίδας, ἐκάθισε παρ' αὐτόν. Ὁ δὲ Ἀντίγονος ἀπιόντας ἤδη τοὺς πρέσβεις ἔχοντας τὰς ἀποκρίσεις μεγάλῃ φωνῇ προσαγορεύσας „Καὶ τοῦτο" εἶπεν „ὦ ἄνδρες, ἀπαγγέλλετε περὶ ἡμῶν, ὅτι πρὸς ἀλλήλους οὕτως ἔχομεν", ὡς ἰσχύν τινα πραγμάτων βασιλικῶν καὶ δυνάμεως ἐπίδειξιν οὖσαν τὴν πρὸς υἱὸν ὁμόνοιαν καὶ πίστιν. Οὕτως ἄρα πάντη δυσκοινώνητον ἡ ἀρχὴ καὶ μεστὸν ἀπιστίας καὶ δυσνοίας, ὥστε ἀγάλλεσθαι τὸν μέγιστον τῶν Ἀλεξάνδρου διαδόχων καὶ πρεσβύτατον, ὅτι μὴ φοβεῖται τὸν υἱόν, ἀλλὰ προσίεται τὴν λόγχην ἔχοντα τοῦ σώματος πλησίον. Οὐ μὴν ἀλλὰ καὶ μόνος, ὡς εἰπεῖν, ὁ οἶκος οὗτος ἐπὶ πλείστας διαδοχὰς τῶν τοιούτων κακῶν ἐκαθάρευσε, μᾶλλον δὲ εἷς μόνος τῶν ἀπ' Ἀντιγόνου Φίλιππος ἀνεῖλεν υἱόν. Αἱ δὲ ἄλλαι σχεδὸν ἅπασαι διαδοχαὶ πολλῶν μὲν ἔχουσι παίδων, πολλῶν δὲ μητέρων φόνους καὶ γυναικῶν· τὸ μὲν γὰρ ἀδελφοὺς ἀναιρεῖν, ὥσπερ οἱ γεωμέτραι τὰ αἰτήματα λαμβάνουσιν, οὕτω συνεχωρεῖτο κοινόν τι νομιζόμενον αἴτημα καὶ βασιλικὸν ὑπὲρ ἀσφαλείας.

IV. Τοῦ μέντοι καὶ φιλάνθρωπον φύσει καὶ φιλεταῖρον γεγονέναι τὸν Δημήτριον ἐν ἀρχῇ παράδειγμα τοιοῦτόν ἐστιν εἰπεῖν. Μιθριδάτης ὁ Ἀριοβαρζάνου παῖς ἑταῖρος ἦν αὐτοῦ καθ' ἡλικίαν συνήθης, ἐθεράπευε δὲ Ἀντίγονον, οὔτε ὢν οὔτε δοκῶν πονηρός· ἐκ δὲ ἐνυπνίου τινὸς ὑποψίαν Ἀντιγόνῳ παρέσχεν. Ἐδόκει γὰρ μέγα καὶ καλὸν πεδίον ἐπιὼν ὁ Ἀντίγονος ψήγματι χρυσίου κατασπείρειν· ἐξ αὐτοῦ δὲ πρῶτον μὲν ὑποφύεσθαι θέρος χρυσοῦν, ὀλίγῳ δ' ὕστερον ἐπελθὼν ἰδεῖν οὐδὲν, ἀλλ' ἢ τετμημένην καλάμην. Ἀνιπούμενος δὲ καὶ περιπαθῶν ἀκοῦσαί τινων λεγόντων, ὡς ἄρα Μιθριδάτης εἰς Πόντον Εὔξεινον οἴχεται τὸ χρυσοῦν θέρος

6, 4—6 H.

III. 7. ἔχοντας τὰς Corais ABCD: ἔχοντας v. 9. ἀπαγγέλλετε PABCD: ἀπαγγείλατε v. 10. πραγμάτων] προβάτων pr. ABD. 11. υἱὸν PABD: τὸν υἱὸν v.

IV. 3. ὁ om P. Ἀριοβαρζάνου] cf. Wesselingium in Diodori 19, 40. 4. αὐτοῦ καθ' ἡλικίαν P: καθ' ἡλικίαν αὐτοῦ v. καὶ συνήθης cum Stephano ex [C] ceteri. 6. γὰρ addidit P. 7. ψήγματι V: ψῆγμά τι P, ψήγματα v, cf. Appiani Mithrid. c. 9 t. 1 p. 652. 9. ἐπελθὼν PC: ἐπανελθὼν v. ἰδεῖν οὐδὲν P: οὐδὲν ἰδεῖν v. 11. μιθριδάτης PABCD: ὁ Μεθριδάτης v. εἰς PC: ἐς v.

ἐξαμησάμενος. Ἐκ τούτου διαταραχθεὶς καὶ τὸν υἱὸν ὁρκώσας σιωπήσειν ἔφρασε τὴν ὄψιν αὐτῷ, καὶ ὅτι πάντως τὸν ἄνθρωπον ἐκποδὼν ποιεῖσθαι καὶ διαφθείρειν ἔγνωκεν. Ἀκούσας δὲ ὁ Δημήτριος ἠχθέσθη σφόδρα, καὶ τοῦ νεανίσκου, καθάπερ εἰώθει, γενομένου παρ' αὐτῷ καὶ συνόντος ἐπὶ σχολῆς, φθέγξασθαι μὲν οὐκ ἐτόλμησεν οὐδὲ τῇ φωνῇ κατειπεῖν διὰ τὸν ὅρκον, ὑπαγαγὼν δὲ κατὰ μικρὸν ἀπὸ τῶν φίλων, ὡς ἐγεγόνεσαν μόνοι καθ' αὑτούς, τῷ στύρακι τῆς λόγχης κατέγραφεν εἰς τὴν γῆν ὁρῶντος αὐτοῦ „Φεῦγε, Μιθριδάτα." Συνεὶς δὲ ἐκεῖνος ἀπέδρα νυκτὸς εἰς Καππαδοκίαν. Καὶ ταχὺ τὴν Ἀντιγόνῳ γενομένην ὄψιν ὑπὲρ αὐτοῦ συνετέλει τὸ χρεών. Πολλῆς γὰρ καὶ ἀγαθῆς ἐκράτησε χώρας, καὶ τὸ τῶν Ποντικῶν βασιλέων γένος ὀγδόῃ που διαδοχῇ παυσάμενον ὑπὸ Ῥωμαίων ἐκεῖνος παρέσχε. Ταῦτα μὲν οὖν εὐφυίας δείγματα τοῦ Δημητρίου πρὸς ἐπιείκειαν καὶ δικαιοσύνην.

V. Ἐπεὶ δέ, ὥσπερ ἐν τοῖς Ἐμπεδοκλέους στοιχείοις, διὰ τὸ νεῖκος καὶ τὴν φιλίαν ἔνεστι διαφορὰ πρὸς ἄλληλα καὶ πόλεμος, μᾶλλον δὲ τοῖς ἀλλήλων ἁπτομένοις καὶ πελάζουσιν, οὕτω τὸν πᾶσι τοῖς Ἀλεξάνδρου διαδόχοις πρὸς ἀλλήλους ὄντα συνεχῆ πόλεμον αἱ τῶν πραγμάτων καὶ τῶν τόπων συνάφειαι πρὸς ἐνίους ἐποίουν ἐπιφανέστερον καὶ μᾶλλον ἐξέκαον, ὥσπερ Ἀντιγόνῳ τότε πρὸς Πτολεμαῖον, αὐτὸς μὲν Ἀντίγονος ἐν Φρυγίᾳ διέτριβε, Πτολεμαῖον δ' ἀκούων ἐκ Κύπρου διαβάντα πορθεῖν Συρίαν καὶ τὰς πόλεις 891
ἀπάγειν καὶ βιάζεσθαι, κατέπεμψε τὸν υἱὸν Δημήτριον, δύο καὶ εἴκοσιν ἐτῶν ὄντα καὶ στρατείας τότε πρῶτον αὐτοτελῶς ἐπὶ πράγμασι μεγάλοις ἁπτόμενον. Οἷα δὲ νέος καὶ ἄπειρος ἀνδρὶ συμπεσὼν ἐκ τῆς Ἀλεξάνδρου παλαίστρας ἠθληκότι πολλοὺς καὶ μεγάλους καθ' αὑτὸν ἀγῶνας, ἐσφάλη περὶ

6, 6—7 H.

---

12. διαταραχθεὶς P: ταραχθεὶς v. 13. αὐτοῦ P. 17. σχολῆς PABCD: σχολῇ v. 18. ὑπαγαγὼν] cf. Camill. 4, 14. Arat. 20. 19. ἐγεγόνεσαν PC: ἐγεγόνεισαν v. 20. ὁρῶντος αὐτοῦ om C. 22. ὑπὲρ αὐτοῦ] ὕπαρ αὐτῷ Bryani probatum nuperis non requiro.

V. 2. καὶ τὴν φιλίαν om PABCDπS. 3. ἀλλήλων] ἀπ' ἀλλήλων P. 9. ἀκούων ABCDπS: ἀκούσας v. ἐν κύπρῳ ia et v. 11. εἴκοσιν corr ABC: εἴκοσι v. αὐτοτελοῦς BD, αὐτοτελεῖς A. 14. καθ' αὐτὸν Muretus V: κατ' αὐτὸν libri.

πόλιν Γάζαν ἡττηθεὶς, ὀκτακισχιλίων ἀλόντων καὶ πεντακισχιλίων ἀποθανόντων. Ἀπέβαλε δὲ καὶ σκηνὴν καὶ χρήματα καὶ ὅλως σύμπασαν τὴν περὶ τὸ σῶμα θεραπείαν. Ἀλλὰ ταῦτα μὲν αὐτῷ Πτολεμαῖος ἀπέπεμψε μετὰ τῶν φίλων εὐγνώμονα καὶ φιλάνθρωπον ἀνειπὼν λόγον, ὡς οὐ περὶ πάντων ἅμα, περὶ δόξης δὲ καὶ ἀρχῆς πολεμητέον ἐστὶν αὐτοῖς. Δημήτριος δὲ δεξάμενος εὔξατο τοῖς θεοῖς μὴ πολὺν χρόνον ὀφειλέτην γενέσθαι Πτολεμαίῳ χάριτος, ἀλλὰ ταχέως ἀμείψασθαι διὰ τῶν ὁμοίων. Καὶ πάθος οὐ μειρακίου παθὼν ἐν ἀρχῇ πράξεως ἀνατραπέντος, ἀλλ' ἐμβριθοῦς στρατηγοῦ κεχρημένου πραγμάτων μεταβολαῖς, ἀνδρῶν τε συλλογῆς καὶ κατασκευῆς ὅπλων ἐπεμελεῖτο καὶ τὰς πόλεις διὰ χειρὸς εἶχε καὶ τοὺς ἀθροιζομένους ἐγύμναζεν.

VI. Ἀντίγονος δὲ τὴν μάχην πυθόμενος Πτολεμαῖον μὲν ἀγενείους νενικηκότα ἔφη νῦν αὖθις διαγωνιεῖσθαι πρὸς ἄνδρας, τοῦ δὲ υἱοῦ τὸ φρόνημα καθελεῖν καὶ κωλῦσαι μὴ βουλόμενος οὐκ ἐνέστη πάλιν αἰτουμένῳ μάχεσθαι καθ' αὐτὸν, ἀλλ' ἀφῆκε. Καὶ μετ' οὐ πολὺν χρόνον ἀφῖκτο Κίλλης, Πτολεμαίου στρατηγὸς, μετὰ λαμπρᾶς δυνάμεως, ὡς ἐξελάσων Συρίας Δημήτριον ἁπάσης τῷ προηττῆσθαι καταφρονούμενον. Ὁ δ' ἐξαίφνης ἐπιπεσὼν οὐ προαισθομένῳ καὶ φοβήσας ἔλαβεν αὐτῷ στρατηγῷ τὸ στρατόπεδον· καὶ στρατιώτας μὲν ἑπτακισχιλίους ζῶντας εἶλε, χρημάτων δὲ παμπόλλων ἐκυρίευσεν. Ἔχαιρε δὲ νικήσας οὐχ οἷς ἔξειν, ἀλλ' οἷς ἀποδώσειν ἔμελλε, καὶ τῆς νίκης οὐ τὸν πλοῦτον οὕτως οὐδὲ τὴν δόξαν, ὡς τὴν διάλυσιν τοῦ φιλανθρωπεύματος ἐκείνου καὶ τὴν χάριν ἠγάπησεν. Οὐ μὴν αὐτογνωμόνως ταῦτα ἔπραξεν, ἀλλ' ἔγραψε τῷ πατρί. Δόντος δ' ἐκείνου καὶ κελεύσαντος ὃν βούλεται πᾶσι χρήσασθαι τρόπον, αὐτόν

6, 7—8 H.

---

19. nec εἰπὼν Corais nec ἐπειπὼν Emperii requiro. 21. ηὔξατο ABCD. 22. πτολεμαίῳ γενέσθαι P. τῆς χάριτος V. 23. πάθους C.

VI. 2. μὲν om B. miror non sic collocata: ἔφη νενικηκότα. διαγωνιεῖσθαι P[AB]πSVx: δ' ἀγωνιεῖσθαι v, τ' ἀγωνιεῖσθαι C. 3. κολοῦσαι Bryani nuperi. 5. καὶ μετ' οὐ πολὺν] μετ' οὐ πολὺν δὲ P. 6. ὡς om ia. 10. εἶλε ζῶντας P. 16. χρήσασθαι PABCD: χρῆσθαι v.

τε τὸν Κίλλην καὶ φίλους αὐτῷ δωρησάμενος ἀφθόνως ἀπέπεμψε. Τοῦτο τὸ πάθος Συρίας ἐξήλασε Πτολεμαῖον, Ἀντίγονον δὲ κατήγαγεν ἐκ Κελαινῶν χαίροντα τῇ νίκῃ καὶ ποθοῦντα θεάσασθαι τὸν υἱόν.

VII. Ἐκ τούτου δὲ τῶν Ἀράβων τοὺς καλουμένους Ναβαταίους ὑπαγαγέσθαι πεμφθεὶς ὁ Δημήτριος ἐκινδύνευσε μὲν εἰς τόπους ἀνύδρους ἐμπεσών, τῷ δὲ μὴ διαταραχθῆναι μηδ' ἐκπλαγῆναι καταπληξάμενος τοὺς βαρβάρους λείαν τε λαβὼν πολλὴν καὶ καμήλους ἑπτακοσίας παρ' αὐτῶν ἀνεχώρησεν. Ἐπεὶ δὲ Σέλευκος ἐκπεσὼν μὲν ὑπὸ Ἀντιγόνου τῆς Βαβυλωνίας πρότερον, ὕστερον δὲ ἀναλαβὼν τὴν ἀρχὴν δι' αὐτοῦ καὶ κρατῶν ἀνέβη μετὰ δυνάμεως τὰ συνοροῦντα τοῖς Ἰνδοῖς ἔθνη καὶ τὰς περὶ τὸν Καύκασον ἐπαρχίας προσαξόμενος, ἐλπίζων Δημήτριος ἔρημον εὑρήσειν τὴν Μεσοποταμίαν καὶ περάσας ἄφνω τὸν Εὐφράτην εἰς τὴν Βαβυλωνίαν παρεισπεσὼν ἔφθη, καὶ τῆς ἑτέρας ἄκρας (δύο γὰρ ἦσαν) ἐκκρούσας τὴν τοῦ Σελεύκου φρουρὰν καὶ κρατήσας ἰδίους ἐγκατέστησεν ἑπτακισχιλίους ἄνδρας. Ἐκ δὲ τῆς χώρας ὅσα φέρειν ἢ ἄγειν ἠδύναντο τοὺς στρατιώτας ὠφελεῖσθαι καὶ λαμβάνειν κελεύσας ἐπανῆλθεν ἐπὶ θάλασσαν βεβαιοτέραν Σελεύκῳ τὴν ἀρχὴν ἀπολιπών· ἐξίστασθαι γὰρ ἐδόκει τὸ κακοῦν, ὡς μηκέτι προσήκουσαν αὐτοῖς. Πτολεμαίου μέντοι πολιορκοῦντος Ἁλικαρνασὸν ὀξέως βοηθήσας ἐξήρπασε τὴν πόλιν.

VIII. Ἐνδόξου δὲ τῆς φιλοτιμίας ταύτης γενομένης ὁρμὴ παρέστη θαυμάσιος αὐτοῖς ἐλευθεροῦν τὴν Ἑλλάδα 892
πᾶσαν ὑπὸ Κασάνδρου καὶ Πτολεμαίου καταδεδουλωμένην.

6, 8—9 H.

---

17. τοὺς φίλους Coraes. αὐτοῦ x nuperi. sed redit ad Ptolemaeum, cf. compar. Demetr. 2 extr. ἀπέπεμψεν ἀφθόνως C.

VII. 2. ἐκινδύνευσε μὲν P[AB]: ἐκινδύνευσεν μὲν Stephanus, legebatur ἐκινδύνευσεν. 5. λαβὼν post ἑπτακοσίας ponit C. παρ' αὐτῶν om ia. 6. μὲν om C. 9. τὸν om ABCD. 10. ἐλπίζων δὲ P. 11. Βαβυλῶνα Schaeferus. 12. ἔφθη Bastii in Stephani thes. s. v. praestat P: διέφθη v. δύο γὰρ ἦσαν om C. 13. τοῦ om P. 15. ἢ] καὶ C. ἠδύναντο Solani P[ABC]: ἠδύνατο v. 17. τὸ ABCSRV: τῷ v. 19. ἁλικαρνασὸν P: Ἁλικαρνασσὸν v.

σ

VIII. 3. κασάνδρου P, deinceps constanter per σσ.

Τούτου πόλεμον οὐδεὶς ἐπολέμησε τῶν βασιλέων καλλίω καὶ δικαιότερον· ἃς γὰρ ἅμα τοὺς βαρβάρους ταπεινοῦντες εὐπορίας συνήγαγον, εἰς τοὺς Ἕλληνας ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἀνήλισκον. Ὡς δὲ πρῶτον ἐδόκει πλεῖν ἐπὶ τὰς Ἀθήνας, τῶν φίλων εἰπόντος τινὸς πρὸς τὸν Ἀντίγονον, ὅτι δεῖ ταύτην τὴν πόλιν, ἂν ἕλωσι, κατέχειν δι' αὑτῶν, ἐπιβάθραν τῆς Ἑλλάδος οὖσαν, οὐ προσέσχεν ὁ Ἀντίγονος, ἀλλ' ἐπιβάθραν μὲν ἔφη καλὴν καὶ ἀσάλευτον εἶναι τὴν εὔνοιαν, τὰς δὲ Ἀθήνας, ὥσπερ σκοπὸν τῆς οἰκουμένης, ταχὺ τῇ δόξῃ διαπυρσεύειν εἰς ἅπαντας ἀνθρώπους τὰς πράξεις. Ἔπλει δὲ Δημήτριος ἔχων ἀργυρίου πεντακισχίλια τάλαντα καὶ στόλον νεῶν πεντήκοντα καὶ διακοσίων ἐπὶ τὰς Ἀθήνας, τὸ μὲν ἄστυ Δημητρίου τοῦ Φαληρέως Κασάνδρῳ διοικοῦντος, ἐν δὲ τῇ Μουνυχίᾳ φρουρᾶς καθεστώσης. Εὐτυχίᾳ δὲ ἅμα καὶ προνοίᾳ χρησάμενος ἐπεφαίνετο τῷ Πειραιεῖ πέμπτῃ φθίνοντος Θαργηλιῶνος, προαισθομένου μὲν οὐδενός, ἐπεὶ δὲ ὤφθη πλησίον ὁ στόλος, ἁπάντων ὡς Πτολεμαϊκὰς τὰς ναῦς ὑποδέχεσθαι παρασκευαζομένων, ὀψὲ συμφρονήσαντες ἐβοήθουν οἱ στρατηγοὶ καὶ θόρυβος ἦν, οἷον εἰκὸς ἐν ἀπροσδοκήτῳ πολεμίους ἀποβαίνοντας ἀναγκαζομένων ἀμύνεσθαι. Τοῖς γὰρ στόμασι τῶν λιμένων ἀκλείστοις ἐπιτυχὼν ὁ Δημήτριος καὶ διεξελάσας ἐντὸς ἦν ἤδη καταφανὴς πᾶσι καὶ διεσήμηνεν ἀπὸ τῆς νεὼς αἴτησιν ἡσυχίας καὶ σιωπῆς. Γενομένου δὲ τούτου κήρυκα παραστησάμενος ἀνεῖπεν, ὅτι πέμψειεν αὐτὸν ὁ πατὴρ ἀγαθῇ τύχῃ Ἀθηναίους ἐλευθερώσοντα καὶ τὴν φρουρὰν ἐκβαλοῦντα καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πάτριον ἀποδώσοντα πολιτείαν.

IX. Ἀναῤῥηθέντων δὲ τούτων οἱ μὲν πολλοὶ παραχρῆμα τὰς ἀσπίδας θέμενοι πρὸ τῶν ποδῶν ἀνεκρότησαν

6, 9—10 H.

---

8. *τὴν πόλιν ταύτην* C. 12. nonne *σκοπὴν*? cf. mor. 182 c Wyttenbachium t. 2 p. 348 Lips. *διαπυρσεύσειν* [AB?] cod. Dacerii nescio quis volebatque Stephanus, sed cf. mor. l. l. 14. *πεντακισχίλια τάλαντα ἔχων* omisso *ἀργυρίου* P. 16. *φαλληρέως* C constanter. 19. *προαισθομένου δὲ μηδενὸς* PC. 28. *τύχῃ Ἀθηναίους*] hiatus, ut videtur, tolerabilis. sin, scribam *τύχῃ τοὺς Ἀθηναίους*. *ἐλευθερώσαντα* CD.

IX. 1. *παραχρῆμα τὰς ἀσπίδας* ABC: *τὰς ἀσπίδας παραχρῆμα* v. *παραχρῆμα* om P.

καὶ βοῶντες ἐκέλευον ἀποβαίνειν τὸν Δημήτριον εὐεργέτην καὶ σωτῆρα προσαγορεύοντες· οἱ δὲ περὶ τὸν Φαληρέα πάντως μὲν ᾤοντο δεῖν δέχεσθαι τὸν κρατοῦντα, κἂν μηδὲν ὧν ἐπαγγέλλεται μέλλῃ βεβαιοῦν· ὅμως δὲ πρέσβεις δεομένους ἀπέστειλαν, οἷς ὁ Δημήτριος ἐντυχὼν φιλανθρώπως συνέπεμψε παρ' ἑαυτοῦ τῶν πατρῴων φίλων τὸν Μιλήσιον Ἀριστόδημον. Τοῦ δὲ Φαληρέως διὰ τὴν μεταβολὴν τῆς πολιτείας μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδοικότος, οὐκ ἠμέλησεν ὁ Δημήτριος, ἀλλὰ καὶ τὴν δόξαν αἰδεσθεὶς καὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς εἰς Θήβας αὐτὸν, ὥσπερ ἐβούλετο, μετὰ ἀσφαλείας συνεξέπεμψεν. Αὐτὸς δὲ τὴν μὲν πόλιν οὐκ ἂν ἔφη, καίπερ ἐπιθυμῶν, ἰδεῖν πρότερον ἢ παντάπασιν ἐλευθερῶσαι τῆς φρουρᾶς ἀπαλλάξας· τῇ δὲ Μουνυχίᾳ χαράκωμα καὶ τάφρον περιβαλὼν διὰ μέσου Μεγάροις ἐπέπλευσεν ὑπὸ Κασάνδρου φρουρουμένοις. Πυθόμενος δὲ τὴν Ἀλεξάνδρου τοῦ Πολυπέρχοντος γενομένην γυναῖκα Κρατησίπολιν ἐν Πάτραις διατρίβουσαν οὐκ ἂν ἀηδῶς γενέσθαι μετ' αὐτοῦ, περιβόητον οὖσαν ἐπὶ κάλλει, καταλιπὼν τὴν δύναμιν ἐν τῇ Μεγαρικῇ προῆλθεν εὐζώνους τινὰς ἔχων σὺν αὐτῷ. Καὶ τούτων πάλιν ἀποστρέψας ἀπεσκήνωσε χωρὶς ὑπὲρ τοῦ λαθεῖν τὴν γυναῖκα συνελθοῦσαν αὐτῷ. Τοῦτό τινες αἰσθόμενοι τῶν πολεμίων ἐξαίφνης κατέδραμον ἐπ' αὐτόν. Ὁ δὲ φοβηθεὶς καὶ λαβὼν χλαμύδιον εὐτελὲς δρόμῳ φεύγων ἐξέφυγεν, ὀλίγου δεήσας αἰσχίστην ἅλωσιν ἐξ ἀκρασίας ἁλῶναι. Τὴν δὲ σκηνὴν μετὰ τῶν χρημάτων ᾠχοντο λαβόντες οἱ πολέμιοι. Τῶν δὲ Μεγάρων ἁλόντων καὶ τῶν στρατιωτῶν ἐφ' ἁρπαγὴν τραπομένων Ἀθηναῖοι παρῃτήσαντο πολλῇ δεήσει 893
τοὺς Μεγαρεῖς· καὶ τὴν φρουρὰν ὁ Δημήτριος ἐκβαλὼν ἠλευθέρωσε τὴν πόλιν. Ἔτι δὲ τοῦτο πράττων τοῦ φιλοσόφου Στίλπωνος ἐμνήσθη, δόξαν ἔχοντος ἀνδρὸς ῥηρημένου πως ἐν

6, 10—11 H.

3. εὐεργέτην καὶ σωτῆρα προσαγορεύοντες PABCDV: σωτῆρα καὶ εὐεργέτην ἀναγορεύοντες v. 4. πάντως [P]x: πάντες v. 5. μηδὲν PABCDS volebatque Schaeferus: οὐδὲν v. 10. δεδοικότος PABCDπV: φοβουμένου v. 12. ἐβούλετο ABCD: ἠβούλετο v. 18. πολυσπέρχοντος C. 21. σὺν αὐτῷ] μετ' αὐτοῦ C. 23. συνελθοῦσαν PABCDSπηV: συνεισελθοῦσαν v. 26. δεῆσαν ABCia. 28. Μεγάρων Reiskius: μεγαρέων libri. 29. ἁρπαγὴν PRπ[ABC] volebatque Stephanus: ἁρπαγῇ v, ἁρπαγαῖς ηV. τοὺς μεγαρεῖς πολλῇ δεήσει P. 31. πράσσων C.

ἡσυχίᾳ καταβιῶναι. Μεταπεμψάμενος οὖν αὐτὸν ἠρώτα, μή τις εἰληφέ τι τῶν ἐκείνου. Καὶ ὁ Στίλπων „Οὐδείς“ εἶπεν· „οὐδένα γὰρ εἶδον ἐπιστάμαν ἀποφέροντα.“ Τῶν δὲ θεραπόντων σχεδὸν ἁπάντων διακλαπέντων, ἐπεὶ πάλιν αὐτὸν ὁ Δημήτριος ἐφιλοφρονεῖτο καὶ τέλος ἀπαλλαττόμενος εἶπεν· „Ἐλευθέραν ὑμῶν, ὦ Στίλπων, ἀπολείπω τὴν πόλιν.“ „Ὀρθῶς“ ἔφη „λέγεις· οὐδένα γὰρ ἀμῶν δοῦλον ἀπολέλοιπας.“

X. Ἐπεὶ δὲ πάλιν ἐπανελθὼν πρὸς τὴν Μουνυχίαν καὶ στρατοπεδεύσας ἐξέκοψε τὴν φρουρὰν καὶ κατέσκαψε τὸ φρούριον, οὕτως ἤδη τῶν Ἀθηναίων δεχομένων καὶ καλούντων παρελθὼν εἰς τὸ ἄστυ καὶ συναγαγὼν τὸν δῆμον ἀπέδωκε τὴν πάτριον πολιτείαν· καὶ προσυπέσχετο παρὰ τοῦ πατρὸς αὐτοῖς ἀφίξεσθαι σίτου πεντεκαίδεκα μυριάδας μεδίμνων καὶ ξύλων ναυπηγησίμων πλῆθος εἰς ἑκατὸν τριήρεις. Ἀθηναῖοι δὲ ἀπολαβόντες τὴν δημοκρατίαν ἔτει πεντεκαιδεκάτῳ, τὸν δὲ μέσον χρόνον ἀπὸ τῶν Λαμιακῶν καὶ τῆς περὶ Κρανῶνα μάχης, λόγῳ μὲν ὀλιγαρχικῆς, ἔργῳ δὲ μοναρχικῆς καταστάσεως γενομένης διὰ τὴν τοῦ Φαληρέως δύναμιν, οὕτω λαμπρὸν ἐν ταῖς εὐεργεσίαις καὶ μέγαν φανέντα τὸν Δημήτριον ἐπαχθῆ καὶ βαρὺν ἐποίησαν τῶν τιμῶν ταῖς ἀμετρίαις, ἃς ἐψηφίσαντο. Πρῶτον μὲν γὰρ ἀνθρώπων ἁπάντων τὸν Δημήτριον καὶ Ἀντίγονον βασιλεῖς ἀνηγόρευσαν, ἄλλως ἀφοσιουμένους τοὔνομα, καὶ τοῦτο δὴ μόνον τῶν βασιλικῶν ἔτι τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου περιεῖναι δοκοῦν ἄθικτον ἑτέροις καὶ ἀκοινώνητον· μόνοι δὲ σωτῆρας ἀνέγραψαν θεούς, καὶ τὸν ἐπώνυμον καὶ πάτριον ἄρχοντα καταπαύσαντες ἱερέα σωτήρων ἐχειροτόνουν καθ' ἕκαστον ἐνιαυτόν· καὶ τοῦτον ἐπὶ τῶν ψηφισμάτων καὶ τῶν συμβολαίων προέγραφον. Ἐνυφαίνεσθαι δὲ τῷ πέπλῳ μετὰ τῶν

6, 11–13 H.

---

33. αὐτὸν addiderunt PABCDV. 35. ἐπιστάμαν ἐμὴν P. 39. ἁμῶν PABCD: ὑμῶν π, ἡμῶν v.

X. 1. καὶ στρατοπεδεύσας PABCD: καταστρατοπεδεύσας v. 8. δὲ om i. 10. κράνωνα ABCD, cf. ad Demosth. 28. 12. οὕτως P. 14. πρῶτοι Solani nuperi. ἀνθρώπων addiderunt PAB CDV. 16. ἀλλ' ὡς pr. ABV. καὶ delet Coraes, in ὡς corrigit Schaeferus. vide ne quid exciderit, v. c. 18. τηροῦντας post ἑτέροις. 19. θεούς] ‚ἴσως αὐτούς‘ Muretus V.

θεῶν αὐτοὺς ἐψηφίσαντο· καὶ τὸν τόπον, ὅπου πρῶτον ἀπέβη τοῦ ἅρματος, καθιερώσαντες καὶ βωμὸν ἐπιθέντες Δημητρίου Καταιβάτου προσηγόρευσαν, ταῖς δὲ φυλαῖς δύο προσέθεσαν, Δημητριάδα καὶ Ἀντιγονίδα· καὶ τὴν βουλὴν τῶν πεντακοσίων πρῶτον ἑξακοσίων ἐποίησαν, ἅτε δὴ φυλῆς ἑκάστης πεντήκοντα βουλευτὰς παρεχομένης.

XI. Τὸ δὲ ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατοκλέους, οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων, ἔγραψεν, ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ Πυθοῖ καὶ Ὀλυμπίαζε τὰς πατρίους θυσίας ὑπὲρ τῶν πόλεων ἀνάγοντες ἐν ταῖς Ἑλληνικαῖς ἑορταῖς. Ἦν δὲ καὶ τἆλλα παράτολμος ὁ Στρατοκλῆς καὶ βεβιωκὼς ἀσελγῶς καὶ τῇ τοῦ παλαιοῦ Κλέωνος ἀπομιμεῖσθαι δοκῶν βωμολοχίᾳ καὶ βδελυρίᾳ τὴν πρὸς τὸν δῆμον εὐχέρειαν. Ἔσχε δὲ τὴν ἑταίραν Φυλάκιον ἀνειληφώς· καί ποτε αὐτῷ πρὸς δεῖπνον ἐξ ἀγορᾶς πριαμένης ἐγκεφάλους καὶ τραχήλους „Παπαὶ“ εἶπε „τοιαῦτά γε ὠψώνηκας, οἷς σφαιρίζομεν οἱ πολιτευόμενοι.“ Τῆς δὲ περὶ Ἀμοργὸν ἥττης τῶν νεῶν συμβάσης τοῖς Ἀθηναίοις φθάσας τοὺς ἀπαγγέλλοντας εἰσήλασεν ἐστεφανωμένος διὰ τοῦ Κεραμεικοῦ καὶ προσαγγείλας, ὅτι νενικήκασιν, εὐαγγέλια θύειν ἔγραψε καὶ κρεωδαισίαν τινὰ κατὰ φυλὴν ἐποίησεν. Ὀλίγῳ 894
δ' ὕστερον τῶν τὰ ναυάγια κομιζόντων ἀπὸ τῆς μάχης παραγενομένων καὶ τοῦ δήμου πρὸς ὀργὴν καλοῦντος αὐτόν, ἰταμῶς ὑποστὰς τὸν θόρυβον „Εἶτα“ ἔφη „τί πεπόνθατε δεινόν, εἰ δύο ἡμέρας ἡδέως γεγόνατε;“ Τοιαύτη μὲν ἡ τοῦ Στρατοκλέους θρασύτης.

XII. Ἦν δὲ ἄρα καὶ πυρὸς ἕτερα θερμότερα κατὰ τὸν Ἀριστοφάνη. Γράφει γάρ τις ἄλλος ὑπερβαλλόμενος ἀνελευ-

6, 13—14 H.

25. ταῖς δὲ PABCD: καὶ ταῖς v. 26. δημητρίδα P. 27. πρότερον Corais Schaeferus. 28. βουλευτὰς om B.

XI. 2. de structura loci addubitati cf. Schaeferum cl. c. 13 in. c. 28 s. fin. 8. τὴν τοῦ παλαιοῦ — 9 βδελυρίᾳ πρὸς Emperius. 17. κρεωδαισίαν ABCπSV: κρεωδοσίαν v, κρεοδοσίαν ia, unde malim κρεοδαισίαν cl. Lys. 23. Agesil. 8. 19. τῶν δήμου a.

XII. 2. ἀριστοφάνην corr ABC, ἀριστιαγόραν P, sed corr margo. cf. equitt. v. 382. ὑπερβαλόμενος C. ἐν ἀνελευθερίᾳ corr P.

θερίᾳ τὸν Στρατοκλέα δέχεσθαι Δημήτριον, ὁσάκις ἂν ἀφίκηται, τοῖς Δήμητρος καὶ Διονύσου ξενισμοῖς· τῷ δ' ὑπερβαλλομένῳ λαμπρότητι καὶ πολυτελείᾳ τὴν ὑποδοχὴν ἀργύριον εἰς ἀνάθημα δημοσίᾳ διδοσθαι. Τέλος δὲ τῶν τε μηνῶν τὸν Μουνυχιῶνα Δημητριῶνα καὶ τῶν ἡμερῶν τὴν ἕνην καὶ νέαν Δημητριάδα προσηγόρευσαν καὶ τῶν ἑορτῶν τὰ Διονύσια μετωνόμασαν Δημήτρια. Ἐπεσήμηνε δὲ τοῖς πλείστοις τὸ θεῖον. Ὁ μὲν γὰρ πέπλος, ὥπερ ἐψηφίσαντο μετὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς προσενυφῆναι Δημήτριον καὶ Ἀντίγονον, πεμπόμενος διὰ τοῦ Κεραμεικοῦ μέσος ἐρράγη θυέλλης ἐμπεσούσης· περὶ δὲ τοὺς βωμοὺς τοὺς ἐκείνων ἐξήνθησεν ἡ γῆ κύκλῳ πολὺ κώνειον, ἄλλως μηδὲ τῆς χώρας πολλαχοῦ φυόμενον. Τῇ δὲ ἡμέρᾳ, ᾗ τὰ τῶν Διονυσίων ἐγίνετο, τὴν πομπὴν κατέλυσαν ἰσχυρῶν πάγων γενομένων παρ' ὥραν· καὶ πάχνης βαθείας ἐπιπεσούσης οὐ μόνον ἀμπέλους καὶ συκᾶς ἀπάσας ἀπέκαυσε τὸ ψῦχος, ἀλλὰ καὶ τοῦ σίτου τὸ πλεῖστον κατέφθειρεν ἐν χλόῃ. Διὸ καὶ Φιλιππίδης ἐχθρὸς ὢν τοῦ Στρατοκλέους ἐν κωμῳδίᾳ πρὸς αὐτὸν ἐποίησε ταῦτα·

Δι' ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους,
Δι' ὃν ἀσεβοῦντα ὁ πέπλος ἐρράγη μέσος,
Τὰς τῶν θεῶν τιμὰς ποιοῦντ' ἀνθρωπίνας.
Ταῦτα καταλύει δῆμον, οὐ κωμῳδία.

Ἦν δὲ ὁ Φιλιππίδης Λυσιμάχου φίλος, καὶ πολλὰ δι' αὐτὸν ὁ δῆμος εὖ ἔπαθεν παρὰ τοῦ βασιλέως. Ἐδόκει δὲ καὶ πρὸς πρᾶξιν αὐτῷ καὶ πρὸς στρατείαν εὐσύμβολος ἀπαντήσας εἶναι καὶ ὀφθείς. Ἄλλως δὲ καὶ διὰ τὸ ἦθος εὐδοκίμει

6, 14—16 H.

---

3. ἂν om B. ἀφίκηται PABCDV: παραγένηται v. 4. ὑπερβαλομένῳ Schaeferi C. 6. τῶν τε μηνῶν om P. 7. ἕνην ABD. 9. ἐπεσήμηνε P: ἐπεσήμαινε v. 10. ὥπερ — 11 προσενυφῆναι P: ὥσπερ — προσενυφηναμένων v. 15. τὰ τῶν διονυσίων PABCD cod. Stephani (‚legitur etiam') V: τὰ Διονύσια v. 17. ἐπιπεσούσης P: πεσούσης v. ἧς οὐ Reiskii nuperi. correxi interpunctionem. 18. ψῦχος Schaeferus: ψύχος v. τὸν πλεῖστον Reiskii nuperi, sed cf. c. 52 mor. 231 d. 19. διέφθειρεν ABC. ἐν χλόῃ κατέφθειρεν P. 21. cf. Meinekium fr. com. gr. t. 4 p. 475. 22. ἀσεβοῦνθ' Bryani nuperi. sed hoc non sufficit. ἀσεβοῦντα δ' ὁ Meinekius. malim ἀσεβοῦντά γ' ὁ vel θ' ὁ. 23. τιμὰς ποιοῦντ' ἀνθρωπίνας Stephanus x: τιμὰς ἀνθρωπίνας ποιοῦντα v, ποιοῦντα τιμὰς ἀνθρωπίνας PABCD. 26. παρὰ PV: ὑπὸ v.

μηθὲν ἐνοχλῶν μηδ' αὐλικῆς περιεργίας ἀναπιμπλάμενος. Φιλοφρονουμένου δέ ποτε τοῦ Λυσιμάχου πρὸς αὐτὸν καὶ εἰπόντος „Ὦ Φιλιππίδη, τίνος σοι τῶν ἐμῶν μεταδῶ;“ „Μόνον“ ἔφη „βασιλεῦ, μὴ τῶν ἀπορρήτων.“ Τοῦτον μὲν οὖν ἐπίτηδες ἐκείνῳ παρεθήκαμεν, τῷ ἀπὸ τοῦ βήματος τὸν ἀπὸ τῆς θυμέλης.

XIII. Ὁ δὲ μάλιστα τῶν τιμῶν ὑπερφυὲς ἦν καὶ ἀλλόκοτον· ἔγραψε Δρομοκλείδης ὁ Σφήττιος ὑπὲρ τῆς τῶν ἀσπίδων ἀναθέσεως εἰς Δελφοὺς παρὰ Δημητρίου λαβεῖν χρησμόν. Αὐτὴν δὲ παραγράψω τὴν λέξιν ἐκ τοῦ ψηφίσματος οὕτως ἔχουσαν· „Ἀγαθῇ τύχῃ· δεδόχθαι τῷ δήμῳ χειροτονῆσαι τὸν δῆμον ἕνα ἄνδρα ἐξ Ἀθηναίων, ὅστις ἀφικόμενος πρὸς τὸν Σωτῆρα καὶ καλλιερησάμενος ἐπερωτήσει [Δημήτριον] τὸν Σωτῆρα, πῶς εὐσεβέστατα καὶ κάλλιστα καὶ τὴν ταχίστην ὁ δῆμος τὴν ἀποκατάστασιν ποιήσαιτο τῶν ἀναθημάτων· ὅ τι δ' ἂν χρήσῃ, ταῦτα πράττειν τὸν δῆμον.“ Οὕτω καταμωκώμενοι τοῦ ἀνθρώπου προσδιέφθειραν αὐτὸν οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν.

XIV. Ἀλλ' ἔν γε ταῖς Ἀθήναις τότε σχολάζων ἠγάγετο χηρεύουσαν Εὐρυδίκην, ἣ Μιλτιάδου μὲν ἦν ἀπόγονος τοῦ παλαιοῦ, συνοικήσασα δὲ Ὀφέλτᾳ τῷ Κυρήνης ἄρξαντι μετὰ τὴν ἐκείνου τελευτὴν ἀφίκετο πάλιν εἰς τὰς Ἀθήνας. Οἱ μὲν οὖν Ἀθηναῖοι τὸν γάμον τοῦτον εἰς χάριν ἔθεντο καὶ τιμὴν τῆς πόλεως. Ἄλλως δὲ ὁ Δημήτριος εὐχερής τις ἦν περὶ γάμους καὶ πολλαῖς ἅμα συνῆν γυναιξίν, ὧν ἀξίωμα μέγιστον εἶχε καὶ τιμὴν Φίλα δι' Ἀντίπατρον τὸν πατέρα καὶ 895
διὰ τὸ προσυνῳκηκέναι Κρατέρῳ, τῷ πλείστην εὔνοιαν αὐτοῦ παρὰ Μακεδόσι τῶν Ἀλεξάνδρου διαδόχων ἀπολιπόντι. Ταύτην, ὡς ἔοικε, κομιδῇ νέον ὄντα τὸν Δημήτριον ἔπειθεν ὁ πατὴρ οὐκ οὖσαν αὐτῷ καθ' ὥραν, ἀλλὰ πρεσβυτέραν, λαβεῖν· ἀπροθύμως δ' ἔχοντι λέγεται πρὸς τὸ οὖς τὸ Εὐριπίδειον εἰπεῖν·

6, 16—17 H.

29. μηθὲν PADV: μηδὲν v.

XIII. 2. σφήττιος C. 5. ἀγαθῇ τύχῃ C. δεδόχθαι PA BD cod. Stephani (‚legitur etiam‘) V: δεδόχθω v. 6. ἀθηναίων ABCD cod. Stephani (‚legitur etiam‘): Ἀθηνῶν v. 7. [Δημήτριον] delet Schaeferus. 9. ποιήσεται Schaeferi non probo.

XIV. 8. φίλα Xylandri P[ABC] et deinceps ubi passim sic i: Φίλλα v. 9. scribebatur Κρατερῷ. 13. τὸ εὐριπίδειον Ste-

Ὅπου τὸ κέρδος, παρὰ φύσιν γαμητέον, ὁμοιόπτωτόν τι τῷ δουλευτέον εὐθυρρήμονήσας. Τοιαύτη μὲν οὖν τις ἦν ἡ τοῦ Δημητρίου τιμὴ πρός τε Φίλαν καὶ τὰς ἄλλας γαμετὰς, ὥστε πολλαῖς μὲν ἀνέδην ἑταίραις, πολλαῖς δὲ ἐλευθέραις συνεῖναι γυναιξὶ, καὶ μάλιστα δὴ περὶ τὴν ἡδονὴν ταύτην κακῶς ἀκοῦσαι τῶν τότε βασιλέων.

XV. Ἐπεὶ δὲ ὁ πατὴρ αὐτὸν ἐκάλει Πτολεμαίῳ περὶ Κύπρου πολεμήσοντα, πείθεσθαι μὲν ἦν ἀναγκαῖον, ἀχθόμενος δὲ ὅτι τὸν ὑπὲρ τῆς Ἑλλάδος πόλεμον, ὄντα καλλίω καὶ λαμπρότερον, ἀπολείπει, προσέπεμψε Κλεωνίδῃ τῷ Πτολεμαίου στρατηγῷ φρουροῦντι Σικυῶνα καὶ Κόρινθον χρήματα προτείνων, ὥστε ἐλευθέρας ἀφεῖναι τὰς πόλεις. Οὐ προσδεξαμένου δὲ ἐκείνου διὰ ταχέων ἀναχθεὶς καὶ προσλαβὼν δύναμιν ἐπέπλευσε Κύπρῳ. Καὶ Μενέλαον μὲν, ἀδελφὸν Πτολεμαίου, μάχην συνάψας εὐθὺς ἐνίκησεν· αὐτοῦ δὲ Πτολεμαίου μετὰ δυνάμεως πεζικῆς ἅμα καὶ ναυτικῆς μεγάλης ἐπιφανέντος, ἐγένοντο μὲν ἀπειλαί τινες καὶ διάλογοι κομπώδεις, τοῦ μὲν ἀποπλεῖν Δημήτριον κελεύοντος πρὶν ὑπὸ τῆς δυνάμεως πάσης ἀθροισθείσης καταπατηθῆναι, Δημητρίου δὲ ἐκεῖνον ἀφεῖναι φάσκοντος, ἂν ὁμολογήσῃ Σικυῶνα καὶ Κόρινθον ἀπαλλάξειν τῆς φρουρᾶς. Ὁ δὲ ἀγὼν οὐ μόνον αὐτοῖς ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι δυνάσταις πολλὴν εἶχε προσδοκίαν τῆς ἐπικρεμαμένης ἀδηλότητος, ὡς οὐ Κύπρον οὐδὲ Συρίαν, ἀλλὰ τὸ μέγιστον εὐθὺς εἶναι πάντων τῷ κρατοῦντι τῆς νίκης προστιθείσης.

XVI. Αὐτὸς μὲν οὖν ὁ Πτολεμαῖος ἐπέπλει πεντήκοντα καὶ ἑκατὸν ναῦς ἔχων, ἐκ δὲ Σαλαμῖνος ἐκέλευσε Μενέλαον ἑξήκοντα νανσὶν, ὅταν μάλιστα σύστασιν ὁ ἀγὼν ἔχῃ, προσ-

6, 17—18 H.

---

phani P corr Cx: *Εὐριπίδειον* v. 15. *ὅπου] ἀλλ' εἰς* libri Euripidis Phoen. v. 406. 16. *εὐθυρημονήσας* PABD. 18. *ἀνέδην* Corais ABCD: *ἀναίδην* v.

XV. 4. *κλεωνίδην τὸν πτολεμαίου στρατηγὸν* C. 5. *φρουροῦντα* ABCD. 9. *μάχῃ* ABCπV, cf. Marcell. 4, 14. Elmsleium in Euripidis Heracl. v. 808. *εὐθὺς* om C. 11. *ἀπειλαί τινες καὶ διάλογοι κομπώδεις* P: *ἀπειλαί τινες κομπώδεις καὶ διάλογοι* v. illud desideraverat fere Reiskius. 13. *ἀθροισθείσης* om P. 16. *αὐτοῖς* om B. 19. *προστιθείσης* Reiskius: *προστεθείσης* v.

XVI. 1. *ὁ* addiderunt ABCDV.

φερόμενον τὰς Δημητρίου κόπτειν ἐξόπισθεν καὶ διαταράττειν τὴν τάξιν. Δημήτριος δὲ ταῖς μὲν ἑξήκοντα ταύταις ἀντέταξε δέκα ναῦς (τοσαῦται γὰρ ἦρκουν στενὸν ὄντα τοῦ λιμένος ἐμφράξαι τὸν ἔκπλουν), αὐτὸς δὲ τὸ πεζὸν ἐκτάξας καὶ τοῖς ἀνατείνουσιν εἰς τὴν θάλασσαν ἀκρωτηρίοις περιχεάμενος, οὕτως ἀνήχθη ναυσὶν ἑκατὸν ὀγδοήκοντα· προσμίξας δὲ ῥώμῃ καὶ βίᾳ πολλῇ κατὰ κράτος ἐτρέψατο τὸν Πτολεμαῖον, αὐτὸν μέν, ὡς ἐνικήθη, διὰ ταχέων φυγόντα ναυσὶν ὀκτὼ μόναις (τοσαῦται γὰρ ἐκ πασῶν περιεσώθησαν, τῶν δὲ ἄλλων αἱ μὲν ἐν τῇ ναυμαχίᾳ διεφθάρησαν, ἑβδομήκοντα δὲ ἥλωσαν αὐτανδροι), τοῦ δὲ ἐν ὁλκάσι παρορμοῦντος ὄχλου θεραπόντων καὶ φίλων καὶ γυναικῶν, ἔτι δὲ ὅπλων καὶ χρημάτων καὶ μηχανημάτων ἁπλῶς οὐδὲν ἐξέφυγε τὸν Δημήτριον, ἀλλ' ἔλαβε πάντα καὶ κατήγαγεν εἰς τὸ στρατόπεδον. Ἐν δὲ τούτοις ἡ περιβόητος ἦν Λάμια, τὴν μὲν ἀρχὴν σπουδασθεῖσα διὰ τὴν τέχνην (ἐδόκει γὰρ αὐλεῖν οὐκ εὐκαταφρονήτως), ὕστερον δὲ καὶ τοῖς ἐρωτικοῖς λαμπρὰ γενομένη. Τότε γοῦν ἤδη λήγουσα τῆς ὥρας καὶ πολὺ νεώτερον ἑαυτῆς λαβοῦσα τὸν Δημήτριον ἐκράτησε τῇ χάριτι καὶ κατέσχεν, ὥστε ἐκείνης εἶναι μόνης ἐραστήν, τῶν δ' ἄλλων ἐρώμενον γυναικῶν. Μετὰ δὲ τὴν ναυμαχίαν οὐδὲ ὁ Μενέλαος ἀντέσχεν, ἀλλὰ τήν τε Σαλαμῖνα παρέδωκε τῷ Δημητρίῳ καὶ τὰς ναῦς καὶ τὸ πεζὸν, ἱππεῖς τε χιλίους καὶ 896
διακοσίους καὶ μυρίους καὶ δισχιλίους ὁπλίτας.

XVII. Οὕτω δὲ λαμπρὰν καὶ καλὴν τὴν νίκην γενομένην ἔτι μᾶλλον ἐπικοσμῶν ὁ Δημήτριος εὐγνωμοσύνῃ καὶ φιλανθρωπίᾳ τοὺς νεκροὺς τῶν πολεμίων ἔθαψε μεγαλοπρεπῶς καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν, Ἀθηναίοις δὲ χιλίας καὶ διακοσίας ἀπὸ τῶν λαφύρων ἐδωρήσατο πανοπλίας. Αὐτάγγελον δὲ τῆς νίκης τῷ πατρὶ τὸν Μιλήσιον Ἀριστόδημον ἔπεμψε, πρωτεύοντα κολακείᾳ τῶν αὐλικῶν ἁπάντων καὶ

6, 18—20 H.

---

7. ἐκφράξαι τοῦ λιμένος τὸν ἔκπλουν ABCD. ἐμφράξαι Reiskii P: ἐκφράξαι v. τὸ πεζὸν Stephanus: τὸν πεζὸν libri. 8. ἀντιτείνουσιν C. θάλατταν C. 9. προσρήξας ABCV. 11. φυγόντα PABCπSV: φεύγοντα v. 18. λάμια PABCD: λάμεια v. μὲν γὰρ P. 20. καὶ τοῖς] τοῖς ABCD. 22. αὐτῆς C. 24. ἐρώμενον γυναικῶν PABCD: γυναικῶν ἐρώμενον v. 26. τε Schaeferus: δὲ libri.

τότε παρεσκευασμένον, ὡς ἔοικε, τῶν κολακευμάτων τὸ μέγιστον ἐπενεγκεῖν τοῖς πράγμασιν. Ὡς γὰρ ἐπέρασεν ἀπὸ τῆς Κύπρου, προσέχειν μὲν οὐκ εἴασε τῇ γῇ τὸ πλοῖον, ἀγκύρας δ' ἀφεῖναι κελεύσας καὶ κατὰ ναῦν ἔχειν ἀτρέμα πάντας, αὐτὸς ἐμβὰς εἰς τὸ ἐφόλκιον ἐξῆλθε μόνος καὶ πρὸς τὸν Ἀντίγονον ἀνέβαινε μετέωρον ὄντα τῇ προσδοκίᾳ τῆς μάχης καὶ διακείμενον, ὡς εἰκός ἐστι διακεῖσθαι τοὺς περὶ πραγμάτων τηλικούτων ἀγωνιῶντας. Τότε γε μὴν ἀκούσας ἐκεῖνον ἥκειν ἔτι μᾶλλον ἢ πρότερον ἔσχε ταραχωδῶς, καὶ μόλις μὲν αὐτὸν οἶκοι κατεῖχεν, ἄλλους δ' ἐπ' ἄλλοις ἔπεμπεν ὑπηρέτας καὶ φίλους πευσομένους τοῦ Ἀριστοδήμου περὶ τῶν γεγονότων. Ἀποκριναμένου δὲ μηδὲν αὐτοῦ μηδενὶ, βάδην δὲ καὶ συνεστῶτι τῷ προσώπῳ μετὰ πολλῆς σιωπῆς προσιόντος, ἐκπλαγεὶς κομιδῇ καὶ μηκέτι καρτερῶν ὁ Ἀντίγονος ἐπὶ τὰς θύρας ἀπήντησε, πολλοῦ παραπέμποντος ἤδη τὸν Ἀριστόδημον ὄχλου καὶ συντρέχοντος ἐπὶ τὸ βασίλειον. Ὡς οὖν ἐγγὺς ἦλθεν, ἐκτείνας τὴν δεξιὰν ἀνεβόησε μεγάλῃ τῇ φωνῇ „Χαῖρε, βασιλεῦ Ἀντίγονε, νικῶμεν [βασιλέα] Πτολεμαῖον ναυμαχίᾳ καὶ Κύπρον ἔχομεν καὶ στρατιώτας αἰχμαλώτους μυρίους ἑξακισχιλίους ὀκτακοσίους.“ Ὁ δὲ Ἀντίγονος „Καὶ σὺ, νὴ Δία, χαῖρε“ εἶπεν· „οὕτω δὲ ἡμᾶς βασανίσας δίκην ὑφέξεις· βράδιον γὰρ ἀπολήψῃ τὸ εὐαγγέλιον.“

XVIII. Ἐκ τούτου πρῶτον ἀνεφώνησε τὸ πλῆθος Ἀντίγονον καὶ Δημήτριον βασιλέας. Ἀντίγονον μὲν οὖν εὐθὺς ἀνέδησαν οἱ φίλοι, Δημητρίῳ δὲ ὁ πατὴρ ἔπεμψε διάδημα καὶ γράφων ἐπιστολὴν βασιλέα προσεῖπεν. Οἱ δ' ἐν Αἰγύπτῳ τούτων ἀπαγγελλομένων καὶ αὐτοὶ βασιλέα τὸν Πτολεμαῖον ἀνηγόρευσαν, ὡς μὴ δοκεῖν τοῦ φρονήματος ὑφίεσθαι διὰ τὴν ἧτταν. Ἐπενείματο δὲ οὕτως τὸ πρᾶγμα τῷ ζήλῳ τοὺς διαδόχους. Καὶ γὰρ Λυσίμαχος ἤρξατο φορεῖν διάδημα καὶ Σέλευκος ἐντυγχάνων τοῖς Ἕλλησιν, ἐπεὶ τοῖς γε

6, 20—21 H.

XVII. 11. καὶ κατὰ] κατὰ C. 14. διακειμένου A. 17. ἄλλους δ' ἐπ' ἄλλοις ἔπεμπεν ABCD: ἄλλους δὲ ἐπ' ἄλλους ἔπεμψεν PV, ἄλλους δ' ἔπεμπεν ἐπ' ἄλλους ia, ἄλλους δὲ ἔπεμψεν ἐπ' ἄλλοις v. 18. τοῦ P cl. c. 28, 31: παρὰ τοῦ v. 19. ἀποκρινομένου Coraes. 20. προσιόντι C. 25. [βασιλέα] deleam cum Reiskio.

XVIII. 3. ἔπεμψε Corais P: ἔπεμπε v. 7. οὕτω corr AB.

βαρβάρους πρότερον οὗτος ὡς βασιλεὺς ἐχρημάτιζε. Κάσανδρος δὲ, τῶν ἄλλων αὐτὸν βασιλέα καὶ γραφόντων καὶ καλούντων, αὐτὸς, ὥσπερ πρότερον εἰώθει, τὰς ἐπιστολὰς ἔγραφε. Τοῦτο δὲ οὐ προσθήκην ὀνόματος καὶ σχήματος ἐξαλλαγὴν εἶχε μόνον, ἀλλὰ καὶ τὰ φρονήματα τῶν ἀνδρῶν ἐκίνησε καὶ τὰς γνώμας ἐπῆρε καὶ τοῖς βίοις καὶ ταῖς ὁμιλίαις αὐτῶν ὄγκον ἐνεποίησε καὶ βαρύτητα, καθάπερ τραγικῶν ὑποκριτῶν ἅμα τῇ σκευῇ συμμεταβαλλόντων καὶ βάδισμα καὶ φωνὴν καὶ κατάκλισιν καὶ προσαγόρευσιν. Ἐκ δὲ τούτων ἐγίνοντο καὶ περὶ τὰς δικαιώσεις βιαιότεροι τὴν εἰς πολλὰ παρέχουσαν αὐτοὺς ἐλαφροτέρους καὶ μαλακωτέρους τοῖς ὑπηκόοις πρότερον εἰρωνείαν τῆς ἐξουσίας ἀφελόντες. Τοσοῦτον ἴσχυσε κόλακος φωνὴ μία καὶ τοσαύτης ἐνέπλησε τὴν οἰκουμένην μεταβολῆς.

XIX. Ἀντίγονος δὲ τοῖς πεπραγμένοις ὑπὸ Δημητρίου περὶ Κύπρον ἐπαρθεὶς εὐθὺς ἐστράτευσεν ἐπὶ Πτολεμαῖον, αὐτὸς μὲν ἄγων πεζῇ τὴν δύναμιν, Δημητρίου δὲ μεγάλῳ στόλῳ συμπαραπλέοντος. Ὃν δὲ τρόπον ἔμελλε κρίνεσθαι τὰ πράγματα Μήδιος, Ἀντιγόνου φίλος, ὕψιν εἶδε κατὰ τοὺς ὕπνους. Ἐδόκει γὰρ αὐτὸν Ἀντίγονον ἀγωνίζεσθαι μετὰ 897
τῆς στρατιᾶς ἁπάσης δίαυλον εὐρώστως καὶ ταχὺ τὸ πρῶτον, εἶτα κατὰ μικρὸν ἐνδιδόναι τὴν δύναμιν αὐτῷ· καὶ τέλος, ὡς ἔκαμψεν, ἀσθενῆ γενόμενον καὶ μεστὸν ἄσθματος οὐ ῥᾳδίως ἀναφέρειν. Αὐτός τε οὖν ἐντυχὼν κατὰ γῆν πολλαῖς ἀπορίαις καὶ Δημητρίου χειμῶνι μεγάλῳ καὶ κλύδωνι κινδυνεύσαντος εἰς τόπους ἀλιμένους καὶ χαλεποὺς ἐκριφῆναι, πολλὰς δὲ τῶν νεῶν ἀπολέσαντος, ἐπανῆλθεν ἄπρακτος. Ἦν δὲ τότε μικρὸν ἀπολείποντα γεγονὼς ἔτη ὀγδοήκοντα, μεγέθει δὲ καὶ βαρύτητι σώματος μᾶλλον ἢ διὰ τὸ γῆρας ἐπὶ τὰς στρατείας γεγονὼς δυσπαράκομιστος ἐχρῆτο τῷ παιδὶ καὶ

6, 21—22 H

---

10. οὗτος ABCV: οὕτως v. κάσσανδρος P. 12. πρότερον om C. 16. ἐνεποίησε PV: ἐπεποίησε v. 17. συμμεταβαλλόντων SηωV: συμμεταβαλόντων PABCD, μεταβαλλόντων v. 19. ἐγίνοντο P: ἐγένοντο v. 22. ἴσχυε Francofurtana.

XIX. 2. ἐστράτευεν ABCD. 4. ᾧ δὲ τρόπῳ P. ἤμελλε ABD. 9. ὡς ἔκαμψεν om ABCD. 10. κατὰ γῆν ἐντυχὼν C. 11. μεγάλῳ καὶ κλύδωνι P: καὶ κλύδωνι μεγάλῳ v. κινδυνεύοντος P. 14. ἔτη τῶν requiro cum Schaefero. μεγέθει τε PABCD.

δι' εὐτυχίαν καὶ δι' ἐμπειρίαν ἤδη τὰ μέγιστα καλῶς διοικοῦντι, τρυφᾶς δὲ καὶ πολυτελείας καὶ πότους αὐτοῦ μὴ βαρυνόμενος. Εἰρήνης γὰρ οὔσης ἀφύβριζεν εἰς ταῦτα καὶ σχολάζων ἐχρῆτο πρὸς τὰς ἡδονὰς ἀνειμένως αὐτῷ καὶ κατακόρως, ἐν δὲ τοῖς πολέμοις, ὡς οἱ φύσει σώφρονες, ἔνηφε. Λέγεται δὲ τῆς Λαμίας ἀναφανδὸν ἤδη κρατούσης τὸν Ἀντίγονον ὑπὸ τοῦ Δημητρίου καταφιλούμενον ἥκοντος ἀπὸ ξένης εἰπεῖν ἅμα γελῶντα· „Δοκεῖς Λάμιαν, ὦ παῖ, καταφιλεῖν." Πάλιν δέ ποτε πλείονας ἡμέρας ἐν πότοις γενομένου καὶ πρόφασιν λέγοντος, ὡς ῥεῦμα διοχλήσειεν αὐτόν, „Ἐπυθόμην", φάναι τὸν Ἀντίγονον, „ἀλλὰ πότερον Θάσιον ἢ Χῖον ἦν τὸ ῥεῦμα;" Πυθόμενος δὲ αὖθις ἀσθενῶς ἔχειν αὐτὸν ἐβάδιζεν ὀψόμενος καὶ τῶν καλῶν τινι περὶ θύρας ἀπήντησεν· εἰσελθὼν δὲ καὶ καθίσας παρ' αὐτὸν ἥψατο τῆς χειρός· ἐκείνου δὲ εἰπόντος, ὅτι νῦν ὁ πυρετὸς ἀποκεχώρηκεν, „Ἀμέλει, παιδίον" ἔφη, „καὶ ἐμοὶ νῦν ἐπὶ θύρας ἀπιὼν ἀπήντηκε." Ταῦτα δὲ οὕτω πρᾴως ἔφερε τοῦ Δημητρίου διὰ τὴν ἄλλην πρᾶξιν. Οἱ μὲν γὰρ Σκύθαι πίνοντες καὶ μεθυσκόμενοι παραψάλλουσι τὰς νευρὰς τῶν τόξων, οἷον ἐκλυόμενον ὑπὸ τῆς ἡδονῆς ἀνακαλούμενοι τὸν θυμόν, ἐκεῖνος δὲ τὰ μὲν ἡδονῇ διδοὺς ἁπλῶς ἑαυτὸν, τὰ δὲ σπουδῇ, καὶ θάτερα τῶν ἑτέρων ἄκρατα μεταχειριζόμενος, οὐχ ἧττον ἦν δεινὸς ἐν ταῖς τοῦ πολέμου παρασκευαῖς.

XX. Ἀλλὰ καὶ παρασκευάσασθαι δύναμιν ἢ χρήσασθαι βελτίων ἐδόκει στρατηγὸς εἶναι, πάντα μὲν ἐκ περιουσίας ὑπάρχειν βουλόμενος ἐπὶ τὰς χρείας, τῆς δὲ περὶ τὰς ναῦς καὶ τὰ μηχανήματα μεγαλουργίας καὶ καθ' ἡδονήν τινα τοῦ θεωρεῖν ἀπλήστως ἔχων. Εὐφυὴς γὰρ ὢν καὶ θεωρητικὸς οὐκ εἰς παιδιὰς οὐδ' εἰς διαγωγὰς ἀχρήστους ἔτρεψε τὸ φι-

6, 22—23 H.

---

17. bis διὰ A. 22. λαμίας et mox λάμιαν PABCD et postea constanter: Λαμείας et Λάμειαν v. 26. ῥεῦμα PABCD: ῥεύμασι i, ῥεῦμά τι a et v. 27. πρότερον C. 29. ἀπήντηκεν P. 30. αὐτὸν PABCDV: αὐτῷ v. 32. νῦν ἐπὶ θύρας ἀπιὼν PC: νῦν ἐπὶ θύρας ἀπιὸν ABD, περὶ θύρας ἀπιὸν νῦν v. 33. τοῦ δημητρίου διὰ τὴν ἄλλην πρᾶξιν PABCD cl. Themist. 11, 1. Alcibiad. 26, 35. Philopoem. 13, 1. Cat. mai. 20, 11: διὰ τὴν ἄλλην πρᾶξιν τοῦ Δημητρίου v.

XX. 2. βέλτιον P. 4. μηχανήματα P: μηχανικὰ v. τοῦ θεωρεῖν ABCDπSηV. 6. οὐδ' εἰς] οὐδὲ Coraes. διαγωγὰς

λότεχνον, ὥσπερ ἄλλοι βασιλεῖς αὐλοῦντες καὶ ζωγραφοῦντες καὶ τορεύοντες. Ἀέροπος γὰρ ὁ Μακεδὼν τραπέζια μικρὰ καὶ λυχνίδια τεκταινόμενος, ὁπότε σχολάζοι, διῆγεν. Ἄτταλος δὲ ὁ Φιλομήτωρ ἐκήπευε τὰς φαρμακώδεις βοτάνας, οὐ μόνον ὑοσκύαμον καὶ ἑλλέβορον, ἀλλὰ καὶ κώνειον καὶ ἀκόνιτον καὶ δορύκνιον, αὐτὸς ἐν τοῖς βασιλείοις σπείρων καὶ φυτεύων, ὁπούς τε καὶ καρπὸν αὐτῶν ἔργον πεποιημένος εἰδέναι καὶ κομίζεσθαι καθ' ὥραν. Οἱ δὲ Πάρθων βασιλεῖς ἐσεμνύνοντο τὰς ἀκίδας τῶν βελῶν χαράττοντες αὐτοὶ καὶ παραθήγοντες. Ἀλλὰ μὴν Δημητρίου καὶ τὸ βάναυσον ἦν βασιλικὸν καὶ μέγεθος ἡ μέθοδος εἶχεν, ἅμα τῷ περιττῷ καὶ φιλοτέχνῳ τῶν ἔργων ὕψος τι διανοίας καὶ φρονήματος συνεκφερόντων, ὥστε μὴ μόνον γνώμης καὶ περιουσίας, ἀλλὰ καὶ χειρὸς ἄξια φαίνεσθαι βασιλικῆς. Μεγέθει μὲν γὰρ ἐξέπληττε καὶ τοὺς φίλους, κάλλει δὲ καὶ τοὺς πολεμίους ἔτερπε. Τοῦτο δὲ ἔτι μᾶλλον ἀληθῶς ἢ κομψῶς εἴρηται. Καὶ τὰς μὲν ἑκκαιδεκήρεις αὐτοῦ καὶ τὰς πεντεκαιδεκήρεις ἐθαύμαζον ἑστῶτες οἱ πολέμιοι παρὰ τὴν γῆν αὐτῶν πλεούσας, αἱ δ' 898
ἑλεπόλεις ὡς θέαμα τοῖς πολιορκουμένοις ἦσαν, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ. Λυσίμαχος μὲν γάρ, ἔχθιστος ὢν Δημητρίῳ τῶν βασιλέων καὶ πολιορκοῦντι Σόλους τοὺς Κιλικίους ἀντιτεταγμένος, ἔπεμψε παρακαλῶν ἐπιδεῖξαι τὰς μηχανὰς αὐτῷ καὶ τὰς ναῦς πλεούσας· ἐπιδείξαντος δὲ θαυμάσας ἀπῆλθε· Ῥόδιοι δὲ πολὺν χρόνον ὑπ' αὐτοῦ πολιορκηθέντες, ἐπεὶ κατελύσαντο τὸν πόλεμον, ᾐτήσαντο τῶν μηχανῶν ἐνίας, ὅπως ὑπόμνημα τῆς ἐκείνου δυνάμεως ἅμα καὶ τῆς αὐτῶν ἀνδραγαθίας ἔχωσιν.

XXI. Ἐπολέμησε δὲ Ῥοδίοις Πτολεμαίου συμμάχοις οὖσι καὶ τὴν μεγίστην ἑλέπολιν τοῖς τείχεσι προσήγαγεν, ἧς ἕδρα μὲν ἦν τετράγωνος, ἑκάστην ἔχουσα τοῦ κάτω πλαισίου πλευρὰν ὀκτὼ καὶ τεσσαράκοντα πηχῶν, ἕξ δὲ καὶ ἑξήκοντα

6, 23—25 H.

PABCDπηV: ἀγωγὰς v. 7. ἄλλοι βασιλεῖς PABCD: βασιλεῖς δὲ al.m. ἄλλοι v. 8. γὰρ P: δὲ v. 12. βασιλείοις Reiskii P: βασιλικοῖς v. 18. ἐκφερόντων P. 19. παρουσίας D. 23. τὰς ante πεντεκαιδεκήρεις om Stephaniana. 24. οἱ πολέμιοι ἑστῶτες C. 26. μὲν om C. 27. κιλίους C. 31. κατελύσαντο Reiskii PABCD: κατελύσατο v.

XXI. 4. ἕξ δὲ καὶ ἑξήκοντα πηχῶν om ABCD pergentes ὕψος δὲ, et δ' etiam i. ἑξήκοντα] ἐνενήκοντα cl. Vitruvii 10, 16 Dio-

πηχῶν ὕψος εἶχεν εἰς κορυφήν, συννεύουσα ταῖς ἄνω πλευραῖς, στενοτέραν τῆς βάσεως. Ἔνδοθεν μὲν οὖν στέγαις διεπέφρακτο καὶ χώραις πολλαῖς, τὸ δὲ πρὸς τοὺς πολεμίους αὐτῆς μέτωπον ἀνέῳκτο καθ' ἑκάστην στέγην θυρίσιν, καὶ διὰ τούτων ἐξέπιπτε βέλη παντοδαπά· μεστὴ γὰρ ἦν ἀνδρῶν μαχομένων πᾶσαν ἰδέαν μάχης. Καὶ τὸ μὴ κραδαινόμενον αὐτῆς μηδὲ κλινόμενον ἐν ταῖς κινήσεσιν, ἀλλ' ὀρθὸν ἐν ἕδρᾳ καὶ ἀσάλευτον ἰσορρόπως ἅμα ῥοίζῳ καὶ τόνῳ πολλῷ προχωροῦν θάμβος ἅμα τῇ ψυχῇ καὶ χάριν τινα τῇ ὄψει τῶν θεωμένων παρεῖχε. Πρὸς δὲ τοῦτον τὸν πόλεμον αὐτῷ καὶ θώρακες ἐκομίσθησαν ἐκ Κύπρου δύο σιδηροῖ, μνῶν ὁλκῆς ἑκάτερος τεσσαράκοντα. Δυσπάθειαν δὲ καὶ ῥώμην αὐτῶν ἐπιδεικνύμενος ὁ τεχνίτης Ζωΐλος ἐκέλευσεν ἐξ εἴκοσι βημάτων ἀφεῖναι καταπελτικὸν βέλος, οὗ προσπεσόντος ἀῤῥαγὴς διέμεινεν ὁ σίδηρος, ἀμυχὴν δὲ μόλις ἔσχεν ἀμβλεῖαν, οἷον ἀπὸ γραφείου. Τοῦτον αὐτὸς ἐφόρει· τὸν δ' ἕτερον Ἄλκιμος ὁ Ἠπειρώτης, ἀνὴρ πολεμικώτατος τῶν σὺν αὐτῷ καὶ ῥωμαλεώτατος, ὃς μόνος ἐχρῆτο διταλάντῳ πανοπλίᾳ, τῶν ἄλλων χρωμένων ταλαντιαίᾳ· καὶ μαχόμενος ἐν Ῥόδῳ περὶ τὸ θέατρον ἔπεσεν.

XXII. Εὐρώστως δὲ καὶ τῶν Ῥοδίων ἀμυνομένων, οὐδὲν ἄξιον λόγου πράττων ὁ Δημήτριος ὅμως ἐθυμομάχει πρὸς αὐτούς, ὅτι, Φίλας τῆς γυναικὸς αὐτῷ γράμματα καὶ στρώματα καὶ ἱμάτια πεμψάσης, λαβόντες τὸ πλοῖον, ὥσπερ εἶχε, πρὸς Πτολεμαῖον ἀπέστειλαν, καὶ τὴν Ἀθηναίων οὐκ ἐμιμήσαντο φιλανθρωπίαν, οἳ Φιλίππου πολεμοῦντος αὐτοῖς γραμ-

6, 25—26 H.

---

dori 20, 91 malit Coraes. 5. *συννεύουσα* CqV: *συννεύουσαν* v. *τὰς ἄνω πλευρὰς* CqV. 6. *στενοτέραν* ABCDia: *στενωτέραν* v, cf. ad Philop. 2, 16. 8. *καθ' ἑκάστην στέγην θυρίσιν* Emperius: *καὶ καθ' ἑκάστην στέγην θυρὶς* libri. 9. *ἦν* om B. 12. *προχωροῦν* PABCDπSV: *προσχωροῦν* v. 13. *χάριν* P: *χάριν ὁμοῦ* v pridem suspectum editoribus. 15. *μνῶν* om ia. ab Xylandro desideratum praestant P[ABCD]ηRSπ. 16. *καὶ ῥώμην αὐτῶν* P: *αὐτῶν καὶ ῥώμην* v. 17. *ἐξ εἴκοσι* margo Mureti V: *ἓξ εἴκοσι* PABC, *ἓξ καὶ εἴκοσι* v. 18. *ἀφῆναι* ia. 19. *δὲ ὅμως ἔσχε μόλις* C. *οἷον* PABCD: *οἷαν* v. 23. *ταλαντιαῖα* P, *ταλαντιαίαν* C.

XXII. 3. *αὐτοῦ* P. 4. *εἶχον* V. 6. *πολιορκοῦντος αὐτοὺς* Photius Bekkeri p. 397 b.

ματοφόρους ἑλόντες τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολὰς, μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ᾽, ὥσπερ ἦν κατασεσημασμένη, πρὸς ἐκεῖνον ἀπέστειλαν. Οὐ μὴν ἀλλὰ, καίπερ ἐπὶ τούτῳ σφόδρα δηχθεὶς ὁ Δημήτριος, εὐθὺς παρασχόντας λαβὴν οὐχ ὑπέμεινεν ἀντιλυπῆσαι τοὺς Ῥοδίους. Ἔτυχε γὰρ αὐτοῖς ὁ Καύνιος Πρωτογένης γράφων τὴν περὶ τὸν Ἰάλυσον διάθεσιν, καὶ τὸν πίνακα μικρὸν ἀπολείποντα τοῦ τέλος ἔχειν ἔν τινι τῶν προαστείων ἔλαβεν ὁ Δημήτριος. Πεμψάντων δὲ κήρυκα τῶν Ῥοδίων καὶ δεομένων φείσασθαι καὶ μὴ διαφθεῖραι τὸ ἔργον, ἀπεκρίνατο τὰς τοῦ πατρὸς εἰκόνας ἂν ἐμπρῆσαι μᾶλλον ἢ τέχνης πόνον τοσοῦτον. Ἑπτὰ γὰρ ἔτεσι λέγεται συντελέσαι τὴν γραφὴν ὁ Πρωτογένης. Καί φησιν ὁ Ἀπελλῆς οὕτως ἐκπλαγῆναι θεασάμενος τὸ ἔργον, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν αὐτὸν, ὀψὲ δὲ εἰπεῖν ὅτι „Μέγας ὁ πόνος καὶ θαυμαστὸν τὸ ἔργον“ οὐ μὴν ἔχειν γε χάριτας, δι᾽ ἃς οὐρανοῦ ψαύειν τὰ ὑπ᾽ αὐτοῦ γραφόμενα. Ταύτην μὲν οὖν τὴν γραφὴν εἰς ταὐτὸ ταῖς ἄλλαις συνωσθεῖσαν ἐν Ῥώμῃ τὸ πῦρ ἐπενείματο. Τῶν δὲ Ῥοδίων κατεξανισταμένων τοῦ πολέμου δεόμενον προφάσεως τὸν Δημήτριον Ἀθηναῖοι 899
παραγενόμενοι διήλλαξαν ἐπὶ τῷ συμμαχεῖν Ῥοδίους Ἀντιγόνῳ καὶ Δημητρίῳ πλὴν ἐπὶ Πτολεμαῖον.

XXIII. Ἐκάλουν δὲ τὸν Δημήτριον οἱ Ἀθηναῖοι Κασάνδρου τὸ ἄστυ πολιορκοῦντος. Ὁ δὲ ναυσὶν ἐπιπλεύσας τριακοσίαις τριάκοντα καὶ πολλοῖς ὁπλίταις οὐ μόνον ἐξήλασε τῆς Ἀττικῆς τὸν Κάσανδρον, ἀλλὰ καὶ φεύγοντα μέχρι Θερμοπυλῶν διώξας καὶ τρεψάμενος Ἡράκλειαν ἔλαβεν ἑκουσίως

6, 26—28 H.

---

9. ἀπέστειλαν] ἀπέλυσαν Photius. 10. παρασχόντος P. 13. διάλυσιν PA cod. Stephani (‚invenitur etiam scriptum‘) V. ἀπολιπόντα P. 14. τοῦ τέλος Stephanus: τοῦ τὸ τέλος P, τοῦ τέλους ceteri. 17. ἂν addiderunt PABCDπ. 18. λέγεται συντελέσαι PABC: συντελέσαι λέγεται v. 19. καί φασι τὸν Ἀπελλῆν — θεασάμενον Coraes cum Amioto. librorum scripturam tuetur non tam Aelianus v. h. 12, 41 quam Plinius h. n. 35, 36, 10 t. 5 p. 295 Bip. ὁ om P. 20. ἀπολιπεῖν C. ὅτι addiderunt PABCDSπ. 22. ὑφ᾽ αὐτοῦ x. αὐτὴν CD. 23. συνωθῆσαν C. 24. ἀπενείματο PCD. κατεξανισταμένων] cf. Wesselingium Diodori t. 2 p. 175, 84. 27. πλεῖν PABCD.

XXIII. 1. οἱ om ia. κασσάνδρου P et deinceps. 4. ἀλλὰ καὶ P: ἀλλὰ v. 5. ἑκουσίους Stephaniana.

αὐτῷ προσθεμένην καὶ τῶν Μακεδόνων ἑξακισχιλίους μεταβαλομένους πρὸς αὐτόν. Ἐπανιὼν δὲ τοὺς ἐντὸς Πυλῶν Ἕλληνας ἠλευθέρου καὶ Βοιωτοὺς ἐποιήσατο συμμάχους καὶ Κεγχρέας εἷλε· καὶ Φυλὴν καὶ Πάνακτον, ἐπιτειχίσματα τῆς Ἀττικῆς ὑπὸ Κασάνδρου φρουρούμενα, καταστρεψάμενος ἀπέδωκε τοῖς Ἀθηναίοις. Οἱ δὲ καίπερ ἐκκεχυμένοι πρότερον εἰς αὐτὸν καὶ κατακεχρημένοι πᾶσαν φιλοτιμίαν ἐξεῦρον ὅμως καὶ τότε πρόσφατοι καὶ καινοὶ ταῖς κολακείαις φανῆναι. Τὸν γὰρ ὀπισθόδομον τοῦ Παρθενῶνος ἀπέδειξαν αὐτῷ κατάλυσιν· κἀκεῖ δίαιταν εἶχε, τῆς Ἀθηνᾶς λεγομένης ὑποδέχεσθαι καὶ ξενίζειν αὐτὸν, οὐ πάνυ κόσμιον ξένον οὐδὲ ὡς παρθένῳ πρέπως ἐπισταθμεύοντα. Καίτοι τὸν ἀδελφὸν αὐτοῦ Φίλιππον αἰσθόμενός ποτε ὁ πατὴρ ἐν οἰκίᾳ καταλύοντα τρεῖς ἐχούσῃ νέας γυναῖκας πρὸς ἐκεῖνον μὲν οὐδὲν ἐφθέγξατο, παρόντος δὲ ἐκείνου τὸν σταθμοδότην μεταπεμψάμενος „Οὗτος“ εἶπεν „οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρίας;“

XXIV. Δημήτριος δὲ, τὴν Ἀθηνᾶν αὐτῷ προσῆκον, εἰ δι' ἄλλο μηδὲν, ὥς γε πρεσβυτέραν ἀδελφὴν αἰσχύνεσθαι (τοῦτο γὰρ ἐβούλετο λέγεσθαι), τοσαύτην ὕβριν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέδασε τῆς ἀκροπόλεως, ὥστε δοκεῖν τότε μάλιστα καθαρεύειν τὸν τόπον, ὅτε Χρυσίδι καὶ Λαμίᾳ καὶ Δημοῖ καὶ Ἀντικύρᾳ, ταῖς πόρναις ἐκείναις, συνακολασταίνοι. Τὰ μὲν οὖν ἄλλα σαφῶς ἀπαγγέλλειν οὐ πρέπει διὰ τὴν πόλιν, τὴν δὲ Δημοκλέους ἀρετὴν καὶ σωφροσύνην ἄξιόν ἐστι μὴ παρελθεῖν. Ἐκεῖνος γὰρ ἦν ἔτι παῖς ἄνηβος, οὐκ ἔλαθε δὲ τὸν Δημήτριον ἔχων τῆς εὐμορφίας τὴν ἐπωνυμίαν κατήγορον· ἐκαλεῖτο γὰρ Δημοκλῆς

6, 28—29 H.

---

6. μεταβαλομένους Corais corr ABCD: μεταβαλλομένους v. 9. κεγχρέας ABCDπ: κεγχριὰς ia, Κεγχρειὰς v. πάναπτον ia. ἐπιτείχισμα PABDV. 10. φρουρούμενον C. 12. εἰς PABCDV: πρὸς v. 13. τὰς κολακείας ABCV, cf. Lys. 3, 8. 14. ὀπισθόδρομον C. ἀπεδείξαντο ABCD. 17. τὸν om Francofurtana. 18. ἐν οἰκίᾳ καταλύοντα P: καταλύοντα ἐν οἰκίᾳ v. 21. οὕτως P pr. BCD, οὗτως A. ἐξάγεις ABV, ἄξεις P.

XXIV. 1. αὐτῷ προσῆκον τὴν Ἀθηνᾶν C. 3. τοσαύτην δὲ P. 4. ἀστὰς] αὐτὰς P, καταστὰς Stephaniana. 6. λαμίᾳ PABC: Λαμείᾳ v. 11. γὰρ Stephani [P]: δὲ ceteri.

ὁ καλός. Ὡς δὲ πολλὰ πειρώντων καὶ διδόντων καὶ φοβούντων ὑπ' οὐδενὸς ἡλίσκετο, τέλος δὲ φεύγων τὰς παλαίστρας καὶ τὸ γυμνάσιον εἴς τι βαλανεῖον ἰδιωτικὸν ἐφοίτα λουσόμενος, ἐπιτηρήσας τὸν καιρὸν ὁ Δημήτριος ἐπεισῆλθεν αὐτῷ μόνῳ. Καὶ ὁ παῖς, ὡς συνεῖδε τὴν περὶ αὐτὸν ἐρημίαν καὶ τὴν ἀνάγκην, ἀφελὼν τὸ πῶμα τοῦ χαλκώματος εἰς ζέον ὕδωρ ἐνήλατο καὶ διέφθειρεν αὑτόν, ἀνάξια μὲν παθών, ἄξια δὲ τῆς πατρίδος καὶ τοῦ κάλλους φρονήσας, οὐχ ὡς Κλεαίνετος ὁ Κλεομέδοντος, ὃς ὠφληκότι τῷ πατρὶ δίκην πεντήκοντα ταλάντων ἀφεθῆναι διαπραξάμενος καὶ γράμματα παρὰ Δημητρίου κομίσας πρὸς τὸν δῆμον οὐ μόνον ἑαυτὸν κατήσχυνεν, ἀλλὰ καὶ τὴν πόλιν συνετάραξε. Τὸν μὲν γὰρ Κλεομέδοντα τῆς δίκης ἀφῆκαν, ἐγράφη δὲ ψήφισμα μηδένα τῶν πολιτῶν ἐπιστολὴν παρὰ Δημητρίου κομίζειν. Ἐπεὶ δὲ ἀκούσας ἐκεῖνος οὐκ ἤνεγκε μετρίως, ἀλλ' ἠγανάκτησε, δείσαντες αὖθις οὐ μόνον τὸ ψήφισμα καθεῖλον, ἀλλὰ καὶ τῶν εἰσηγησαμένων καὶ συνειπόντων τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἐφυγάδευσαν, ἔτι δὲ προσεψηφίσαντο δεδόχθαι τῷ δήμῳ τῶν Ἀθηναίων πᾶν, ὅ τι ἂν ὁ βασιλεὺς Δημήτριος κελεύσῃ, τοῦτο καὶ πρὸς θεοὺς ὅσιον καὶ πρὸς ἀνθρώπους εἶναι δίκαιον. Εἰπόντος δέ τινος τῶν καλῶν 900
κἀγαθῶν ἀνδρῶν μαίνεσθαι τὸν Στρατοκλέα τοιαῦτα γράφοντα, Δημοχάρης ὁ Λευκονοεὺς „Μαίνοιτο μεντἂν“ εἶπεν „εἰ μὴ μαίνοιτο.“ Πολλὰ γὰρ ὁ Στρατοκλῆς ὠφελεῖτο διὰ τὴν κολακείαν. Ὁ δὲ Δημοχάρης ἐπὶ τούτῳ διαβληθεὶς ἐφυγαδεύθη. Τοιαῦτα ἔπραττον Ἀθηναῖοι φρουρᾶς ἀπηλλάχθαι καὶ τὴν ἐλευθερίαν ἔχειν δοκοῦντες.

XXV. Δημήτριος δὲ παρελθὼν εἰς Πελοπόννησον, οὐδενὸς ὑφισταμένου τῶν ἐναντίων, ἀλλὰ φευγόντων καὶ προ-

6, 29—30 H.

---

12. περιώντων καὶ διδόντων PABC: διδόντων καὶ περιώντων v. 16. καὶ ὁ PABC: ὁ δὲ v. 21. δίκην πεντήκοντα ταλάντων PA BG: πεντήκοντα ταλάντων δίκην v. 22. πρὸς] εἰς C. 24. ἀφῆκαν P[ABC]SηV: ἀφῆκεν v. 30. ἂν excidit ex Stephaniana. 34. Λευκονοεὺς Reiskius: λευκωνεὺς codices, λακωνεὺς ia et v, Λευκονιεὺς ,ex Suida' Muretus Vx. μαίνοιτο μεντἂν εἶπεν PA BCD: εἶπε μαίνοιτο μέν τ' ἂν v. 35. γὰρ καὶ ὁ P.

XXV. 1. οὐδενὸς PABCD: ὡς οὐδενὸς v. 2. προιεμένων P[ABCD]πSV: προεμένων v.

ἐμένων τὰς πόλεις, προσηγάγετο τήν τε καλουμένην Ἀκτὴν καὶ Ἀρκαδίαν, πλὴν Μαντινείας, καὶ Ἄργος καὶ Σικυῶνα καὶ Κόρινθον ἐλύσατο τάλαντα δοὺς ἑκατὸν τοῖς φρουροῦσιν. Ἐν Ἄργει μὲν οὖν τῆς τῶν Ἡραίων ἑορτῆς καθηκούσης ἀγωνοθετῶν καὶ συμπανηγυρίζων τοῖς Ἕλλησιν ἔγημε τὴν Αἰακίδου θυγατέρα, τοῦ Μολοττῶν βασιλέως, ἀδελφὴν δὲ Πύρρου, Δηϊδάμειαν. Σικυωνίους δὲ φήσας παρὰ τὴν πόλιν οἰκεῖν τὴν πόλιν, ἔπεισεν οὓς νῦν οἰκοῦσι μετοικήσασθαι· τῷ δὲ τόπῳ καὶ τοὔνομα τὴν πόλιν συμμεταβαλοῦσαν ἀντὶ Σικυῶνος Δημητριάδα προσηγόρευσεν. Ἐν δὲ Ἰσθμῷ κοινοῦ συνεδρίου γενομένου καὶ πολλῶν ἀνθρώπων συνελθόντων, ἡγεμὼν ἀνηγορεύθη τῆς Ἑλλάδος, ὡς πρότερον οἱ περὶ Φίλιππον καὶ Ἀλέξανδρον· ὧν ἐκεῖνος οὐ παρὰ μικρὸν ἐνόμιζεν ἑαυτὸν εἶναι βελτίονα τῇ τύχῃ τῇ παρούσῃ καὶ τῇ δυνάμει τῶν πραγμάτων ἐπαιρόμενος. Ἀλέξανδρος γοῦν οὐδένα τῶν ἄλλων βασιλέων ἀπεστέρησε τῆς ὁμωνυμίας οὐδὲ αὐτὸν ἀνεῖπε βασιλέων βασιλέα, καίτοι πολλοῖς τὸ καλεῖσθαι καὶ εἶναι βασιλέας αὐτὸς δεδωκώς, ἐκεῖνος δὲ χλευάζων καὶ γελῶν τοὺς ἄλλον τινὰ πλὴν τοῦ πατρὸς καὶ αὐτοῦ βασιλέα προσαγορεύοντας ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων Δημητρίου βασιλέως, Σελεύκου δὲ ἐλεφαντάρχου, Πτολεμαίου δὲ ναυάρχου, Λυσιμάχου δὲ γαζοφύλακος, Ἀγαθοκλέους δὲ τοῦ Σικελιώτου νησιάρχου. Τούτων δὲ πρὸς τοὺς βασιλεῖς ἐκφερομένων οἱ μὲν ἄλλοι βασιλεῖς κατεγέλων, Λυσίμαχος δ' ἠγανάκτει μόνος, εἰ σπάδοντα νομίζει Δημήτριος αὐτόν· ἐπιεικῶς γὰρ εἰώθεισαν εὐνούχους ἔχειν γαζοφύλακας. Ἦν δὲ καὶ πάντων ἀπεχθέστατος ὁ Λυσίμαχος αὐτῷ, καὶ λοιδορῶν εἰς τὸν ἔρωτα τῆς Λαμίας ἔλεγε νῦν πρῶτον ἑωρακέναι πόρνην προερχομένην ἐκ τραγικῆς σκηνῆς·

6, 30—31 H.

---

3. τε addiderunt PABCD. 4. Ἄργους Stephaniana. 8. τὴν αἰακοῦ PCV, τὴν τοῦ αἰακοῦ ABD. 10. ἐποίησεν CqV. μετοικήσασθαι PAB: μετοικίσασθαι v, quocum cetera conciliaturi εἰς post οἰκεῖν cum Reiskio addiderunt nuperi. 11. τῷδε V. τρόπῳ PABDia. 12. προσηγόρευσαν conveniret cum Diodori 20, 102. 16. καὶ post βελτίονα addit P. 18. ὁμωνυμίας PABCDπSqV: ἐπωνυμίας v. 24. Πτολεμαίου δὲ ναυάρχου om C. 27. νομίζοι B. 30. τῆς om B. λαμίας PABC: λαμείας v. 31. ἐπερχομένην ia.

ὁ δὲ Δημήτριος ἔφη τὴν ἑαυτοῦ πόρνην σωφρονεστέραν εἶναι τῆς ἐκείνου Πηνελόπης.

XXVI. Τότε δ' οὖν ἀναζευγνύων εἰς τὰς Ἀθήνας ἔγραψεν, ὅτι βούλεται παραγενόμενος εὐθὺς μυηθῆναι καὶ τὴν τελετὴν ἅπασαν ἀπὸ τῶν μικρῶν ἄχρι τῶν ἐποπτικῶν παραλαβεῖν. Τοῦτο δὲ οὐ θεμιτὸν ἦν οὐδὲ γεγονὸς πρότερον, ἀλλὰ τὰ μικρὰ τοῦ Ἀνθεστηριῶνος ἐτελοῦντο, τὰ δὲ μεγάλα τοῦ Βοηδρομιῶνος· ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μεγάλων ἐνιαυτὸν διαλείποντες. Ἀναγνωσθέντων δὲ τῶν γραμμάτων μόνος ἐτόλμησεν ἀντειπεῖν Πυθόδωρος ὁ δᾳδοῦχος, ἐπέρανε δὲ οὐδέν· ἀλλὰ Στρατοκλέους γνώμην εἰπόντος Ἀνθεστηριῶνα τὸν Μουνυχιῶνα ψηφισαμένους καλεῖν καὶ νομίζειν ἐτέλουν τῷ Δημητρίῳ τὰ πρὸς Ἄγραν· καὶ μετὰ ταῦτα πάλιν ἐξ Ἀνθεστηριῶνος ὁ Μουνυχιὼν γενόμενος Βοηδρομιὼν ἐδέξατο τὴν λοιπὴν τελετήν, ἅμα καὶ τὴν ἐποπτείαν τοῦ Δημητρίου προσεπιλαβόντος. Διὸ καὶ Φιλιππίδης τὸν Στρατοκλέα λοιδορῶν ἐποίησεν.

Ὁ τὸν ἐνιαυτὸν συντεμὼν εἰς μῆν' ἕνα.

καὶ περὶ τῆς ἐν τῷ Παρθενῶνι κατασκηνώσεως·

Ὁ τὴν ἀκρόπολιν πανδοκεῖον ὑπολαβὼν
Καὶ τὰς ἑταίρας εἰσαγαγὼν τῇ Παρθένῳ. 901

XXVII. Πολλῶν δὲ γενομένων ἐν τῇ πόλει τότε πλημμελημάτων καὶ παρανομημάτων ἐκεῖνο μάλιστα λέγεται λυπῆσαι τοὺς Ἀθηναίους, ὅτι διακόσια καὶ πεντήκοντα τάλαντα πορίσαι ταχὺ καὶ δοῦναι προσταχθὲν αὐτοῖς καὶ τῆς εἰσπράξεως συντόνου καὶ ἀπαραιτήτου γενομένης ἰδὼν ἠθροισμένον τὸ ἀργύριον ἐκέλευσε Λαμίᾳ καὶ ταῖς περὶ αὐτὴν ἑταίραις εἰς σμῆγμα δοθῆναι. Ἡ γὰρ αἰσχύνη τῆς ζημίας καὶ τὸ

6, 31—32 H.

---

32. τὴν ἑαυτοῦ πόρνην σωφρονεστέραν εἶναι PABCD: σωφρονεστέραν εἶναι τὴν ἑαυτοῦ πόρνην v. 33. πηνολέπης A.

XXVI. 6. ἀπὸ om i. 7. μεγάλων] falli puto qui cum Casaubono μικρῶν requirunt. διαλείποντες PABCD: διαλειπόντες ia, διαλιπόντες v. 11. Ἄγραν Salmasius Petitus legg. att. 1, 1 p. 100 cl. Stephano Byz. s. v.: ἀγορὰν libri. 16. cf. Meinekium fr. com. gr. t. 4 p. 474. μῆνα libri. 19. εἰσαγαγὼν PABCDSηV: εἰσάγων v.

XXVII. 1. γινομένων corr ABCD. 2. καὶ παρανομημάτων om P. 5. συντόνου Bryani PABCDπηSR: συντόμου v. 7. σμῆμα C.

ῥῆμα τοῦ πράγματος μᾶλλον ἠνώχλησε τοὺς ἀνθρώπους. Ἔνιοι δὲ τοῦτο Θετταλοῖς, οὐκ Ἀθηναίοις, ὑπ' αὐτοῦ συμβῆναι λέγουσι. Χωρὶς δὲ τούτων αὐτὴ καθ' ἑαυτὴν ἡ Λάμια τῷ βασιλεῖ παρασκευάζουσα δεῖπνον ἠργυρολόγησε πολλούς. Καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ Λυγκέως τοῦ Σαμίου συγγεγράφθαι. Διὸ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν Λάμιαν Ἑλέπολιν ἀληθῶς προσεῖπε. Δημοχάρης δ' ὁ Σόλιος τὸν Δημήτριον αὐτὸν ἐκάλει Μῦθον· εἶναι γὰρ αὐτῷ καὶ Λάμιαν. Οὐ μόνον δὲ ταῖς γαμεταῖς, ἀλλὰ καὶ τοῖς φίλοις τοῦ Δημητρίου ζῆλον καὶ φθόνον εὐημεροῦσα καὶ στεργομένη παρεῖχεν. Ἀφίκοντο γοῦν τινες παρ' αὐτοῦ κατὰ πρεσβείαν πρὸς Λυσίμαχον, οἷς ἐκεῖνος ἄγων σχολὴν ἐπέδειξεν ἔν τε τοῖς μηροῖς καὶ τοῖς βραχίοσιν ὠτειλὰς βαθείας ὀνύχων λεοντείων· καὶ διηγεῖτο τὴν γενομένην αὐτῷ μάχην πρὸς τὸ θηρίον, ὑπὸ Ἀλεξάνδρου συγκαθειρχθέντι τοῦ βασιλέως. Οἱ δὲ γελῶντες ἔφασαν καὶ τὸν αὑτῶν βασιλέα δεινοῦ θηρίου δήγματα φέρειν ἐν τῷ τραχήλῳ, Λαμίας. Ἦν δὲ θαυμαστὸν, ὅτι τῆς Φίλας ἐν ἀρχῇ τὸ μὴ καθ' ἡλικίαν δυσχεραίνων ἤττητο τῆς Λαμίας, καὶ τοσοῦτον ἦρα χρόνον ἤδη παρηκμακυίας. Δημὼ γοῦν, ἡ ἐπικαλουμένη Μανία, παρὰ δεῖπνον αὐλούσης τῆς Λαμίας καὶ τοῦ Δημητρίου πυθομένου, „Τί σοι δοκεῖ;“ „Γραῦς,“ εἶπεν „ὦ βασιλεῦ.“ Πάλιν δὲ τραγημάτων παρατεθέντων κἀκείνου πρὸς αὐτὴν εἰπόντος· „Ὁρᾷς, ὅσα μοι Λάμια πέμπει;“ „Πλείονα“ ἔφη „πεμφθήσεταί σοι παρὰ τῆς ἐμῆς μητρὸς, ἐὰν θέλῃς καὶ μετ' αὐτῆς καθεύδειν.“ Ἀπομνημονεύεται δὲ τῆς Λαμίας καὶ πρὸς τὴν λεγομένην Βοκχώρεως κρίσιν ἀντίρρησις. Ἐπεὶ γάρ τις ἐρῶν ἐν Αἰγύπτῳ τῆς ἑταίρας Θωνίδος ᾐτεῖτο συχνὸν χρυσίον, εἶτα κατὰ τοὺς ὕπνους δόξας αὐτῇ συγγενέσθαι τῆς ἐπιθυμίας ἐπαύσατο, δίκην ἔλαχεν ἡ Θωνὶς αὐτῷ τοῦ μισθώματος. Ἀκούσας δὲ τὸν λόγον ὁ Βόκχωρις ἐκέλευσε τὸν ἄνθρωπον ὅσον ἠτήθη χρυσίον ἠριθμημένον ἐν τῷ ἀγγείῳ διαφέρειν δεῦρο κἀκεῖσε τῇ χειρὶ, τὴν δὲ ἑταίραν

6, 32—34 H.

---

13. λυγκέος C, γλυκέως P. 15. αὐτὸν addiderunt PABCDπV. 22. αὐτοῦ ABCD. 25. ἦν δὲ καὶ ABCD. φιλίας V. 34. βοκχώρεως PABCD et postea: βοκχορέως ia, Βοκχόρεως v, quomodo mor. 354 b 529 f, sed cf. v. l. Athenaei 10 p. 418 f. 35. θώνιδος PBC, θωνίδος AD. 37. θῶνις BCD.

ἔχεσθαι τῆς σκιᾶς, ὡς τὴν δόξαν τῆς ἀληθείας σκιὰν οὖσαν. Οὐκ ᾤετο ταύτην εἶναι τὴν κρίσιν ἡ Λάμια δικαίαν· οὐ γὰρ ἀπέλυσεν ἡ σκιὰ τῆς ἐπιθυμίας τοῦ ἀργυρίου τὴν ἑταίραν, τὸ δὲ ὄναρ ἔπαυσεν ἐρῶντα τὸν νεανίσκον. Ταῦτα μὲν οὖν περὶ Λαμίας.

XXVIII. Τὴν δὲ διήγησιν, ὥσπερ ἐκ κωμικῆς σκηνῆς, πάλιν εἰς τραγικὴν μετάγουσιν αἱ τύχαι καὶ αἱ πράξεις τοῦ ἀνδρὸς, ὃν διηγοῦμεθα. Τῶν γὰρ ἄλλων βασιλέων ἁπάντων συνισταμένων ἐπὶ τὸν Ἀντίγονον καὶ συμφερόντων εἰς ταὐτὸ τὰς δυνάμεις, ἀπῆρεν ὁ Δημήτριος ἐκ τῆς Ἑλλάδος καὶ τῷ πατρὶ συμμίξας φιλοτιμουμένῳ παρ' ἡλικίαν πρὸς τὸν πόλεμον ἔτι μᾶλλον αὐτὸς ἐπερρώσθη. Καίτοι δοκεῖ γε Ἀντίγονος, εἰ μικρῶν τινῶν ὑφεῖτο καὶ τῆς ἄγαν φιλαρχίας ἐχάλασε, μέχρι παντὸς ἂν αὐτῷ διαφυλάξαι κἀκείνῳ καταλιπεῖν τὸ πρῶτον εἶναι. Φύσει δὲ βαρὺς ὢν καὶ ὑπερόπτης καὶ τοῖς λόγοις οὐχ ἧττον ἢ τοῖς πράγμασι τραχὺς πολλοὺς καὶ νέους καὶ δυνατοὺς ἄνδρας ἐξηγρίαινε καὶ παρώξυνε· καὶ τήν 902
γε τότε σύστασιν καὶ κοινωνίαν αὐτῶν ἔλεγεν ὥσπερ ὀρνίθων σπερμολόγων συνδρομὴν ἑνὶ λίθῳ καὶ ψόφῳ συνδιαταράξειν. Ἦγε δὲ πεζοὺς μὲν ἑπτακισμυρίους πλείους, ἱππεῖς δὲ μυρίους, ἐλέφαντας δὲ ἑβδομήκοντα πέντε, τῶν ἐναντίων ἐχόντων πεζοὺς μὲν ἑξακισμυρίους καὶ τετρακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους τῶν ἐκείνου πλείονας, ἐλέφαντας δὲ τετρακοσίους, ἅρματα δὲ ἑκατὸν εἴκοσι. Γενομένων δ' ἐγγὺς αὐτῶν τροπὴν ἔσχεν ἡ διάνοια τῆς ἐλπίδος μᾶλλον ἢ τῆς γνώμης. Ὑψηλὸς γὰρ εἶναι καὶ γαῦρος εἰωθὼς ἐν τοῖς ἀγῶσι καὶ χρώμενος φωνῇ τε μεγάλῃ καὶ λόγοις σοβαροῖς, πολλάκις δὲ καὶ τῷ παρασκῶψαί τι καὶ γελοῖον εἰπεῖν τῶν πολεμίων ἐν χερσὶν ὄντων ἐπιδειξάμενος εὐστάθειαν καὶ καταφρόνησιν, τότε σύννους ἐωρᾶτο καὶ σιωπηλὸς τὰ πολλὰ καὶ τὸν υἱὸν ἀπέδειξε τῷ πλήθει καὶ συνέστησε διάδοχον. Ὁ δὲ μάλιστα πάντες

6, 34—35 H.

---

42. ταύτην τὴν κρίσιν ἡ λάμια δίκαιαν εἶναι C.

XXVIII. 3. ἁπάντων βασιλέων C. 5. τὰς δυνάμεις εἰς ταὐτὸ AB et C qui ταὐτὸν. 7. γε δοκεῖ ὁ C. 13. αὐτῶν post σύστασιν ponunt ABC. 14. ἑνὶ x: ἐν libri. 14. διαταράξειν Coraes. 18. ἐκείνων P. δὲ] τε P. 19. αὐτῶν x: αὐτῷ libri. γενομένῳ — αὐτῶν Coraes. 24. ἐπιδειξάμενος PABC DπV: ἐπιδεικνύμενος v.

ἐθαύμασαν, ἐν τῇ σκηνῇ μόνος διελέχθη πρὸς αὐτὸν, οὐκ εἰθισμένος ἔχειν οὐδὲ πρὸς ἐκεῖνον ἀπορρήτους κοινολογίας, ἀλλὰ ἴδιος ὢν γνώμῃ, εἶτα προστάττων φανερῶς καὶ χρώμενος οἷς βουλεύσαιτο καθ' ἑαυτόν. Λέγεται γοῦν μειράκιον ἔτι ὄντα τὸν Δημήτριον αὐτοῦ πυθέσθαι, πότε μέλλουσιν ἀναζευγνύειν· τὸν δὲ εἰπεῖν πρὸς ὀργήν· „Ἀγωνιᾷς, μὴ μόνος σὺ τῆς σάλπιγγος οὐκ ἀκούσῃς;“

XXIX. Τότε μέντοι καὶ σημεῖα μοχθηρὰ κατεδουλοῦτο τὴν γνώμην αὐτῶν. Δημήτριος μὲν γὰρ ἔδοξε κατὰ τοὺς ὕπνους Ἀλέξανδρον ὡπλισμένον λαμπρῶς ἐρωτᾷν, ὁποῖόν τι σύνθημα διδόναι πρὸς τὴν μάχην μέλλουσιν· αὐτοῦ δὲ φήσαντος „Δία καὶ Νίκην“ „Ἄπειμι τοίνυν“ φάναι „πρὸς τοὺς ἐναντίους· ἐκεῖνοι γάρ με παραλαμβάνουσιν.“ Ἀντίγονος δὲ παρατεττομένης ἤδη τῆς φάλαγγος ἐξιὼν προσέπταισεν, ὥστε πεσεῖν ὅλως ἐπὶ στόμα καὶ διατεθῆναι χαλεπῶς· ἀναστὰς δὲ καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν ᾐτήσατο νίκην παρὰ τῶν θεῶν ἢ θάνατον ἀναίσθητον πρὸ τῆς ἥττης. Γενομένης δὲ τῆς μάχης ἐν χερσὶ Δημήτριος ἔχων τοὺς πλείστους καὶ κρατίστους τῶν ἱππέων Ἀντιόχῳ τῷ Σελεύκου συνέπεσε, καὶ μέχρι τροπῆς τῶν πολεμίων λαμπρῶς ἀγωνισάμενος ἐν τῇ διώξει σοβαρᾷ καὶ φιλοτίμῳ παρὰ καιρὸν γενομένῃ τὴν νίκην διέφθειρεν. Αὐτὸς μὲν γὰρ οὐκ ἔσχε πάλιν ἀναστρέψας συμμῖξαι τοῖς πεζοῖς τῶν ἐλεφάντων ἐν μέσῳ γενομένων, τὴν δὲ φάλαγγα γυμνὴν ἱππέων κατιδόντες οἱ περὶ Σέλευκον οὐκ ἐνέβαλον μὲν, ὡς δὲ ἐμβαλοῦντες ἐφόβουν καὶ περιήλαυνον μεταβάλλεσθαι διδόντες αὐτοῖς· ὃ καὶ συνέβη. Πολὺ γὰρ μέρος ἀπορραγὲν ἑκουσίως μετεχώρησε πρὸς ἐκείνους, τὸ δὲ λοιπὸν ἐτράπη. Φερομένων δὲ πολλῶν ἐπὶ τὸν Ἀντίγονον καί τινος τῶν περὶ αὐτὸν εἰπόντος „Ἐπὶ σὲ οὗτοι, βασιλεῦ“ „Τίνα γὰρ“ εἶπεν „ἐμοῦ σκοπὸν ἔχουσιν; ἀλλὰ Δημήτριος ἀφίξεται βοηθῶν.“ Καὶ τοῦτο μέχρι παντὸς ἐλπίζων καὶ

6, 35—36 H.

---

27. διηλέχθη C. 30. βούλεται τὸ V. 33. ἀκούσῃς Stephanus cl. mor. 182 b 506 c: ἀκούσεις libri.

XXIX. 6. praestatne γὰρ ἐμὲ? 8. ὅλως ABCDV: ὅλος v. 14. γενομένην ABV. 16. γινομένων P. 17. τὴν φάλαγγα δὲ ABCD. ἰδόντες ABC. 19. διδόντος C. ὃ καὶ συνέβη om C. 20. ἐκεῖνος C. 23. πλὴν ἐμοῦ correctio Stephani x probata nuperis.

περισκοπῶν τον υἱὸν ἅμα πολλῶν ἀκοντισμάτων εἰς αὐτὸν ἀφεθέντων ἔπεσε· καὶ τῶν ἄλλων ἀπολιπόντων ὀπαδῶν καὶ φίλων μόνος παρέμεινε τῷ νεκρῷ Θώραξ ὁ Λαρισσαῖος.

XXX. Οὕτω δὲ κριθείσης τῆς μάχης οἱ μὲν νενικηκότες βασιλεῖς τὴν ὑπ' Ἀντιγόνῳ καὶ Δημητρίῳ πᾶσαν ἀρχὴν ὥσπερ μέγα σῶμα κατακόπτοντες ἐλάμβανον μερίδας καὶ προσδιενείμαντο τὰς ἐκείνων ἐπαρχίας αἷς εἶχον αὐτοὶ πρότερον. Δημήτριος δὲ μετὰ πεντακισχιλίων πεζῶν καὶ τετρακισχιλίων ἱππέων φεύγων καὶ συντόνως ἐλάσας εἰς Ἔφεσον, οἰομένων ἁπάντων ἀποροῦντα χρημάτων αὐτὸν οὐκ ἀφέξεσθαι τοῦ ἱεροῦ, φοβηθεὶς τοὺς στρατιώτας, μὴ τοῦτο ποιήσωσιν, ἀνέστη διὰ ταχέων καὶ τὸν πλοῦν ἐπὶ τῆς Ἑλλάδος ἐποιεῖτο τῶν λοιπῶν ἐλπίδων ἐν Ἀθηναίοις ἔχων τὰς μεγίστας. Καὶ γὰρ ναῦς ἐκεῖ καὶ χρήματα καὶ γυναῖκα Δηϊδάμειαν ἐτύγχανε καταλελοιπὼς, καὶ βεβαιοτέραν οὐκ ἐνόμιζε καταφυγὴν εἶναι τοῖς πράγμασι τῆς Ἀθηναίων εὐνοίας. Ὅθεν ἐπεὶ γενομένῳ περὶ τὰς Κυκλάδας αὐτῷ πρέσβεις Ἀθηναίων ἀπήντησαν ἀπέχεσθαι τῆς πόλεως παρακαλοῦντες, ὡς ἐψηφισμένου τοῦ δήμου μηδένα δέχεσθαι τῇ πόλει τῶν βασιλέων, τὴν δὲ Δηϊδάμειαν εἰς Μέγαρα ἐξέπεμψαν μετὰ τιμῆς καὶ πομπῆς πρεπούσης, τοῦ καθεστηκότος ἐξέστη δι' ὀργὴν αὐτοῦ, καίπερ ἐνηνοχὼς ῥᾷστα τὴν ἄλλην ἀτυχίαν καὶ γεγονὼς ἐν τοιαύτῃ μεταβολῇ πραγμάτων οὐ ταπεινὸς οὐδ' ἀγεννής. Ἀλλὰ τὸ παρ' ἐλπίδα διεψεῦσθαι τῶν Ἀθηναίων καὶ τὴν δοκοῦσαν εὔνοιαν ἐξεληλέγχθαι τοῖς πράγμασι κενὴν καὶ πεπλασμένην οὖσαν ὀδυνηρὸν ἦν αὐτῷ. Τὸ γὰρ φαυλότατον, ὡς ἔοικεν, εὐνοίας ὄχλων βασιλεῦσι καὶ δυνάσταις τεκμήριόν ἐστιν ὑπερβολὴ τιμῶν, ἧς ἐν τῇ προαιρέσει τῶν ἀποδιδόντων ἐχούσης τὸ καλὸν ἀφαιρεῖ τὴν πίστιν ὁ φόβος· τὰ γὰρ αὐτὰ καὶ δεδιότες ψηφίζονται καὶ φιλοῦντες. Διόπερ οἱ νοῦν ἔχοντες οὐκ εἰς ἀνδριάντας οὐδὲ γραφὰς οὐδὲ ἀποθεώσεις, ἀλλὰ μᾶλλον εἰς τὰ ἔργα καὶ τὰς πράξεις τὰς ἑαυτῶν ἀποβλέποντες ἢ πιστεύουσιν, ὡς τιμαῖς, ἢ ἀπιστοῦσιν, 903

6, 36–38 H.

XXX. 4. αἷς Bryani P: ἃς v. 6. συντόνων ia. 7. οὐκ om i. 11. καὶ γὰρ ABCD: καὶ γὰρ καὶ v. 14. ἐπεὶ γενομένῳ ego atque Emperius: ἐπειγομένῳ ACD pr. B, ἐπεὶ ἐπειγομένῳ corr B et v. 19. αὐτοῦ] ‚iratus ob rem' Schaeferus. 22. ἐξεληλέχθαι C. 23. αὐτῷ ἦν P.

ὡς ἀνάγκαις· ὡς οἱ γε δῆμοι πολλάκις ἐν αὐταῖς μάλιστα ταῖς τιμαῖς μισοῦσι τοὺς ἀμέτρως καὶ ὑπερόγκως καὶ παρ' ἀκόντων λαμβάνοντας.

XXXI. Ὁ γοῦν Δημήτριος τότε δεινὰ μὲν ἡγούμενος πάσχειν, ἀδύνατος δὲ ὢν ἀμύνασθαι, προσέπεμψε τοῖς Ἀθηναίοις ἐγκαλῶν μετρίως, ἀξιῶν δὲ τὰς ναῦς ἀπολαβεῖν, ἐν αἷς ἦν καὶ ἡ τρισκαιδεκήρης. Κομισάμενος δὲ παρέπλευσεν εἰς Ἰσθμὸν, καὶ τῶν πραγμάτων αὐτῷ κακῶς ἐχόντων (ἐξέπιπτον γὰρ ἑκασταχόθεν αἱ φρουραὶ καὶ μεθίστατο πάντα πρὸς τοὺς πολεμίους) ἀπολιπὼν ἐπὶ τῆς Ἑλλάδος Πύρρον αὐτὸς ἄρας ἐπὶ τὴν Χερρόνησον ἔπλευσε· καὶ κακῶς ἅμα ποιῶν Λυσίμαχον ὠφέλει καὶ συνεῖχε τὴν περὶ αὐτὸν δύναμιν ἀρχομένην ἀναλαμβάνειν καὶ γίνεσθαι πάλιν οὐκ εὐκαταφρόνητον. Ὁ δὲ Λυσίμαχος ὑπὸ τῶν ἄλλων βασιλέων ἠμελεῖτο μηδὲν ἐπιεικέστερος ἐκείνου δοκῶν εἶναι, τῷ δὲ μᾶλλον ἰσχύειν καὶ φοβερώτερος. Οὐ πολλῷ δὲ ὕστερον Σέλευκος ἐμνᾶτο πέμπων τὴν Δημητρίου καὶ Φίλας θυγατέρα Στρατονίκην, ἔχων μὲν ἐξ Ἀπάμας τῆς Περσίδος υἱὸν Ἀντίοχον, οἰόμενος δὲ τὰ πράγματα καὶ διαδόχοις ἀρκεῖν πλείοσι καὶ δεῖσθαι τῆς πρὸς ἐκεῖνον οἰκειότητος, ἐπεὶ καὶ Λυσίμαχον ἑώρα τῶν Πτολεμαίου θυγατέρων τὴν μὲν ἑαυτῷ, τὴν δὲ Ἀγαθοκλεῖ τῷ υἱῷ λαμβάνοντα. Δημητρίῳ δ' ἦν ἀνέλπιστος εὐτυχία κηδεῦσαι Σελεύκῳ. Καὶ τὴν κόρην ἀναλαβὼν ἔπλει ταῖς ναυσὶ πάσαις εἰς Συρίαν, τῇ τε ἄλλῃ γῇ προσέχων ἀναγκαίως καὶ τῆς Κιλικίας ἁπτόμενος, ἣν Πλείσταρχος εἶχε μετὰ τὴν πρὸς Ἀντίγονον μάχην ἐξαίρετον αὐτῷ δοθεῖσαν ὑπὸ τῶν βασιλέων· ἦν δὲ Κασάνδρου Πλείσταρχος ἀδελφός. Ἀδικεῖσθαι δὲ τὴν χώραν αὐτοῦ νομίζων ὑπὸ Δημητρίου κατὰ τὰς ἀποβάσεις καὶ μέμψασθαι βουλόμενος τὸν Σέλευκον, ὅτι τῷ κοινῷ διαλλάττεται πολεμίῳ δίχα τῶν ἄλλων βασιλέων, ἀνέβη πρὸς αὐτόν.

XXXII. Αἰσθόμενος δὲ τοῦτο Δημήτριος ὥρμησεν ἀπὸ θαλάσσης ἐπὶ Κυίνδων· καὶ τῶν χρημάτων εὑρὼν ἔτι λοιπὰ χίλια καὶ διακόσια τάλαντα, ταῦτα συσκευασάμενος καὶ

6, 38—39 H.

XXXI. 2. ἀμύνεσθαι C. 6. μεθίστατο πάντα P: πάντα μεθίστατο v. 12. τῷ δὲ x: τῷ libri. 19. δημήτριος BV. 23. ἦρχε ia et v. 24. κασάνδρῳ B. 27. διαλλάττεσθαι ia.

XXXII. 3. καὶ διακόσια PABCD: διακόσια v.

καὶ φθάσας ἐμβαλέσθαι διὰ ταχέων ἀνήχθη. Καὶ παρού- 904
σης ἤδη Φίλας τῆς γυναικὸς αὐτῷ περὶ Ῥωσὸν ἀπήντησε
Σέλευκος. Καὶ τὴν ἔντευξιν εὐθὺς ἄδολον καὶ ἀνύποπτον
καὶ βασιλικὴν ἐποιοῦντο, πρότερον μὲν Σέλευκος ἑστιάσας
ἐπὶ σκηνῆς ἐν τῷ στρατοπέδῳ Δημήτριον, αὖθις δὲ Δημή-
τριος ἐκεῖνον ἐν τῇ τρισκαιδεκήρει δεξάμενος. Ἦσαν δὲ καὶ
σχολαὶ καὶ κοινολογίαι καὶ συνδιημερεύσεις ἀφρούρων καὶ
ἀνόπλων, ἄχρι οὗ Σέλευκος τὴν Στρατονίκην ἀναλαβὼν
λαμπρῶς εἰς Ἀντιόχειαν ἀνέβη. Δημήτριος δὲ Κιλικίαν κατ-
έσχε καὶ Φίλαν τὴν γυναῖκα πρὸς Κάσανδρον ἔπεμψε τὸν
ἀδελφὸν ἀπολυσομένην τὰς Πλειστάρχου κατηγορίας. Ἐν
δὲ τούτῳ Δηϊδάμεια πλεύσασα πρὸς αὐτὸν ἀπὸ τῆς Ἑλλάδος
καὶ συγγενομένη χρόνον οὐ πολὺν ἐξ ἀῤῥωστίας τινὸς ἐτελεύ-
τησε. Γενομένης δὲ πρὸς Πτολεμαῖον διὰ Σελεύκου φιλίας
αὐτῷ, ὡμολογήθη Πτολεμαΐδα τὴν Πτολεμαίου θυγατέρα
λαβεῖν αὐτὸν γυναῖκα. Καὶ ταῦτα μὲν ἀστεῖα τοῦ Σελεύ-
κου. Κιλικίαν δὲ ἀξιῶν χρήματα λαβόντα παραδοῦναι Δη-
μήτριον, ὡς οὐκ ἔπειθε, Σιδῶνα καὶ Τύρον ἀπαιτῶν πρὸς
ὀργὴν ἐδόκει βίαιος εἶναι καὶ δεινὰ ποιεῖν, εἰ τὴν ἀπ' Ἰνδῶν
ἄχρι τῆς κατὰ Συρίαν θαλάσσης ἅπασαν ὑφ' αὐτῷ πεποιη-
μένος οὕτως ἐνδεής ἐστιν ἔτι πραγμάτων καὶ πτωχὸς, ὡς
ὑπὲρ δυεῖν πόλεων ἄνδρα κηδεστὴν καὶ μεταβολῇ τύχης κεχρη-
μένον ἐλαύνειν, λαμπρὰν τῷ Πλάτωνι μαρτυρίαν διδοὺς δια-
κελευομένῳ μὴ τὴν οὐσίαν πλείω, τὴν δὲ ἀπληστίαν ποιεῖν
ἐλάσσω τόν γε βουλόμενον ὡς ἀληθῶς εἶναι πλούσιον, ὡς ὅ
γε μὴ παύων φιλοπλουτίαν, οὗτος οὔτε πενίας οὔτε ἀπορίας
ἀπήλλακται.

XXXIII. Οὐ μὴν ὑπέπτηξε Δημήτριος, ἀλλὰ φήσας
οὐδ' ἂν μυριάκις ἡττηθῇ μάχας ἄλλας ἐν Ἴψῳ γαμβρὸν ἀγα-

6, 39–40 H.

3. ἐκβαλέσθαι C. 4. Ῥωσὸν Coraes: Ῥωσσὸν Lubinus Cellarius, ὀροσσὸν ia, Ὀροσσὸν v, ὄροσσον P, ὀρόσσον BCD. 7. σκηνῆς x: σκηνὴν libri. 10. ἄχρι P: ἄχρις v. 16. πρὸς πτολεμαῖον διὰ σελεύκου φιλίας αὐτῷ PABCD: φιλίας πρὸς Πτολεμαῖον αὐτῷ διὰ Σελεύκου v. 23. πραγμάτων PABCDV: χρημάτων v. ὥσθ' temere Reiskius. 24. δυεῖν AB: δυοῖν v. 27. ὃς δὲ μὴ παύει ABCD, sed marg. A ut v. 28. ,legitur etiam παύσας' Stephanus.

XXXIII. 2. ἐν ἴψῳ ABCDV: ἐν ἰψῷ q, ἐνθήσω ψωφο (sic) P, ἐνθήσω ia et v. cum Schaefero vereor ne haec e margine irrepserint, nisi quid aliud latet.

πήσειν ἐπὶ μισθῷ Σέλευκον, τὰς μὲν πόλεις ἐκρατύνατο φρουραῖς, αὐτὸς δὲ πυθόμενος Λαχάρη στασιάζουσιν Ἀθηναίοις ἐπιθέμενον τυραννεῖν ἤλπιζε ῥᾳδίως ἐπιφανεὶς λήψεσθαι τὴν πόλιν. Καὶ τὸ μὲν πέλαγος ἀσφαλῶς διεπεραιώθη μεγάλῳ στόλῳ, παρὰ δὲ τὴν Ἀττικὴν παραπλέων ἐχειμάσθη καὶ τὰς πλείστας ἀπέβαλε τῶν νεῶν καὶ συνδιεφθάρη πλῆθος ἀνθρώπων οὐκ ὀλίγον. Αὐτὸς δὲ σωθεὶς ἥψατο μέν τινος πολέμου πρὸς τοὺς Ἀθηναίους, ὡς δ' οὐδὲν ἐπέραινε, πέμψας ναυτικὸν αὖθις ἀθροίσοντας αὐτὸς εἰς Πελοπόννησον παρῆλθε καὶ Μεσσήνην ἐπολιόρκει καὶ προσμαχόμενος τοῖς τείχεσιν ἐκινδύνευσε, καταπελτικοῦ βέλους εἰς τὸ πρόσωπον αὐτῷ καὶ τὸ στόμα διὰ τῆς σιαγόνος ἐμπεσόντος. Ἀναληφθεὶς δὲ καὶ πόλεις τινὰς ἀφεστώσας προσαγαγόμενος πάλιν εἰς τὴν Ἀττικὴν ἐνέβαλε, καὶ κρατήσας Ἐλευσῖνος καὶ Ῥαμνοῦντος ἔφθειρε τὴν χώραν καὶ ναῦν τινα λαβὼν ἔχουσαν σῖτον καὶ εἰσαγάγουσαν τοῖς Ἀθηναίοις ἐκρέμασε τὸν ἔμπορον καὶ τὸν κυβερνήτην, ὥστε τῶν ἄλλων ἀποτρεπομένων διὰ φόβον σύντονον λιμὸν ἐν ἄστει γενέσθαι, πρὸς δὲ τῷ λιμῷ καὶ τῶν ἄλλων ἀπορίαν. Ἁλῶν γοῦν μέδιμνον ὠνοῦντο τετταράκοντα δραχμῶν, ὁ δὲ τῶν πυρῶν μόδιος ὤνιος ἦν τριακοσίων. Μικρὰν δὲ τοῖς Ἀθηναίοις ἀναπνοὴν παρέσχον ἑκατὸν πεντήκοντα νῆες φανεῖσαι περὶ Αἴγιναν, ἃς ἔπεμψεν ἐπικούρους αὐτοῖς Πτολεμαῖος. Εἶτα Δημητρίῳ πολλῶν μὲν ἐκ Πελοποννήσου, πολλῶν δὲ ἀπὸ Κύπρου νεῶν παραγενομένων, ὥστε συμπάσας ἀθροισθῆναι τριακοσίας, ἔφυγον ἄραντες οἱ Πτολεμαίου καὶ Λαχάρης ὁ τύραννος ἀπέδρα προέμενος τὴν πόλιν.

XXXIV. Οἱ δὲ Ἀθηναῖοι, καίπερ ψηφισάμενοι θάνατον, εἰ μνησθείη τις εἰρήνης καὶ διαλλαγῆς πρὸς Δημήτριον, εὐθὺς ἀνεῴγνυσαν τὰς ἐγγὺς πύλας καὶ πρέσβεις ἔπεμπον, οὐδὲν μὲν ἀπ' ἐκείνου χρηστὸν προσδοκῶντες, ἐκβιαζομένης

6, 40—42 H.

4. αὐτὸν Stephaniana. δὲ] μὲν D. λαχάρην AB. 5. ἤλπιζε PABCD: ηλπισε v. 9. ὀλίγον Solani P[AB]a: ὀλίγων C, ὀλίγων v. 11. πελοπόνησον Bi. 12. παρήχθη C. μεσήνην PCia. προμαχόμενος D. 15. προσαγαγόμενος P corr ASη: προσαγόμενος ia, διαγαγόμενος pr. ABCD. 21. ἀπορίαν PABCD, vett. codd. Stephani: ἀπορίαν γενέσθαι v. 25. πτολεμαῖος αὐτοῖς ἐπικούρους ABC. 26. πελοπονήσου Bi.

δὲ τῆς ἀπορίας, ἐν ᾗ δυσχερῶν πολλῶν συμπεσόντων λέγεταί τι καὶ τοιοῦτον γενέσθαι· πατέρα καὶ υἱὸν ἐν οἰκήματι καθέζεσθαι τὰ καθ' ἑαυτοὺς ἀπεγνωκότας, ἐκ δὲ τῆς ὀροφῆς μῦν νεκρὸν ἐκπεσεῖν, τοὺς δέ, ὡς εἶδον, ἀναπηδήσαντας ἀμφοτέρους διαμάχεσθαι περὶ αὐτοῦ. Τότε καὶ τὸν φιλόσοφον Ἐπίκουρον ἱστοροῦσι διαθρέψαι τοὺς συνήθεις κυάμους πρὸς ἀριθμὸν μετ' αὐτῶν διανεμόμενον. Οὕτως οὖν τῆς πόλεως ἐχούσης εἰσελθὼν ὁ Δημήτριος καὶ κελεύσας εἰς τὸ θέατρον ἀθροισθῆναι πάντας ὅπλοις μὲν συνέφραξε τὴν σκηνὴν καὶ δορυφόροις τὸ λογεῖον περιέλαβεν, αὐτὸς δὲ καταβὰς, ὥσπερ οἱ τραγῳδοὶ, διὰ τῶν ἄνω παρόδων, ἔτι μᾶλλον ἐκπεπληγμένων τῶν Ἀθηναίων τὴν ἀρχὴν τοῦ λόγου πέρας ἐποιήσατο τοῦ δέους αὐτῶν. Καὶ γὰρ τόνου φωνῆς καὶ ῥημάτων πικρίας φεισάμενος, ἐλαφρῶς δὲ καὶ φιλικῶς μεμψάμενος αὐτοὺς διηλλάσσετο καὶ δέκα μυριάδας σίτου μεδίμνων ἐπέδωκε καὶ κατέστησεν ἀρχὰς, αἳ μάλιστα τῷ δήμῳ προσφιλεῖς ἦσαν. Συνιδὼν δὲ Δρομοκλείδης ὁ ῥήτωρ ὑπὸ χαρᾶς τὸν δῆμον ἔν τε φωναῖς ὄντα παντοδαπαῖς καὶ τοὺς ἀπὸ τοῦ βήματος ἐπαίνους τῶν δημαγωγῶν ἀμιλλώμενον ὑπερβαλέσθαι γνώμην ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ τὸν Πειραιᾶ παραδοθῆναι καὶ τὴν Μουνυχίαν. Ἐπιψηφισθέντων δὲ τούτων ὁ Δημήτριος αὐτὸς ἐφ' ἑαυτοῦ προσενέβαλε φρουρὰν εἰς τὸ Μουσεῖον, ὡς μὴ πάλιν ἀναχαιτίσαντα τὸν δῆμον ἀσχολίας αὐτῷ πραγμάτων ἑτέρων παρασχεῖν.

XXXV. Ἐχομένων δὲ τῶν Ἀθηναίων εὐθὺς ἐπεβούλευε τῇ Λακεδαίμονι. Καὶ περὶ Μαντίνειαν Ἀρχιδάμου τοῦ βασιλέως ἀπαντήσαντος αὐτῷ νικήσας μάχῃ καὶ τρεψάμενος εἰς τὴν Λακωνικὴν ἐνέβαλε. Καὶ πρὸς αὐτῇ τῇ Σπάρτῃ πάλιν ἐκ παρατάξεως ἑλὼν πεντακοσίους καὶ διαφθείρας διακοσίους, ὅσον οὔπω τὴν πόλιν ἔχειν ἐδόκει μέχρι τῶν χρόνων ἐκείνων ἀνάλωτον οὖσαν. Ἀλλ' ἡ τύχη περὶ οὐδένα τῶν βασιλέων ἔοικεν οὕτω τροπὰς λαβεῖν μεγάλας καὶ ταχείας οὐδ' ἐν ἑτέροις πράγμασι τοσαυτάκις μικρὰ καὶ πάλιν μεγάλη καὶ

6, 42–43 H.

XXXIV. 5. συμπεσόντων ABCD: συνεμπεσόντων v. 8. ἐκπεσεῖν νεκρὸν C. 19. αὐτοῖς x. 23. τοῦ om ABC. ἀμιλλωμένων PABCDi. 24. ὑπερβάλλεσθαι Reiskiana. καὶ τὸν C. 25. δοθῆναι pr. ACD. 26. ἀφ' x.

XXXV. 1. Ἀθηνῶν x nuperi, cf. ad Themist. p. 66. 8. οὕτως C.

ταπεινὴ μὲν ἐκ λαμπρᾶς, ἰσχυρὰ δὲ αὖθις ἐκ φαύλης γενέσθαι. Διὸ καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον·

Σύ τοί με φυσᾷς, σύ με καταίθειν δοκεῖς.

Καὶ γὰρ τότε τῶν πραγμάτων οὕτως εὐπόρων αὐτῷ πρὸς ἀρχὴν καὶ δύναμιν ἐπιδιδόντων ἀγγέλλεται Λυσίμαχος μὲν πρῶτος ἀφῃρημένος αὐτοῦ τὰς ἐν Ἀσίᾳ πόλεις, Κύπρον δὲ Πτολεμαῖος ῥηκῶς ἄνευ μιᾶς πόλεως Σαλαμῖνος, ἐν δὲ Σαλαμῖνι πολιορκῶν τοὺς παῖδας αὐτοῦ καὶ τὴν μητέρα κατειλημμένους. Οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη, καθάπερ ἡ παρ' Ἀρχιλόχῳ γυνὴ

Τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα χειρὶ, τῇ δ' ἑτέρῃ πῦρ, δεινοῖς αὐτὸν οὕτω καὶ φοβεροῖς ἀγγέλμασιν ἀποστήσασα τῆς Λακεδαίμονος εὐθὺς ἑτέρας πραγμάτων καινῶν καὶ μεγάλων ἐπήνεγκεν ἐλπίδας ἐκ τοιαύτης αἰτίας.

XXXVI. Ἐπεὶ, Κασάνδρου τελευτήσαντος, ὁ πρεσβύτατος αὐτοῦ τῶν παίδων Φίλιππος οὐ πολὺν χρόνον βασιλεύσας Μακεδόνων ἀπέθανεν, οἱ λοιποὶ δύο πρὸς ἀλλήλους ἐστασίαζον. Θατέρου δὲ αὐτῶν Ἀντιπάτρου τὴν μητέρα Θεσσαλονίκην φονεύσαντος, ἄτερος ἐκάλει βοηθοὺς ἐκ μὲν Ἠπείρου Πύῤῥον, ἐκ δὲ Πελοποννήσου Δημήτριον. Ἔφθασε δὲ Πύῤῥος ἐλθὼν καὶ πολὺ μέρος Μακεδονίας ἀποτεμόμενος
906 τῆς βοηθείας μισθὸν φοβερὸς μὲν ἦν ἤδη παροικῶν Ἀλεξάνδρῳ· Δημητρίου δὲ, ὡς ἐδέξατο τὰ γράμματα, μετὰ τῆς δυνάμεως προσιόντος, ἔτι μᾶλλον ὁ νεανίας τοῦτον φοβηθεὶς διὰ τὸ ἀξίωμα καὶ τὴν δόξαν ἀπήντησεν αὐτῷ περὶ Δῖον, ἀσπα-
6, 43—44 H.

---

11. *πρὸς τὴν τύχην* om B. 13. *με φυσᾷς* PηRV moral. 827 c: *μ' ἔφυσας* v. *σύ με καταίθειν δοκεῖς* P[D] et moral.: *σύ μοι καταίθειν δοκεῖς* BC fueratque in A, sed correctum *σύ με καταίθειν δοκεῖς, σύ με καταίθειν μοι δοκεῖς* cod. 1679 et v. scribendum videri *σύ τοί με φυσᾷς, σύ με κατανανεῖν* vel *κατανονεῖν δοκεῖς* mihi significavit G. Hermannus cl. Aeschyli Eumen. 319. 348 Well. olim *σύ με καθαιρεῖν μοι δοκεῖς* ex Tan. Fabri correctione editum ferri nequit. 21. *δολόφρων χερὶ* x temere probatum nuperis. ex moral. 950 f cl. 1070 a probabile est Archilochum scripsisse *τῇ μὲν ὕδωρ ἐφόρει || δολοφρονέουσα χειρὶ, τῇτέρῃ δὲ πῦρ*, ut visum etiam Schneidewino delect. poet. p. 192, nisi quod praestare videtur *θἠτέρῃ*. 22. *αὐτὸν* om ABCD. *ἀγάλμασιν* ABD, *ἀλλάγμασιν* C.

XXXVI. 4. *αὐτῶν* om C. 9. *ὃς* P. 11. *Δῖον* Xylander

ζόμενος μὲν καὶ φιλοφρονούμενος, οὐδὲν δὲ φάσκων ἔτι τῆς ἐκείνου δεῖσθαι τὰ πράγματα παρουσίας. Ἦσαν οὖν ἐκ τούτων ὑποψίαι πρὸς ἀλλήλους αὐτοῖς, καὶ βαδίζοντι Δημητρίῳ πρὸς δεῖπνον ὑπὸ τοῦ νεανίσκου παρακεκλημένῳ μηνύει τις ἐπιβουλήν, ὡς ἐν αὐτῷ τῷ πότῳ μελλόντων αὐτὸν ἀνελεῖν. Ὁ δὲ μηδὲν ταραχθεὶς, ἀλλὰ μικρὸν ὑφεὶς τῆς πορείας, ἐκέλευσε τοὺς μὲν ἡγεμόνας ἐν τοῖς ὅπλοις τὴν στρατιὰν ἔχειν, ἀκολούθους δὲ καὶ παῖδας, ὅσοι περὶ αὐτὸν ἦσαν (ἦσαν δὲ πολὺ πλείους τῶν Ἀλεξάνδρου), συνεισελθεῖν εἰς τὸν ἀνδρῶνα καὶ παραμένειν, ἄχρι ἂν ἐξαναστῇ. Τοῦτο δείσαντες οἱ περὶ τὸν Ἀλέξανδρον οὐκ ἐτόλμησαν ἐπιχειρῆσαι. Καὶ ὁ μὲν Δημήτριος οὐκ ἔχειν αὐτῷ τὸ σῶμα ποτικῶς σκηψάμενος διὰ ταχέων ἀπῆλθε· τῇ δὲ ὑστεραίᾳ περὶ ἀναζυγὴν εἶχε πράγματα νεώτερα προσπεπτωκέναι φάμενος αὐτῷ καὶ παρῃτεῖτο συγγνώμην ἔχειν τὸν Ἀλέξανδρον, εἰ τάχιον ἀπαίρει· συνέσεσθαι γὰρ αὐτῷ μᾶλλον ἄλλοτε σχολάζων. Ἔχαιρεν οὖν ὁ Ἀλέξανδρος, ὡς οὐ πρὸς ἔχθραν, ἀλλ' ἑκουσίως ἐκ τῆς χώρας ἀπαίροντος αὐτοῦ, καὶ προέπεμπεν ἄχρι Θετταλίας. Ἐπεὶ δὲ εἰς Λάρισσαν ἦκον, αὖθις ἀλλήλοις ἐπήγγελλον ἑστιάσεις ἀντεπιβουλεύοντες· ὃ δὴ μάλιστα τὸν Ἀλέξανδρον ὑποχείριον ἐποίησε τῷ Δημητρίῳ. Φυλάττεσθαι γὰρ ὀκνῶν, ὡς μὴ κἀκεῖνον ἀντιφυλάττεσθαι διδάξῃ, παθὼν ἔφθασε, δρᾶν μέλλοντος αὐτοῦ, μὴ διαφυγεῖν ἐκεῖνον, ὃ ἐμηχανᾶτο. Κληθεὶς γὰρ ἐπὶ δεῖπνον ἦλθε πρὸς τὸν Δημήτριον. Ὡς δὲ ἐκεῖνος ἐξανέστη μεταξὺ δειπνῶν, φοβηθεὶς ὁ Ἀλέξανδρος συνεξανέστη καὶ κατὰ πόδας αὐτῷ πρὸς τὰς θύρας συνηκολούθει. Γενόμενος οὖν ὁ Δημήτριος πρὸς ταῖς θύραις κατὰ

6, 44—45 H.

---

post Donatum x: *δεῖνον* libri. 16. *τόπῳ* C. *ἀναιρεῖν* ABCV. 17. *ταραχθεὶς* Pia: *διαταραχθεὶς* v. 18. *στρατείαν* Pia. 20. *πολὺ* om B, *πολλῷ* ACD. *συνελθεῖν* ABCD. 21. *ἄχρι* P pr. AC: *ἄχρις* v. 22. *τὸν* om C. 24. *διὰ ταχέων ἀπῆλθε* PABD: *ἀπῆλθε διὰ ταχέων* v. 28. *ὁ* addiderunt ABCD. *ὡς* om C. 29. *ἐπαίροντος* Francofurtana. 30. *ἦκεν* C. 33. *δρᾶν ὃ ἐμηχανᾶτο ἔφθασε παθὼν μέλλοντος αὐτοῦ μὴ διαφυγεῖν ἐκεῖνον* P η V, *αὐτοῦ* om ABCD. *παθὼν ἔφθασεν ὃ δρᾶν ἐμηχανᾶτο* ceteris deletis Schaeferus. ac turbatum hic aliquid esse certum est, sed magis placet Emperii correctio: *παθὼν ἔφθασεν ὃ δρᾶν μέλλοντος αὐτοῦ μὴ διαφυγεῖν ἐκεῖνον ἐμηχανᾶτο*. 36. *ὁ* om P. 37. *αὐτοῦ* P. 38. *ὁ* om ia. *καὶ κατὰ* ABCD.

τοὺς ἑαυτοῦ δορυφόρους καὶ τοῦτο μόνον εἰπών· „Κόπτε τὸν ἑπόμενον“, αὐτὸς μὲν ὑπεξῆλθεν, ὁ δὲ Ἀλέξανδρος ὑπ' ἐκείνων κατεκόπη καὶ τῶν φίλων οἱ προσβοηθοῦντες, ὧν ἕνα λέγουσι σφαττόμενον εἰπεῖν, ὡς ἡμέρᾳ μιᾷ φθάσειεν αὐτοὺς ὁ Δημήτριος.

XXXVII. Ἡ μὲν οὖν νὺξ, οἷον εἰκὸς, θόρυβον ἔσχεν. Ἅμα δὲ ἡμέρᾳ ταραττομένοις τοῖς Μακεδόσι καὶ φοβουμένοις τὴν τοῦ Δημητρίου δύναμιν, ὡς ἐπῆλθε μὲν οὐδεὶς φοβερὸς, ὁ δὲ Δημήτριος ἔπεμπε βουλόμενος ἐντυχεῖν καὶ περὶ τῶν πεπραγμένων ἀπολογήσασθαι, θαῤῥεῖν παρέστη καὶ δέχεσθαι φιλανθρώπως αὐτόν. Ὡς δὲ ἦλθεν, οὐ μακρῶν ἐδέησεν αὐτῷ λόγων, ἀλλὰ τῷ μισεῖν μὲν τὸν Ἀντίπατρον, φονέα μητρὸς ὄντα, βελτίονος δὲ ἀπορεῖν ἐκεῖνον ἀνηγόρευσαν βασιλέα Μακεδόνων καὶ παραλαβόντες εὐθὺς κατῆγον εἰς Μακεδονίαν. Ἦν δὲ καὶ τοῖς οἴκοι Μακεδόσιν οὐκ ἀκούσιος ἡ μεταβολὴ μεμνημένοις ἀεὶ καὶ μισοῦσιν ἃ Κάσανδρος εἰς Ἀλέξανδρον τεθνηκότα παρηνόμησεν. Εἰ δέ τις ἔτι μνήμη τῆς Ἀντιπάτρου τοῦ παλαιοῦ μετριότητος ὑπελείπετο, καὶ ταύτην Δημήτριος ἐκαρποῦτο Φίλᾳ συνοικῶν καὶ τὸν ἐξ ἐκείνης υἱὸν ἔχων διάδοχον τῆς ἀρχῆς ἤδη τότε μειράκιον ὄντα καὶ τῷ πατρὶ συστρατευόμενον.

XXXVIII. Οὕτω δὲ λαμπρᾷ κεχρημένος εὐτυχίᾳ πυνθάνεται μὲν περὶ τῶν τέκνων καὶ τῆς μητρὸς ὡς μεθεῖνται, δῶρα καὶ τιμὰς Πτολεμαίου προσθέντος αὐτοῖς, πυνθάνεται δὲ περὶ τῆς Σελεύκῳ γαμηθείσης θυγατρὸς, ὡς Ἀντιόχῳ τῷ Σελεύκου συνοικεῖ καὶ βασίλισσα τῶν ἄνω βαρβάρων ἀνηγόρευται. Συνέβη γὰρ, ὡς ἔοικε, τὸν Ἀντίοχον ἐρασθέντα
907 τῆς Στρατονίκης νέας οὔσης, ἤδη δὲ παιδίον ἐχούσης ἐκ τοῦ Σελεύκου, διακεῖσθαι κακῶς καὶ πολλὰ ποιεῖν τῷ πάθει διαμαχόμενον, τέλος δ' ἑαυτοῦ καταγνόντα δεινῶν μὲν ἐπι-

6, 45—46 H.

---

41. ὧν] ὃν ABCD. 42. ἡμέρα PABCD volebatque Stephanus: ἐν ἡμέρᾳ v.

XXXVII. 2. ταραττομένοις PABCD: ταρασσομένοις v. 5. ἀπολογίσασθαι Francofurtana. 7. τὸν addiderunt PABCD. μητρὸς PABCD: τῆς μητρὸς v. ὄντα] γεγονότα C. 9. εὐθὺς P: αὐτὸν v. 11. ἡ om ABCD.

XXXVIII. 9. ἑαυτοῦ ABCDV: αὐτοῦ v. δεινῶν [ABCD] πRηVx: δεινὸν PV, δεινὰ v.

θυμεῖν, ἀνήκεστα δὲ νοσεῖν, κεκρατῆσθαι δὲ τῷ λογισμῷ, τρόπον ἀπαλλαγῆς τοῦ βίου ζητεῖν καὶ παραλύειν ἀτρέμα καὶ θεραπείας ἀμελείᾳ καὶ τροφῆς ἀποχῇ τὸ σῶμα, νοσεῖν τινα νόσον σκηπτόμενον. Ἐρασίστρατον δὲ τὸν ἰατρὸν αἰσθέσθαι μὲν οὐ χαλεπῶς ἐρῶντος αὐτοῦ, τὸ δὲ οὗτινος ἐρᾷ δυστόπαστον ὂν ἐξανευρεῖν βουλόμενον ἀεὶ μὲν ἐν τῷ δωματίῳ διημερεύειν, εἰ δέ τις εἰσίοι τῶν ἐν ὥρᾳ μειρακίων ἢ γυναικῶν, ἐγκαθορᾶν τε τῷ προσώπῳ τοῦ Ἀντιόχου καὶ τὰ συμπάσχειν μάλιστα τῇ ψυχῇ τρεπομένῃ πεφυκότα μέρη καὶ κινήματα τοῦ σώματος ἐπισκοπεῖν. Ὡς οὖν τῶν μὲν ἄλλων εἰσιόντων ὁμοίως εἶχε, τῆς δὲ Στρατονίκης καὶ καθ' ἑαυτὴν καὶ μετὰ τοῦ Σελεύκου φοιτώσης πολλάκις ἐγίνετο τὰ τῆς Σαπφοῦς ἐκεῖνα περὶ αὐτὸν πάντα, φωνῆς ἐπίσχεσις, ἐρύθημα πυρῶδες, ὄψεων ὑποδείξεις, ἰδρῶτες ὀξεῖς, ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς, τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης ἀπορία καὶ θάμβος καὶ ὠχρίασις, ἐπὶ τούτοις προσλογιζόμενον τὸν Ἐρασίστρατον κατὰ τὸ εἰκὸς, ὡς οὐκ ἂν ἑτέρας ἐρῶν βασιλέως υἱὸς ἐνεκαρτέρει τῷ σιωπᾶν μέχρι θανάτου, χαλεπὸν μὲν ἡγεῖσθαι τὸ φράσαι ταῦτα καὶ κατειπεῖν, οὐ μὴν ἀλλὰ πιστεύοντα τῇ πρὸς τὸν υἱὸν εὐνοίᾳ τοῦ Σελεύκου παρακινδυνεῦσαί ποτε καὶ εἰπεῖν, ὡς ἔρως μὲν εἴη τοῦ νεανίσκου τὸ πάθος, ἔρως δὲ ἀδύνατος καὶ ἀνίατος. Ἐκπλαγέντος δὲ ἐκείνου καὶ πυθομένου, πῶς ἀνίατος· „ὅτι νὴ Δία“ φάναι τὸν Ἐρασίστρατον „ἐρᾷ τῆς ἐμῆς γυναικός.“ „Εἶτα οὐκ ἂν“ εἰπεῖν τὸν Σέλευκον „ἐπιδοίης, Ἐρασίστρατε, τῷ ἐμῷ παιδὶ φίλος ὢν τὸν γάμον, καὶ ταῦτα ὁρῶν ἡμᾶς ἐπὶ τούτῳ μόνῳ σαλεύοντας;“ „Οὐδὲ γὰρ ἂν σὺ“ φάναι „τοῦτο πατὴρ ὢν ἐποίησας, εἰ Στρατονίκης Ἀντίοχος ἐπεθύμησε.“ Καὶ τὸν Σέλευκον „Εἴθε γάρ, ἑταῖρε“, εἰπεῖν „ταχὺ μεταστρέψαι τις ἐπὶ ταῦτα καὶ μεταβάλοι θεῶν ἢ ἀνθρώπων τὸ πάθος· ὡς ἐμοὶ καὶ τὴν βασιλείαν ἀφεῖναι

6, 46—48 H.

10. κεκρατεῖσθαι ia. δὲ] γὰρ C. 11. ζητεῖν Reiskius: ζητῶν libri. 15. ἐρᾷ x: om D, ἐρᾶν ceteri et v. 17. καθορᾶν C. 21. τοῦ om B. 23. πυρρῶδες P. ὑποδήξεις C, scribam ὑπολείψεις cum Tollio ad Longinum p. 76 ac Seidlero mus. Rhenan. 3, 2 p. 165 sq. 25. ἡττημένης ABCD. 27. ὁ βασιλέως C. 28. μὲν] γὰρ C. τῷ φράσαι D. φθάσαι C. 36. οὐ γὰρ ABC. 38. ἑταῖρε PABCD: ὦ ἑταῖρε v. εἰπεῖν Reiskius: εἶπεν P, εἶπε ceteri et v.

καλὸν Ἀντιόχου περιεχομένῳ.“ Ταῦτα ἐμπαθῶς σφόδρα τοῦ Σελεύκου μετὰ πολλῶν δακρύων λέγοντος ἐμβαλόντα τὴν δεξιὰν αὐτῷ τὸν Ἐρασίστρατον εἰπεῖν, ὡς οὐδὲν Ἐρασιστράτου δέοιτο· καὶ γὰρ πατὴρ καὶ ἀνὴρ ὢν καὶ βασιλεὺς αὐτὸς ἅμα καὶ ἰατρὸς εἴη τῆς οἰκίας ἄριστος. Ἐκ τούτου τὸν Σέλευκον ἐκκλησίαν ἀθροίσαντα πάνδημον εἰπεῖν, ὅτι βούλεται καὶ διέγνωκε τῶν ἄνω πάντων τόπων Ἀντίοχον ἀποδεῖξαι βασιλέα καὶ Στρατονίκην βασιλίδα ἀλλήλοις συνοικοῦντας· οἴεσθαι δὲ τὸν μὲν υἱὸν εἰθισμένον ἅπαντα πείθεσθαι καὶ κατήκοον ὄντα μηθὲν ἀντερεῖν αὐτῷ πρὸς τὸν γάμον· εἰ δ' ἡ γυνὴ τῷ μὴ νενομισμένῳ δυσκολαίνοι, παρακαλεῖν τοὺς φίλους, ὅπως διδάσκωσιν αὐτὴν καὶ πείθωσι καλὰ καὶ δίκαια τὰ δοκοῦντα βασιλεῖ μετὰ τοῦ συμφέροντος ἡγεῖσθαι. Τὸν μὲν οὖν Ἀντιόχου καὶ Στρατονίκης γάμον ἐκ τοιαύτης γενέσθαι προφάσεως λέγουσι.

XXXIX. Δημήτριος δὲ μετὰ Μακεδονίαν καὶ Θετταλίαν ἦν παρειληφώς. Ἔχων δὲ καὶ Πελοποννήσου τὰ πλεῖστα καὶ τῶν ἐκτὸς Ἰσθμοῦ Μέγαρα καὶ Ἀθήνας ἐπὶ Βοιωτοὺς ἐστράτευσε. Καὶ πρῶτον μὲν ἐγένοντο συμβάσεις μέτριαι περὶ φιλίας πρὸς αὐτόν· ἔπειτα Κλεωνύμου τοῦ Σπαρτιάτου παραβαλόντος εἰς Θήβας μετὰ στρατιᾶς, ἐπαρθέντες οἱ Βοιωτοί, καὶ Πίσιδος ἅμα τοῦ Θεσπιέως, ὃς ἐπρώτευε δόξῃ καὶ δυνάμει τότε, συμπαρορμῶντος αὐτούς, ἀπέστησαν. Ὡς δὲ ταῖς Θήβαις ἐπαγαγὼν τὰς μηχανὰς ὁ Δημήτριος ἐπο-
908 λιόρκει καὶ φοβηθεὶς ὑπεξῆλθεν ὁ Κλεώνυμος, καταπλαγέντες οἱ Βοιωτοὶ παρέδωκαν ἑαυτούς. Ὁ δὲ ταῖς πόλεσιν ἐμβαλὼν φρουρὰν καὶ πραξάμενος πολλὰ χρήματα καὶ καταλιπὼν αὐτοῖς ἐπιμελητὴν καὶ ἁρμοστὴν Ἱερώνυμον τὸν ἱστορικὸν ἔδοξεν ἠπίως κεχρῆσθαι, καὶ μάλιστα διὰ Πίσιν. Ἑλὼν γὰρ αὐτὸν οὐδὲν κακὸν ἐποίησεν, ἀλλὰ καὶ προσαγορεύσας καὶ φιλοφρονηθεὶς πολέμαρχον ἐν Θεσπιαῖς ἀπέδειξεν. Οὐ πολλῷ δὲ ὕστερον ἁλίσκεται Λυσίμαχος ὑπὸ Δρομιχαίτου· καὶ πρὸς

6, 48—49 H.

---

41. περιεχόμενον V. 42. καὶ μετὰ Stephanianae ceteri. 48. fortasse βασίλισσαν. 53. τῷ βασιλεῖ ABCD.

XXXIX. 1. μετὰ addiderunt ABCDπSV. 2. πελοποννήσου ABCD: τῆς Πελοποννήσου x. 3. ἐκτὸς Solanus: ἐντὸς libri. 8. δόξης δυνάμει ABCD. 14. πίσιν ia: πίστιν codices et v.

τοῦτο Δημητρίου κατὰ τάχος ἐξορμήσαντος ἐπὶ Θράκην, ὥσπερ ἔρημα καταληψομένου, πάλιν ἀπέστησαν οἱ Βοιωτοὶ καὶ Λυσίμαχος ἅμα διειμένος ἀπηγγέλλετο. Ταχέως οὖν καὶ πρὸς ὀργὴν ἀναστρέψας ὁ Δημήτριος εὗρεν ἡττημένους ὑπὸ τοῦ παιδὸς Ἀντιγόνου μάχῃ τοὺς Βοιωτοὺς καὶ τὰς Θήβας αὖθις ἐπολιόρκει.

XL. Πύρρου δὲ Θεσσαλίαν κατατρέχοντος καὶ μέχρι Θερμοπυλῶν παραφανέντος, Ἀντίγονον ἐπὶ τῆς πολιορκίας ἀπολιπὼν αὐτὸς ὥρμησεν ἐπ' ἐκεῖνον. Ὀξέως δὲ φυγόντος ἐν Θεσσαλίᾳ καταστήσας μυρίους ὁπλίτας καὶ χιλίους ἱππεῖς αὖθις ἐνέκειτο ταῖς Θήβαις καὶ προσῆγε τὴν λεγομένην ἑλέπολιν πολυπόνως καὶ κατὰ μικρὸν ὑπὸ βρίθους καὶ μεγέθους μοχλευομένην, ὡς μόλις ἐν δυσὶ μησὶ δύο σταδίους προελθεῖν. Τῶν δὲ Βοιωτῶν ἐρρωμένως ἀμυνομένων καὶ τοῦ Δημητρίου πολλάκις φιλονεικίας ἕνεκα μᾶλλον ἢ χρείας μάχεσθαι καὶ κινδυνεύειν τοὺς στρατιώτας ἀναγκάζοντος, ὁρῶν ὁ Ἀντίγονος πίπτοντας οὐκ ὀλίγους καὶ περιπαθῶν „Τί, ὦ πάτερ" ἔφη „παραναλισκομένους οὐκ ἀναγκαίως τούτους περιορῶμεν;" Ὁ δὲ παροξυνθείς „Σὺ δὲ" ἔφη, „τί δυσχεραίνεις; ἢ διάμετρον ὀφείλεις τοῖς ἀποθνήσκουσιν;" Οὐ μὴν ἀλλὰ καὶ βουλόμενός γε μὴ δοκεῖν ἑτέρων ἀφειδεῖν μόνον, ἀλλὰ καὶ συγκινδυνεύειν τοῖς μαχομένοις διελαύνεται τὸν τράχηλον ὀξυβελεῖ. Καὶ δεινῶς μὲν ἔσχεν, οὐ μὴν ἀνῄκεν, ἀλλὰ εἷλε τὰς Θήβας πάλιν. Καὶ παρελθὼν ἀνάτασιν μὲν καὶ φόβον ὡς τὰ δεινότατα πεισομένοις παρέσχεν, ἀνελὼν δὲ τρισκαίδεκα καὶ μεταστήσας τινὰς ἀφῆκε τοὺς ἄλλους. Ταῖς μὲν οὖν Θήβαις οὔπω δέκατον οἰκουμέναις ἔτος ἁλῶναι δὶς ἐν τῷ χρόνῳ τούτῳ συνέπεσε. Τῶν δὲ Πυθίων καθηκόντων πρᾶγμα καινότατον ἐπέτρεψεν αὐτῷ ποιεῖν ὁ Δημήτριος. Ἐπεὶ γὰρ Αἰτωλοὶ τὰ περὶ Δελφοὺς στενὰ κατεῖχον, ἐν Ἀθήναις

6, 49—50 H.

---

18. τοῦτο δημητρίου PABD: τοῦτό γε δὴ δημητρίου C, τοῦτο v. Θράκην PABCD: Θράκην τοῦ Δημητρίου v. 19. ἔρυμα C margo Mureti V, εὔρημα Reiskii sine caussa nuperi. 20. διήμενος PRη. 21. ἡττημένους post Ἀντιγόνου ponit C.

XL. 1. Θετταλίαν καταστρέφοντος C. 3. ἀπολιπὼν PABC: καταλιπὼν v. ὑπ' ἐκεῖνον ia. 12. τούτους οὐκ ἀναγκαίως ABCD. 15. ἑτέρων BV: ἑταίρων v. 17. ὀξυβελεῖ Coraes cl. Schneidero in Vitruvii t. 3 p. 337 sqq.: ὀξεῖ βέλει libri. 19. τὰ om C. 20. τοὺς ἄλλους ἀφῆκε C. 23. ποιεῖν αὐτῷ ABCD.

αὐτὸς ἦγε τὸν ἀγῶνα καὶ τὴν πανήγυριν, ὡς ἂν προσῆκον αὐτόθι μάλιστα τιμᾶσθαι τὸν θεὸν, ὃς δὴ πατρῷός ἐστι καὶ λέγεται τοῦ γένους ἀρχηγός.

XLI. Ἐντεῦθεν ἐπανελθὼν εἰς Μακεδονίαν καὶ μήτε αὐτὸς ἄγειν ἡσυχίαν πεφυκὼς τούς τε ἄλλους ὁρῶν ἐν ταῖς στρατείαις μᾶλλον αὐτῷ προσέχοντας, οἴκοι δὲ ταραχώδεις καὶ πολυπράγμονας ὄντας, ἐστράτευσεν ἐπ' Αἰτωλούς· καὶ τὴν χώραν κακώσας καὶ Πάνταυχον ἐν αὐτῇ μέρος ἔχοντα τῆς δυνάμεως οὐκ ὀλίγον ἀπολιπὼν ἐπὶ Πύῤῥον αὐτὸς ἐχώρει καὶ Πύῤῥος ἐπ' ἐκεῖνον· ἀλλήλων δὲ διαμαρτόντες, ὁ μὲν ἐπόρθει τὴν Ἤπειρον, ὁ δὲ Πανταύχῳ περιπεσὼν καὶ μάχην συνάψας αὐτὸν μὲν ἄχρι τοῦ δοῦναι καὶ λαβεῖν πληγὴν ἐν χερσὶ γενόμενον ἐτρέψατο, τῶν δὲ ἄλλων πολλοὺς μὲν ἀπ-
909 έκτεινεν, ἐζώγρησε δὲ πεντακισχιλίους. Καὶ τοῦτο μάλιστα Δημήτριον ἐκάκωσεν· οὐ γὰρ οὕτω μισηθεὶς ὁ Πύῤῥος ἀφ' ὧν ἔπραξεν, ὡς θαυμασθεὶς διὰ τὸ πλεῖστα τῇ χειρὶ κατεργάσασθαι, μέγα τε καὶ λαμπρὸν ἔσχεν ἀπὸ τῆς μάχης ἐκείνης ὄνομα παρὰ τοῖς Μακεδόσι· καὶ πολλοῖς ἐπῄει λέγειν τῶν Μακεδόνων, ὡς ἐν μόνῳ τούτῳ τῶν βασιλέων εἴδωλον ἐνορῷτο τῆς Ἀλεξάνδρου τόλμης, οἱ δὲ ἄλλοι, καὶ μάλιστα Δημήτριος, ὡς ἐπὶ σκηνῆς τὸ βάρος ὑποκρίνοιντο καὶ τὸν ὄγκον τοῦ ἀνδρός. Ἦν δὲ ὡς ἀληθῶς τραγῳδία μεγάλη περὶ τὸν Δημήτριον, οὐ μόνον ἀμπεχόμενον καὶ διαδούμενον περιττῶς καυσίαις διμίτροις καὶ χρυσοπαρύφοις ἀλουργίσιν, ἀλλὰ καὶ περὶ τοῖς ποσὶν ἐκ πορφύρας ἀκράτου συμπεπιλημένης χρυσοβαφεῖς πεποιημένον ἐμβάδας. Ἦν δέ τις ὑφαι-

6, 50—51 H.

---

25. ἂν] δὴ P. 26. πατρῷος PABCD: καὶ πατρῷος v.

XLI. 3. στρατιαῖς P. 10. ἐτρέψατο γενόμενον ἐν χερσὶ C. 14. τε om P. λαμπρὸν] θαυμαστὸν ABCD. 17. ἐνορῶτο i: ἐνορῶντο a, μὲν ὁρῶτο Cπ, μὲν ὁρῶντο ABCV, ἐνεώρων v. 18. ὑποκρίνοιτο ABD. 21. διαμίτροις ABCV, qui (V) et δαμήτροις, δημήτροις a. nihil ego discrepantiae ex P annotavi, quem διαμίτροις habere narratur in Stephani thes. s. v. ἁλουργίσιν Pia: ἀλουργῖσιν v. 23. χρυσοβαφεῖς contra χρυσοϋφεῖς Valesii ac Reiskii defendens Schaeferus laudat Toupium emendat. in Suidam t. 1 p. 138 cl. Hemsterhusio in Luciani t. 1 p. 131 (377 Bip.). ego scribendum puto χρυσογραφεῖς. ἐμβάδας χρυσογραφεῖς Callixenus Athenaei p. 200 d, ubi item olim χρυσοβαφεῖς. cf. Schweighaeuserum animadv. 3 p. 113.

νομένη χλαμὺς αὐτῷ πολὺν χρόνον, ἔργον ὑπερήφανον, εἰ-
κασμα τοῦ κόσμου καὶ τῶν κατ' οὐρανὸν φαινομένων· ὃ
κατελείφθη μὲν ἡμιτελὲς ἐν τῇ μεταβολῇ τῶν πραγμάτων,
οὐδεὶς δὲ ἐτόλμησεν αὐτῇ χρήσασθαι, καίπερ οὐκ ὀλίγων
ὕστερον ἐν Μακεδονίᾳ σοβαρῶν γενομένων βασιλέων.

XLII. Οὐ μόνον δὲ τούτοις τοῖς θεάμασιν ἐλύπει τοὺς
ἀνθρώπους ἀήθεις ὄντας, ἀλλὰ καὶ τρυφὴν καὶ δίαιταν
ἐβαρύνοντο· καὶ μάλιστα δὴ τὸ δυσόμιλον αὐτοῦ καὶ δυσ-
πρόσοδον. Ἦ γὰρ οὐ παρεῖχε καιρὸν ἐντυχεῖν ἢ χαλεπὸς ἦν
καὶ τραχὺς ἐντυγχάνουσιν. Ἀθηναίων μὲν γὰρ, περὶ οὓς
ἐσπουδάκει μάλιστα τῶν Ἑλλήνων, ἔτη δύο πρεσβείαν κατ-
έσχεν, ἐκ Λακεδαίμονος δὲ ἑνὸς πρεσβευτοῦ παραγενομένου
καταφρονεῖσθαι δοκῶν ἠγανάκτησεν. Ἀστείως μέντοι καὶ
Λακωνικῶς ἐκεῖνος, εἰπόντος αὐτοῦ „Τί σὺ λέγεις; ἕνα Λα-
κεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν;“ „Ναὶ“ εἶπεν „ὦ βασιλεῦ,
πρὸς ἕνα.“ Λύξαντος δὲ αὐτοῦ ποτε δημοτικώτερον ἐξελαύ-
νειν καὶ πρὸς ἔντευξιν ἔχειν οὐκ ἀηδῶς συνέδραμόν τινες
ἐγγράφους ἀξιώσεις ἀναδιδόντες. Λεξαμένου δὲ πάσας καὶ
τῇ χλαμύδι συλλαβόντος ἤσθησαν οἱ ἄνθρωποι καὶ παρηκο-
λούθουν· ὡς δὲ ἦλθεν ἐπὶ τὴν τοῦ Ἀξίου γέφυραν, ἀναπτυ-
ξας τὴν χλαμύδα πάσας εἰς τὸν ποταμὸν ἐξέῤῥιψε. Καὶ
τοῦτο δὴ δεινῶς ἠνίασε τοὺς Μακεδόνας ὑβρίζεσθαι δοκοῦν-
τας, οὐ βασιλεύεσθαι, καὶ Φιλίππου μνημονεύοντας ἢ τῶν
μνημονευόντων ἀκούοντας, ὡς μέτριος ἦν περὶ ταῦτα καὶ
κοινός. Καί ποτε πρεσβυτέρου γυναίου κόπτοντος αὐτὸν ἐν
παρόδῳ τινὶ καὶ δεομένου πολλάκις ἀκουσθῆναι, φήσας μὴ
σχολάζειν, ἐγκραγόντος ἐκείνου καὶ „Μὴ βασίλευε“ εἰπόντος,
δηχθεὶς σφόδρα καὶ πρὸς τούτῳ γενόμενος ἀνέστρεψεν εἰς
τὴν οἰκίαν καὶ πάντα ποιησάμενος ὕστερα τοῖς ἐντυχεῖν βου-
λομένοις ἀρξάμενος ἀπὸ τῆς πρεσβύτιδος ἐκείνης ἐπὶ πολλὰς
ἡμέρας ἐσχόλασεν. Οὐδὲν γὰρ οὕτως βασιλεῖ προσῆκεν, ὡς

6, 51—52 H.

---

25. φερομένων ABC.

XLII. 3. δυσπρόσιτον P, corr marg. 4. ἦν καὶ τραχὺς PABCD: καὶ τραχὺς ἦν v. 5. τοῖς ἐντυγχάνουσι Stephanianae ceteri. 9. σὺ τί ABCD. 15. Ἀξιοῦ Coraes. 18. φιλίππου μνημονεύοντες — 19 ἀκούοντες C. 22. ἐκκραγόντος ABCD. καὶ μὴ coniungi malebat Emperius deleto εἰπόντος. 23. ἀνέστρεφεν B. 26. οὕτω ABCD. βασιλεῖ ABCD: τῷ βασιλεῖ v. προσῆκεν PABCD: προσῆκον v.

τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος, νόμος δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρόν ἐστι· καὶ τοὺς βασιλεῖς Ὅμηρός φησιν οὐχ ἑλεπόλεις οὐδὲ ναῦς χαλκήρεις, ἀλλὰ θέμιστας παρὰ τοῦ Διὸς λαμβάνοντας ῥύεσθαι καὶ φυλάσσειν, καὶ τοῦ Διὸς οὐ τὸν πολεμικώτατον οὐδὲ τὸν ἀδικώτατον καὶ φονικώτατον τῶν βασιλέων, ἀλλὰ τὸν δικαιότατον ὀαριστὴν καὶ μαθητὴν προσηγόρευκεν. Ἀλλὰ Δημήτριος ἔχαιρε τῷ βασιλεῖ τῶν θεῶν ἀνομοιοτάτην ἐπιγραφόμενος προσωνυμίαν. Ὁ μὲν γὰρ Πολιεὺς καὶ Πολιοῦχος, ὁ δὲ Πολιορκητὴς ἐπίκλησιν ἔσχεν. Οὕτως ἐπὶ τὴν τοῦ καλοῦ χώραν τὸ αἰσχρὸν ὑπὸ δυνάμεως ἀμαθοῦς ἐπελθὸν συνωκείωσε τῇ δόξῃ τὴν ἀδικίαν.

XLIII. Ὁ δ' οὖν Δημήτριος ἐπισφαλέστατα νοσήσας ἐν Πέλλῃ μικροῦ τότε Μακεδονίαν ἀπέβαλε καταδραμόντος ὀξέως Πύῤῥου καὶ μέχρις Ἐδέσσης προελθόντος. Ἅμα δὲ τῷ κουφότερος γενέσθαι πάνυ ῥᾳδίως ἐξελάσας αὐτὸν ἐποιήσατο τινὰς ὁμολογίας οὐ βουλόμενος ἐμποδὼν ὄντι συνεχῶς προσπταίων καὶ τοπομαχῶν ἧττον εἶναι πρὸς οἷς διενοεῖτο. 910 Διενοεῖτο δὲ οὐθὲν ὀλίγον, ἀλλὰ πᾶσαν ἀναλαμβάνειν τὴν ὑπὸ τῷ πατρὶ γενομένην ἀρχήν. Καὶ τῆς ἐλπίδος ταύτης καὶ τῆς ἐπιβολῆς οὐκ ἀπελείπετο τὰ τῆς παρασκευῆς, ἀλλὰ στρατιᾶς μὲν ἤδη συνετέτακτο πεζῆς μυριάδας δέκα δισχιλίων ἀνδρῶν ἀποδεούσας καὶ χωρὶς ἱππέας ὀλίγῳ δισχιλίων καὶ μυρίων ἐλάττους. Στόλον δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος τὰς μὲν ἐν Πειραιεῖ τρόπεις ἔθετο, τὰς δὲ ἐν Κορίνθῳ, τὰς δὲ ἐν Χαλκίδι, τὰς δὲ περὶ Πέλλαν, αὐτὸς ἐπιὼν ἑκασταχόσε καὶ διδάσκων ἃ χρὴ καὶ συντεχνώμενος, ἐκπληττομένων ἁπάντων οὐ τὰ πλήθη μόνον, ἀλλὰ καὶ τὰ μεγέθη τῶν ἔργων. Οὐδεὶς γὰρ εἶδεν ἀνθρώπων οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον οὔτε ἑκκαιδεκήρη, ἀλλ' ὕστερον τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φι-

6, 52—54 H.

---

27. Ἄρης] cf. Agesil. 14. 28. νόμος om a. Πίνδαρον] 3, 1 p. 76 sqq. Heynii confert Schaeferus. 29. Ὅμηρος] Il. 1, 238. 32. καὶ φονικώτατον om C. 35. προσηγορίαν ABCDV.

σ

XLIII. 1. νοήσας D. 3. ἐδέσσης P. 6. προσπταίων] cf. ad Pyrrh. 10, 20. ἧττον Corais D: ἥττων v. 9. ἐπιβουλῆς P. 12. καταβαλόμενος C. 13. τρόπεις] ἡ τρόπις P. 17. εἶδεν ABD Photius Bekkeri p. 397 a: οἶδεν v. 18. ἀλλ' ὕστερον] ὕστερον δὲ ABC Photius. ὁ φιλοπάτωρ πτολεμαῖος C.

λοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα δυεῖν δεόντων, ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις, χωρὶς δὲ τούτων ὁπλίτας δεχομένην ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος ὀλίγῳ τρισχιλίων ἀποδέοντας. Ἀλλὰ θέαν μόνην ἐκείνη παρέσχε· καὶ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων οἰκοδομημάτων φανῆναι πρὸς ἐπίδειξιν, οὐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη. Τῶν δὲ Δημητρίου νεῶν οὐκ ἦν τὸ καλὸν ἀναγώνιστον οὐδὲ τῷ περιττῷ τῆς κατασκευῆς ἀπεστεροῦντο τὴν χρείαν, ἀλλὰ τὸ τάχος καὶ τὸ ἔργον ἀξιοθεατότερον τοῦ μεγέθους παρεῖχον.

XLIV. Αἱρομένης οὖν τοσαύτης δυνάμεως ἐπὶ τὴν Ἀσίαν, ὅσην μετ' Ἀλέξανδρον οὐδεὶς ἔσχε πρότερον, οἱ τρεῖς συνέστησαν ἐπὶ τὸν Δημήτριον, Σέλευκος, Πτολεμαῖος, Λυσίμαχος· ἔπειτα κοινῇ πρὸς Πύρρον ἀποστείλαντες ἐκέλευον ἐξάπτεσθαι Μακεδονίας καὶ μὴ νομίζειν σπονδάς, αἷς Δημήτριος οὐκ ἐκείνῳ τὸ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ' εἴληφεν ἑαυτῷ τὸ πολεμεῖν οἷς βούλεται πρότερον. Δεξαμένου δὲ Πύρρου πολὺς περιέστη πόλεμος ἔτι μέλλοντα Δημήτριον. Ἅμα γὰρ τὴν μὲν Ἑλλάδα πλεύσας στόλῳ μεγάλῳ Πτολεμαῖος ἀφίστη, Μακεδονίαν δὲ Λυσίμαχος ἐκ Θρᾴκης, ἐκ δὲ τῆς ὁμόρου Πύρρος ἐμβαλόντες ἐλεηλάτουν. Ὁ δὲ τὸν μὲν υἱὸν ἐπὶ τῆς Ἑλλάδος κατέλιπεν, αὐτὸς δὲ βοηθῶν Μακεδονίᾳ πρῶτον ὥρμησεν ἐπὶ Λυσίμαχον· ἀγγέλλεται δὲ αὐτῷ Πύρρος ᾠρηκὼς πόλιν Βέροιαν. Καὶ τοῦ λόγου ταχέως εἰς τοὺς Μακεδόνας ἐμπεσόντος οὐδὲν ἔτι τῷ Δημητρίῳ κατὰ κόσμον εἶχεν, ἀλλὰ καὶ ὀδυρμῶν καὶ δακρύων καὶ πρὸς ἐκεῖνον ὀργῆς καὶ βλασφημιῶν μεστὸν ἦν τὸ στρατόπεδον καὶ συμμένειν οὐκ ἤθελον, ἀλλ' ἀπιέναι, τῷ μὲν λόγῳ πρὸς τὰ οἴκοι, τῇ δὲ ἀληθείᾳ πρὸς τὸν Λυσίμαχον. Ἔδοξεν οὖν τῷ Δημητρίῳ Λυσιμάχου μὲν ἀποστῆναι πορρωτάτω, πρὸς

6, 51–55 H.

19. ἐναπειργάσατο pr. ABCD, corr sec. A. διακοσίων πηχῶν καὶ ὀγδοήκοντα P. 20. δυεῖν PAB: δυοῖν v. δέοντα C. 29. ἀξιοθεατώτερον C.

XLIV. 3. τὸν addidit P. 5. ἃς a et v. 6. τῷ μὴ a et v. 10. ἀφίστη post Λάμαχος repetunt ABCD. 11. καὶ ἐμβαλόντες corr C. 12. Ἑλλάδος] Μακεδονίας V. 13. δὲ om i. 14. βέροιαν P: Βέρροιαν v, cf. ad Pyrrh. 11, 6. 17. στρατόπεδον ABCV: στράτευμα v.

δὲ Πύῤῥον τρέπεσθαι· τὸν μὲν γὰρ ὁμόφυλον εἶναι καὶ πολλοῖς συνήθη δι' Ἀλέξανδρον, ἔπηλυν δὲ καὶ ξένον ἄνδρα τὸν Πύῤῥον οὐκ ἂν αὐτοῦ προτιμῆσαι Μακεδόνας. Τούτων μέντοι πολὺ διεψεύσθη τῶν λογισμῶν. Ὡς γὰρ ἐγγὺς ἐλθὼν τῷ Πύῤῥῳ παρεστρατοπέδευσεν, ἀεὶ μὲν αὐτοῦ τὴν ἐν τοῖς ὅπλοις λαμπρότητα θαυμάζοντες ἔκ τε τοῦ παλαιοτάτου καὶ βασιλικώτατον εἰθισμένοι νομίζειν τὸν ἐν τοῖς ὅπλοις κράτιστον, τότε δὲ καὶ πρᾴως κεχρῆσθαι τοῖς ἁλισκομένοις πυνθανόμενοι, πάντως δὲ καὶ πρὸς ἕτερον καὶ πρὸς τοῦτον ἀπαλλαγῆναι τοῦ Δημητρίου ζητοῦντες, ἀπεχώρουν λάθρα καὶ κατ' ὀλίγους τό γε πρῶτον, εἶτα φανερῶς ἅπαν εἶχε κίνησιν καὶ ταραχὴν τὸ στρατόπεδον, τέλος δὲ τῷ Δημητρίῳ τολμήσαντές τινες προσελθεῖν ἐκέλευον ἀπιέναι καὶ σώζειν
911 αὐτόν· ἀπειρηκέναι γὰρ ἤδη Μακεδόνας ὑπὲρ τῆς ἐκείνου τρυφῆς πολεμοῦντας. Οὗτοι μετριώτατοι τῶν λόγων ἐφαίνοντο τῷ Δημητρίῳ πρὸς τὴν τῶν ἄλλων ταραχύτητα· καὶ παρελθὼν ἐπὶ σκηνὴν, ὥσπερ οὐ βασιλεὺς, ἀλλ' ὑποκριτὴς, μεταμφιέννυται χλαμύδα φαιὰν ἀντὶ τῆς τραγικῆς ἐκείνης καὶ διαλαθὼν ὑπεχώρησεν. Ὁρμησάντων δὲ τῶν πλείστων εὐθὺς ἐφ' ἁρπαγὴν καὶ πρὸς ἀλλήλους διαμαχομένων καὶ τὴν σκηνὴν διασπώντων, ἐπιφανεὶς ὁ Πύῤῥος ἐκράτησεν αὐτοβοεὶ καὶ κατέσχε τὸ στρατόπεδον. Καὶ γίνεται πρὸς Λυσίμαχον αὐτῷ συμπάσης Μακεδονίας νέμησις ἑπταετίαν ὑπὸ Δημητρίου βεβαίως ἀρχθείσης.

XLV. Οὕτω δὲ τοῦ Δημητρίου τῶν πραγμάτων ἐκπεσόντος καὶ καταφυγόντος εἰς Κασάνδρειαν, ἡ γυνὴ Φίλα περιπαθὴς γενομένη προσιδεῖν μὲν οὐχ ὑπέμεινεν αὖθις ἰδιώτην καὶ φυγάδα τὸν τλημονέστατον βασιλέων Δημήτριον, ἀπειπαμένη δὲ πᾶσαν ἐλπίδα καὶ μισήσασα τὴν τύχην αὐτοῦ
6, 54—56 H.

---

21. τρέπεσθαι PABCDπV: τραπέσθαι v. πολὺ V. 22. τὸν πύῤῥου ἄνδρα C. 25. τὴν ἐν τοῖς ὅπλοις αὐτοῦ C. 26. καὶ addiderunt ABCD. 27. τὸν] καὶ x. 28. τότε] τὸ libri praeter a. 29. πάντως Bryani P: πάντες v. 36. τῷ om ABD. 38. μεταμπίσχεται ABCDπV marg. P al. m. ‚pro τραγικῆς legitur etiam στρατηγικῆς' Stephanus. cf. v. l. Pyrrh. 11, 34. 40. ἐφ' ἁρπαγὴν εὐθὺς ABCD.

XLV. 2. κασάνδρειαν Reiskii [ABC]: κασάνδριαν πη, κασανδρίαν PV, κασάνδραν ia et v, Κασανδρείαν x.

βεβαιοτέραν ἐν τοῖς κακοῖς οὖσαν ἢ τοῖς ἀγαθοῖς πιοῦσα φάρμακον ἀπέθανε. Δημήτριος δὲ ἔτι τῶν λοιπῶν ναυαγίων ἔχεσθαι διανοηθεὶς ἀπῆρεν εἰς τὴν Ἑλλάδα καὶ τοὺς ἐκεῖ στρατηγοὺς καὶ φίλους συνῆγεν. Ἦν οὖν ὁ Σοφοκλέους Μενέλαος εἰκόνα ταῖς αὐτοῦ τύχαις παρατίθησιν·

Ἀλλ' οὑμὸς ἀεὶ πότμος ἐν πυκνῷ θεοῦ
Τροχῷ κυκλεῖται καὶ μεταλλάσσει φύσιν.
Ὥσπερ σελήνης δ' ὄψις εὐφρόναις δύο
Στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,
Ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα
Πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
Ὡς ταὐτὸν αὐτῆς εὐγενεστάτη φανῇ,
Πάλιν διαῤῥεῖ κεἰς τὸ μηδὲν ἔρχεται·

ταύτῃ μᾶλλον ἄν τις ἀπεικάσαι τὰ Δημητρίου πράγματα καὶ τὰς περὶ αὐτὸν αὐξήσεις καὶ φθίσεις καὶ ἀναπληρώσεις καὶ ταπεινότητας, οὗ γε καὶ τότε παντάπασιν ἀπολείπειν καὶ κατασβέννυσθαι δοκοῦντος ἀνέλαμπεν αὖθις ἡ ἀρχὴ καὶ δυνάμεις τινὲς ἐπιῤῥέουσαι κατὰ μικρὸν ἀνεπλήρουν τὴν ἐλπίδα. Καὶ τότε πρῶτον ἰδιώτης καὶ τῶν βασιλικῶν κοσμίων ἔρημος ἐπεφοίτα ταῖς πόλεσι. Καί τις αὐτὸν ἐν Θήβαις τοιοῦτον θεασάμενος ἐχρήσατο τοῖς Εὐριπίδου στίχοις οὐκ ἀηδῶς·

Μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν
Πάρεστι Λίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.

XLVI. Ἐπεὶ δὲ ἅπαξ ὥσπερ εἰς ὁδὸν βασιλικὴν τὴν ἐλπίδα κατέστη καὶ συνίστατο πάλιν σῶμα καὶ σχῆμα περὶ αὐτὸν ἀρχῆς, Θηβαίοις μὲν ἀπέδωκε τὴν πολιτείαν, Ἀθηναῖοι δὲ ἀπέστησαν αὐτοῦ. Καὶ τόν τε Λίφιλον, ὃς ἦν ἱερεὺς τῶν Σωτήρων ἀναγεγραμμένος, ἐκ τῶν ἐπωνύμων ἀνεῖλον ἄρχοντας αἱρεῖσθαι πάλιν, ὥσπερ ἦν πάτριον, ψηφι-

6, 56—57 H.

6. ἀγαθοῖς] καλοῖς ABC, κακοῖς D. 9. οὖν om D. Sophoclis fr. inc. 56. 11. ἀεὶ P: αἰεὶ v. 13. δ' delet Schaeferus. num εὐφρόνας? 17. αὐτῆς] αὖθις ia et sic mor. 282 a vulgo. praestat εὐπρεπεστάτη editionis Parisinae mor. 517 d. 18. κεἰς τὸ PπηSV: καὶ εἰς τὸ ABCD. κἀπὶ v et sic mor. 282 a 517 d. 20. αὐξήσεις καὶ φθίσεις] τάξεις καὶ ἀποθέσεις ABCD cod. Stephani (‚legitur etiam') V. 23. ἐλπίδα] ἑλλάδα pr. ABD. 24. nonne τὸ πρῶτον? eo ut referatur ἐπεὶ δὲ c. 46. 25. ἐπιφοιτᾷ ABCD. 26. εὐριπιδείοις C. Bacch. v. 4 ubi πάρειμι.

σάμενοι, τόν τε Πύρρον ἐκ Μακεδονίας μετεπέμποντο μᾶλλον ἢ προσεδόκησαν ἰσχύοντα τὸν Δημήτριον ὁρῶντες. Ὁ δὲ ὀργῇ μὲν ἐπῆλθεν αὐτοῖς καὶ πολιορκίαν περὶ τὸ ἄστυ συνεστήσατο καρτερὰν, Κράτητος δὲ τοῦ φιλοσόφου πεμφθέντος ὑπὸ τοῦ δήμου πρὸς αὐτὸν, ἀνδρὸς ἐνδόξου καὶ δυνατοῦ, τὰ μὲν, οἷς ὑπὲρ τῶν Ἀθηναίων ἐδεῖτο, πεισθεὶς, τὰ δὲ ἐξ ὧν ἐδίδασκε περὶ τῶν ἐκείνῳ συμφερόντων νοήσας ἔλυσε τὴν πολιορκίαν, καὶ συναγαγὼν ὅσαι νῆες ἦσαν αὐτῷ καὶ στρατιώτας μυρίους καὶ χιλίους σὺν ἱππεῦσιν ἐμβιβάσας ἐπὶ τὴν Ἀσίαν ἔπλει Λυσιμάχου Καρίαν καὶ Λυδίαν ἀποστήσων. Λέχεται δὲ αὐτὸν Εὐρυδίκη περὶ Μίλητον, ἀδελφὴ Φίλας,
912 ἄγουσα τῶν αὐτῆς καὶ Πτολεμαίου θυγατέρων Πτολεμαΐδα καθωμολογημένην ἐκείνῳ πρότερον διὰ Σελεύκου. Ταύτην γαμεῖ Δημήτριος Εὐρυδίκης ἐκδιδούσης. Καὶ μετὰ τὸν γάμον εὐθὺς ἐπὶ τὰς πόλεις τρέπεται, πολλῶν μὲν ἑκουσίως προστιθεμένων, πολλὰς δὲ καὶ βιαζόμενος. Ἔλαβε δὲ καὶ Σάρδεις· καί τινες τῶν Λυσιμάχου στρατηγῶν ἀπεχώρησαν πρὸς αὐτὸν χρήματα καὶ στρατιὰν κομίζοντες. Ἐπερχομένου δὲ Ἀγαθοκλέους τοῦ Λυσιμάχου μετὰ δυνάμεως ἀνέβαινεν εἰς Φρυγίαν ἐγνωκὼς, ἅνπερ Ἀρμενίας ἐπιλάβηται, Μηδίαν κινεῖν καὶ τῶν ἄνω πραγμάτων ἔχεσθαι πολλὰς ἐξωθουμένῳ περιφυγὰς καὶ ἀναχωρήσεις ἐχόντων. Ἑπομένου δὲ Ἀγαθοκλέους ἐν ταῖς συμπλοκαῖς περιῆν, ἐπισιτισμοῦ δὲ καὶ προνομῶν εἰργόμενος ἠπορεῖτο καὶ τοῖς στρατιώταις δι' ὑποψίας ἦν ὡς ἐπ' Ἀρμενίαν καὶ Μηδίαν ἐκτοπίζων. Ἅμα δὲ μᾶλλον ὁ λιμὸς ἐπέτεινε καὶ διαμαρτία τις γενομένη περὶ τὴν τοῦ Λύκου διάβασιν πλῆθος ἀνθρώπων ἁρπασθὲν ὑπὸ τοῦ ῥεύματος ἀπώλεσεν. Ὅμως δὲ τοῦ σκώπτειν οὐκ ἀπείχοντο. Προγράφει δέ τις αὐτοῦ πρὸ τῆς σκηνῆς τὴν τοῦ Οἰδίποδος ἀρχὴν μικρὸν παραλλάξας·

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνου, τίνας
Χώρους ἀφίγμεθα;

6, 57—59 H.

XLVI. 9. συνεστήσαντο P. 10. κρατερὰν B. 13. νοήσας om C. 15. ἐκβιβάσας pr. ABD. 19. καθωμολογημένην ἐκείνῳ πτολεμαΐδα C. διὰ] ὑπὸ C. 20. ἐκδούσης B. 23. στρατηγῶν Coraes: στρατιωτῶν v. 24. στρατείαν C. 26. Μηδίαν Corais ABCD et postea: Μήδειαν v. 32. τις om P. τοῦ addiderunt ABCD. 34. ἀπώλετο V.

XLVII. Τέλος δὲ καὶ νόσου τῷ λιμῷ συνεπιτιθεμένης, ὥσπερ εἴωθεν, ἐπὶ βρώσεις ἀναγκαίας τρεπομένων, τοὺς πάντας οὐκ ἐλάσσονας ὀκτακισχιλίων ἀποβαλὼν ἀνῆγεν ὀπίσω τοὺς λοιπούς· καὶ καταβὰς εἰς Ταρσὸν ἐβούλετο μὲν ἀπέχεσθαι τῆς χώρας οὔσης ὑπὸ Σελεύκῳ τότε καὶ πρόφασιν ἐκείνῳ μηδεμίαν παρασχεῖν, ὡς δὲ ἦν ἀμήχανον, ἐν ταῖς ἐσχάταις ὄντων ἀπορίαις τῶν στρατιωτῶν, καὶ τοῦ Ταύρου τὰς ὑπερβολὰς Ἀγαθοκλῆς ἀπετείχισε, γράφει πρὸς Σέλευκον ἐπιστολὴν μακρόν τινα τῆς αὐτοῦ τύχης ὀδυρμὸν, εἶτα πολλὴν ἱκεσίαν καὶ δέησιν ἔχουσαν ἀνδρὸς οἰκείου λαβεῖν οἶκτον ἄξια καὶ πολεμίοις συναλγῆσαι πεπονθότος. Ἐπικλασθέντος δέ πως Σελεύκου καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῷ τε τῷ Δημητρίῳ χορηγίαν βασιλικὴν καὶ τῇ δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν Πατροκλῆς, ἀνὴρ συνετὸς εἶναι δοκῶν καὶ Σελεύκῳ φίλος πιστὸς, οὐ τὸ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν Δημητρίου στρατιωτῶν τρεφομένων, ἀλλ' ἐνδιατρίβοντα τῇ χώρᾳ Δημήτριον οὐ καλῶς περιορᾶν αὐτὸν, ὃς ἀεὶ βιαιότατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων νῦν ἐν τύχαις γέγονεν, αἳ καὶ τοὺς φύσει μετρίους ἐξάγουσι τολμᾶν καὶ ἀδικεῖν. Ἐκ τούτου παροξυνθεὶς ὁ Σέλευκος ἐξώρμησεν εἰς Κιλικίαν μετὰ πολλῆς δυνάμεως. Ὁ δὲ Δημήτριος ἐκπλαγεὶς τῇ δι' ὀλίγου μεταβολῇ τοῦ Σελεύκου καὶ φοβηθεὶς ὑπέστειλε τοῖς ὀχυρωτάτοις τοῦ Ταύρου, καὶ διαπεμπόμενος ἠξίου μάλιστα μὲν αὐτὸν περιϊδεῖν τῶν αὐτονόμων τινὰ βαρβάρων κτησάμενον ἀρχὴν, ἐν ᾗ καταβιώσεται πλάνης καὶ φυγῆς παυσάμενος, εἰ δὲ μὴ, τὸν χειμῶνα διαθρέψαι τὴν δύναμιν αὐτόθι καὶ μὴ πάντων ἐνδεᾶ καὶ γυμνὸν ἐξελαύνειν καὶ προβάλλειν τοῖς πολεμίοις.

XLVIII. Ἐπεὶ δὲ Σέλευκος ταῦτα πάντα ὑποπτεύων ἐκέλευσεν αὐτὸν, εἰ βούλεται, δύο μῆνας ἐν τῇ Καταονίᾳ χειμάσαι δόντα τοὺς πρώτους τῶν φίλων ὁμήρους, ἅμα δὲ

6, 59—60 H.

XLVII. 3. ὀκτακισχιλίους P. ἀνῆγεν ABCD: ἀπῆγεν v. 5. σελεύκου P. 13. τῷ om C. 23. καὶ φοβηθεὶς om C. ὑπέμεινε C, ὑπεστείλατο Corais Schaeferus, sed cf. Polybii 6, 40 extr., 10, 32, 3. τοῖς ὀχυρωτάτοις Schaeferi ABCD: τοῖς ὀχυροτάτοις Francofurtana, τοῖς ὀχυροπάτοις ia et v, τοὺς ὀχυροτάτους P.

τας εἰς Συρίαν ἀπετείχιζεν ὑπερβολὰς, ἐγκλειόμενος, ὥσπερ θηρίον, ὁ Δημήτριος κύκλῳ καὶ περιβαλλόμενος ὑπ' ἀνάγκης τρέπεται πρὸς ἀλκὴν καὶ τὴν τε χώραν κατέτρεχε καὶ τῷ Σελεύκῳ προσβάλλοντι συμπλεκόμενος ἀεὶ πλέον εἶχε. Καί
913 ποτε τῶν δρεπανηφόρων εἰς αὐτὸν ἀφεθέντων ὑποστὰς τροπὴν ἐποιήσατο καὶ τῶν εἰς Συρίαν ὑπερβολῶν τοὺς ἀποτειχίζοντας ἐξελάσας ἐκράτησε. Καὶ ὅλως ἐπῆρτο τῇ γνώμῃ, καὶ τοὺς στρατιώτας ἀνατεθαρρηκότας ὁρῶν παρεσκευάζετο διαγωνίσασθαι πρὸς τὸν Σέλευκον ἐπὶ τοῖς μεγίστοις ἄθλοις ἠπορημένον ἤδη καὶ αὐτόν. Ἀπέστρεψε μὲν γὰρ τὴν παρὰ Λυσιμάχου βοήθειαν ἀπιστῶν καὶ φοβούμενος, αὐτὸς δὲ καθ' ἑαυτὸν ὤκνει τῷ Δημητρίῳ συνάψαι δεδιὼς τὴν ἀπόνοιαν αὐτοῦ καὶ τὴν ἀεὶ μεταβολὴν ἐκ τῶν ἐσχάτων ἀποριῶν τὰς μεγίστας εὐτυχίας ἐπιφέρουσαν. Νόσος μέντοι βαρεῖα τὸν Δημήτριον ἐν τούτῳ καταλαβοῦσα τό τε σῶμα δεινῶς ἐκάκωσε καὶ τὰ πράγματα παντάπασι διέφθειρεν. Οἱ μὲν γὰρ ἀπεχώρησαν πρὸς τοὺς πολεμίους, οἱ δὲ διεῤῥύησαν αὐτοῦ τῶν στρατιωτῶν. Μόλις δὲ ἐν ἡμέραις τεσσαράκοντα ῥαΐσας καὶ τοὺς ὑπολοίπους ἀναλαβὼν καὶ ὁρμήσας, ὅσον ἰδεῖν καὶ δοξάσαι τοὺς πολεμίους, ἐπὶ Κιλικίας, εἶτα νυκτὸς ἄνευ σάλπιγγος ἄρας ἐπὶ θάτερα καὶ τὸν Ἀμανὸν ὑπερβαλὼν ἐπόρθει τὴν κάτω χώραν ἄχρι τῆς Κυῤῥηστικῆς.

XLIX. Ἐπιφανέντος δὲ τοῦ Σελεύκου καὶ ποιουμένου τὰς καταλύσεις ἐγγὺς ἀναστήσας ὁ Δημήτριος τὸ στράτευμα νυκτὸς ἐβάδιζεν ἐπ' αὐτὸν ἀγνοοῦντα μέχρι πολλοῦ καὶ κοιμώμενον. Αὐτομόλων δέ τινων παραγενομένων καὶ φρασάντων τὸν κίνδυνον ἐκπλαγεὶς καὶ ἀναπηδήσας ἐκέλευσε σημαίνειν ἅμα τὰς κρηπῖδας ὑποδούμενος καὶ βοῶν πρὸς τοὺς ἑταίρους, ὡς θηρίῳ δεινῷ συμπέπλεκται. Δημήτριος δὲ τῷ
6, 60—61 H

XLVIII. 4. *ὑπερ βολὰς* erasis intermediis P: *ἐκβολὰς* v, cf. mox et c. 29 s. fin. *ὡς θηρίον* ABCD. 8. *ὑποστὰς* C: *ὑπερβὰς* v, *ὑπεκστὰς* vel *ὑπεκβὰς* Emperius, hoc etiam Schaeferus. 10. *τῇ* om ABCD. 12. *διαγωνίζεσθαι* PABC. 15. *δεδιὼς δὲ* CD. 18. *ἐκ τούτου* P. *τότε τὸ σῶμα* ABCD. 22. *καὶ η* al. m. — *ἀναλαβὼν* om C. 25. *κυῤῥιστικῆς* P et sic libri Anton. 34, *κυῤῥυστικῆς* AB, *καρυστικῆς* C.

XLIX. 7. *συμπέπλεκται* PABCD*π*S*η*Vx: *συμπλέκεται* v.

θορύβῳ τῶν πολεμίων αἰσθόμενος, ὅτι μεμηνυται, κατὰ τάχος ἀπῆγεν. Ἅμα δ' ἡμέρᾳ προσκειμένου τοῦ Σελεύκου πέμψας τινὰ τῶν περὶ αὐτὸν ἐπὶ θάτερον κέρας ἐποίησέ τινα τροπὴν τῶν ἐναντίων. Εἶτα μέντοι Σέλευκος αὐτὸς ἀφεὶς τὸν ἵππον καὶ τὸ κράνος ἀποθέμενος καὶ λαβὼν πέλτην ἀπήντα τοῖς μισθοφόροις ἐπιδεικνύμενος αὐτὸν καὶ μεταβαλέσθαι παρακαλῶν ἤδη ποτὲ συμφρονήσαντας, ὅτι φειδόμενος ἐκείνων, οὐ Δημητρίου, χρόνον πολὺν διατετέλεκεν. Ἐκ τούτου πάντες ἀσπαζόμενοι καὶ βασιλέα προσαγορεύοντες μεθίσταντο. Δημήτριος δὲ πολλῶν μεταβολῶν αἰσθόμενος ἐσχάτην ἐκείνην ἥκουσαν ἐπ' αὐτὸν ἐκκλίνας ἐπὶ τὰς Ἀμανίδας ἔφυγε πύλας καὶ καταβαλὼν εἰς ὕλην τινὰ συνηρεφῆ μετὰ φίλων τινῶν καὶ ἀκολούθων ὀλίγων παντάπασιν ὄντων προσέμενε τὴν νύκτα βουλόμενος, εἰ δύναιτο, τῆς ἐπὶ Καῦνον ὁδοῦ λαβέσθαι καὶ διεκπεσεῖν ἐπὶ τὴν θάλασσαν, οὗ τὸν ναύσταθμον εὑρήσειν ἤλπιζεν. Ὡς δὲ ἔγνω μηδὲ ἐκείνης τῆς ἡμέρας ἐφόδιον ἔχοντας αὐτούς, ἐπ' ἄλλων ἐγένετο λογισμῶν. Εἶτα μέντοι Σωσιγένης ἐπῆλθεν, ἑταῖρος αὐτοῦ, χρυσοῦς τετρακοσίους ὑπεζωσμένος· καὶ ἀπὸ τούτων ἐλπίζοντες ἄχρι θαλάσσης διαγενήσεσθαι πρὸς τὰς ὑπερβολὰς ἐχώρουν σκοταῖοι. Πυρῶν δὲ καιομένων πρὸς αὐταῖς πολεμίων ἀπογνόντες ἐκείνην τὴν ὁδὸν αὖθις ἀνεχώρησαν εἰς τὸν αὐτὸν τόπον, οὔτε πάντες (ἔνιοι γὰρ ἀπέδρασαν) οὔτε ὁμοίως οἱ παραμένοντες πρόθυμοι. Τολμήσαντος δέ τινος εἰπεῖν τι, ὡς Σελεύκῳ χρὴ τὸ σῶμα παραδοῦναι Δημήτριον ὥρμησε μὲν τὸ ξίφος σπασάμενος ἀνελεῖν ἑαυτὸν, οἱ δὲ φίλοι περιστάντες καὶ παραμυθούμενοι συνέπεισαν οὕτω ποιῆσαι. Καὶ πέμπει πρὸς Σέλευκον ἐπιτρέπων ἐκείνῳ τὰ καθ' ἑαυτόν.

L. Ἀκούσας δὲ Σέλευκος οὐκ ἔφη τῇ Δημητρίου τύχῃ σώζεσθαι Δημήτριον, ἀλλὰ τῇ αὐτοῦ, μετὰ τῶν ἄλλων κα-

6, 61—62 H.

10. ἐποιήσατο C. 13. μεταβαλέσθαι Corais ABD: μεταβάλλεσθαι v. 19. ἔφυγε CVx: ἔφευγε v. καταβαλὼν εἰς ὕλην AB DV, et καταβαλὼν etiam ηSπ: καταλαβὼν εἰς ὕλην PCqR, καταλαβὼν ὕλην v, cf. Mar. 36, 22. 21. προσέμενε ABCDπSηqi: προσέμεινε v. κάτνον P. 22. τὴν θάλατταν ABCD: τὴν ἐκεῖ θάλατταν v. 24. αὐτῷ P. ἐγένετο ABCD: ἐγίνετο v. 30. ἔνιοι γὰρ ἀπέδρασαν om C. 32. δημήτριον P: Δημήτριος v. 33. παραστάνες ABCDV.

L. 1. ‚pro τύχῃ legitur etiam χάριτι' Stephanus.

λῶν αὐτῷ φιλανθρωπίας καὶ χρηστότητος ἐπιδειξιν διδούσῃ. Καλέσας δὲ τοὺς ἐπιμελητὰς σκηνήν τε πηγνύναι βασιλικὴν
914 ἐκέλευσε καὶ τἆλλα πάντα ποιεῖν καὶ παρασκευάζειν εἰς ὑποδοχὴν καὶ θεραπείαν μεγαλοπρεπῶς. Ἦν δέ τις Ἀπολλωνίδης παρὰ τῷ Σελεύκῳ τοῦ Δημητρίου γεγονὼς συνήθης· τοῦτον εὐθὺς ἐξέπεμψε πρὸς αὐτὸν, ὅπως ἡδίων γένηται καὶ θαῤῥῶν ὡς πρὸς οἰκεῖον ἄνδρα καὶ κηδεστὴν ἁπάντων. Φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης ὀλίγοι τὸ πρῶτον, εἶτα οἱ πλεῖστοι τῶν φίλων ἐξεπήδων παρὰ τὸν Δημήτριον ἀμιλλώμενοι καὶ φθάνοντες ἀλλήλους· ἠλπίζετο γὰρ εὐθὺς παρὰ τῷ Σελεύκῳ μέγιστος ἔσεσθαι. Τοῦτο δὲ ἐκείνῳ μὲν εἰς φθόνον μετέβαλε τὸν ἔλεον, τοῖς δὲ κακοήθεσι καὶ βασκάνοις παρέσχεν ἀποτρέψαι καὶ διαφθεῖραι τὴν φιλανθρωπίαν τοῦ βασιλέως ἐκφοβήσασιν αὐτὸν, ὡς οὐκ εἰς ἀναβολὰς, ἀλλ' ἅμα τῷ πρῶτον ὀφθῆναι τὸν ἄνδρα μεγάλων ἐσομένων ἐν τῷ στρατοπέδῳ νεωτερισμῶν. Ἄρτι δὴ τοῦ Ἀπολλωνίδου πρὸς τὸν Δημήτριον ἀφιγμένου περιχαροῦς καὶ τῶν ἄλλων ἐπερχομένων καὶ λόγους θαυμαστοὺς ἀπαγγελλόντων περὶ τοῦ Σελεύκου καὶ τοῦ Δημητρίου μετὰ τηλικαύτην δυστυχίαν καὶ κακοπραγίαν, εἰ καὶ πρότερον ἐδόκει τὴν παράδοσιν τοῦ σώματος αἰσχρὰν πεποιῆσθαι, τότε μετεγνωκότος διὰ τὸ θαῤῥεῖν καὶ πιστεύειν ταῖς ἐλπίσιν, ἦλθε Παυσανίας ἔχων στρατιώτας ὁμοῦ πεζοὺς καὶ ἱππεῖς περὶ χιλίους. Καὶ τούτοις περισχὼν τὸν Δημήτριον ἄφνω, τοὺς δὲ ἄλλους ἀποστήσας, Σελεύκῳ μὲν αὐτὸν εἰς ὄψιν οὐ κατέστησεν, εἰς δὲ Χερρόνησον τὴν Συριακὴν ἀπήγαγεν, ὅπου τὸ λοιπὸν ἰσχυρᾶς φυλακῆς ἐπισταθείσης θεραπεία μὲν ἦκεν ἱκανὴ παρὰ Σελεύκου καὶ χρήματα καὶ δίαιτα παρεσκευάζετο καθ' ἡμέραν οὐ μεμπτὴ, δρόμοι δὲ καὶ περίπατοι βασιλικοὶ καὶ παράδεισοι θήρας ἔχοντες ἀπεδείχθησαν· ἦν δὲ καὶ τῶν φίλων
6, 62—63 H.

---

3. *διδούσῃ* π volueratque Stephanus: *διδούσης* v. 5. *τἆλλα πάντα* PABC: *πάντα τἆλλα* v. ,post *ὑποδοχὴν* adiectum habent quidam codices accusativum *μεγαλοπρέπειαν* praefixa particula *καί*' Stephanus. 8. *γένοιτο* C. 9. *ὡς* om D. *ἁπάντων* PπV: *ἁπαντᾷ* v. 14. *μετέβαλε* Corais ABCD: *μετέβαλλε* v. 18. *δὴ*] *δὲ* D. 20. *θαυμαστοὺς*] *ἀγαθοὺς* V. *περὶ* ABCDV: *παρὰ* P, *παρὰ* v. 23. *μετεγνωκότας* C. 28. *συριακὴν* ia.
e ι ead. m

τῶν συμφυγόντων τῷ βουλομένῳ συνεῖναι καὶ παρ' αὐτοῦ τινες ὅμως ἐπιφοιτῶντες [ἀπὸ τοῦ Σελεύκου] ἦκον κομίζοντες ἐπιεικεῖς λόγους καὶ θαρρεῖν παρακαλοῦντες, ὡς, ὅταν πρῶτον Ἀντίοχος ἀφίκηται σὺν Στρατονίκῃ, διεθησόμενον.

LI. Ὁ δὲ Δημήτριος ἐν τῇ τοιαύτῃ τύχῃ γεγονὼς ἐπέστειλε τοῖς περὶ τὸν υἱὸν καὶ τοῖς περὶ Ἀθήνας καὶ Κόρινθον ἡγεμόσι καὶ φίλοις μήτε γράμμασιν αὐτοῦ μήτε σφραγῖδι πιστεύειν, ἀλλ' ὥσπερ τεθνηκότος Ἀντιγόνῳ τὰς πόλεις καὶ τὰ λοιπὰ πράγματα διαφυλάττειν. Ἀντίγονος δὲ τὴν τοῦ πατρὸς σύλληψιν πυθόμενος καὶ βαρέως ἐνεγκὼν καὶ πενθήμην ἀναλαβὼν ἐσθῆτα πρός τε τοὺς ἄλλους βασιλεῖς ἔγραψε καὶ πρὸς αὐτὸν Σέλευκον δεόμενος καὶ πᾶν, ὅ τι λοιπὸν ἦν αὐτοῖς, παραδιδοὺς καὶ πρὸ παντὸς ὁμηρεύειν ἕτοιμος ὢν αὐτὸς ὑπὲρ τοῦ πατρός. Καὶ συνεδέοντο ταῦτα πόλεις τε πολλαὶ καὶ δυνάσται πλὴν Λυσιμάχου. Λυσίμαχος δὲ καὶ χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο Σελεύκῳ κτείναντι Δημήτριον. Ὁ δὲ ἐκεῖνον μὲν καὶ ἄλλως προβαλλόμενος ἔτι μᾶλλον ἐπὶ τούτῳ μιαρὸν ἡγεῖτο καὶ βάρβαρον, Ἀντιόχῳ δὲ τῷ παιδὶ καὶ Στρατονίκῃ φυλάττων Δημήτριον, ὡς ἐκείνων ἡ χάρις γένοιτο, παρῆγε τὸν χρόνον.

LII. Ὁ δὲ Δημήτριος, ὡς ἐν ἀρχῇ τὴν τύχην προσπεσοῦσαν ὑπέμεινε καὶ ῥᾷον ἤδη φέρειν εἰθίζετο τὰ παρόντα, πρῶτον μὲν ἀμωσγέπως ἐκίνει τὸ σῶμα θήρας, ἐφ' ὅσον ἦν, καὶ δρόμων ἀπτόμενος, ἔπειτα κατὰ μικρὸν ὄκνου πρὸς αὐτὰ καὶ νωθείας ἐπίμπλατο καὶ φέρων ἑαυτὸν εἰς πότους καὶ

6, 63—64 H.

π ν ead. m.

33. παρ' αὐτοῦ ABCD: γὰρ αὐτοὶ P, παρ' αὐτὸν v, inepte, quo correcto iam apparet delenda esse ἀπὸ τοῦ Σελεύκου ipso etiam hiatu vitii convicta. 34. ὅμως] ὁμοίως Solani probatum nuperis. ego ὅμως spectare puto ad v. 29. 36. διεθησόμενον Schaeferus: διαθησόμενον libri.

LI. 1. τῇ addiderunt ABCD, cf. ad Pomp. 25. ἀπέστειλε a, ἀπέστηλε i. 2. τοῖς περὶ τὸν ABCV ‚vett. codd.' Stephani V: πρὸς τὸν v. τοῖς περὶ — 3 ἡγεμόσι καὶ φίλοις ‚vett. codd.' Stephani: τοὺς περὶ — ἡγεμόνας καὶ φίλους v. fortasse scribendum: ἐπέστειλε τοῖς περὶ τὸν υἱὸν καὶ πρὸς τοὺς περὶ Ἀθήνας ἡγεμόνας καὶ φίλους. 7. ἐσθῆτα ἀναλαβὼν P. 12. καὶ om ABC. 13. καὶ om PABCD. 15. φυλάττων PABCDV: παραφυλάττων v. 16. παρῆγε Corais PABCD: παρήγαγε v.

LII. 2. ἤδη om ABCD.

κύβους κατέβαλε καὶ τοῦ χρόνου τὸ πλεῖστον ἐν τούτοις διῆγεν, εἴτε τοὺς ἐν τῷ νήφειν ἀναλογισμοὺς τῶν παρόντων ἀποδιδράσκων καὶ παρακαλυπτόμενος τῇ μέθῃ τὴν διάνοιαν, εἴτε συγγνοὺς ἑαυτῷ τοῦτον εἶναι τὸν βίον, ὃν ἔκπαλαι ποθῶν καὶ διώκων ἄλλως ὑπ' ἀνοίας καὶ κενῆς δόξης ἐπλάζετο καὶ πολλὰ μὲν ἑαυτῷ, πολλὰ δὲ ἑτέροις πράγματα παρ-
915 εἶχεν ἐν ὅπλοις καὶ στόλοις καὶ στρατοπέδοις τὸ ἀγαθὸν ζητῶν, ὃ νῦν ἐν ἀπραγμοσύνῃ καὶ σχολῇ καὶ ἀναπαύσει μὴ προσδοκήσας ἀνεύρηκε. Τί γὰρ ἄλλο τῶν πολέμων καὶ τῶν κινδύνων πέρας ἐστὶ τοῖς φαύλοις βασιλεῦσι, κακῶς καὶ ἀνοήτως διακειμένοις, οὐχ ὅτι μόνον τρυφὴν καὶ ἡδονὴν ἀντὶ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ διώκουσιν, ἀλλ' ὅτι μηδὲ ἥδεσθαι μηδὲ τρυφᾶν ὡς ἀληθῶς ἴσασιν; Ὁ δ' οὖν Δημήτριος ἔτος τρίτον ἐν τῇ Χερρονήσῳ καθειργμένος ὑπ' ἀργίας καὶ πλησμονῆς καὶ οἴνου νοσήσας ἀπέθανεν ἔτη τέσσαρα καὶ πεντηκοντα βεβιωκώς. Καὶ Σέλευκος ἤκουσέ τε κακῶς καὶ μετενόησεν οὐ μετρίως ἐν ὑποψίᾳ τὸν Δημήτριον θέμενος τότε καὶ μηδὲ Δρομιχαίτην, ἄνδρα βάρβαρον Θρᾷκα, μιμησάμενος οὕτω φιλανθρώπως καὶ βασιλικῶς ἀλόντι Λυσιμάχῳ χρησάμενον.

LIII. Ἔσχε μέντοι καὶ τὰ περὶ τὴν ταφὴν αὐτοῦ τραγικήν τινα καὶ θεατρικὴν διάθεσιν. Ὁ γὰρ υἱὸς Ἀντίγονος, ὡς ᾔσθετο τὰ λείψανα κομιζόμενα, πάσαις ἀναχθεὶς ταῖς ναυσὶν ἐπὶ νήσων ἀπήντησε· καὶ δεξάμενος εἰς τὴν μεγίστην τῶν ναυαρχίδων ἔθετο τὴν ὑδρίαν χρυσήλατον οὖσαν. Αἱ δὲ πόλεις, αἷς προσεῖχον, τοῦτο μὲν στεφάνους ἐπέφερον τῇ ὑδρίᾳ, τοῦτο δὲ ἄνδρας ἐν σχήματι πενθίμῳ συνθάψοντας καὶ συμπαραπέμψοντας ἀπέστελλον. Εἰς δὲ Κόρινθον τοῦ στόλου καταπλέοντος ἥ τε κάλπις ἐκ πρύμνης περιφανὴς ἐωρᾶτο πορφύρᾳ βασιλικῇ καὶ διαδήματι κεκοσμημένη καὶ
6, 64—66 H.

---

6. κατεβαλε Corais PABCD: κατέβαλλε v. τὸν πλεῖστον Corais Schaeferus, cf. ad c. 12. 9. τοιοῦτον ABCD. 17. τῆς om C. 18. γοῦν CV. 20. καὶ ante οἴνου om ABCDπ, sed cf. compar. Anton. 6. 23. μηδὲ Reiskius: μήτε libri. Θρᾷκα om C.

LIII. 1. περὶ] μετὰ V. 4. νῆσον P. ‚latet nomen alicuius de insulis Cycladibus. Quaerat qui vult.' Reiskius. ἐπὶ Ἰσσὸν s. ἐπὶ Ἰσσοῦ Coraes, ἐπὶ νήσῳ Schaeferus, sed non opus mutatione, cf. Lysandr. 9, 19. Aristid. 5, 23. Keilii analect. epigr. p. 245.

παρειστήκεισαν ἐν ὅπλοις νεανίσκοι δορυφοροῦντες. Ὁ δὲ τῶν τότε αὐλητῶν ἐλλογιμώτατος Ξενόφαντος ἐγγὺς καθεζόμενος προσηύλει τῶν μελῶν τὸ ἱερώτατον. Καὶ πρὸς τοῦτο τῆς εἱρεσίας ἀναφερομένης μετὰ ῥυθμοῦ τινος ἀπήνταῤ ψόφος, ὥσπερ ἐν κοπετῷ, ταῖς τῶν αὐλημάτων περιόδοις. Τὸν δὲ πλεῖστον οἶκτον καὶ ὀλοφυρμὸν αὐτὸς ὁ Ἀντίγονος τοῖς ἠθροισμένοις ἐπὶ τὴν θάλασσαν ὀφθεὶς ταπεινὸς καὶ δεδακρυμένος παρέσχεν. Ἐπενεχθεισῶν δὲ τιμῶν καὶ στεφάνων περὶ Κόρινθον εἰς Δημητριάδα κομίσας ἔθηκε τὰ λείψανα, πόλιν ἐπώνυμον ἐκείνου, οἰκισθεῖσαν ἐκ μικρῶν τῶν περὶ τὴν Ἰωλκὸν πολιχνίων. Ἀπέλιπε δὲ γενεὰν ὁ Δημήτριος Ἀντίγονον μὲν ἐκ Φίλας καὶ Στρατονίκην, δύο δὲ Δημητρίους, τὸν μὲν Λεπτὸν, ἐξ Ἰλλυριδος γυναικὸς, τὸν δὲ ἄρξαντα Κυρήνης ἐκ Πτολεμαΐδος, ἐκ δὲ Δηϊδαμείας Ἀλέξανδρον, ὃς ἐν Αἰγύπτῳ κατεβίωσε. Λέγεται δὲ καὶ Κόῤῥαγον υἱὸν ἐξ Εὐρυδίκης αὐτῷ γενέσθαι. Κατέβη δὲ ταῖς διαδοχαῖς τὸ γένος αὐτοῦ βασιλεῦον εἰς Περσέα τελευταῖον, ἐφ' οὗ Ῥωμαῖοι Μακεδονίαν ὑπηγάγοντο. Διηγωνισμένου δὲ τοῦ Μακεδονικοῦ δράματος ὥρα τὸ Ῥωμαϊκὸν ἐπεισαγαγεῖν.

6, 66—67 H.

---

14. τῆς om ABCD. 17. θάλασσαν PAB: θάλατταν v. 18. παρεῖχεν C. 20. ἐκείνου, οἰκισθεῖσαν] hiatus in interpunctione tolerabilis. tamen miror Plutarchum non scripsisse συνοικισθεῖσαν, ac fortasse scripsit. cf. Strabonis 9 p. 436 t. 3 p. 619 Tz. ἔκτισε δὲ Δημήτριος ὁ πολιορκητὴς ἐπώνυμον ἑαυτοῦ τὴν Δημητριάδα μεταξὺ Νηλίας καὶ Παγασῶν ἐπὶ θαλάσσῃ τὰς πλησίον πολίχνας εἰς αὐτὴν συνοικίσας. 21. ἰολκὸν C, ἰωλκὴν D. ὁ addidit P. 23. μὲν post τὸν om ABCD. 24. δηϊδαμείης AD. 25. κόρραγον P: κόραβον B, κορράβον D, Κόρραβον v, cf. ad c. 28. 26. εὐρυδίκην C. 27. ἀφ' ABCπV. 28. διηνυσμένου C.

29020/2